UNIVERSITY OF TORONTO
3 1761 01125318 4

Digitized by the Internet Archive
in 2009 with funding from
University of Toronto

https://archive.org/details/suidaelexiconpos02kustuoft

LGr
S94846
72
354
UNIVERSITY OF TORONTO LIBRARY

# ΣΟΥΙΔΑΣ.

# SUIDÆ LEXICON

## POST LUDOLPHUM KUSTERUM

AD

## CODICES MANUSCRIPTOS

RECENSUIT

THOMAS GAISFORD S.T.P.
ÆDIS CHRISTI DECANUS
NECNON
GRÆCÆ LINGUÆ PROFESSOR REGIUS.

TOMUS II. K—Ψ.



OXONII,
E TYPOGRAPHEO ACADEMICO.
MDCCCXXXIV.

PA
5365
L46
1834
t.2

5612
4/9/00

# ΣΟΥΙΔΑΣ.

## Κ Α

ΚΑΒΑ´ΔΗΣ: Ὄνομα κύριον. A

Καββαλίς: [a]Ὁ καταβαλών. Οἷον ἀπὸ κάπης ἅλις ἐσθίων. Κλίνεται δὲ [b]καββααλῖνος. [c]Ἔγκειται δὲ ἡ [d]κάπη καὶ τὸ ἅλις. Περίττωμα γάρ ἐστι τῶν ἀπὸ κάπης ἐσθιόντων ἀλόγων.

Καββαλών: [e]Ὁ καταβαλών. Ἀμειψίας Μοιχοῖς·

Καὶ σὺ μὲν ἦλθες, [f]κάββαλες τριώβολον.

Κάβαξ: Πανοῦργος.

Κάβαισος: Ἄπληστος. Κάβος γὰρ μέτρον σιτικόν. [g]Καὶ τὸν μέθυσον ἡμεῖς [h]πίθον. B

Καβειρών: Πόλις. Καὶ [i]Κάβειροι, ὄνομα ἔθνους. [k]Σημαίνει δὲ καὶ δαίμονας.

Καβησός: Πόλις. Καὶ [l]Καβησόθεν, ἀπὸ Καβησοῦ πόλεως.

Κάβος: Εἶδος μέτρου. [m]Καὶ παροιμία,

Κάβου κάβος.

Καβύλη: Χώρα τῆς Θρᾴκης, ἱδρυμένη πρὸς τῷ Τάξῳ ποταμῷ, κατὰ μέσον τῆς Θρᾴκης.

Κάγκανον: Ξηρόν.

Καγχάζει: Ἀθρόως γελᾷ. Εὐνάπιος·

[n]Οἱ δὲ [o]Οὖνοι πλατὺ καγχάσαντες ᾤχοντο.

Καὶ [p]Σοφοκλῆς·

Πάντων καγχαζόντων γλώσσαις.

Τουτέστι, βλασφημούντων.

Ὁ δὲ κατὰ θυμὸν [q]ἐνεκάγχαζε, ἠγανάκτει δὲ πρὸς τὸν ἀέρα, καὶ συνεχῶς ἐβρυχᾶτο.

Καὶ Καγχασμὸς, ὁ ἔκχυτος γέλως.

Κάγχρυς: Τὰς κριθάς. Καὶ καγχρυδίας ἄρτος. Κάγχρυς οὖν, τὰς ἀληλεσμένας κριθάς.

Κάδης: [r]Ἁγιασμός.

[s]Καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδης.

Καδίσκος: Ἀγγεῖόν τι, εἰς ὃ [t]ἐψηφοφόρουν C

ΚΑΒΑΔΗΣ: Ὄνομα κ.] Est nomen regis Persarum, de quo videndus est Agathias lib. IV. p. 138. KUST.

ΚΑΒΒΑΛΙΣ] Καβαλλίς E. Καββαλλὶς B. Καββάσαλις V.

[a] Ὁ καταβαλὼν] Del. Ὁ καταβαλὼν, quippe quæ male repetita sunt ex sequente articulo. TOUP. Vid. Meursii Gloss. G.B. in Καβαλίς. HEMST. Vide etiam Du Cangium. Ceterum minus recte Toupium conjecisse patet ex Etymol. M. p. 482, 18.

[b] ΚΑΒΒΑΛΛΙΝΟΣ] Καβαλλῖνος E. Καββαλῖνος B.M. D

[c] Ἔγκειται δὲ—ἐσθιόντων ἀλ.] Locum hunc Suidæ descripsit Eustath. ad Odyss. α'. p. 1406, 12. ut Pearsonius observavit. KUST.

[d] κάπη] κώπη B.E. Mox κώπης B.

[e] Ὁ καταβαλὼν] Ὁ om. B.V.E. Seqq. om. M. Mox Ἀμειψίαν V.

[f] Κάββαλε] Cum Porto potius legerim καββαλών. KUST. καββαλὼν A. κάββαλες B.V.E. et sic supra v. Ἀναψυχῆναι.

ΚΑΒΑΙΣΤΟΣ] Potius Κάβαισος, ut legitur apud Hesychium, et in Lexico Photii inedito. KUST. Κάβαισος V. E

[g] Καὶ τὸν μέθυσον ἡμεῖς πίθον] Locum hunc egregie illustrat Pollux lib. VI. c. 7. cujus hæc sunt verba: Καὶ κάβασον δὲ ἐκάλουν τὸν περὶ τὴν τροφὴν ἄπληστον· ὥσπερ οἱ νῦν πολυπότην, πίθον. KUST.

[h] πίθον] Hanc vocem, quæ in prioribus edit. desideratur, ex mss. Paris. et Lexico Photii inedito revocavi. KUST.

[i] ΚΑΒΕΙΡΟΙ] Vid. Διαλαμβάνει. TOUP. Κάβειρος E. Statim delevi ΚΑΒΗΞ. Ὁ λάρος, διὰ τὸ ἀδδηφάγον. ΚΑΒΗ γὰρ ἡ τροφή. Εὐφορίων· Τῆς οὐδ' αἴθυιαι, οὐδὲ κρυεροὶ κάβηκες, cum F A.B.V.E. Huc immigrarunt ex Etymol. M. p. 493, 48. ubi tamen leg. Καύηξ.

[k] Σημαίνει δὲ καὶ δαίμονας] Vide Schol. Aristoph. ad Pac. 276. et Schol. Apoll. Rhod. ad lib. I. 917. KUST. Vid. Σαμοθράκη. REINES.

[l] ΚΑΒΗΣΟΘΕΝ] Homerus Il. ν'. 363. KUST. Καβάσοθεν V. et mox Καβασοῦ.

[m] Καὶ παροιμία addidi cum A.B.V.E. Tum κάβος κάβου edd. recentt.

ΚΑΒΥΛΗ: Χώρα τῆς Θρ.] Ex Harpocratione: apud quem pro Τάξῳ legitur Ἀξίῳ. KUST. Καβήλη V. Tum χωρίον Photius, qui mox ἱδρυμένον, in ceteris cum Suida concordans.

ΚΑΓΧΑΖΕΙ etc. om. h. l. V. sed addit post Κακύνειν. Ibid. inserit, Κάγχαζεν Ἀριστοφάνης ἀντὶ τοῦ καὶ ἀπεπάτει V.

[n] Οἱ δὴ] Οἱ δὲ A.B.V.E.M. Eunapii fr. 60.

[o] Οὖνοι] Εὐνοῦχοι V. Mox καὶ ante Σοφοκλῆς ex V.E. Σοφοκλῆς—ἐβρυχᾶτο om. M., sed habet Ald.

[p] Σοφοκλῆς] Aj. 199.

[q] ἐνεκάγχαζε] Leg. ἀνακάγχαζε. Vid. Ἀνακαγχάζω. Nisi potius legendum sit, Ὁ δὲ κατὰ θυμὸν μὲν ἐκ. Videtur autem Eunapii. HEMST. ἐνεκάγκασεν A. ἐνεκάγχασεν E. ἐνεκάγχασε B.

ΚΑΓΧΡΥΣ] Alias κάχρυς, absque γ, hæc vox scribitur; ut infra suo loco. KUST. Monuerat Portus. Καγχρὺ V.E.

ΚΑΔΔΗΣ] Κάδης A.B.V.E. et in exemplo.

[r] Ἁγιασμὸς] ἁγία B.V.E. ἁγιασ' A. Vid. Etymol. M. p. 483, 2.

[s] Καὶ συσσείσει Κύριος τὴν ἔρημον K.] Psalm. XXVIII. 7. KUST.

ΚΑΔΙΣΚΟΣ: Ἀγγεῖόν τι, εἰς ὃ ἐψηφ.] Huc spectant verba Scholiastæ Aristoph. ad Vesp. 320. Τοὺς καδίσκους τοὺς ἐν τῷ δικαστηρίῳ κάδους, ἐν οἷς τὰς ψήφους καθίεσαν, ὑποκοριστικῶς λέγει. Erant autem duo in judiciis cadi, quorum unus dicebatur κύριος, in quem calculi κύριοι, tam absolventes, quam damnantes, mittebantur. Alter vero ἄκυρος, in quem mittebantur calculi ἄκυροι, sive quorum nulla in percensendis suffragiis ratio habebatur. Erant autem calculorum alii pleni, alii vero perforati: quorum illi absolvebant; hi vero damnabant. Clare hæc omnia docet Schol. Aristoph. ad Vesp. 981. cujus verba adducere non gravabor. Ἀμφορεῖς ἦσαν, inquit, ὧν ὁ μὲν κύριος λεγόμενος, εἰς ὃν τὴν κυρίαν ψῆφον καθίεσαν οἱ δικασταὶ, ἢ καὶ δικάζοντες,

οἱ δικασταὶ, [u]οὕτως ἐκαλεῖτο. Φρύνιχος Μούσαις·

> Ἰδοὺ, δέχου τὴν ψῆφον· ὁ καδίσκος δέ σοι,
> ὁ μὲν ἀπολύων οὗτος, ὁ δ' ἀπολλὺς ὁδί.

**Καδμεία**: Ἡ τῶν Θηβαίων ἀκρόπολις.

**Καδμεία γυνὴ**, καὶ **Καδμεία νίκη**, διὰ διφθόγγου. **Καδμία** δὲ **χώρα**, διὰ τοῦ ι. οἱ δὲ καὶ τοῦτο διὰ διφθόγγου γράφουσι.

**Καδμεία νίκη**: Λέγεται ἐπὶ τῶν ἐπὶ [x]κακῷ νι- B κώντων. Οἱ μὲν λέγουσιν, ὅτι Θηβαῖοι νικήσαντες ὕστερον [y]ὑπὸ τῶν Ἐπιγόνων ἡττήθησαν· οἱ δὲ, ὅτι Οἰδίπους τὸ αἴνιγμα λύσας, ἔπαθλον τὴν μητέρα ἔγημε. Τίθεται [z]δὲ καὶ ἐπὶ τῶν ἀλυσιτελῶν. Ὡς δὲ αὐτὸς [a]ὁ τὰ περὶ [b]τῶν Θηβῶν συντάξας, ὅτι Κάδμος, ἀνελὼν τὸν τὴν [c]Ἀρείαν κρήνην τηροῦντα δράκοντα, [d]ἐθήτευσεν Ἄρει ὀκτὼ ἔτη.

**Καδμείαν νίκην**: Ἀποδιδόασι τὴν ἐπὶ τῆς ἀλυ- C σιτελοῦς νίκης· ἐπεὶ Ἐτεοκλῆς καὶ Πολυνείκης μονομαχήσαντες ἀμφότεροι ἀπώλοντο. Ἕτεροι δέ φασιν αὐτὴν λέγεσθαι ἐπὶ τῶν νικώντων μὲν τοὺς πολεμίους, πλείονας δὲ τῶν οἰκείων ἀποβαλλόντων.

**Καδμεῖος**: Ὁ [e]Θηβαῖος.

**Καδμείωνος**:

**Κάδμος**: [f]Ὁ Μιλήσιος, εὑρετὴς τῶν γραμμά- D των. [g]Ἐν Ἐπιγράμματι Ζήνωνος·

> [h]Εἰ δὲ πάτρα Φοίνισσα, τίς ὁ φθόνος; [i]ὃν καὶ [k]Κάδμος
> κεῖνος, ἀφ' οὗ γραπτὰν Ἑλλὰς ἔχει σελίδα.

**Κάδμος**, Πανδίονος, Μιλήσιος, ἱστορικὸς, ὃς A [l]πρῶτος κατά τινας συγγραφὴν ἔγραψε καταλογάδην, μικρῷ νεώτερος [m]Ὀρφέως. Συνέταξε δὲ κτίσιν Μιλήτου καὶ τῆς ὅλης Ἰωνίας ἐν βιβλίοις δ'.

Ὅτι τὸν Κάδμον φασὶ πρῶτον ἐς τὴν Ἑλλάδα κομίσαι τὰ γράμματα, [n]ἅπερ πρῶτοι Φοίνικες ἐφεῦρον.

**Κάδμος**, Ἀρχελάου, Μιλήσιος, ἱστορικὸς νεώτερος. Τινὲς δὲ [o]Λυκῖνον Κάδμον ἀνέγραψαν. Ἴσως οὖν ἐστίν ἕτερος. [p]Ἔγραψε δὲ ταῦτα· Λύσιν [q]ἐρω- B τικῶν παθῶν, ἐν βιβλίοις δ', καὶ Ἀττικὰς Ἱστορίας ις'.

**Κάδος**: Μέτρον οἰνηρόν. Ἐν [r]Ἐπιγράμμασι·

> Τρισσῶν οἰνοπέδων τρισσοὺς ἱερώσατο τούσδε
> ἐμπλήσας οἴνου πρωτοχύτοιο κάδους.

**Καδουΐας**: Βασιλεὺς Σκυθῶν.

**Κάειρα**: [s]Πόλις καὶ ὄνομα κύριον.

**Κάϊν**, ὁ τοῦ Ἄβελ ἀδελφὸς, ὃς πλεονέκτης ἦν· ὁ C δὲ Ἄβελ δικαιοσύνης ἐπεμελεῖτο. [ss]Καὶ ὁ Κάϊν κτείνας τὸν Ἄβελ, ἔκρυψε τὸν νεκρὸν αὐτοῦ, λαθεῖν ἐντεῦθεν οἰόμενος. Καὶ μετὰ τὴν καταδίκην χειρόνως ἐβίω, [t]ἅρπαξ καὶ πλεονέκτης γενόμενος μέτρα καὶ στάθμια καὶ ὅρους γῆς ἐπενόησε, καὶ πόλιν κτίσας, εἰς ἓν συνελθεῖν τοὺς οἰκείους ἠνάγκασε, καὶ οἱ ἐκ γένους αὐτοῦ εἰς πολέμους ἑαυτοὺς ἀπησχόλουν.

[u]Ὅτι εἴρηταί τισιν, ὡς ὁ Κάϊν ἐκ τῆς τοῦ Διαβό- D λου σπορᾶς ἐγένετο, καὶ μισήσας τὸν ἴδιον ἀδελφὸν τὸν Ἄβελ, τοῦτον ἀνεῖλεν. Εἴρηται [x]δὲ περὶ τούτου καὶ χρῆσις τοῦ Κυρίου ἐν τοῖς Εὐαγγελίοις πρὸς τοὺς Ἰουδαίους·

---

(lege καταδικάζοντες) ἢ ἀπολύοντες, ὁ δὲ ἕτερος ξύλινος, εἰς ὃν τὰς ἀκύρους καθίεσαν. Ὁπότε δὲ πάντες διεψηφίσαντο, εἰς χαλκοῦν κάδον διηριθμοῦντο αἱ ψῆφοι. Κατεδίκαζον μὲν αἱ τετρυπη- E μέναι· ἀπέλυον δὲ αἱ πλήρεις. KUST.

[t] ἐψηφηφόρουν] ἐψηφοφόρουν A.V. Photius, Harpocrat.

[u] οὕτω καλεῖται] οὕτως ἐκαλεῖτο A.B.V.E. Photius. Seqq. om. M.

ΚΑΔΜΕΙΑ] Plura Harpocratio, eadem Photius.

ΚΑΔΜΕΙΑ ΝΙΚΗ: Λέγεται ἐπὶ τῶν κ.] Vide Zenobium, aliosque parœmiographos. KUST. Stobæus p. 103. Wesseling. ad Diodor. T. I. p. 413. Nicetas p. 50. TOUP. Adde Boisson. Aristæn. p. 664. Diodor. Exc. Maii p. 46.

[x] κακῶς] ἐπὶ κακῷ A. Photius. κακῶν V. Tum συνόντων F A. pro νικώντων.

[y] Ὑπὸ τῶν Ἐπιγόνων] Sic habent mss. Paris. [et Phot.] In prioribus vero edit. [et B.E.] male excusum est ἐπὶ τῶν Ἐπ. KUST.

[z] δὲ καὶ] καὶ om. B.V. Photius.

[a] ὁ τὰ περὶ τῶν Θηβῶν συντάξας] Existimo anonymum hunc esse Lysimachum, quem *Thebaica* scripsisse, et in illis multa paradoxa de Cadmo tradidisse testatur eruditus enarrator Apoll. Rhod. ad lib. III. 1177. et 1178. G KUST.

[b] τῶν Θηβῶν] τῶν om. B.E. Phot.

[c] Ἀρείαν κρήνην] Sic et Apollod. III. 4. Sed Apoll. Rh. III. 1180. Ἀρητιάδης κρήνη. REINES.

[d] ἐθήτευσεν] θητεύσας Phot.

ΚΑΔΜΕΙΑΝ ΝΙΚΗΝ] Καδμεία νίκη V.E.

[e] Θηβαῖος] ἀθημαῖος V.

[f] ὁ Μιλήσιος] Errorem in hoc Suidæ loco viri docti jam ante notarunt, et recte monuerunt, Cadmum illum, qui H literas invenisse dicitur, Phœnicem fuisse, non Milesium. Vide Menag. ad Laërt. lib. VII. 30. KUST. In hoc et seq. articulo confusos esse Cadmum Phœnicem et Cadmum Milesium docet Clintonus Fast. Hellen. p. 369.

[g] Ἐν Ἐπιγράμματι Ζήνωνος] Epigramma illud integrum exhibet Laërtius *Zenone* segm. 30. Observandum autem est Epigramma istud non esse ipsius Zenonis, ut Suidas hic affirmare videtur, sed a Zenodoto Stoico de Zenone E conscriptum, ut ex dicto loco Laërtii patet. Quare, ne ipsum Suidam ἀβλεψίας hujus reum peragam, existimo excidisse hic præpositionem περὶ, et initio scriptum fuisse, ἐν Ἐπιγράμματι περὶ Ζήνωνος. KUST. Hæc emendatio Menagii est. Ἐν om. edd. ante Kuster. Vid. Anthol. Pal. VII. 117.

[h] Εἰ δὲ πάτρα] οἳ δε πάντα E. Desunt hi versus M.

[i] ὃν καὶ Κάδμος] Scribe, ut apud Laërtium, ἧν καὶ ὁ Κάδμος, et subintellige Φοῖνιξ: vel ut Menagius tentabat, ἔνθεν ὁ Κάδμος. KUST. Porsonus ad Eurip. Ph. 1613. Εἰ F δὲ πάτρα Φοῖνιξ σὺ τίς ὁ φθόνος; οὐ καὶ ὁ Κάδμος Κεῖνος—Desunt κεῖνος ἀφ' A. cum lacuna.

[k] Κάδμος] Diodor. Sic. T. I. p. 44. TOUP.

[l] Πρῶτος κατά τινας συγγραφὴν ἔγραψε] Vide quæ notavimus supra ad v. Ἱστορῆσαι. KUST.

[m] Ὀρφέως om. A. cum lacuna.

[n] ἅπερ πρῶτοι] . . . . . ῶτοι A.

[o] Λυκῖνον] An legendum est Λύκιον, i. e. *Lycium*. Certe patriam Cadmi vocabulo isto indicare velle Suidas videtur. Cujus vero gentis vel urbis ἐθνικὸν sit Λυκῖνος jam G non memini. KUST. λυκκίνου κάδμου V.

[p] Ἔγραψε] γέγραφε A. ἔγραφε V.

[q] ἐρωτικῶν παθῶν ἐν βιβλίοις ιδ'] ἐρωτικῶν βιβλίων δ'. B.E. ἐρωτικῶν βιβλίων ιδ'. M. παθῶν om. V. qui mox βιβ. δ'. Vulg. dedit Aldus, cum A. fere concordans, ubi tamen τέσσαρσιν non ιδ'.

[r] Ἐπιγράμμασι] v. Δράγματα. TOUP. Anthol. Pal. VI. 44. Seqq. om. M.

ΚΑΕΙΡΑ] Vid. Hom. Il. δ'. 142. et ibi Schol. KUST.

H [s] ὄνομα κύριον. καὶ πόλις] πόλις, καὶ ὄνομα κύριον A.V.E.

[ss] καὶ ὁ Κάϊν] Seqq. om. M.

[t] καὶ ἅρπαξ] καὶ om. A.B.V.E.

[u] ὍΤΙ] ὦ τῆς καινοτομίας addunt B.V.E.

[x] γὰρ] δὲ A.B.V. Mox χρῆσ V. δὲ καὶ χρ. τοῦ κῦ περὶ τούτου E. omissis infra πρὸς τοὺς Ἰουδαίους.

[y]Ὑμεῖς τέκνα ἐστὲ τοῦ Διαβόλου. Ὁ πατὴρ ὑμῶν ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἐστὶν, ὡς καὶ ὁ πατὴρ αὐτοῦ.

[z]Τί δηλοῖ τὸ, ΠᾶΣ ὁ ἀΠΟΚΤΕΊΝΑΣ ΚΆΪΝ ἑΠΤᾺ ἐΚΔΙΚΟΎΜΕΝΑ ΠΑΡΑΛΎΣΕΙ; [a]τοιαύτην ἔχει τὴν λύσιν· Ἕκαστος τῷ ἑαυτοῦ ἁμαρτήματι ἀποθανεῖται. Ὁ δὲ φόνου κατάρξας, καὶ τοῖς ἄλλοις [b]τοῦ ἁμαρτήματος ὑφηγητὴς γενόμενος, ἑπταπλασίως τιμωρηθήσεται. Τουτέστι, πολλαπλασίως. Σύνηθες [c]γὰρ τῇ Γραφῇ τῷ ἀριθμῷ τούτῳ ἀπροσδιορίστως κεχρῆσθαι· καὶ ἔστιν ἀδιορίστου [d]πλήθους σημαντικόν. Ὡς τὸ,

Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα.

Καὶ,

Ὅτι στεῖρα ἔτεκεν ἑπτά.

[e]Καὶ,

Οὐ λέγω σοι ἕως [f]ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά.

Τὸ μὲν γὰρ τελευτῆσαι τῶν [g]ἐν τῷ βίῳ πονηρῶν ἐπάγει τὴν ἀνάπαυσιν· τὸ δὲ ζῆν ἐν φόβῳ καὶ λύπῃ μυρίους ἐπάγει τοὺς ἐν συναισθήσει θανάτους. Τρέμων οὖν καὶ στένων ὁ Κάϊν, ὥσπερ δαίμονι κάτοχος, ἐν ἐπιληψίᾳ πάντα τὸν βίον αὐτοῦ διῆγε, τοῦτο πρὸς τὸ μὴ ἀναιρεθῆναι ὑπό τινος λαβὼν τὸ σημεῖον. Ἐκδικούμενα δὲ, εἴτε τὰ παρὰ τῷ Κάϊν ἡμαρτημένα [h]λέγοις, εὑρήσεις ἑπτά· εἴτε παρὰ [i]τοῦ Θεοῦ ἐπ' αὐτῷ ῥηθέντα, οὐδ' οὕτως ἀποτεύξῃ τῆς ἐννοίας. Ἐν μὲν γὰρ τοῖς παρὰ τοῦ Κάϊν τετολμημένοις [k]πρῶτον ἁμάρτημα φθόνος ἐπὶ τῇ προτιμήσει [l]Ἄβελ. Δεύτερον, δόλος, μεθ' οὗ διελέχθη [m]τῷ ἀδελφῷ, εἰπὼν,

Διέλθωμεν εἰς τὸ πεδίον.

Τρίτον, [n]φόνος, προσθήκη τοῦ κακοῦ. Τέταρτον, ὅτι καὶ ἀδελφοῦ φόνος. Πέμπτον, ὅτι καὶ πρῶτος φονεὺς πονηρὸν ὑπόδειγμα τῷ βίῳ καταλιπών. Ἕκτον, ὅτι γονεῦσι πένθος ἐνεποίησεν. Ἕβδομον, ὅτι Θεὸν ἐψεύσατο, εἰπὼν,

Ὅτι οὐκ οἶδα τὸν ἀδελφόν.

Αἱ δὲ εἰς κόλασιν αὐτῷ παρὰ τῆς θείας δίκης τιμωρίαι εἰσὶν αὗται. [nn]Πρώτη κόλασις·

Ἐπικατάρατος ἡ γῆ ἀπὸ σοῦ.

Δευτέρα·

Ἐργᾷ τὴν γῆν.

Τρίτη·

Καὶ οὐ προσθήσει δοῦναί σοι τὴν ἰσχὺν αὐτῆς.

Τετάρτη μετὰ τῆς πέμπτης συνεζευγμένη [o]μάστιξ,

Στένων καὶ τρέμων ἔσῃ ἐπὶ [p]τῆς γῆς.

Ἕκτη, ἣν αὐτὸς ἀπεκάλυψεν ὁ Κάϊν, εἰπών·

Εἰ ἐκβαλεῖς με νῦν [q]ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι.

Ἡ βαρυτάτη κόλασις ὁ ἀπὸ τοῦ Θεοῦ χωρισμὸς τοῖς σωφρονοῦσιν. Ἑβδόμη, τὸ μὴ κρύπτεσθαι τὴν τιμωρίαν, ἀλλὰ σημείῳ προδήλῳ πᾶσι προκεκηρύχθαι, διὰ τοῦ στεναγμοῦ καὶ τοῦ τρόμου. [r]Πᾶς οὖν, φησὶ, ὁ νῦν τὸν [s]κατὰ σοῦ φόνον ἀποτολμήσας, κακῶν σε τῶν κατὰ τὸν παρόντα βίον ἀπαλλάξας, τὴν κατὰ σοῦ παραλύσει τιμωρίαν. Διό φησι·

Καὶ ἔθετο [t]ὁ Κύριος σημεῖον τῷ Κάϊν, τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν.

ΚΑΘΑΓΙΆΖΕΤΑΙ: Ἀφιεροῦται.

ΚΑΘΑΓΊΣΩ: Καύσω, [u]ἀφιερώσω.

ΚΑΘΑΛΆΜΕΝΟΣ: Καταπηδήσας.

Ὁ δὲ καθαλάμενος ἀπὸ τοῦ ἵππου, καὶ τὸ ξίφος ἑλκύσας, παίει αὐτόν.

ΚΆΘΑΜΜΑ ΛΎΕΙΣ: Ἐπὶ τῶν δύσλυτόν τι λύειν ἐπιχειρούντων. Ἀπὸ τῆς ἁμάξης Μίδου. [x]Λόγιον γὰρ τοῖς Φρυξὶν [y]ἐκπεπτώκει, τῆς κομισάσης τὸν Μίδαν ἁμάξης εἴ τις ἐπιλύσειε τὸν δεσμὸν, τοῦτον τῆς Ἀσίας [z]ἄρξειν. Ἀλέξανδρος δὲ ἔλυσε.

ΚΑΘΆΠΑΞ: Παντελῶς, συλλήβδην. Λέγεται καὶ ΚΑΘΆΠΑΝ.

[zz]Καθάπαν γε μὴν αὐτοὺς ἐκπολεμεῖν οὐκ ἔδοξεν.

ΚΑΘΑΠΤΌΣ: Ἐνδεδυμένος. [a]Ἀριστοφάνης Βατράχοις·

Νεβρῶν δοραῖς καθαπτός.

Ὡς ταρακτός. Τὸ δὲ ἑτέρως λεγόμενον δηλοῖ τὸ οἷον καθάπτεσθαι.

ΚΑΘΑΡΊΖΩ: Αἰτιατικῇ.

ΚΑΘΆΡΑΙ:

ΚΆΘΑΡΜΑ:

Οὐ [b]φθείρῃ κάθαρμα, εἶπε, καὶ ἐκποδὼν ἡμῖν ἄπει;

Ἀριστοφάνης φησίν. [c]Ὑπερ δὲ καθαρμοῦ πόλεως ἀνήρουν ἐστολισμένον τινὰ, [d]ὃν ἐκάλουν κάθαρμα.

ΚΑΘΑΡῶΣ: Ἀκριβῶς, σαφῶς.

---

[y] Ὑμεῖς] Evang. Joan. VIII. 44.

[z] Τί δηλοῖ τὸ, Πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτ.] Hæc, et omnia quæ sequuntur, usque ad finem articuli hujus, desunt in edit. Mediolanensi. KUST. Dedit Aldus, et agnoscunt mss. omnes. A. et V. in marg. præfigunt Ἀπορία. Sumpta sunt ex Catena in Genes. IV. 15.

[a] τοιαύτην ἔχει λύσιν om. B.E. A. in marg. habet λύσις.

[b] τοῦ ἁμαρτήματος om. V.

[c] γὰρ τῇ γραφῇ] γὰρ om. V. τῇ γραφῇ om. B.E.

[d] πλήθους] πλῆθος V.

[e] ἐρώτησις καὶ οὐ λ. V. καὶ τὸ οὐ λ. E.

[f] ἑπτάκις] ἑπτὰ B.E.

[g] ἐν τῷ] τῷ om. B.V.E.

[h] λέγοις] λέγεις E.

[i] τοῦ Θεοῦ] τοῦ om. B.V.

[k] πρῶτον om. B.E. Tum ἁμαρτήματα E.

[l] Ἄβελ] τοῦ Ἄβελ B.E. qui om. δεύτερον, et infra τρίτον, τέταρτον, etc.

[m] τῷ ἀδελφῷ] αὐτῷ E.

[n] φόνος] καὶ ὁ φόνος τοῦ ἀδελφοῦ add. E. Mox καταλιπὼν τῷ βίῳ E.V.

[nn] πρώτη] πρῶτον V. et sic in seqq.

[o] μάστιξ] μάστιγξ B.

[p] τῆς γῆς] om. B.

[q] ἀπὸ τῆς γῆς] ἀπὸ σοῦ B.E.V.

[r] Πᾶς] πῶς E.

[s] κατὰ σοῦ] κατ' αὐτοῦ B.E.

[t] ὁ κύριος] ὁ om. B.V.E.

ΚΑΘΑΓΙΣΩ] Vid. not. ad Hesych. Boissonad. ad Eunap. p. 296. Wyttenbach. ad eundem p. 176.

[u] ἀφιερώσω] καθιερώσω A.

ΚΑΘΑΛΑΜΕΝΟΣ] Xen. Hist. Gr. p. 527. καθαλόμενος ἀπὸ τοῦ ἵππου. Leg. καθαλάμενος. TOUP. Exemp. om. M.

ΚΑΘΑΜΜΑ ΛΥΕΙΣ] In prioribus edit. [et B.E.] pessime legitur κάθαρμα; cujus loco κάθαμμα ex 2 mss. Paris. reposui. KUST. Vid. Schol. Eurip. Hipp. 671. unde hæc consarcinavit Suidas. TOUP. Arrian. Exped. II. p. 85. seq. ed. Blanc. δύσκολον M. pro δύσλυτον.

[x] Λόγιον γὰρ τοῖς Φρυξὶν ἐκπεπτ.] Historia nota est ex Q. Curtio, et aliis. KUST.

[y] ἐκπεπτώκει] ἐκπέπτωκε E.

[z] ἄρξειν] ἄρξει E.

[zz] Καθάπαν] Seqq. om. M.

[a] Ἀριστοφάνης Βατράχοις] Ver. 1241. Seqq. om. M.

[b] φθείρῃ] φθείρει V.E. Ceterum Οὐ φθείρῃ—φησὶν om. M. φησὶν om. V.

[c] Ὑπὲρ δὲ καθαρμοῦ] Enarrator Com. ad Plut. 454. Καθάρματα ἐλέγοντο οἱ ἐπὶ καθάρσει λιμοῦ τινος, ἢ τινος ἑτέρας νόσου θυόμενοι τοῖς Θεοῖς. Plura hac de re vide infra v. Φαρμακός. KUST.

[d] ὃν ἐκάλουν κάθαρμα] In prioribus edit. (Mediol. ex-

[e] Εἴ τι ἐν Πέρσαις [f] καθαρὸν ἦν ξυγκαλέσας, ἐς πάντας ἐξήνεγκε περὶ τούτων.

Καθάρσιον: [g] Ἔθος ἦν Ἀθήνησι καθαίρειν τὴν ἐκκλησίαν, καὶ τὰ θέατρα, καὶ ὅλως τὰς τοῦ δήμου συνόδους μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὠνόμαζον καθάρσια. Τοῦτο δὲ ἐποίουν οἱ λεγόμενοι περιστίαρχοι, ὀνομασθέντες οὕτως, ἢ ἀπὸ τοῦ [h] περιστείχειν, ἢ ἀπὸ τῆς ἑστίας.

Καθαρσιώτερα: Λαμπρότερα.

Καθαρσιώτερα ταῦθ' [i] ὑπάρχει καὶ πολυτελέστερα.

Κάθαρσις γυναικῶν μαινουσῶν: [k] Ζήτει ἐν τῷ Βάκις.

Καθ' αὑτοῦ Βελλεροφόντης: Ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπιφερόντων.

Καθ' αὑτό: Δι' αὑτό. Καὶ ἡ μὲν πρώτη ἀντίθεσις λαμβάνεται αὐτῷ ἐκ τῶν ποιητικῶν αἰτίων, [l] ἡ δὲ δευτέρα ἐκ τῶν τελικῶν· [m] οἷον, καθ' αὑτὸ μὲν ἔχομεν τὸ ὁρᾷν· τὸν δὲ πλοῦτον οὐ καθ' αὑτὸ, ἀλλὰ δι' ἄλλο. [n] Ὁμοίως καὶ ἐπὶ τῆς ἄλλης ἀντιθέσεως. Τὴν γὰρ ἀρετὴν δι' αὑτὸ ἐπιτηδεύομεν, καὶ οὐκ ἄλλου τινὸς ἕνεκα. Κἂν γὰρ μὴ ᾖ ἀμοιβὴ, αὐτὴ καθ' ἑαυτὴν ἐπιτηδευτέα ἐστί. Τὴν μέντοι ἰσχὺν οὐ δι' αὑτὴν ἔχομεν, ἀλλ' ἑτέρου ἕνεκα. Εἴ τι μὲν οὖν δι' αὑτὸ, τοῦτο πάντως καὶ καθ' ἑαυτό. [o] Οὐκ εἴ τι δὲ καθ' αὑτὸ, τοῦτο πάντως καὶ δι' [p] αὑτό. Οἷον, δι' αὑτὸ τῇ ψυχῇ ἡ ἀρετὴ, καὶ ἔστι καθ' αὑτό. Τὸ γὰρ ποιητικὸν αἴτιον τῆς ἀρετῆς ἐν αὐτῇ ἐστι τῇ ψυχῇ. Οὐ δεῖται γὰρ ἑτέρου ἔξωθεν εἰς κατόρθωσιν τῆς ἀρετῆς. Ὁμοίως καὶ τῷ σώματι δι' αὑτό ἐστιν ἡ ὑγεία ἀγαθόν. Διὸ καὶ καθ' αὑτό. Οὐ μὴν καὶ καθ' αὑτὸ πάντως, καὶ δι' αὑτό. [q] Καθ' αὑτὸ μὲν γὰρ τῇ ψυχῇ τὸ ὁρᾷν, οὐ μὴν δι' αὑτὸ, ἀλλὰ δι' ἀρετὴν, ἢ διὰ τὸ σώζεσθαι. [r] Ὁμοίως δὲ καὶ εἴ τι μὲν δι' ἄλλο, τοῦτο πάντως καὶ ἑτέρου ἕνεκεν. Οὐκ ἔμπαλιν δέ. Ὁ γὰρ πλοῦτος [s] διὰ τὴν ἐμπορίαν μὲν, ἢ διά τι τοιοῦτον, καὶ ἑτέρου δὲ ἕνεκέν ἐστι. Τῆς ἀρετῆς γὰρ πολλάκις χάριν. Τὸ μέντοι ὁρᾷν, ἢ τὸ ὑγιαίνειν, ἑτέρου μὲν ἕνεκεν, οὐκέτι δὲ δι' ἄλλο, [t] ἀλλὰ καθ' αὑτό. Ἀντίκειται μὲν οὖν τῷ μὲν καθ' αὑτὸ τὸ δι' ἄλλο· τῷ δὲ δι' αὑτὸ, τὸ ἑτέρου ἕνεκεν. Ἐνδέχεται μέντοι τὸ καθ' αὑτὸ δι' ἄλλο εἶναι κατὰ συμβεβηκός. Τὸ γὰρ ὑγιαίνειν καθ' [u] ἑαυτὸ μὲν ὑπάρχει τῷ σώματι, γένοιτο δὲ δι' ἄλλο καὶ κατὰ συμβεβηκός· οἷον, διὰ τὸν ἰατρὸν, τὸν ὑφελόμενον τοῦ σώματος τὸ [x] λυμαῖνον. Ὁ μὲν γὰρ τὰ βλάπτοντα κωλύει· ἡ δὲ φύσις τοῦ ὀχλοῦντος ἀπαλλαγεῖσα τὴν κατὰ φύσιν ὑγείαν ἐργάζεται. Καὶ ἡ ἀρετὴ, αἱρετὸν οὖσα δι' αὑτὸ, γένοιτ' ἂν κατὰ συμβεβηκὸς τῆς εὐκλείας [y] ἕνεκεν. Καὶ εἴποι ἄν τις διὰ τὴν εὔκλειαν τὴν ἀρετὴν εἶναι, ἀλλ' οὐ καθ' αὑτό· κατὰ συμβεβηκός δέ. Ὁμοίως καὶ τὴν [z] ὑγείαν, δι' αὑτὴν οὖσαν τῷ σώματι αἱρετὸν, εἴποι ἄν τις ἑτέρου ἕνεκεν κατὰ συμβεβηκὸς εἶναι, τοῦ πράττειν τάδε, ἢ τάδε.

Καθαιρήσετε: Καθελεῖτε. Καὶ [a] Θουκυδίδης, καὶ τῶν ἄλλων οἱ πλείους.

cepta) [et A.B.V.E.] post vocem κάθαρμα hæc addita sunt: Κᾆτ' ἀνελκύσας ἐρωτᾷ σκανδάληθρ' ἱστὰς ἐπῶν. Διχῶς ἀναγινώσκεται· ὑφ' ἕν· καὶ πάλιν ἀπόστροφος ἐν τῷ ρ', ἵνα ᾖ, σκανδάληθρ' ἱστὰς ἐπῶν. Οἱ δὲ ὑφ' ἓν ἀναγινώσκοντες ἐξηγοῦνται οὕτως. [σκανδάληθρ' ἱστὰς addit E.] ἡ μὲν λέξις πεποίηται παρὰ τὰ πέταυρα τῶν παγίδων, ἀπὸ τοῦ σκάζοντα συμπίπτειν καὶ κρατεῖν τὸ ἐμπεσόν. Ὁ δὲ νοῦς· ἀνελκύσας ἐπὶ τοῦ βήματος, συνηγόρους ἑαυτῷ καὶ θηρευτὰς λόγων ἐρωτᾷ ἡμᾶς [οὕτω γὰρ τὸ ὑπερβατόν. Εἶτ' ἀνελκύσας σκανδάληθρ' ἱστὰς, ἐρωτᾷ ἡμᾶς addunt A.B.V.E.] σκανδάληθρα δὲ λέγονται τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξυλάρια, [ξύλα E.] εἰς ἃ ἐρείδει, ἅπερ [ὥσπερ B.E.] Ἀρχίλοχος λέγει [v. om. A.B.V.E.] ῥόπτρον· ἐνταῦθα οὖν λέγει ἐρείσματα λόγων καὶ βάρη. Sed hæc omnia cum absque ullo judicio ex Scholiasta Aristoph. ad Acharn. 687. huc translata sint, nec, sive sensum verborum, sive seriem literarum spectes, locum hic habere possint, in textum recipienda non putavi: præsertim cum et ab editione Mediolanensi ea abesse cernerem. KUST.

[e] Εἴ τι ἐν Πέρσαις καθαρὸν ἦν ξυγκαλ. ἐς πάντας ἐξήνεγκε περὶ τούτων] Hæc sunt verba Procopii de Bell. Pers. lib. II. c. 3. p. 94. KUST. Desunt M.

[f] καθαρὸν] Dexippus p. 4. 50. Theocrit. καθαρῷ ἀργυρίῳ. Procop. Goth. p. 187. Hinc emend. in Arc. Hist. p. 11. ubi male Alemannus. Legend. γεγενημένοι Χοσρόῃ, καὶ εἴ τι καθαρόν. Sic p. 45. εἴ τι δόκιμον. Appian. p. 826. Herodot. p. 264. Philo II. p. 537. τὸ καθαρώτατον τοῦ δήμου. Tacitus Annal. I. p. 60. *Si quid castrorum maxime* SINCERUM. TOUP.

ΚΑΘΑΡΣΙΟΝ: Ἔθος ἦν Ἀθήνησιν καθ.] Hæc, et quæ sequuntur, leguntur etiam apud Harpocrationem, ex quo Suidas. KUST. Vid. Hemsterhus. ad Lucian. D. M. I. 1.

[g] Ἔθος ἦν Ἀθήνησι καθαίρειν τὴν ἐκκλ.] Insignis est hanc in rem locus apud Schol. Aristoph. ad Acharn. 44. quem hic describere non gravabor. Εἰώθασιν οἱ Ἀθηναῖοι σφάζειν δέλφακα, καὶ ῥαίνειν τὰς καθέδρας τῷ αἵματι αὐτοῦ εἰς τιμὴν τῆς Δήμητρος, ἐπειδὴ τοὺς καρποὺς αὐτῆς βλάπτει. Ἄλλως. Ὅτι καθαίρονται ἐν τῇ ἐκκλησίᾳ χοίρου σφαζομένου. Καὶ ὁ Ῥήτωρ φησίν· Ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ, καὶ ὁ κήρυξ τὰς πατρίους εὔξηται, τότε δὴ κελεύει δημηγορεῖν. Τὸ δὲ θυόμενον χοιρίδιον ἐπὶ καθάρσει τῶν τόπων κάθαρμα ἐκαλεῖτο. Ὁ δὲ περικαθαίρων, καθαρτής. Αἰσχίνης δὲ ἐν τῷ κατὰ Τιμάρχου καθάρσιον καλεῖ. Jul. Pollux: Ἐκάθαιρον χοιριδίοις μικροῖς οἱ ἑστίαρχοι τὴν ἐκκλησίαν, καὶ τὸ θέατρον. Καθάρσιον δὲ τοῦτο καὶ χοιρίδιον ἐκαλεῖτο. Vide etiam Hesych. v. Κάθαρμα, et infra v. Περιστίαρχος. KUST.

[h] περιστείχειν] περιστίχειν A.V.M. περιστιχεῖν Photii ms.

ΚΑΘΑΡΣΙΩΤΕΡΑ] Seqq. om. M. Desumpta esse ex Polyb. XI. 9, 5. monuit Schweighæuser.

[i] ὑπάρχει] ὑπάρχειν B.V.E. ὑπάρχῃ Polyb. Deest exemp. M.

[k] Ζήτει ἐν τῷ Βάκις] Accesserunt hæc ex A.B.V.E. qui statim omittunt Θεόπομπος ἐν τῇ θ' τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος. In M. μανειστῶν pro μαινουσῶν.

ΚΑΘ' ΑΥΤΟΥ ΒΕΛΛΕΡΟΦΟΝΤΗΣ] Historia de Bellerophonte, quæ proverbio huic locum dedit, nota est ex Homero, quem vide Il. ζ'. KUST. Vid. Diogenian. V. 45. Append. Vat. II. 29.

ΚΑΘ' ΑΥΤΟ: Δι' αὑτό. Καὶ ἡ μὲν πρ.] Hunc articulum, ni fallor, ex Alexandro Aphrodis. in Topic. descripsit Suidas. KUST. καθ' αὑτὸ ✕ δι' αὑτὸ / ἑτέρου ἕνεκεν ✕ δι' ἄλλο. Sic A. Καθ' αὑτὸ δι' αὑτὸ . . . ἑτέρου ἕνεκεν δι' ἄλλο V.

[l] Ἡ δὲ] δὲ om. A.

[m] Οἷον, καθ' αὑτὸ μὲν ἔχομ.] Hæc, et quæ sequuntur usque ad finem articuli, desunt in edit. Mediolanensi. KUST. οἷον καθ' . . . ἑτέρου ἕνεκεν. δι' ἄλλο. αὐτὸ μὲν E. et ni fallor B.

[n] Ὁμοίως] ὁμοίως δὲ B.

[o] Οὐκ εἰ—δι' αὑτὸ om. V.

[p] αὑτὸ] ἑαυτὸ om. A.B. Mox πάντως om. E.

[q] καθ' αὑτὸ] καὶ καθ' αὑτὸ B.

[r] ὁμοίως] ὁμοίως δὲ A.B.V.E.

[s] διὰ om. E.

[t] ἀλλὰ—ἄλλο om. E.

[u] ἑαυτὸ] αὐτὸ V.E.

[x] λυμαῖνον] λυμᾶνον V.

[y] ἕνεκεν] ἕνεκα E.

[z] ὑγείαν om. A. Supplevit Portus. Mox διὰ τὴν οὖσαν V.

ΚΑΘΑΙΡΗΣΕΤΑΙ: Καθελεῖται.] Legere malim, καθαιρήσετε, καθελεῖτε, in activo. Cum enim τὸ αι et ε eodem

Καθαιρήσονται: Καταλήψονται.

Καθαίρω: Αἰτιατικῇ.

Καθεδεῖσθαι: Καὶ Καθεδοῦνται, [b]καθεσθήσονται.

Καθέδρα: Ἡ ἐπίσχεσις [c]παρὰ Θουκυδίδῃ.

Καθεκάστην: Καθέκαστα δὲ, ἐπίρρημα.

Καθελών: [d]Δημοσθένης ἀντὶ τοῦ ἀνελὼν, ἤτοι ἀποκτείνας. Καὶ Στησίχορος δὲ καὶ Σοφοκλῆς [e]οὕτως ἐχρήσαντο τῷ ὀνόματι.

Καθελῶ σε: Αἰτιατικῇ.

Καθέντες: Καταγαγόντες.

Καθέξει: Κρατήσει.

Κάθες: Χάλασον.

Καθεστάναι:

Καθεσταμένος: Ἐπιτετραμμένος.

*Καθεσταμένος ἐπὶ τῆς γάζης.*

Τεταγμένος. [ee]Καὶ αὖθις·

*Καὶ φυλάσσειν μὲν τῶν καθεσταμένων οὐδὲν ἠξίου.*

Τουτέστι, τῶν ἤδη τελεσθέντων.

Καθεστηκός:

*[f]Τὸ πᾶν δὲ θύελλα ἐγεγόνει, ὥστε τὸ καθεστηκὸς νυκτὸς διαφέρειν οὐδέν.*

Καθεστώς:

Καθεστῶτα: Ἠρεμοῦντα.

*[g]Ἤρξαντο τὰ καθεστῶτα κινεῖν.*

Καθεστῶτι: Ἡσύχῳ, ἀταράχῳ.

*[h]Ἐπηρμένω δὲ ἤστην ἄμφω ταῖς ἐλπίσι, καὶ οἴω οὐκέτι ἐν τῷ [i]καθεστῶτι βιοτεύειν τρόπῳ.*

Καθεστώτων νόμων: Τῶν ὡρισμένων.

A *[k]Ἥδονται γὰρ τῇ τῶν καθεστώτων κινήσει.*

[l]Φυλαττομένων.

Κάθετος: Ὁ καθειμένος εἰς τὸ πέλαγος [m]ἀμνός. οὕτω Λυσίας καὶ Μελίτων.

Καθεικέναι: Καὶ Καθεικώς, πέμψας.

Καθεῖλον: Κατέβαλον.

Καθειμένην: Κεχαλασμένην.

Καθεῖναι: Ἐπὶ τὸ κάτω ἀπολῦσαι.

B *[n]Ἀντισθένην φασὶ πρῶτον πώγωνα [o]καθεῖναι, καὶ βάκτρῳ καὶ πήρᾳ χρήσασθαι.*

Καθεῖντο: Ἐκρέμαντο.

Καθ᾽ εἱρμόν: [[p]Κατὰ ἡρμοσμένην ἀκολουθίαν.]

Καθείς: Ἐμβαλὼν, [q]χαλάσας.

*[r]Καθείς τε τὴν χεῖρα ἐς τὴν πήραν ἀναιρεῖται τὴν ἐπιστολήν.*

Καθεῖσαι τὰς κόμας [s]ἐθεοκλύτουν: Ἀντὶ τοῦ, καταβαλοῦσαι, ἐξαπλώσασαι.

C *[ss]Καθεῖσαι τὰς κόμας τὰς παλαιὰς ἐκείνας ἐκάλουν ἥλιόν τε καὶ δίκην.*

Καθεῖτο: [t]Ἰώσηπος·

*Ἔνθα καθεῖτό τις ὁπλιτικὴ μοῖρα φρουροῦσα τὴν ἐμβολήν.*

Καθηγοῦμαι: Δοτικῇ.

*Καθηγοῦμαι ταύταις εἰς τὸν λιμένα.*

Καθηδυπαθῶ: Γενικῇ.

*[u]Καθηδυπαθῶν τοῦ βίου.*

D Αἰτιατικῇ δέ·

*[v]Τὸν τῆς ἐξουσίας καιρὸν καθηδυπαθοῦντα ἱκανῶς.*

Κάθηι: [x]Καθέζῃ.

Καθήγνισμαι: Κεκάθαρμαι.

Καθῆκαν: Προεβάλοντο.

sono pronuntiarentur, sæpe contigit, ut librarii alterum pro altero in veterum libris scriberent. KUST. Et sic A.B.V.E. cum Photio. *οὐ καθελεῖτε* Photius.

[a] *Θουκυδίδης*] Lib. III. c. 13. *Καὶ Ἀθηναίους ῥᾷον καθαιρήσετε, ὑφαιροῦντες αὐτῶν τοὺς ξυμμάχους.* KUST. Seqq. om. M.

[b] *καθεσθήσονται*] Sic recte habent mss. Paris. et Lexicum Photii ineditum. In prioribus vero edit. male excusum est *καθεστήσονται.* KUST. voc. om. M.

[c] *παρὰ Θουκυδίδῃ*] Lib. II. c. 18. KUST.

[d] *Δημοσθένης ἀντὶ τοῦ ἀνελ.*] Locum Demosthenis attulimus supra v. *Ἡ ἐν ὁδῷ καθελὼν*, ubi vide quæ notavimus. KUST. c. Aristocr. p. 637, 3.

[e] *καὶ ἕτεροι οὕτως*] *καὶ ἕτεροι* om. A.B.V.E. Omnia post *Σοφοκλῆς* desunt Photio. Glossam plenius habet Harpocratio. *καὶ Στησ. καὶ Σοφ.* om. M.

ΚΑΘΕΣ] *κάθε* B.V.

[ee] *καὶ αὖθις*] Seqq. om. M.

[f] *Τὸ πᾶν δὲ θύελλα ἐγεγόνει, ὥστε τὸ καθ.*] Idem fragmentum legitur supra v. *Θύελλα.* KUST. Vid. *Στρόβιλος.* TOUP. Illud *τὸ πᾶν δὲ θύελλα ἐγεγόνει* aliter legitur in *Θύελλα* et *Στρόβιλος.* Forte locus est diversus. HEMST. *θύελλα δὲ* V. *δὲ* om. A.

ΚΑΘΕΣΤΩΣ] Hesych. *καθεστὸς, παραστὸς, αὐτόθεν ὑπάρχων*, i. e. *τεταγμένος*, *tranquillus, compositus.* REINES.

[g] *Ἤρξαντο*] Hæc sunt verba Polybii lib. II. [c. 21.] p. 152. Ita loquitur Procopius in Persicis lib. I. *Διὸ δὴ οὔτε* (leg. *οὐδὲ*) *νόμον τινὰ εὐπετῶς ἔγραφεν, οὐδὲ* ΤΙ ΤΩΝ ΚΑΘΕΣΤΩΤΩΝ ΚΙΝΕΙΝ *ἤθελεν.* TOUP. Deest ex. M.

[h] *Ἐπηρμένω δὲ ἤστην ἄμφω ταῖς ἐλπ.*] Hæc sunt verba Agathiæ lib. I. p. 19. KUST. Deest ex. M.

[i] *καθεστηκότι*] *καθεστῶτι* B.V.E. Tum *βιωτεύειν* A.

[k] *Ἥδονται γὰρ τῇ τῶν καθεστ.*] Agathias lib. I. p. 16. KUST. Desunt seqq. M.

[l] *Φυλαττομένων*] Hæc vox non est pars fragmenti præcedentis, ut Portus putavit, sed interpretatio Suidæ, qua vocem *καθεστώτων* exponit. KUST.

ΚΑΘΕΤΟΣ: *Ὁ καθειμένος εἰς τὸ πέλαγος ἀμν.*] Ex Harpocratione: ad quem vide Valesium. Huc spectant ea,

E quæ habet Photius in Lexico inedito: *Κάθετον, ἐστὶ γραμμή τις παρὰ τοῖς γεωμέτραις. Σημαίνει δὲ καὶ βοῦν τινα καθιέμενον εἰς τὴν θάλασσαν ἐπὶ θυσίᾳ τῷ Ποσειδῶνι.* KUST.

[m] *ἀμνὸς*] Leg. *στάμνος*, i. e. *urna, hydria.* *Καθ.* est *βολίς.* Isid. XIX. 4. Catapirates, linea s. funiculus cum massa plumbea, quo maris altitudo tentatur. REINES.

[n] *Ἀντισθένην φασὶ πρῶτον πώγωνα καθεῖναι, καὶ βάκτρῳ καὶ π. χρ.*] Male hic Suidas ad Antisthenem ea refert, quæ apud Laërtium lib. VI. 13. non de Antisthene, sed Diodoro Aspendio dicuntur, ut bene observavit Pearsonius.

F KUST. Deest ex. M.

[o] *καθεῖναι*] Vid. Thom. Magist. v. *Καθ.* Aristoph. Eccl 100. TOUP.

[p] *κατὰ ἡρμοσμένην ἀκ.*] Desunt hæc A.B.V.E.

[q] *χαλάσας—ἐπιστολὴν* om. E. *καθεὶς—ἐπιστολὴν* om. B.M. Iidem in sequente articulo om. usque ad *ἐξαπλώσασαι.*

[r] *Καθείς τε τὴν χεῖρα εἰς τὴν π.*] Idem fragmentum legitur supra v. *Ἀναιρεθείς.* KUST. Ex Eunapio, opinor. Vid. Suid. v. *Στέατα.* TOUP.

G [s] *ἐθεοκλύτουν*] *ἐθελοκλήτουν* V. qui mox *ἐξαπλώσασθαι.*

[ss] *καθεῖσαι*] Pleniora leguntur in *Ἰσηλίκων*, ubi et *παλαιὰς* retinetur. An *πολιάς*? HEMST. *τ. κ. τ. π. ἐ. ἐκάλουν* (l. *ἐθεοκλύτουν*) *ἥλιόν τε καὶ δίκην* sunt verba seqq. illa quæ leguntur voc. *Ἰσηλίκων.* Videntur Æliani verba. VALCK.

[t] *Ἰώσηπος*] De Bello Jud. lib. VI. p. 908. sed ubi pro *καθεῖτο* hodie legitur *καθῆστο*, ut vir quidam doctus ad marginem codicis Pearsoniani recte notaverat. KUST. V. 2, 3. Mox *τις* om. B.E. qui infra *φοροῦσα.*

ΚΑΘΗΔΥΠΑΘΩΝ] *Καθηδυπαθῶ* A.B.V.E. qui in ex-

H emplo *καθηδυπαθεῖν.*

[u] *Καθηδυπαθῶν*] Ex Basilio Hom. ad Div. p. 60 C. notante Hemsterhus. ad Lucian. T. I. p. 389. Alciphron p. 80. TOUP.

[v] *Τὸν τῆς ἐξουσίας*] Synesius de Regno p. 6. *καθηδυπαθεῖ τὴν ἐξουσίαν.* et p. 105. TOUP.

[x] *Καθέζῃ*] *καθῆσαι* addit E.

Οἱ δὲ ἐπ' ἐξαπάτῃ Ῥωμαίων καθῆκαν τὸν λόγον.

**Καθῆκαν**: [y]Ἐχάλασαν.

**Καθῆκόν** φασι πρῶτον ὠνομακέναι τὸν Ζήνωνα τὸν Κιτιέα, καὶ λόγον περὶ αὐτοῦ πεποιηκέναι.

**Καθῆκον**: Ὅτι καθῆκόν φασιν εἶναι, ὃ [z]προαχθὲν εὔλογόν τε ἴσχει ἀπολογισμόν· οἷον, τὸ ἀκόλουθον ἐν ζωῇ· ὅπερ καὶ ἐπὶ τὰ φυτὰ καὶ ζῶα διατείνει· ὁρᾶσθαι γὰρ κἀπὶ τούτων καθήκοντα. [a]Κατά τινας εἴκειν τῆς [b]προσονομασίας εἰλημμένης. Ἐνέργημα δ' [c]αὐτὸ εἶναι ταῖς κατὰ φύσιν κατασκευαῖς οἰκεῖον. Τῶν γὰρ καθ' ὁρμὴν ἐνεργουμένων τὰ μὲν καθήκοντα εἶναι, τὰ δὲ παρὰ τὸ καθῆκον. Καθήκοντα [d]μὲν οὖν εἶναι, ὅσα [e]λόγῳ πρέπει ποιεῖν· ὡς ἔχει γονεῖς τιμᾶν, ἀδελφοὺς, πατρίδα, συμπεριφέρεσθαι φίλοις· παρὰ τὸ καθῆκον, ὅσα μὴ αἱρεῖ λόγος, ὡς ἔχει τὰ τοιαῦτα· γονέων ἀμελεῖν, [f]ἀδελφῶν ἀφροντιστεῖν, φίλοις μὴ συνδιατίθεσθαι, πατρίδος ὑπερορᾶν, καὶ τὰ παραπλήσια. Οὔτε καθήκοντα, οὔτε παρὰ τὸ καθῆκον, ὅσα [g]οὔτε αἱρεῖ [h]λόγος πράττειν, οὔτε ἀπαγορεύει· οἷον, κάρφος ἀνελέσθαι, [i]γραφεῖον κρατεῖν, [k]στλεγγίδα, καὶ τὰ ὅμοια τούτοις. Καὶ τὰ μὲν εἶναι καθήκοντα ἄνευ περιστάσεως, ὡς τάδε· [l]ἁγνείας ἐπιμελεῖσθαι, καὶ αἰσθητηρίων, καὶ τὰ ὅμοια· κατὰ περίστασιν δὲ, τὸ πηροῦν ἑαυτὸν, καὶ τὴν κτῆσιν διαρριπτεῖν. Ἀνάλογον δὲ [m]καὶ τῶν παρὰ τὸ καθῆκον. [[n]Πολύβιος·

Τολμῶσι πέρα τοῦ δέοντος, καὶ ποιοῦσι παρὰ τὸ καθῆκον.]

Ἔτι τῶν καθηκόντων τὰ μὲν ἀεὶ καθήκει· τὰ δὲ, οὐκ ἀεί. Καὶ ἀεὶ μὲν καθήκει τὸ ἐρωτᾶν, καὶ πυνθάνεσθαι, [p]καὶ περιπατεῖν, καὶ τὰ ὅμοια. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν παρὰ τὸ καθῆκον. Ἔστι δὲ καὶ ἐν τοῖς μέσοις τι καθῆκον, ὡς τὸ πείθεσθαι τοὺς παῖδας τοῖς παιδαγωγοῖς.



A **Καθήκοντα**: Δημοσθένης ἐν [q]ἑνδεκάτῳ Φιλιππικῶν φησιν·

Ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἐφ' ἑαυτὸν ποιεῖν.

Ἀντὶ τοῦ [r]τὰ ἥκοντα.

**Καθηκόντως**: Δεόντως, πρεπόντως.

**Καθηκούσαις**: [s]Διεκτρεχούσαις. Ξενοφῶν·

Ἐν πέτραις καθηκούσαις ἐπ' αὐτὸν τὸν τόπον.

**Καθήκω**: Γενικῇ.

B **Καθημαξευμένος**: Τετριμμένος, ἐγγεγυμνασμένος. Αἰλιανός·

Γύναιον ἐκ Συρίας [t]καθημαξευμένον ὑπὸ παντὸς τοῦ προσιόντος. Ἑταίρα γὰρ ἦν ἐμφανὴς, καὶ τῶν ἐν τοῖς μίμοις δι' ἀκολασίαν περιπαθεστέρα, τοῖς τε φαινομένοις ἐς τὴν κοινὴν ὄψιν σχήμασιν ἐκκαλουμένη τοὺς ὁρῶντας ἐς τὰ πάθη τοῦ σώματος, καὶ [x]κατατείνουσα τὸν δῆμον, καὶ ὅσον μετὰ τοῦ δήμου, πρὸς [y]συώδη τινὰ καὶ μανικὴν ἀσέλγειαν.

C **Κάθημαι**:

**Καθήμενον πεδίον**: Τὸ ὁμαλόν.

[z]Οἱ δὲ Ῥωμαῖοι ἐς καθήμενον πεδίον ἐστρατοπεδεύοντο.

**Καθ' ἡμέραν**:

**Καθῄρει**: Τοῦ ἀξιώματος κατέσπα.

[a]Ὁ δὲ Τραϊανὸς οὔτε ἐφθόνει, οὔτε καθῄρει τινὰ, ἀλλὰ πάνυ πάντας τοὺς ἀγαθοὺς ἐτίμα. Διὰ τοῦτο οὔτε ἐφοβεῖτό τινα, οὔτε ἐμίσει.

D **Καθῄρηντο τὰς γνώμας**: Ἀντὶ τοῦ, εἰς δειλίαν ἐνέπιπτον.

[b]Οἱ δὲ πλέονες καθῄρηντο τὰς γνώμας ἐπὶ τοσοῦτον, ὥστε τῆς πίστεως τῆς πρὸς [d]βασιλέας ὑπὸ τοῦ περιδεοῦς ἀφίσταντο.

**Καθῆσθαι**: Καὶ [e]**Καθῆστο**: Ἐκαθέζετο.

**Καθιγμένος**: [f]Θέλων, φθάσας.

Ὁ δὲ βασιλεὺς, καθιγμένος καὶ ταύτης τῆς [g]ἐπιβολῆς, [h]ἐγένετο πρὸς ἀναζυγήν. E

---

[y] ἐχάλασαν] κατέβαλον Photius. Utrumque jungit Hesychius. Vid. Lucæ Ev. V. 19. Act. Apost. IX. 25.

ΚΑΘΗΚΟΝ φασὶ πρῶτον ὠνομ.] Hæc, et quæ sequuntur, sunt verba Laërtii lib. VII. 25. et 107. et seqq. KUST.

[z] προαχθέν] Vocabuli hujus frequens quidem apud Stoicos usus est; sed cum significatio ejus sensui loci hujus non conveniat, levissima mutatione scribendum puto πραχθέν. KUST. Sic Menagius ad Laërt. προσαχθὲν M. ubi mox om. ὁρᾶσθαι—ἀπαγορεύει.

[a] Κατά τινας εἴκειν τῆς προσον.] Locus hic ex Laërtio sic emendandus et supplendus est: Κατωνομάσθαι δὲ οὕτως ὑπὸ Ζήνωνος τὸ καθῆκον ἀπὸ τοῦ κατά τινας ἥκειν &c. KUST.

[b] προσονομασίας] προσονομίας B.E.

[c] αὐτὸ] αὐτὸ εἶναι A.B.V.E.

[d] μὲν εἶναι] μὲν οὖν εἶναι A.B.V.E.

[e] λόγῳ πρέπει] λόγος αἱρεῖ Laërt. qui mox παρὰ τὸ καθῆκον δέ.

[f] ἀδελφῶν] συγγενῶν Laërt.

[g] οὔτε] οὔτε δὲ Laërt.

[h] λόγος—ἀπαγορεύει] λόγῳ—ἀπαγορεύειν V.

[i] γραφεῖον] ζήτει γραφεῖ B. γραφεῖ V.E. γραφῇ M.

[k] στλεγγίδα] στελεγγίδα V.

[l] ἁγνείας ἐπιμελ.] Apud Laërtium recte scriptum est ὑγιείας. KUST.

[m] καὶ τὸ] καὶ τῶν A.B.V.E. Laërt.

[n] Πολύβιος. Τολμῶσι πέρα τοῦ δέοντος, καὶ ποιοῦσι παρὰ καθῆκον] Hæc verba uncis inclusi, quoniam alieno loco posita sunt et sensum seriemque orationis interrumpunt. KUST.

[o] Καὶ ἀεὶ μὲν καθήκει τὸ ἐρωτᾷν] Locus hic mutilus est, qui ex Laërtio sic suppleri debet: Καὶ ἀεὶ μὲν καθήκει τὸ κατ' ἀρετὴν ζῆν· οὐκ ἀεὶ δὲ, τὸ ἐρωτᾷν &c. KUST.

[p] καὶ περιπατεῖν ex A.B.V.E. addita. ἀποκρίνεσθαι Laërt. pro πυνθάνεσθαι.

ΚΑΘΗΚΟΝΤΑ: Δημοσθένης ἐν ἑνδ.] Ex Harpocratione. KUST.

[q] ἑνδεκάτῳ Φιλ.] P. 141, 11.

[r] τὰ ἥκοντα] τὰ om. A.V.E. sed agnoscit Photius.

[s] Διεκτροχούσαις] διεκτρεχούσαις B.V.E. Xenophontis locus est Anab. IV. 3, 11. ubi ποταμὸν non τόπον.

F ΚΑΘΗΜΑΞΕΥΜΕΝΟΣ] Eunapius de Leg. p. 267. καθημάξευσε ταῖς συμφοραῖς. TOUP.

[t] καθημαξευμένον] καὶ καθ. A.

[x] κατατείνουσα] κατακτείνουσα B.E. κατακινοῦσα conj. Valckenærius.

[y] συώδη] ὑώδη V.

[z] Οἱ δὲ Ῥωμαῖοι] Ex Theophyl. Simocatt. V. 10. desumptum monuit Abresch. Diluc. Thucyd. Auct. p. 338.

[a] Ὁ δὲ Τραϊανὸς οὔτε ἐφθόνει, οὔτε καθ.] Hæc leguntur apud Xiphilinum in Epit. Dion. p. 340. ut Pearsonius G observavit. KUST. Dio Cass. LXVIII. 6.

[b] Οἱ δὲ πλείονες καθῄρηντο τὰς γν.] Fragmentum hoc Polybio assignat Casaubonus. KUST. πλέονες A.V.E.

[d] βασιλέας] βασιλέα E. et sic conj. Schweighæuserus ad Polybii fr. gr. 79.

[e] Καθῆστο] Il. α'. 569.

[f] Θέλων] Puto scribendum esse, κατελθών. Hesychius: Καθιγμένον, κατελθόντα, καταντήσαντα, φθάσαντα. KUST. Scribendum, ἐλθὼν, φθάσας. Quod vel ex Hesychio patet. H TOUP. καθελὼν V. Photius. Lex. Seg. ἐλθὼν dederat H. Steph. in ind. Thesauri.

[g] ἐπιβολῆς] Sic habent mss. Paris. In prioribus vero edit. [et B.E.] minus recte excusum est ἐπιβουλῆς. KUST. Polyb. fr. gr. 80.

[h] ἐγένετο] ἐγίνετο A.V.

Καθιγνίσαι: Νεκροῖς θῦσαι.

Κάθιδρως: Κεκμηκώς.

Καθίδρυσαν: Ἀσφαλῶς κατῴκισαν.

Καὶ θύσαντες καθίδρυσαν τὰς πόλεις. Τραϊαναὶ μὲν δὴ [i]ἐπώνυμον ἑκατέρᾳ ἦν.

Καθιδρυνθέντες:

Καθιδρύσασθαι: Βεβαιῶσαι.

[k]Ἐκπέμπει γοῦν τοὺς περὶ συμβιβάσεως λόγους δυνατοὺς καθιδρύσασθαι κεχειροτονηκὼς πρεσβευτάς.

Καθιεροῖ: Θεῷ ἀνατίθησι.

Καθίεσαν: Κατῆλθον.

Καθιζάνει: Ἐγκάθηται.

Καθίζεσθε: [l]Καταπήξατε.

Καθίει: Ἐνέβαλεν, ἐπεχείρει λέγειν.

Ὁ δὲ καθίει πεῖραν εἰς τὸν ἄνδρα, οἰόμενος αὐτὸν ἕξειν κοινωνὸν ὧν ὥρμηται.

Καθίει: [m]Ἀντὶ τοῦ κατάφερε, [n]ἢ ἐπίθες τῷ τρυβλίῳ. Ἀντὶ τοῦ, χάλα αὐτά.

Καθιείς: Ἀντὶ τοῦ καταβαλὼν, ἐναρξάμενος.

[o]Ὁ δὲ πεῖραν καθιεὶς, καὶ ἐπιβουλεύων ἐλέγξαι πανταχόθεν, τὰ τοῦ λέβητος καὶ τῆς χελώνης καὶ τοῦ ἀρνοῦ [p]ἐν Λυδοῖς ἐπαλαμᾶτο.

Καθιείς: [q]Ἐπιπέμπων.

[r]Ὁ δὲ ψευδεῖς ἀγγελίας διὰ τῶν προσκόπων ἀεὶ καθιεὶς, [s]εἴθιζεν αὐτοὺς ἐν κόσμῳ πορεύεσθαι.

Καθίζω: [t]Αἰτιατικῇ.

Καθίκετο: Καθήψατο.

Καθικνεῖται: Γενικῇ. Ἅπτεται.

Ὁ δὲ μίαν τῶν σχιζῶν ἀνελόμενος, [tt]καθικνεῖται τἀδελφοῦ· καὶ ὁ μὲν νεκρὸς ἔκειτο.

Καθικόμενοι: [u]Καθαψάμενοι. [x]Πολύβιος·

Πάντες μὲν γὰρ οἱ βασιλεῖς καὶ φίλους προσαγορεύουσι καὶ



A συμμάχους κοινωνήσαντας τῶν αὐτῶν ἐλπίδων· καθικόμενοι δὲ τῶν πράξεων παραπόδας οὐ συμμαχικῶς ἀλλὰ δεσποτικῶς χρῶνται τοῖς πιστεύσασι.

Καθίκωμαι: Αὐθυπότακτον.

Καθιλαρύνω: Δοτικῇ.

Καθιλατρεύομαι: Γενικῇ.

Καθίμησε: Κατήντλησε.

Καθιμῶσι: Χαλῶσι. Καὶ Καθιμῆσαι, χαλά-
B σαι σχοινίον, ἤ τι τοιοῦτον.

Καθιππάζεσθαι: Συνελαύνειν, ἐρίζειν, συντρέχειν.

[z]Ὁ δὲ Βίων ὁ σοφιστὴς ποικίλος ἦν, πλείστας ἀφορμὰς δεδωκὼς τοῖς βουλομένοις καθιππάζεσθαι [a]φιλοσοφίας.

Καθίστα: Ἑτοίμαζε.

Καθιστάμενος: [b]Πρὸς τὸ βέλτιον μετάγων.

Ὁ δὲ Καῖσαρ [c]εἰς τὴν Ἀσίαν ἦλθε, τὰ τῶν ὑπηκόων καὶ τῶν Πάρθων ἅμα καθιστάμενος.

C Καὶ αὖθις·

Πολεμοῦντί τε αὐτῷ, καὶ περὶ τὴν ἀρχὴν καθισταμένῳ συγγενόμενος.

Φησὶ Κρίτων ἐν Γετικοῖς.

Καθίστατο: Ἐπεμελεῖτο, ἐφρόντιζεν.

Ὁ δὲ βασιλεὺς ἀκούσας τὰ ξυνενεχθέντα, εὐθὺς καθίστατο ἐς τὸν πόλεμον.

D Καθόδοις: Ἀγωγαῖς, περιόδοις.

Καθολικῶς: Καθόλου.

Καθόρμια: Περιθέματα.

Καθοσιούμενος: Ἀντὶ τοῦ, πληροφορῶν.

[d]Ὁ δὲ ἀγανακτήσας ἐπὶ [e]τῇ τῆς ἀρχῆς παραλύσει, τῷ τε Μαξιμίνῳ καθοσιούμενος, ἀθροίσας στρατὸν ἧκεν ἐπὶ τὴν Καρχηδόνα.

Καθοσιωθεῖσαι: Ἀνατεθεῖσαι.

E [f]Ὑπὲρ δὲ τοῦ μηδὲν παθεῖν [g]αὐτὰς κακὸν τοὺς θεοὺς ἐγγυητὰς

ΚΑΘΙΓΝΙΣΑΙ] Pessime. Scribe *καθαγίσαι*, idque suo loco redde. KUST. Leg. *καθαγνίσαι*. Vide nos ad v. Ἀφαγνίσας. TOUP. *καθαγνίσαι* item Hemsterhusius. Sic V. in marg. *καθιγνῦσαι* Photius.

ΚΑΘΙΔΡΩΣ] Hesychius, itemque Photius in Lex. inedito habent *κάθιδρος*, per *ο*. KUST. Recte Hesych. et Phot. *κάθιδρος*. Jeremias VIII. 6. *ὡς ἵππος κάθιδρος ἐν χρεμετισμῷ αὐτοῦ*. TOUP. *κάθιδρος* Lex. Seg.

i *ἐπώνυμον*] *ἐπώνυμος* B.V.E.

k *Ἐκπέμπει γοῦν τοὺς περὶ συμβ.*] Fragmentum hoc *ἀνερμήνευτον* reliqui, quoniam sensus ejus prorsus est obscurus. KUST. Verba si redigas in hunc ordinem, sensus erit intellectu minime difficilis: *Ἐκπέμπει γοῦν κεχειροτονηκὼς πρεσβευτὰς δυνατοὺς καθιδρύσασθαι τοὺς περὶ συμβιβάσεως λόγους*. HEMST. Hæc sunt verba Theophylacti Simocattæ Histor. III. 15. ubi legitur, *τοὺς περὶ συμβάσεως λόγους*. TOUP. *συμβάσεως* V. *ἐμπέμπει* B.E. *ἐκπίπτει* V.

ΚΑΘΙΖΑΝΕΙ] *Καθιζάνη* V.

l *καταπήξατε*] *καταπήξαντες* V.E.

ΚΑΘΙΕΙ] Vid. Kuhn. ad Ælian. V. H. II. 13. et in ind. v. *Καθίημι*. HEMST.

m *Ἀντὶ τοῦ* om. V.

n *ἢ ἐπίθες τῷ τρυβλίῳ*] Hæc nihil ad rem faciunt, et incaute ex aliquo Scholiasta, ut multa alia apud Suidam, descripta videntur. KUST. Vid. Aristoph. Av. 387. e cujus Schol. nunc mutilo hæc videntur desumpta.

o *Ὁ δὲ πεῖραν καθιεὶς, καὶ ἐπιβ.*] Fragmentum hoc referendum est ad historiam illam, quam de Crœso narrat Herodotus lib. I. p. 11. KUST. Phrasi hac utitur Appian. p. 809. *πείρας καθιέντα*. TOUP.

p *ἐν μυχοῖς*] Hoc nemini esset suspectum nisi ms. Lugd. daret *ἐν Λυδοῖς*. Suspicor id petitum ex epitome Herodoti. Vid. I. 48. VALCK. *ἐνδυδοις* A. *ἐνδυδοῖς* B. V.E.

q *πέμπων*] *ἐπιπέμπων* A.V.

r *Ὁ δὲ ψευδεῖς*] Vid. infra v. *Προσκόπων*. Locus expressus ex Dion. Cass. LXVIII. 23.

s *εἴθιζεν*] *ἤθιζεν ἀεὶ* E.

t *Αἰτιατικῇ*] *καθίζει δικαστήριον* addit E.

ΚΑΘΙΚΕΤΟ] Soph. Œd. Tyr. 809. Schol. Platon. p. 253. *Καθίκεσθαι: καθάψασθαι*.

tt *καθικνεῖτο*] *καθικνεῖται* A.

F u *Καθιστάμενοι*] Scribe, *καθαψάμενοι*, quomodo recte exhibet editio Mediolanensis. Noster supra: *Καθίκετο, καθήψατο*. Deinde scribendum, *τοὺς κοινωνήσαντας τῶν αὐτῶν ἐλπίδων*. Denique recte, *καθικόμενοι δὲ τῶν πράξεων*. Quemadmodum legitur apud Polyb. lib. V. p. 623. *Ἦν Φίλιππος εἰ μὴ πτοηθεὶς ἀλόγως ἔφυγε, τῶν περὶ τὴν Ἰλλυρίδα* ΠΡΑΞΕΩΝ *μάλιστ' ἂν τοτε* ΚΑΘΙΚΕΤΟ. TOUP. *Καθαψάμενοι* A.B.V. *Καθικόμενος: καθαψάμενος* E.

x *Πολύβιος*] Fr. gr. 81. ubi Schweighæuser. dedit *πάντας*.

G y *παραπόδας οὐ συμμαχικῶς*] Hæc leguntur etiam infra v. *Καθικόμενοι*. KUST.

z *Ὁ δὲ Βίων ὁ σοφιστὴς*] Hæc sunt verba Laërtii lib. IV. 47. KUST.

a *τῆς φιλοσοφίας*] *τῆς* om. A.B.E. Laërt.

b *ἐπὶ*] *πρὸς* A.B.E.

c *εἰς τὴν*] *εἰς* om. B.E.M.

ΚΑΘΟΛΙΚΩΣ] *Καθολικὸς* V. *τελείως* addit E.

ΚΑΘΟΡΜΙΑ] Hos. II. 13. Vid. not. ad Hesych.

d *Ὁ δὲ ἀγανακτήσας*] Hæc sunt verba Herodiani lib.
H VII. [c. 9.] p. 602. ut Pearsonius observavit. KUST. Herodiani verba sunt, *ὁ δὲ πρός τε ταῦτα ἀγανακτήσας, τῷ τε Μαξιμίνῳ καθοσιούμενος,—πάντα τὸν στρατὸν συναθροίσας—κατῆλθεν ἐπὶ Καρχήδονα*.

e *τῇ τῆς*] *τῇ* om. V.

f *Ὑπὲρ δὲ τοῦ μηδὲν*] Locus hic apud Dionysium Halicarnassæum, lib. VIII. p. 515. (unde eum Suidas de-

ἔσεσθαι, οἷς καθοσιωθεῖσαι τὰς ἱκεσίας ποιήσονται πρὸς τὸν ὕπατον.

Καθοσίωσις: [h]Δικαίωσις, κατάκρισις.

Καθοσίωσις: Παρὰ τὸ κατὰ τοῦ ὁσίου γίνεσθαι, ἤτοι τοῦ βασιλέως.

[i]ὍΤΙ ἐπὶ Θεοδοσίου τοῦ βασιλέως Ῥωμαίων Σύμμαχος ἀπὸ ὑπάτων εἰς τὸν τύραννον Μάξιμον βασιλικὸν λόγον διεξῆλθε, καὶ [k]δεδιὼς τὸ τῆς καθοσιώσεως ἔγκλημα, τοῖς τῶν ἐκκλησιῶν σηκοῖς [l]προσκαταφεύγει· ὃν ὁ Θεοδόσιος πάσης φιλανθρωπίας ἠξίωσε.

Καὶ αὖθις περὶ Χριστοῦ·

[m]Τοῖς γὰρ [n]νόμοις αὐτὸν παρεδώκαμεν, καὶ εἰς καθοσίωσιν οὐχ ἡμάρτομεν.

Καθόσον: Ἐπίρρημα.

Καθωσιωμένος: Ἀνακείμενος, ἐγγεγραμμένος.

Καθωσιωμένος: Ἔννομος, κόσμιος, τίμιος.

[o]Οὐράνιος [p]ὁ καθωσιωμένος Μαγιστριανὸς εὐσεβῆ γράμματα ἀποδέδωκε τῷ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ [q]Καλανδίωνι.

Καὶ Καθωσιῶσθαι.

Καθωραΐζεται: Σεμνύνεται.

Καθ' οἶμον: Καθ' ὁδόν.

Καθ' ὕδατος γράφειν: Ἐπὶ τῶν μάτην πονούντων.

Καθυβρίζω: Αἰτιατικῇ.

Καθύπαρ:

Καθυλακτῶ σου.

Καθυπερηκόντισαν: Ὑπερεβάλοντο, ἐνίκησαν.

Καθύπερθεν: Ὑπεράνωθεν.

Καθυπέρτερον: Μεῖζον.

Καθ' ὕπνους: [[s]Λύσις ὀνείρου.

[t]Ὄναρ καθ' ὕπνους νητρεκὲς λαλεῖν τόδε.
[u]Θανὼν καθ' ὕπνους, φροντίδων ἔσῃ δίχα.
Γελῶν καθ' ὕπνους, δυσφόρους ἕξεις τρόπους.
Κλαίων καθ' ὕπνους, παγχαρὴς [x]πάντως ἔσῃ.]

Καθυπουλεύω: Αἰτιατικῇ.

Καθυφεῖντο: Ἀντὶ τοῦ ἑαυτοὺς ἐδίδοσαν εἰς ὄλεθρον.

[y]Πολλοὶ [z]δὲ καὶ καθυφεῖντο ἑαυτοὺς ὁλοσχερῶς διὰ τὴν ἔνδειαν καὶ συνέχειαν τῶν πόνων.

Καθυφῆκεν: [a]Ἐνέδωκεν, ὑποκατέβη.

Καθυφίεντο: Ἀντηλλάττοντο, [b]κατεπροδίδοσαν.

[c]Οἱ δὲ τοῦ Σαμουὴλ τοῦ προφήτου υἱοὶ δώρων καὶ λημμάτων αἰσχρῶν καθυφίεντο τὸ δίκαιον.

Κακὰ κακῶν: [d]Διοκλῆς Βάκχῃ·

scripsit, ut Portus recte observavit) sic legitur: Τοῦ δὲ μηδὲν αὐταῖς συμβήσεσθαι δεινὸν ἐγγυητὰς ἀπέφαινον ἐσομένους, Θεοὺς μὲν πρῶτον, οἷς καθοσιωθεῖσαι τὰς ἱκεσίας ποιήσονται· ἔπειτα τὸν ἄνδρα αὐτὸν, πρὸς ὃν ἔμελλον πορεύεσθαι &c. Loquitur ibi historicus de matronis Romanis, ad Marcium missis, ut eum supplicibus precibus a consilio obsidendæ et delendæ patriæ averterent. KUST.

[g] αὐτὰς] αὐτοὺς B.E.M.

ΚΑΘΟΣΙΩΣΙΣ] Vid. Πατρίκιος. TOUP.

[h] Δικαίωσις] Sic etiam Photius et Lex. Seg. in quibus deest κατάκρισις.

[i] ἐπὶ Θεοδοσίου τοῦ βασιλέως] Vide Socratem Histor. Eccles. lib. V. c. 14. ubi eadem de Symmacho historia narratur. KUST.

[k] δεδιὼς] δεδοικὼς E.

[l] προσκαταφεύγει] καταφεύγει V. qui mox κατηξίωσε.

[m] Τοῖς γὰρ νόμοις] Hæc verba leguntur in Excerptis ex Joh. Antiocheno, a Valesio editis, p. 809. unde Suidas ea descripsit. Vide etiam infra v. Νέρων, ubi eadem repetuntur. KUST.

[n] νόμοις] Sic recte legitur in 2 mss. Paris. itemque apud Johannem Antiochenum loco laudato. In prioribus vero edit. [et B.E.] male excusum est γινομένοις. KUST.

ΚΑΘΩΣΙΩΜΕΝΟΣ] Sequentem gl. ab hac sejunxi cum A.V. In E. sic legitur: Καθωσιώμενος· ἔννομος, κόσμιος, ἐγγεγραμμένος, ἀνακείμενος, τίμιος.

[o] Οὐράνιος] Portus existimabat τὸ οὐράνιος hic significare *cœlestis*, cum sit nomen proprium viri, ut dubitare nos non sinit Suidas infra v. Μαγιστριανὸς, ubi locus hic repetitur. KUST.

[p] ὁ καθωσιωμένος Μαγιστριανός] Μαγιστριανὸς erat nomen dignitatis et officii: quo qui fungebantur appellari solebant καθωσιωμένοι. Vide Ducangium in Glossario Græco v. Καθωσιωμένος, et v. Μαγιστριανός. KUST.

[q] Καλενδίωνι] Hic erat episcopus Antiochiæ: de quo vide Evagrium Histor. Eccles. lib. III. c. 16. KUST. Καλανδίωνι A.V.M. Evagr. Κλαυδίωνι E.

[r] ΚΑΘ' ΟΙΜΟΝ.] Secundum canones grammaticos scribendum foret κατ' οἶμον. Sed hoc series literarum respuit. Quare legendum forte est κάθομον, quod reperitur apud Hesychium. Vide Bentleium ad Fragm. Callim. 293. KUST. Vulg. retinet Albert. ad Hesych. quem vide. Habet etiam Lex. Seg.

ΚΑΘΥΠΑΡ] Addit E. τὸ ἐναντίον τοῦ καθ' ὕπνους.

ΚΑΘΥΠΕΡΗΚΟΝΤΙΣΑΝ] Vide infra v. Ὑπερακοντίζεις. KUST. Pertinet ad Aristoph. Av. 826.

[s] λύσις] Seqq. habet A. in marg. Ὄναρ—δίχα om. E. θανὼν—δίχα om. B.

[t] Ὄναρ] Paulo aliter leg. in Nicephor. Oneir. Ὄναρ ὀνείρους νητρεκὲς πέλει λέγειν. HEMST.

[u] Θανὼν καθ' ὕπνους, φροντ.] Hic, et duo sequentes versus, ad somniorum interpretationem pertinentes, leguntur apud Astrampsychum. KUST.

[x] πάντως ἔσῃ] ἔσῃ λίαν E.

[y] Πολλοὶ δὲ καθυφεῖντο ἑαυτοὺς ὁλοσχ.] Hæc sunt verba Polybii lib. III. c. 60. KUST.

[z] δὲ] δὲ καὶ A.B.V.E.M.

[a] Ἐνέδωκεν] ἐνδέδωκεν B.V. ἐκδέδωκεν Lex. Seg. Photius. Tum ὑπεκατέβη Photius.

[b] κατεπροδίδοσαν] καταπροεδίδοσαν A.

[c] Οἱ δὲ τοῦ Σαμουὴλ τοῦ προφήτου υἱοὶ δώρων καὶ λημμ.] Hoc fragmentum legitur apud Josephum Antiq. Judaic. lib. VI. c. 3. p. 173. KUST. Vid. Hemsterhus. ad Lucian. Jud. Voc. c. 3.

[d] Διοκλῆς Βάκχῃ] Scribendum videtur, Διοκλῆς Βάκχαις. Dioclis Bacchas laudat Suidas v. Διοκλῆς. Laudat et Pollux, X. 78. Καλεῖται μέντοι ποδανιπτὴρ οὐ παρ' Ἡροδότῳ μόνον ἀλλὰ καὶ ἐν Διοκλέους Βάκχαις· Ὑδρία τις, ἢ χαλκοῦς ποδανιπτὴρ, ἢ λέβης. Ita scribendus iste versiculus. Deinde scribe, Πλυνεῖ τε κακὰ κακῶν ὑμᾶς. *Convitia multa in vos congeram.* Notanda locutio, κακὰ κακῶν. Quomodo locutus est Sophocles Œdip. Col. 1234. Γῆρας ἄφιλον, ἵνα πρόπαντα ΚΑΚΑ ΚΑΚΩΝ ξυνοικεῖ. Item nescio quis apud Plutarch. de Consol. ad Apollon. p. 115. Τοιάδε θνητοῖσι ΚΑΚΑ ΚΑΚΩΝ Ἀμφί τε κῆρες εἰλεῦνται. Confer etiam Sophoclis Philoct. 66. Idem autem κακὰ πλυνεῖ et πλυνῶ κακοῖς. Quomodo locutus est Aristophanes ἐν Δαιταλεῦσιν apud Athenæum, lib. III. p. 119. Οὐκ αἰσχυνοῦμαι τὸν τάριχον τουτονὶ Πλύνων ἅπασιν ὅσα σύνοιδ' αὐτῷ κακά. Quem locum non intellexit interpres. Menander apud Artemidor. II. 4. Ἢν γὰρ κακῶς μου τὴν γυναῖχ' οὕτω λέγῃς, Τὸν πατέρα καὶ σὲ τούς τε σοὺς ἐγὼ πλυνῶ. *Si uxori meæ sic male dixeris, patrem tuum, et te, tuosque probe lotos reddam.* Confer cl. Kuster. ad Aristoph. Acharn. 380. ubi de hoc verbo agit. Basilius p. 95. edit. Grotii: Ὁ μὲν ἀφειδῶς ΠΛΥΝΩΝ ΑΥΤΟΝ ΤΟΙΣ ΟΝΕΙΔΕΣΙΝ, ὁ δὲ οὐ μένων αὐτῷ. Atque hinc emendandus Apuleius in Apolog. p. 86. edit. Pric. *Cæterum uxor jam propemodum vetula et effœta, totam domum contumeliis ABLUIT.* Quæ ex Menandro adumbrata videntur. Vulgo inepte legitur, *abnuit.* Hinc Πλυνὸν ποιεῖν. Aristoph. Plut. 1062. Πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν. TOUP.

[e] Πλυνεῖτε κακὰ τῶν κακῶν ὑμᾶς.

Κακανδρία: [f] Δειλία. [g] Σοφοκλῆς·

Τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ
σὲ, φίλτατ' Αἶαν.

Τεῦκρός φησι [h] περὶ τῆς τοῦ Αἴαντος τελευτῆς.

Κακεντρέχεια: Ἡ πονηρία.

Κακεργέτῃσι: Κακοεργοῖς.

Κακκείοντες: Κατακοιμηθησόμενοι.

B Κἀκεροττίας: [i] Ἀριστοφάνης·

Ἀνωρτάλιζες κἀκερουτίας.

Ἀντὶ τοῦ [k] ἐμετεωρίζου, μέγα ἐφρόνεις. Ἀπὸ δὲ τῶν [l] κερατοφορούντων ἡ λέξις.

Κάκη: Κακία. Οὕτως [m] Πλάτων. Αἰλιανός·

Ὅστις τάξιν [mm] ἔλειπε, θανατοῖ ἄρα ὁ νομοθέτης αὐτὸν, κάκῃ τὴν στάσιν, ἣν ἐτάχθη, [n] προδόντα.

Αἰλιανὸς Ποικίλῃ Ἱστορίᾳ·

C Οὐδεὶς οἰκέτης μνημονεύεται κάκῃ εἴξας προδοῦναι τὸν δεσπότην.

Καὶ αὖθις·

[o] Ἀνάγκης καλούσης μὴ εἴκειν κάκῃ.

Κάκκη: Ἔχει δὲ καὶ τὸ κακέμφατον. Ἡ [p] ἀκαθαρσία, καὶ μάλιστα τὸ δύσοσμον [q] ἀποπάτημα. Ἀριστοφάνης·

Ἀπὸ μὲν κάκκης ῥῖν' ἀπέχων.

D Κακηγορᾶ: Αἰτιατικῇ. Καὶ κακημορᾶ αἰτιατικῇ.

Κακὴ μὲν ὄψις: [r] Κόμμα παροιμίας.

[s] Κακὴ μὲν ὄψις, ἐν δὲ δειλαῖαι [t] φρένες.

Μένανδρος Σικυωνίῳ.

Κακία: Ἀνάλογον ταῖς ἀρεταῖς αἱ κακίαι. Αἱ μὲν [u] γάρ εἰσι πρῶται· αἱ δὲ ὑπὸ ταύτας. [x] Οἷον ἀφροσύνη, δειλία, ἀδικία, ἀκολασία, ἀκρασία, βραδύνοια, κακοβουλία. Εἰσὶ δὲ ἀγνοίας αἱ κακίαι. Τὰ δὲ μετέχοντα τῶν κακιῶν, αἵτε πράξεις αἱ κατὰ κακίαν, καὶ οἱ φαῦλοι. Ἐπιγεννήματα δὲ, δυσθυμία, δυσφροσύνη, καὶ τὰ ὅμοια.

Κακία δέ ἐστιν ἡ τοῦ κακῶσαι τὸν πέλας σπουδὴ, παρὰ τῷ [y] Ἀποστόλῳ.

Κακία: Διώνυμός ἐστιν ἡ λέξις. Ἡ ὄντως κακία, οἷον πορνεία, μοιχεία, πλεονεξία, [z] ἐπιορκία, καταλαλιά. Λιμὸς δὲ, καὶ λοιμὸς, θάνατοι, καὶ νόσοι, καὶ τἆλλα, οὐκ ἔστι κακὰ, διότι πολλάκις ἡμῖν ἀγαθῶν αἴτια γίνεται. Καὶ περὶ ταύτης φησὶν [a] ὁ Προφήτης·

Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε.

Κακιζόμενοι: Ταπεινούμενοι.

Κακίζω: Αἰτιατικῇ.

Κάκιθος: Ὁ [b] κακιζόμενος.

Κακίονος: Τοῦ χείρονος.

Κακοδαίμων: Ὁ θεῷ ἐπαχθὴς, καὶ ὁ τὴν ψυχὴν ἔχων ἐμπαθῆ. Αἰλιανός·

Ἀνὴρ Εὐφρόνιος, κακοδαίμων ἀνὴρ, καὶ [c] ἔχαιρεν ἐπὶ ταῖς Ἐπικούρου φλυαρίαις, καὶ ἐξ ἐκείνων κακὰ εἰρύσατο δύο, ἄθεός τε καὶ ἀκόλαστος εἶναι.

Κακοέπεια: Βλασφημία.

Κακοζηλία:

Καλλίνικος ἔγραψεν ὁ Σύρος περὶ [d] κακοζηλίας ῥητορικῆς.

Κακοηθέστατα: Ἐπὶ [e] κλειδίων λέγεται. [f] Ἀριστοφάνης Θεσμοφοριαζούσαις·

Οἱ γὰρ ἄνδρες ἤδη κλειδία
[[g] αὐτοὶ] φοροῦσι κρυπτὰ, κακοηθέστατα,

E [e] Πλυνεῖτε κακὰ τῶν κακῶν ὑμᾶς] Fragmentum hoc propter brevitatem obscurum est, cujus sensum absque integro loco poetæ frustra quis investigare conetur. KUST. Πλύνει τε τὰ κακὰ Photius, quomodo Suidæ restituendum monet Porsonus.

[f] Δειλία] δη^λ~ E.

[g] Σοφοκλῆς] In Aj. 1014.

[h] ἐπὶ τῇ τοῦ] περὶ A. παρὰ V. περὶ τῆς—τελευτῆς B.E. τελευτ^ῆ V. τελευ^τς A.

KAKENTPEXEIA] Polyb. IV. 87, 4.

F KAKEPΓETHIΣI] Κακεργετίσι E. Addit idem ms. Κακεργάτιδος ψυχῆς. Τὰ κακὰ ἐργαζομένης.

KAKKEIONTEΣ] Il. α'. 606.

KAKEPOTTIAΣ] Vide supra v. Ἐκερουτίας. KUST.

[i] Ἀριστοφάνης] Equit. 1341.

[k] ἐμετεωρίζου] μετεωρίζου B.V.E.

[l] κερατοφορούντων ζώων] ζώων om. A.B.V.E.

[m] Πλάτων] Locos vide apud Ruhnken. Tim. p. 152.

[mm] ἔλειπε] ἔλιπε E.

G [n] λιπόντα] προδόντα A.B.V.E. Vid. de h. l. Wesseling. ad Petit. Legg. Att. p. 666.

[o] Ἀνάγκης] Vid. Εὐερμία. TOUP.

KAKKH :——Ἡ ἀκαθαρσία] Ex Schol. Aristoph. Pac. 161.

[p] ἀκαθαρσία] ἡ κάθαρσις B.E.

[q] ἀποπάτημα] ἀπὸ τοῦ πάτμα V.

[r] κόμμα παροιμίας] κόμμα: παροιμία Photius.

H [s] Κακὴ μὲν ὄψις, ἐν δὲ δειλ.] Senarius hic proverbialis Philemoni tribuitur apud Stobæum Tit. VI. περὶ δειλίας. Idem etiam legitur apud Diogenianum, sed corrupte. Apud eum enim pro ἐν δὲ δειλίᾳ ex Suida et Stobæo rescribendum est ἐν δὲ δειλαῖαι. Grotius in Excerptis proverbium hoc sic exhibet: Καλὴ μὲν ὄψις, ἐν δὲ δειλαῖαι φρένες. Sed altera lectio, κακὴ, quæ Suidæ Stobæi et Diogeniani consensu firmatur, temere rejicienda non est: præsertim cum et ea sensum commodum et minime ineptum pariat. Vide omnino Gatakerum in Adversar. Miscell. Posthumis c. 12. ubi de sensu proverbii hujus prolixe disputat. KUST. Omnino placet Grotii lectio. De homine enim delicato dici videtur, et qui formæ studebat; quales erant Sicyonii. Quod non animadvertit Kusterus. Accedit quodammodo Homerus Il. γ'. 45. Φάντες ἀριστῆα πρόμον ἔμμεναι, οὕνεκα ΚΑΛΟΝ ΕΙΔΟΣ ἔπ'. Ἀλλ' οὐκ ἔστι ΒΙΗ ΦΡΕΣΙΝ, οὐδέ τις ἀλκή. Quo respexisse videtur Comicus. TOUP.

[t] φρένες] φθο^ν E.

KAKIA : Ἀνάλογον] Hæc, et quæ sequuntur, sunt verba Laërtii lib. VII. 93 et 95. KUST. A. in marg. ζήτει ἐν τῷ Ἀρετή.

[u] γὰρ om. B.E.

[x] Οἷον ἀφροσ. δειλ. ἀδ. ἀκολ. ἀκρασ.] Locus hic est mutilus, qui apud Laërtium recte sic legitur: Οἷον ἀφροσύνην μὲν, καὶ δειλίαν, καὶ ἀδικίαν, καὶ ἀκολασίαν ἐν ταῖς πρώταις ἀκρασίαν δὲ, καὶ βραδύνοιαν, καὶ κακοβουλίαν, ἐν ταῖς ὑπὸ ταύτας. Hanc lectionem in versione secutus sum. KUST.

[p] Σκυθρωπότης] σκυθροπότης A. Mox σκυθρωπὸς om. A.B.V.

ΚΑΤΗΦΟΝΕΣ] Il. ω'. 253. Vid. H. Steph. Ind. Thesauri.

[q] περιφανοῦς] περιφανείας E. qui mox om. ἀφίκετο.

καὶ πλούτου, καὶ παῖδας ἔσχε, καὶ ἐς γῆρας ἀφίκετο εὔποτμόν τε καὶ ἀξιόζηλον. A

Κατηχθημένος: Βεβαρημένος.

Κατηχῶν: Αἰτιατικῇ. Προτρεπόμενος, παραινῶν. [r]Πισίδης·

Κρατῶν [s]ἐνὶ μάχαις, καὶ κατηχῶν ἐν μάχαις.

Κατηχῶ δὲ, ἀντὶ τοῦ ἠχῶ, γενικῇ.

Κατηχεῖ τῶν πόρων.

Καὶ, B

Κατήχησε τῆς οἰκίας.

Κατ' ἰδίαν: [[t]Ἰδίως.]

Καττίδιος, καὶ Καττιδιανός: Ὀνόματα κύρια.

Κάτιμεν: Κατερχόμεθα.

Κατ' ἶσον αὐτῷ [u]μεμηνώς: [Ἐπίσης.]

Κατισχυμένος: Κεκρατημένος.

Κατισχύω: Γενικῇ.

Κατισχνώθη: Ἐξηράνθη, ἐλεπτύνθη. C

Κατισχνοῖ: Καταλεπτύνει.

Κατ' ἴχνος: [[x]Κατὰ πόδας.]

Κατοδύρομαι: Αἰτιατικῇ.

Κατολιγωρῶ: Γενικῇ.

Κατολισθανόντων: [y]Κινουμένων, ἐμπιπτόντων.

Τῶν δὲ Ῥωμαίων κατολισθανόντων ἐς δάκρυα, καὶ περιαλγούντων ἐπὶ τῷ πάθει.

Καὶ αὖθις· D

Κλεοπάτρα, εἰς ἣν κατολισθάνει τῶν [z]Πτολεμαίων ἡ διαδοχή.

Κατομνύς: Ἐμπεδῶν, βεβαιῶν.

Προσετίθει δὲ καὶ ὅρκον, τῆς ἐμῆς κατομνὺς κεφαλῆς, ἣν πολλά ἐφίλει.

A Κατομόσαι:

[a]Ἀπὸ μόνου γε τοῦ τὸν θεὸν ἀπομόσαι ἢ κατομόσαι.

Κατ' ὄναρ οὐ χρὴ λέγειν· βάρβαρον γὰρ παντελῶς· ἀλλὰ ὄναρ, καὶ κατὰ τοὺς ὕπνους, καὶ [b]ἐνύπνιον.

Κατόπιν: [c]Μετὰ ταῦτα, [d]ἀπὸ τοῦ ὄπισθεν εἶναι.

Ἀλλὰ κατόπιν ἧκε τοῦ καιροῦ. Οὐ γὰρ οἷός τε ἐγένετο τοῦτο διανύσαι ἐς τέλεον.

B [e]Γίνεται κατόπιν τὸ Ῥωμαϊκὸν τῆς προτέρας εὐκλείας διαγωνίζεσθαι.

Καὶ,

Τοῦ καλοῦ καὶ τῆς ἀρετῆς κατόπιν τίθεσθαι πάντα.

Κατόπτης: Ἐπιτηρητής.

[f]Ἀλλά τις ἴτω κατόπτης ἀπαγγελίαν ἡμῖν σαφῆ τῶν ἐνεστηκότων [g]ποιησόμενος.

Κατοργᾶν: Ὑπερακμάζειν.

C Κατ' ὄρεσφιν: Ἐν τοῖς ὄρεσι.

Κατορθῶ: Αἰτιατικῇ.

Κατορώρυκται: Κατακέχωσται.

Κατορυκτός: Τόπος.

Κατορύττω: Αἰτιατικῇ.

Κατ' ὀρφναίαν: Τὴν σκοτεινήν.

Κατορχοῦμαι: Γενικῇ.

Κατοσφραίνομαι: Γενικῇ.

D Κατουδαίους: Ζήτει ἐν τῷ Ὑπὸ γῆν οἰκοῦντες.

Κατουδέν:

[Κατουλάς: Ἡ σκοτεινὴ νύξ· διὰ τὸ ὀλοὴν αὐτὴν εἶναι. Οἷον,

[h]Νὺξ ἐφόβει, τήνπερ τε κατουλάδα κικλήσκουσι.]

---

[r] Πισίδης] Fr. Foggin. 111.

[s] ἐνὶ] ἐν A.V.E.

[t] Ἰδίως om. A.B.V.E.

ΚΑΤΤΙΔΙΟΣ] Gataker. ad Marc. Antonin. IV. 50. ubi pro Καδικιανὸς tentat Καττιδιανός. HEMST.

[u] ΜΕΜΗΝΩΣ] μεμηκὼς V. Mox ἐπίσης om. A.B.E.

ΚΑΤΙΣΧΥΜΕΝΟΣ] Κατισχημένος A.V.E.

ΚΑΤΙΣΧΝΟΙ] Κατισχνεῖ V. Tum λεπτύνει B.E.

[x] Κατὰ πόδας om. A.B.V. Post h. v. habet V. Κατακωχή: εἷς ἀνήρ—ἐμονομάχει. καὶ αὖθις· τὴν δὲ—διανοίας ὄμματα. Vide supra suo in loco.

ΚΑΤΟΛΙΣΘΑΙΝΟΝΤΩΝ] Κατολισθανόντων A.V. et sic in exemplis.

[y] Κινουμένων] Ut hæc interpretatio locum habeat, præcedere debet κατολισθαινόντων ἐς δάκρυα. Sic enim a consequenti expositio hæc vera esse potest; quoniam illi, qui miseratione moventur, lacrymari solent. Certe soli voci κατολισθαινόντων interpretationem illam respondere non posse manifestum est. Suidam autem, cum hæc scriberet, in animo habuisse τὸ κατολισθαινόντων ἐς δάκρυα, ex exemplo, quod subjungitur, patet. KUST.

[z] Πτολεμαίων] Sic recte habet ms. Paris. A. In reliquis vero mss. Paris. [et B.V.E.] itemque in omnibus editt. præcedentibus male legitur πολεμίων. KUST.

ΚΑΤΟΜΟΣΑΙ] ἀπομόσαι ἢ κατομόσαι A.B. κατομόσαι ἢ ἀπομόσαι E. Exemplum om. V.

[a] Ἀπὸ μόνου γε τοῦ τὸν Θεὸν κατομόσαι ἢ ἀπομόσαι] Ex Synesio, Epist. CLIII. p. 291. KUST. Locum integrum excerpsit Suidas v. Φθάσειε.

ΚΑΤ' ὌΝΑΡ] Vid. Phrynichus Lobeckii p. 421.

[b] ἐν ὕπνοις] ἔνυπνον A.B. ἐνύπνιον V. Photius.

[c] Μετὰ ταῦτα] Huc usque Timæus p. 154.

[d] ἀπὸ τοῦ ὄπισθεν εἶναι] In Lexico Photii inedito rectius legitur, ἀπὸ τοῦ ὄπισθεν ἰέναι. KUST.

[e] Γίνεται κατόπιν] Ex Theophylact. Simocatt. III. 15. notante Abreschio.

[f] Ἀλλά τις ἴτω] Hæc sunt verba Josephi Antiq. Jud. lib. XVIII. (9, 2.) p. 907. ubi legitur, Ἀλλὰ τὶς προσίτω κατόπτης. TOUP.

E [g] ποιησόμενος] ποιησάμενος A.B.V.E. edd. vett. Correxit Portus.

ΚΑΤΟΡΓΑΝ] Κατεργᾶν V.

ΚΑΤ' ὈΡΕΣΦΙΝ] Il. λ'. 493.

ΚΑΤ' ὈΡΦΝΑΙΑΝ] Hesych. Κατορφνᾶται: σκοτεινὴν ποιεῖ. Photius, Κατ' ὀρφναίαν: κατὰ τὴν σκοτεινήν.

ΚΑΤΟΡΧΟΥΜΑΙ] Vide infra v. Κατωρχήσαντο. KUST.

ΚΑΤΟΥΔΑΙΟΥΣ] Καττουδαίους A.V.E. et sic infra.

ΚΑΤΟΥΛΑΣ] De hac voce adscribam quæ habet Photius in Lexico inedito: Κατουλάδα. Σοφοκλῆς Ναυπλίῳ· Ἐπεύχομαι δὲ νυκτὶ τῇ κατουλάδι. Τὴν κατίλλουσαν καὶ κατείργουσαν. καὶ ἐξούλης δίκη, ἡ ἐξείρξεως. Οἱ δὲ, τῇ πανολέθρῳ ἐσομένῃ τοῖς Ἕλλησιν. Οὖλον γὰρ τὸ ὀλέθριον· καὶ ἡ κατὰ πρόθεσις αὔξησιν ἔχει. ἢ ζοφώδη, ἀπὸ τῆς κατὰ τὸ σῶμα γινομένης οὐλῆς. μελάντεραι γάρ. ἢ καταιγίδας ἔχουσαν καὶ συστροφὰς ἀνέμων. Εἰάλειν γὰρ (lege εἴλλειν, vel ἴλλειν) τὸ συστρέφειν. Ὅμηρος. Locum hunc dignum judicavi, quem cum lectore communicarem, tum propter fragmentum Sophoclis, quod nusquam alibi tam integrum exstat; tum quia ex eo emendari potest enarrator Apollonii Rhod. ad lib. IV. 1695. qui idem fragmentum Sophoclis, quamvis mutilum, adducens, fabulam *Naupactus* pro *Nauplius* laudat. Verba ejus hæc sunt: Κατουλάδα. σκοτεινὴ νὺξ κατουλὰς λέγεται· παρὰ τὸ ὀλοόν: Σοφοκλῆς ἐν Ναυπάκτῳ· Νυκτὶ κατουλάδι. Diligentissimus Meursius loci hujus auctoritate adductus inter fabulas Sophoclis *Naupactum* etiam recenset. Sed cum fabulæ ejus nusquam alibi apud veteres exstet mentio, *Nauplium* vero Sophoclis plures scriptores laudent; potior hic est apud me auctoritas Photii, ex quo proinde Scholiastam Apollonii emendandum, et *Naupactum* ex censu fabularum Sophoclis expungendum esse censeo. KUST. Deest gl. A.B.

[h] Νὺξ ἐφόβει, τήνπερ τε κατ.] Versus hic legitur apud Apollonium Rhodium lib. IV. 1695. ut Portus etiam observavit. KUST.

Κατ' οὐράν: Κατόπισθεν, ἐκ τῶν ὀπίσω.

Κατουρῶσαν: Οὐρίῳ ἀνέμῳ [i]χρησάμενον.

[k]Τὸ δὲ λοιπὸν πλῆθος ἐπαράμενον τοὺς ἱστοὺς καὶ κατουρῶσαν ἀπεχώρει.

Κατουρτῷ: Γενικῇ.

Κάτοχος: Κεκρατημένος.

[l]Κάτοχος ἤδη τῷ πόθῳ [m]τούτῳ γεγενημένη, καὶ [n]διαφανὴς ἐρωτόληπτος οὖσα, οὐδὲν ἔτι κώλυμα ἔβλεπε.

Κάτω: Ἐπίρρημα τοπικόν.

Κατώγειον: Ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ διὰ τοῦ ε ψιλοῦ, καὶ ω μεγάλου, ὁ ἀνώγεως, καὶ ἡ ἀνώγεως. Καὶ τὸ [o]ἀνώγεων.

Κατώγεων, κατώγειον δέ.

Κάτωθε: Χωρὶς τοῦ ν παρὰ Δωριεῦσι. Καὶ [p]Πίνδαρος ὁμοίως·

[q]Ἀγρόθε γὰρ [r]νέομαι παρὰ Χαρικλοῦς καὶ Φιλύρας.

Κατωθούμενος: Ἀνατρεπόμενος.

Κατωκάρα: Οἱ Ἀττικοὶ ὑφ' ἓν ἀναγινώσκουσι. [s]Ἀριστοφάνης·

Εἴπερ ἐκ ποδῶν κατωκάρα [t]κρέμαιτο.

Ἀντὶ τοῦ [u]ἐπὶ κεφαλῆς. [x]Τὸ ἐπὶ κεφαλῆς πεσεῖν κατωκάρα λέγεται παρ' Ἀττικοῖς, οὐ διῃρημένως, ἀλλ' ὑφ' ἕν. [y]Πίνδαρος·

Οἱ μὲν κατωκάρα δεσμοῖσι δέδενται.

[z]Ἀγαθίας·

Οἱ δὲ ἐκ τοῦ πρανοῦς [a]ὑποφερόμενοι, καὶ ἐς τὴν [b]θάλασσαν κατωκάρα ἐμπίπτοντες [c]ἀπώλλυντο.



A Καὶ αὖθις [d]Ἀριστοφάνης·

[e]Κατωκάρα ῥίψας με βουκολήσεται.

Περὶ κανθάρου λέγων.

Κατῳκοδόμησεν: [f]Ἰσαῖος ἀντὶ τοῦ κατέκλεισεν εἰς οἴκημα, καὶ ἀπέκτεινε.

Κατώλισθον: Κατέπεσον.

Κατωμαδόν: Κατὰ τῶν ὤμων. [g]Ἰώσηπος·

Ὁ δὲ Σαμψὼν ἀράμενος τὰς πύλας καὶ τὰς φλιὰς κατωμαδὸν
B εἰς τὸ ὄρος φέρων κατατίθησι.

Κάτων, στρατηγὸς Ῥωμαίων· ὃς νέος μὲν ἦν [h]ἔτι πάμπαν, αὐστηρὸς δὲ καὶ φιλόπονος, συνέσει τε γνώμης καὶ δεινότητι λόγων ἀριπρεπής, ὥστε αὐτὸν ἐπὶ τοῖς λόγοις ἐκάλουν οἱ Ῥωμαῖοι Δημοσθένην, πυνθανόμενοι τὸν ἄριστον ἐν τοῖς Ἕλλησι ῥήτορα γενέσθαι Δημοσθένην.

[i]Λέγεται Κάτωνα τὸν [k]πρεσβύτερον, ἐρομένου τι-
C νός, ἣν [l]ἔχοι γνώμην περὶ τῶν ἐν Καρχηδόνι πραγμάτων καὶ περὶ τοῦ Σκηπίωνος, εἰπεῖν·

[m]Οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσι.

Κατωνάκη: Ἱμάτιόν ἐστιν ἐκ τῶν κάτω μερῶν νάκος, τουτέστι διφθέραν, [n]περιερραμμένον. Δοκοῦσι δὲ [o]ἀμφιέσασθαι τοῦτο, τῶν τυράννων ἐπαναγκασάντων τοὺς Ἀθηναίους, ἵνα ὑπὸ εὐτελείας μὴ κατίωσιν εἰς ἄστυ οἱ πολῖται. Μέχρι γὰρ τῶν γονάτων ἦν διῆκον.
D [p]Ἀριστοφάνης·

[q]Οὐκ [r]ἴσθ' ὅθ' ὑμᾶς οἱ Λάκωνες αὖθις αὖ
[s]κατωνάκας φοροῦντας, ἐλθόντες δορὶ

ΚΑΤΟΥΡΩΣΑΝ] καὶ κατουρῶσαν A.B.V.E. Mox ἀπεχώρησε V.

[i] χρησαμένην] Ut interpretatio respondeat capiti articuli, scribendum est χρησάμενον, quoniam τὸ κατουρῶσαν est generis neutrius, a masculino κατουρώσας, ut Portus etiam monuit. KUST. χρησάμενον A.

[k] Τὸ δὲ λοιπὸν] Fragmentum hoc legitur apud Polybium lib. I. 61. ut Jacobus Gronovius observavit. KUST.

ΚΑΤΟΧΟΣ] Heliodor. p. 192. Simocatta 156. ubi male κάτοικος τῇ μέθῃ. TOUP. Lucian. in Rhet. Præc. 4. de Hesiodo, κάτοχος ἐκ Μουσῶν γενόμενος. REINES. Vid. Cuperi Observ. III. 12. p. 305.

[l] Κάτοχος ἤδη τῷ πόθῳ τούτου γεγ.] Hæc sunt verba Procopii Histor. Arc. c. 1. KUST.

[m] τούτου] τούτῳ A.V.E. pr. Procop.

[n] διαφανὴς] L. διαφανῶς. REINES. Sic Procopius.

ΚΑΤΩΓΕΙΟΝ] Vid. supra v. Ἀνώγεον.

[o] ἀνώγεων] ἀνώγεω V. Tum Καὶ κατώγεων M.

ΚΑΤΩΘΕ] Κάτωθεν V. Mox ὁμοίως addunt A.B.V.

[p] Πίνδαρος] Pyth. IV. 181. ubi leg. Ἄντροθε.

[q] Ἀγρόθε γὰρ νέμομαι π.] Fragmentum hoc ideo ad vocem κάτωθε Suidas retulit, quoniam τὸ ἀγρόθε apud Dorienses sine ν scribitur, perinde ut κάτωθε. KUST.

[r] νέμομαι] νέομαι V.

ΚΑΤΩΘΟΥΜΕΝΟΣ] Κατωθούμενος E.

ΚΑΤΩΚΑΡΑ] Recte notavit Koenius ad Gregor. de Dial. Att. s. LX. pleniora Suidam invenisse Scholia ad Aristoph. Pac. 152. Acharn. 944. Ad Pac. 152. e ms. dedit Bekkerus; ὅτι τὸ ἐπὶ τῆς κεφαλῆς πεσεῖν κατωκάρα λέγεται Ἀττικῶς, οὐ διῃρημένως ἀλλ' ὑφ' ἕν. Πίνδαρος, Οἱ μὲν κατωκάρα δεσμοῖσιν δέδεντε. Ceterum verba Ἀριστοφάνης—ὑφ' ἕν, quæ in edd. post Agathiæ fragmentum reperiuntur, ante fragmentum Pindari reposui cum A.V.

[s] Ἀριστοφάνης] Acharn. 944.

[t] κρέμαιτο] κρέματο B.E.

[u] ἐπὶ κεφαλῆς] ἐπὶ κεφαλὴν V. et sic mox. κατὰ κεφαλῆς B.

[x] Τὸ γὰρ] γὰρ om. A.B.V.

[y] Πίνδαρος] Existimo nomen hoc a librario aliquo temere in textum intrusum esse, quoniam quæ sequuntur haud sane Pindaricum quid spirant, sed videntur esse verba scriptoris cujusdam prosaici. KUST. Vid. Schneideri Fr. inc. CXIX.

E [z] Ἀγαθίας] Lib. II. p. 37. KUST.

[a] ὑποφερόμενοι] Sic recte habent mss. Paris. et Agathias loco laudato. At in prioribus editt. corrupte et nullo sensu legitur ὑποφαινόμενοι. KUST.

[b] θάλατταν] θάλασσαν V.

[c] ἀπώλοντο] ἀπώλλυντο A.B.V.E.

[d] Ἀριστοφάνης] Pac. 152.

[e] Κατωκάρα] κατωκάρα δὲ B.E.

ΚΑΤΩΙΚΟΔΟΜΗΣΕΝ: Ἰσαῖος ἀντὶ τοῦ κατ.] Ex Harpocratione. Vide etiam supra v. Ἐγκατῳκοδόμησε. KUST.

F [f] Ἰσαῖος] In Or. c. Dioclem apud Harpocrat. Vocem usurpat Idem in Or. περὶ Κίρωνος κλήρου p. 73, 35. ed. Steph. conf. Vales. ad Harpocrat.

[g] Ἰώσηπος] Antiquit. Jud. lib. V. 10. KUST. c. VIII. 10.

ΚΑΤΩΝ, στρατηγὸς—Δημοσθένην] Hæc sunt verba Appiani Iber. p. 464. 465. KUST. c. 39. Vid. Vales. ad Diod. Sic. T. II. p. 605. ed. Wesseling.

[h] πάμπαν ἔτι] ἔτι πάμπαν A.V.

[i] Λέγεται Κάτωνα τὸν πρεσβ.] Confer cum hoc loco ea,
G quæ leguntur apud Suidam supra v. Ἀΐσσουσι. KUST.

[k] πρεσβύτερον] πρεσβύτην A.B.V.E.

[l] ἔχει] ἔχοι V. Mox Σκηπίωνος A.

[m] Οἶος πέπνυται, τοὶ δὲ σκ.] Est notissimus versus Homeri de Tiresia Od. κ'. v. 495. KUST.

ΚΑΤΩΝΑΚΑΙ: Ἱμάτ.—περιρραμμένον] Ex Schol. Aristoph. Eccles. 719. KUST. Vid. infr. Ὄζειν. REINES. Κατωνάκη A. Ante h. v. Κατανάγκη B.E.M.

[n] περιρραμμένον] περιερραμμένον A.

H [o] ἀμφίεσθαι] ἀμφιέσασθαι A.B.V.E.

[p] Ἀριστοφάνης] Lysistr. 1152.

[q] Οὐκ ἴσθ' ὅθ' ὑμᾶς οἱ Λάκ.] Historiam, ad quam Aristophanes hic respicit, narrat Herodotus lib. V. p. 195. [ed. Steph. 1570.] KUST.

[r] ἴσθ'] οἶσθ' A. et E. pr.

[s] κατωνάκης] κατωνάκτας B.E.

πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν,
[t]πολλοὺς δ' ἑταίρους [u]Ἱππίᾳ καὶ ξυμμάχους.

Καὶ γὰρ καὶ τῶν Θετταλῶν οἱ πλεῖστοι ἐβοήθουν Ἱππίᾳ.

Κατωνάκης: Δουλικὸς καὶ ἀνελεύθερος χιτών.

[x]Κατωνάκῃ τὸν χοῖρον ἀποτετιλμένας.

Τὰς δούλας φησί.

Κατώρης: Ὄνομα κύριον.

Κατωρχήσαντο: Κατεχάρησαν, ἔπαιξαν.

Κατωφαγᾶς: Ὁ καταφαγᾶς. Κωμῳδεῖται [y]γοῦν ὡς πολυφάγος ὁ Κλεώνυμος, ὅτι κάτω νεύων ἔτρωγε. Κατωφαγᾶς δὲ ὀρνεόν ἐστιν οὕτω καλούμενον, [z]ὀρύσσον τὰ σπέρματα. Καὶ ὅτε μὲν [a]βαρύνεται, ἐστὶν ἐπίθετον· ὅτε δὲ περισπᾶται, κύριον. Ἴσως δὲ ἀπὸ τοῦ καταφαγεῖν.

Κατωφρυῶσθαι: Γενικῇ.

Κατοικιδίους: Τοὺς ἐπ' [b]οἴκου ὄντας.

Κατοικιδίους δὲ, καὶ σχολαίους, καὶ ἧττον ὡμιληκότας [c]τοῖς πολέμοις.

Κατοικτείρω: Αἰτιατικῇ.

Κατοικτίζετο: Οἴκτου τυχεῖν ἠξίου, [d]ἢ ἐλέους κυρῆσαι.

[e]Ὁ δὲ ἐπὶ τὰ κοινὰ τῶν Βαβυλωνίων καταστὰς κατοικτίζετο.

Καὶ αὖθις·

Ὁ δὲ τῇ φωνῇ κατοικτιζόμενος ἐλεῆσαι σφᾶς παρεκάλει.

Κατοιμώξας: Καταμεμψάμενος. [f]Πολύβιος·

Καὶ πολλὰ μὲν αὐτὸν κατοιμώξας, ὅτι παρὰ μικρὸν ἔλθοι τοῦ λαβεῖν τὸν Ἄτταλον ὑποχείριον.

Ἢ καταιτιασάμενος, οἴμοι λέγων.

Κατοιόμενος: Ὀνομάζων ἑαυτὸν μέγαν, καὶ φυσῶν ὑπερηφάνως.

Κάτοισθα: Γινώσκεις, ἐπίστασαι. [g]Σοφοκλῆς·

Οὐ κάτοισθ', ἐγὼ θεοῖς
[h]ὡς οὐδὲν ἀρκεῖν εἰμ' ὀφειλέτης ἔτι;

Τουτέστιν, οὐκ ἐν τούτῳ εἰμὶ, ὥστε ὀφείλειν τοὺς θεοὺς ἐπαρκεῖν μοι, διὰ τὸ μὴ περιέχεσθαι τοῦ ζῆν.



A [i]οὐκέτι τοῖς θεοῖς ὀφείλω ἐγὼ ἐπαρκεῖν· ἀντὶ τοῦ, οὐδὲν ἐπὶ τιμῇ πράττειν [k]τῶν θεῶν.

Κατοιχομένου: Νεκροῦ, τεθνεῶτος.

Καττύεται: Ἀντὶ τοῦ [l]συντίθεται, [m]συρράπτεται. [n]Ἀριστοφάνης·

Οἶδ' ἐγὼ τὸ πρᾶγμα τοῦθ' ὅθεν πάλαι καττύεται.

Ἡ μεταφορὰ ἀπὸ τῶν ὑποδημάτων.

Καττύει: Εὐτρεπίζει, [o]συρράπτει.

B [p]Τὸν δὲ [q]Βαρὰμ τεσσαράκοντα χιλιάσι καττύειν τὸν πόλεμον ἔλεγον.

Καττύω [r]γὰρ τὸ δόλους ῥάπτω.

Κάττυμα: Ἀπάτη, δόλος. [s]Ἀριστοφάνης·

Ὃν ἐγὼ κατατεμῶ τοῖς ἱππεῦσι [t]εἰς καττύματα.

Καττύματα δέ ἐστι δέρματά τινα ἰσχυρὰ καὶ σκληρὰ, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν [u]ὑποβάλλεται.

C Καυδώ: Νῆσος πλησίον Κρήτης, ἔνθα μέγιστοι ὄναγροι γίνονται.

Καύθωνος: Τοῦ μαλθακοῦ.

Καυκίον παρ' ἡμῖν· κύλιξ δὲ παρὰ [x]σοφοῖς.

Καύκωνες: Ὄνομα ἔθνους.

Ἐγγὺς δὲ τοὺς ἐπιβουλεύοντας εἶναι Καύκωνάς τε καὶ Λέλεγας Ὁμηρικούς· Πελασγοὺς δὲ οὐδαμοῦ, οὐδὲ Δίους. Εἰρήσθω γὰρ ἐν καιρῷ ἐμοὶ τόδε.

D Καυλός: Τὸ ἄκρον τοῦ δόρατος.

Καυλῶ: Καυλήσω. Ἐκκεκαυληκότα:

Τῶν λαχάνων [y]πάντα ἐκκεκαυληκότα.

Καυλωνία: Χώρα.

Καυνάκης: Ὁ ἀγών· ἢ εἶδος ἱματίου, ὅπερ καὶ Περσίδα καλοῦσιν. Οἱ δὲ σισύραν Θυμαιτίδα, ὅπερ ἔοικε Μορύχου σάγματι. Σάγμα δὲ, ἡ θήκη τοῦ E ὅπλου.

Καύνιος ἔρως: Ἐπὶ τῶν μὴ κατορθουμένων [a]ἐπιθυμιῶν. Καῦνος γὰρ καὶ Βύβλις ἀδελφοὶ ἐδυστύχησαν.

Καυσία: Εἶδος πίλου βαρβαρικοῦ ἐπὶ τῆς κεφαλῆς.

---

[t] πολλοὺς δ' ἑταίρους Ἱππίᾳ] Apud Aristophanem hodie male legitur πολλοὺς δ' ἑτέρους ἱππίους; qui proinde ex hoc F loco Suidæ emendandus est. KUST.

[u] Ἱππίᾳ] ἱππίαν B.E. ἱππείαν V.

[x] Κατωνάκῃ τὸν χοῖρον ἀποτετιλ.] Aristoph. Eccles. 719.

ΚΑΤΩΦΑΓΑΣ: Ὁ καταφαγᾶς] Aristophanis Av. 289. Ἔστι γὰρ κατωφαγᾶς τις ἄλλος ἢ Κλεώνυμος; Vide ibi veterem enarratorem. KUST.

[y] οὖν] γοῦν A.B.

[z] ὀρύσσον] ὀρύσσων A.

[a] βαρύνεται] ὀξύνεται reponit Boissonad. ad Herodian. G p. 284.

ΚΑΤΩΦΡΥΩΣΘΑΙ] Κατωφρυᾶσθαι B.E.

[b] οἴκου] οἴκῳ A.B.V.E.

[c] τοῖς πολέμοις] τοῖς om. B.E.M.

[d] ἢ ἐλέους] ἢ om. A.B.V.E. edd. vett.

[e] Ὁ δὲ ἐπὶ τὰ κοινὰ] Herodot. III. 156. PORTUS.

[f] Πολύβιος] Vid. ed. Schweighæuser. T. V. p. 38.

ΚΑΤΟΙΟΜΕΝΟΣ] Habbakuk II. 5. Aristeas p. 115. TOUP. Locum ex Habbakuk indicavit Hemsterhusius, qui v. ὀνομάζων superscripsit νομίζων. Vulg. tenet Photius, H qui in fine, φυσῶν· ὑπερήφανος.

[g] Σοφοκλῆς] Aj. 589.

[h] ὡς οὐδὲν] ὡς om. A.B.

[i] ἢ οὐκέτι] ἢ om. A.B.E.

[k] τῶν θεῶν] τοῖς θεοῖς E.

[l] συντίθεται] συντίθεται E.

[m] ῥάπτεται] συρράπτεται A. συρράπτονται V. ῥάπτονται E.

[n] Ἀριστοφάνης] Equit. 314.

[o] συρράπτει] συρράπτει κασσύει A.B.V.E. Lex. Seg. συρράπτει καττύει Photius.

[p] Τὸν δὲ Βαρὰμ τεσσαρ.] Fragmentum hoc depromptum est ex Theophylacto Simocatta. KUST. V. 9. TOUP.

[q] Βαρὰμ] ἀβραὰμ V.

[r] καὶ τὸ] γὰρ τὸ A.B.E. Mox δούλους V.

[s] Ἀριστοφάνης] Acharn. 301. Vide etiam supra v. Κατατεμῶ. KUST.

[t] ποτε ἐς καττύματα] ποτε om. A.B.V.E. Tum εἰς A.E.

[u] ὑποβάλλονται] ὑποβάλλεται A.V.

ΚΑΥΚΙΟΝ] Vid. Scal. de re num. p. 57. Caucum. REINES. Vid. Du Cangii Gl. Gr.

[x] τοῖς σοφοῖς] τοῖς om. A.B.V.E.

ΚΑΥΛΟΣ] Il. ν'. 162.

[y] πάντων] πάντα A.B.V.E.

ΚΑΥΛΩΝΙΑ] Vid. Wesseling. Diod. Sic. XIV. 103.

[z] ΚΑΥΝΑΚΗΣ: Ὁ ἀγών] Ex Schol. Aristoph. Vesp. 1132. KUST. Arrian. Exp. p. 436. TOUP.

ΚΑΥΝΙΟΣ ἜΡΩΣ] De infelici amore Cauni et Byblidis legendus est Parthenius Erot. c. XI. et Ovid. Metamorph. lib. IX. Vide etiam supra v. Βύβλις, et v. Κάννος. KUST.

[a] ἐπιθυμιῶν] ἐπιθυμῶν V. Post h. gl. delevi ΚΑΥΡΟΣ: Ὁ κοῦφος ταῖς φρεσίν· οἱονεὶ αὖρός τις ὢν, καὶ πλεονασμῷ τοῦ κ καῦρος, cum A.B.V.E. Habet Etymologus.

b Καυσίη, ἡ τοπάροιθε c Μακηδόσιν εὔκολον ὅπλον,
καὶ σκέπας ἐν νιφετῷ, καὶ κόρυς ἐν πολέμῳ.

Καύσωνος: Θέρμης.

Καυστειρὸς, Καυτηρὸς δέ.

Κάϋστρος: d Ποταμός.

Καυτήν: 'Εν e 'Επιγράμμασι·

Ἄνθετο δέρμα λέοντος . . . . . . . .
Τεῦκρος Ἄραψ, καὐτὴν ἀγρότιν αἰγανέαν.

Καυχᾶι: Οἱ λοιποὶ ῥήτορες ἐπὶ τῆς αὐτῆς ἐννοίας αὐχεῖν λέγουσι· Λυκοῦργος ἐν τῷ Περὶ Μαντειῶν ἐχρήσατο τῇ λέξει.

Δεῖ δὲ τἄλλα ἐν f δημοκρατίᾳ σοι εἰπεῖν· ἑνὸς δ' οὐκ ἔστι σοι· κακῶς γὰρ αὐτοῦ προέστης· ἐφ' οἷς καυχᾷ, οἱ ἄλλοι αἰσχύνονται.

Καυχώμενος: Μεγαληγορῶν.

Κάφος: Τὸ πνεῦμα, κατὰ διάλεκτον. Καὶ g Ὅμηρος·

C Κακῶς κεκαφηότα θυμόν.

Καφώρης:

Τὸ τῆς καφώρης h μίσησον δολερὸν καὶ κερδῷον.

Λέγουσι δὲ τὴν ἀλώπεκα.

Καφύη: Ὄνομα πόλεως.

Κάχεζεν: i 'Αριστοφάνης. 'Αντὶ τοῦ καὶ k ἀπεπάτει.

Καχέκται:

D l Ταῖς δὲ ἀληθείαις ὑπῆρχον ἐν m αὐτοῖς καχέκται μεταβολῆς οἰκεῖοι.

Καχεξία: Καὶ Καχεκτοῦντες, κακῶς τὴν ἕξιν

A n διατεθειμένοι, ἀσθενοῦντες. o Πολύβιος·

p 'Ο δὲ Περσεὺς q προσαγόμενος τὸν χρόνον καὶ τὸν πόνον, ἐξελύετο τῇ ψυχῇ, καθάπερ οἱ καχεκτοῦντες τῶν ἀθλητῶν. Ὅτε γὰρ τὸ δεινὸν r ἐγγίζοι, καὶ δέοι κρίνεσθαι περὶ τῶν ὅλων, οὐχ ὑπέμεινε τῇ ψυχῇ.

Καχλάζει: Ταράττεται, φλεγμαίνει, βράττει.

Κάχληκες: Λίθακες ἐν τοῖς ὕδασιν.

s 'Ηιρεῖτο δὲ ὁπόσον κάχληκος τοῦ ἐμφερομένου τοῖς ἐδάφεσι.

B Καὶ Κάχληξ, εἶδος ζωϋφίου τινός.

Καχρύων:

t 'Εσκίρτα, ἀπεπόρδει, ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον.

Κάχρυς: Τὰς κριθάς. u 'Αριστοφάνης·

Πίνονθ', ὡσπερεὶ κάχρυς γυναῖκ' ἀλοῦσαν.

Τουτέστι, καθάπερ τινὰ γυναῖκα ἀλοῦσαν κριθάς.

Καχυποτοπεῖσθαι: Τὸ x τέλειον, κακὰ y ὑπονοεῖσθαι. z Παρ' 'Αριστοφάνει.

C Καχυπότοπος: Καχύποπτος. Τοπάσαι γὰρ, τὸ ὑπονοῆσαι.

Κάψα: Κίστη, ἢ θήκη.

Καί: Σύνδεσμος συμπλεκτικός.

Καιάδας: Παρὰ Λάκωσι βασιλικὴ φρουρὰ, καὶ a Σικελιώταις. Παρὰ δὲ Πέρσαις, b οἴκημα μεστὸν τέφρας. Παρὰ δὲ Αἰθίοψιν οἱ κακοῦργοι c χρυσαῖς ἁλύσεσιν ἐδέδεντο. Εἰς δὲ τὸν d Καιάδαν εἰώθασιν οἱ

D Λάκωνες τοὺς κακούργους ῥίπτειν.

Καὶ δή: e Ἤδη.

Καὶ ἐν θεῶν ἀγορᾶι: f 'Επὶ τῶν καθ' ὑπερβο-

b Καυσίη, ἡ τοπάροιθε] Anthol. [Pal. VI. 335.] KUST. Polyæn. p. 535. τῇ κεφαλῇ καυσίαν ἐπέθετο Μακεδονικήν. TOUP. Vid. Etymolog. p. 487, 52. HEMST.

c Μακηδόσιν] Μακεδόσιν A.E.

ΚΑΥΣΩΝΟΣ] Vid. Schleusner. Lex. utroque in v.

d ὄνομα ποταμοῦ] ποταμός A.

ΚΑΥΣΤΕΙΡΟΣ, ΚΑΥΤΗΡΟΣ δὲ] Sic A.B.V.E. Vulgo Καυτηρὸς post Κάϋστρος. Et hic repetit V.

e 'Εν 'Επιγράμμασι] Anthol. Pal. VI. 57.

ΚΑΥΧΑΙ] Lex. Seg. apud Bekker. p. 275, 3. Καυχᾷ: αὐχεῖν ἐπὶ χρηστοῖς πράγμασι· Λυκοῦργος δὲ ἐπὶ φαύλοις κέχρηται, ὡς τοὺς ἀκούοντας αἰσχύνεσθαι.

f δημοκρατίᾳ] δημοκράτει V. qui mox καλῶς.

g Ὅμηρος] Il. έ. 698. KUST.

ΚΑΦΩΡΗ] Καφώρης A.V. Καφάρης B.E. et in exemplo. Σκαφώρη inter vulpium nomina recenset Ælianus N. A. VII. 47.

h μίσησον] μισητὸν V.

ΚΑΦΥΗ] Vid. Κύδας. HEMST.

i 'Αριστοφάνης] Acharn. 82.

k ἀπεπάτει] καὶ ἀπεπάτει A.

l Ταῖς] τοῖς E.

m αὐτῇ] αὐτοῖς A.B.E.

n διατεθειμένοι] διατιθέμενοι V

o Πολύβιος] XXIX. 6, 14.

p 'Ο δὲ Περσεὺς προσαγ. τὸν χρ. καὶ τὸν πόνον, ἐξελ.] His affinia sunt, quæ supra leguntur de Perseo v. 'Απεδειλίa. KUST.

q προσαγόμενος] προαγόμενος E. edd. ante Kuster. Tum πρὸς τὸν χ. V.

r ἤγγιζε] ἐγγίζει A.B.E. edd. ante Kuster. ἐγγίζοι V.

s 'Ηιρεῖτο δὲ ὁπόσον κάχλ.] Idem fragmentum legitur etiam supra v. 'Ηιρεῖτο. KUST. Hæc leguntur etiam supra v. 'Ηιρεῖτο. Interpres autem non intellexit. Ita enim reddit, *Cepit autem tantum glareæ, quantum sufficeret sternendo pavimento.* Κάχληξ ἐμφερόμενος τοῖς ἐδάφεσι est *glarea* sive *calculi, qui in fundo fluvii circumferuntur.* Sunt autem verba, ut videtur, alicujus Commentatoris ad 1 Samuel. XVII. 40. *And he chose him five smooth stones out of the brook.* Sed hoc hariolari est. Nostram autem interpretationem unice firmat Josephus Antiq. Jud. V. 1. cujus verba adscribam: Πορευτὸς ἔδοξεν ὁ ποταμὸς, τοῦ μὲν βάθους ἐπεσχημένου, τοῦ δὲ ΚΑΧΛΗΚΟΣ 'ΕΠΙ ΤΟΥ 'ΕΔΑΦΟΥΣ ΚΕΙΜΕΝΟΥ. TOUP.

t 'Εσκίρτα, ἀπεπόρδει] Aristoph. Vesp. 1297.

u 'Αριστοφάνης· Πίνονθ', ὡσπ.] Aristoph. Nub. 1361. Ἄιδειν τε πίνονθ', ὡσπερεὶ κάχρυς γυναῖκ' ἀλοῦσαν. Adi ipsum Comicum. KUST.

x τέλειον] τέλεια A.

y ὑπονοεῖσθαι] Imo potius ὑποτοπεῖσθαι. KUST. ὑπονοεῖν Schol. Aristoph.

z Παρ' 'Αριστοφάνει] Ran. 988.

F ΚΑΧΥΠΟΤΟΠΟΣ] Plato Rep. p. 224. Philo II. p. 570. ubi male καχυπόνου. Aristot. Rhet. p. 300. TOUP. Vid. Heindorf. ad Platon. Phædr. p. 240. E. ubi καχυποτόπους mss. meliores.

ΚΑΨΑ] Vid. ad Hesych. v. Κάμψα.

ΚΑΙΑΔΑΣ] Vide supra v. Βάραθρον, et infra v. Κεάδας. Confer etiam P. Leopard. Emend. lib. XIII. c. 14. et Meurs. Miscellan. Lacon. lib. III. c. 7. KUST. Heliodor. Æthiop. IX. p. 408. HEMST. Caput gl. om. V.

a Σικελιώταις] Σικελιώτης V.

G b οἴκημα] Sic Attici κατ' εὐφημίαν vocabant carcerem. Helladius apud Photium p. 1593. Ὅτι τὸ μὴ λέγειν δύσφημα πᾶσι τοῖς παλαιοῖς μὲν φροντὶς ἦν, μάλιστα δὲ τοῖς 'Αθηναίοις. Διὸ καὶ τὸ δεσμωτήριον οἴκημα ἐκάλουν, καὶ τὸν δήμιον, κοινὸν &c. KUST.

c χρυσαῖς ἁλύσεσι] Vid. Herodot. III. 23. et ibi not.

d Καιάδαν] Plutarch. Ag. et Cleom. p. 803. τὴν καλ. Δεκάδα, ubi leg. καλ. δὲ Καιάδαν. Vide Xyland. p. 60. TOUP.

H e Λοιπὸν ἤδη] λοιπὸν om. A.B.V. Photius, Καὶ δή: ὡς δή. et post Καινοτάφια: Καὶ δή: ἤδη. Hesych. Καὶ δή: ἐπὶ τοῦ ἤδη.

ΚΑΙ 'ΕΝ ΘΕΩΝ 'ΑΓΟΡΑΙ] In Vaticana Proverbiorum Appendice proverbium hoc plenius sic exponitur: 'Επὶ τῶν καθ' ὑπερβολὴν κατηγορούντων (lege κακηγορούντων, ut hic recte apud Suidam) εἴρηται ἡ παροιμία· ὅτι καὶ ἐν ἀγορᾷ Θεῶν δυσφημήσειαν. Θεῶν ἀγορὰ τόπος ἐν 'Ελευσῖνι· εἰσίασι δ'

λὴν κακηγορούντων εἴρηται ἡ παροιμία. [g]Θεῶν δὲ A
ἀγορὰ τόπος ἐστὶν ἐν Ἐλευσῖνι.

Καικίας: Ὁ ἄνεμος.

Καικίλιος, Σικελιώτης, [h]Καλλαντιανός· Κάλ-
λαντις δὲ πόλις Σικελίας· ῥήτωρ, σοφιστεύσας ἐν
Ῥώμῃ [i]ἐπὶ τοῦ Σεβαστοῦ Καίσαρος, καὶ ἕως Ἀδριανοῦ,
καὶ ἀπὸ δούλων, ὥς τινες ἱστορήκασι, καὶ πρότερον μὲν
καλούμενος Ἀρχάγαθος, τὴν δὲ δόξαν Ἰουδαῖος. Βι-
βλία δὲ αὐτοῦ πολλά· Κατὰ Φρυγῶν, δύο· [k]ἔστι B
δὲ κατὰ στοιχεῖον ἀπόδειξις τοῦ εἰρῆσθαι πᾶσαν λέξιν
καλλιρρημοσύνης· ἔστι δὲ ἐκλογὴ λέξεων κατὰ στοι-
χεῖον· [l]Σύγκρισις Δημοσθένους καὶ Κικέρωνος· Τίνι
διαφέρει ὁ Ἀττικὸς ζῆλος τοῦ Ἀσιανοῦ· Περὶ τοῦ
[m]χαρακτῆρος τῶν δέκα ῥητόρων· [n]Σύγκρισις Δημο-
σθένους καὶ Αἰσχίνου· Περὶ Δημοσθένους, ποῖοι αὐτοῦ
γνήσιοι λόγοι, καὶ ποῖοι νόθοι· Περὶ τῶν καθ' ἱστορίαν
εἰρημένων τοῖς ῥήτορσι· καὶ ἄλλα πλεῖστα. [o]Πῶς δὲ C
Ἰουδαῖος τοῦτο θαυμάζω. Ἰουδαῖος σοφὸς τὰ Ἑλληνικά.

Καῖκος: Ὄνομα ποταμοῦ.

Καὶ μήν: Ἀλλὰ μήν.

Καιναί: Πόλις.

Καινεύς: Ὄνομα κύριον.

Καινίζεται καὶ καινίζω σε: Αἰτιατικῇ.

Καινόν: [p]Τὸ νεωστὶ κατεσκευασμένον. Κενὸν
δὲ, τὸ μάταιον, διὰ τοῦ ε' ψιλοῦ.

Καινοπρεπές:

Μηχάνημά τι καινοπρεπὲς ἐτεκτήνατο λαθραίως, γλύψας [q]δοκῶν
μεγάλων τὸ μῆκος, καὶ ταύτας καθενώσας, ἐνείς τε μίαν ἅλυσιν
ταῖς γλυφαῖς, διήκουσαν ἐς πάσας, [r]μολίβδῳ τὸ τούτων κένωμα
ἔπλησε, [s]καὶ ταχυεργῶς λίαν ἀποκλείει τὰς ὄχθας [t]δι' αὐτοῦ τοῦ
[u]ποταμοῦ ἑκατέρωθεν σκευάσας [x]Δαρείους· ἐν [y]οἷς βοήθειαν
ἀποχρῶσαν βαλὼν, ἐστέρει τὴν πόλιν τῶν ἐκ τῆς θαλάττης ἀγω-
γίμων.

Καινός: Ὁ νέος.

Καινὸς γνώμην:

C Ἀντὶ τοῦ νέαν γνώμην εἰσηγούμενος.

[z]Καινὸς γνώμην, καινῶν ἔργων ἐγχειρητής.

---

εἰς αὐτὸν πάντες εὐφήμως. Hinc apparet, proverbium hoc
dici de hominibus impuræ et immodestæ linguæ, et qui
ne in locis quidem sacris, ubi linguis favendum est, a
maledictis et verbis male ominatis temperare possunt.
Vide etiam supra v. Θεῶν ἀγορά. KUST.

[f] Ἐπὶ τῶν—ἀγορὰ om. V.

[g] Θεῶν δὲ] Θεῶν γὰρ A.B.

ΚΑΙΚΙΑΣ] Leg. Καϊκίας a Caico fluvio. Vid. Salmas.
Plin. Exerc. f. 1259. REINES. Male. Vid. Aristoph.
Eq. 435.

ΚΑΙΚΙΛΙΟΣ] Vid. Ἑρμαγόρας Τήμνου etc. HEMST. Κε-
κίλιος A.B.E. Deest v. M. Vid. post Κεκιβδήλευται.

[h] Καλλαντιανός· Κάλλαντις δὲ πόλις Σικελίας] Lucas Hol-
stenius ad Stephanum v. Καλὴ ἀκτὴ recte monuit, scri-
bendum hic esse, Καλακτῖνος· Καλάκτη δὲ πόλις Σικελίας. E
Athenæus enim lib. VII. c. 21. Cæcilii hujus mentio-
nem faciens, patriam ejus scribit fuisse Καλὴν ἀκτήν; quæ
erat urbs Siciliæ, ut vel ex Herodoto patet, qui lib. VII.
c. 22. sic scribit: Ἡ δὲ καλὴ αὕτη ἀκτὴ καλεομένη, ἐστὶ μὲν
Σικελῶν, πρὸς δὲ Τυρσηνίην τετραμμένη τῆς Σικελίης. Ab He-
rodoto non discrepat Stephanus Byzantius v. Καλὴ ἀκτή;
si modo σφάλμα, quo codices ejus hodie corrupti sunt,
emendetur, et pro πόλις Κρητῶν reponatur πόλις Σικελῶν,
uti apud eum reponendum esse recte monuit modo lau- F
datus Holstenius. Pro Καλὴ ἀκτὴ autem contracte etiam
dicebatur Καλάκτη; cujus gentile est Καλακτῖνος, ut ex
Diodoro et veteribus nummis constat. Hinc autem patet
falli Meursium, qui in Bibliotheca Græca ex uno Cæcilio
duos fecit, alterum Callantianum ex Suida corrupto, et
alterum Caloactiten ex Athenæo recensens; cum ex iis,
quæ ante dicta sunt, apparere putem, et Suidam et A-
thenæum de uno eodemque Cæcilio intelligendos esse.
KUST. Καλλατιανὸς B.V.E. pr.

[i] ἐπὶ τοῦ Σεβαστοῦ Καίσαρος καὶ ἕως Ἀδρ.] Hæc si vera G
sunt, oportet Cæcilium τριγέροντος Nestoris ætatem super-
asse, quoniam inter obitum Augusti et initia Adriani
anni plus centum interjecti sunt. KUST. Vide Toupium
ad Longin. de Subl. s. 1.

[k] Ἔστι δὲ κατὰ στοιχ.—καλλιρρημοσύνης] Vel hæc omnia,
tanquam scholium, inducenda sunt, et post Φρυγῶν, δύο,
continuo legendum est, ἔτι δὲ (non ἔστι δέ) ἐκλογὴ &c. vel,
si relinquenda sunt, pro ἔστι δὲ scribendum est ἔτι δὲ,
quoniam verisimile non videtur, Cæcilium in opere con- H
tra Phryges de elegantia vocabulorum secundum ordi-
nem alphabeticum egisse. Mallem autem ea ex textu
ejicere, quoniam videntur esse scholium ad verba illa,
quæ proxime sequuntur, ἔτι δὲ ἐκλογὴ λέξεων κατὰ στοιχεῖον.
KUST.

[l] Σύγκρισις—ῥητόρων om. B.E.

[m] χαρακτῆρος] τοῦ χαρακτῆρος A.V.

[n] Σύγκρισιν] σύγκρισις V.

[o] Πῶς δὲ Ἰουδαῖος τοῦτο θαυμάζω. Ἰουδαῖος σοφὸς τὰ Ἑλλη-
νικά.] Sic V.E. cum edd. vett. Πῶς δὲ Ἰουδαῖος θαυμάζω A.
D Τοῦτο δὲ θαυμάζω, πῶς Ἰουδαῖος σοφὸς τὰ Ἑλληνικὰ Kusterus.

ΚΑΙΝΑΙ] Καινίνη em. Schurzfleischius Notit. Bibl. Vi-
nar. p. 233.

ΚΑΙΝΕΥΣ] Vid. Schol. Platon. p. 243.

ΚΑΙΝΙΖΕΤΑΙ] Vid. Abresch. ad Æschyl. II. 19. p. 369.

[p] Τὸν νεωστὶ] τὸ νεωστὶ A.B.V. Post κατεσκευασμένον
delevi καὶ τὸ παράδοξον cum A.B.V.

ΚΑΙΝΟΠΡΕΠΕΣ] Vossius ad Hesych. in Δαρεῖος.
HEMST. Adde Alberti ibid.

[q] μεγαλῶν δοκῶν] δοκῶν μεγαλῶν A.

[r] μολύβδῳ] μολίβδῳ A.V.

[s] καὶ ταχυεργῶς] καὶ om. B.V.E.M. Mox ἀποκλύει M.

[t] δι' αὐτοῦ τοῦ] διὰ τοῦ V.

[u] ποταμοῦ] Sic habet ms. Paris. A. At in prioribus
editt. [et B.V.E.] male legitur τόπου. KUST.

[x] Δαρείους] Vox hæc in mendo cubat, quam emendare
non est proclive, quoniam auctor, ex quo fragmentum
hoc depromptum est, ignoratur, vel plane forsan inter-
cidit. Ego interim, cum aliud non succurreret, πύργους
F in versione expressi. KUST. Hunc locum, cujus sensus
satis obvius est, corruptum esse facile vidit vir doctissi-
mus. Sed medicina deerat. Aliud enim est quid sit
pravum atque ὕπουλον in oratione indicare, aliud scriptoris
manum instaurare. Eam vero tibi ita præstandam esse
censuerim: ἑκατέρωθεν σκευάσας ΒΑΡΕΙΣ. De qua voce
adeundi Etymol. Mag. Suidas, Ammonius, et ad eum
doctissimus Valckenarius. Optime, ut solet, Hesychius:
Βάρις, πλοῖον, ἢ τεῖχος, ἢ στοὰ, ἢ πύργος. Intelligendæ autem
hic turres ligneæ, quæ utraque parte fluvii positæ com-
G meatum urbis interceperunt. Rem satis manifestam
dabit Procopius in Gothicis, lib. III. p. 282. qui huic
loco plane geminus germanus est. Δοκοὺς ἐς ἄγαν μακρὰς
ἐκ τῆς ἑτέρας ὄχθης ἄχρι ἐς τὴν ἑτέραν ἐξικνουμένας ἐνταῦθα ἐς
γεφύρας κατέθετο σχῆμα. ΠΥΡΓΟΥΣ ΤΕ ΔΥΟ ΞΥΛΙΝΟΥΣ
παρ' ἑκατέραν τὴν ὄχθην ΤΕΚΤΗΝΑΜΕΝΟΣ, φυλακτήριον κατ-
εστήσατο μαχίμων ἀνδρῶν, ὡς μηκέτι ἀκάτοις τισὶν ἢ πλοίοις
ἄλλοις ἐκ τοῦ πόρτου ἀναγομένοις ἐς τὴν πόλιν ἐσιτητὰ εἴη.
Confer etiam Procopium infra, p. 284. ubi de turribus
H hisce ligneis agit. TOUP.

[y] οἷς] αἷς B.E.M.

ΚΑΙΝΟΣ ΓΝΩΜΗΝ] A priore gl. sejunxi, et mox καινὸς
γνώμην addidi ex A.B.V.E. edd. ante Kuster.

[z] Καινὸς γνώμην] Utrumque fragmentum depromptum
est ex Aristoph. Av. 256. Ἥκει γάρ τις δριμὺς πρέσβυς, Και-
νὸς γνώμην Καινῶν ἔργων τ' ἐγχειρητής. Ubi Schol. Καινὸς

Καινός: Ἰσοκράτης ἀντὶ τοῦ, ὃς τοῖς νεωτέροις ἁρμόττει πράγμασιν. [b] Οὕτως δὲ καὶ Ἔφορος. A

Καινοτάφια: Κενά εἰσι ἑλισσόμενα ὡς τύπος νεκροῦ· ἤτοι τὰ μὴ ἔχοντα ἔνδοθεν νεκρόν.

Καινοτομεῖ: Αἰτιατικῇ. Καινουργεῖ. Ὅτι τὸ καινοτομεῖν ἐπὶ τοῦ ἄρχειν. [c] Ἀριστοφάνης·

Τοῦτο γὰρ ἡμῖν ἀντ' ἄλλης ἀρχῆς ἐστι.

Καινοτομία:

Καινοῦν: Παρὰ [d] Ἡροδότῳ τὸ λόγῳ τῷ καινῷ χρήσασθαι. B

Καινουργισμός: Ἡ ἀνακαίνισις, καὶ πρὸς τὸ ἀρχαῖον κάλλος ἀναμόρφωσις.

Καινόφιλον λέγουσι τὸν μὴ τοῖς αὐτοῖς φίλοις χρώμενον ἀεί.

Καινῶς: Ἀντὶ τοῦ παραδόξως.

Καίνυτο: Ἐνίκα.

Καιόμενος: Ἀπὸ τοῦ καίω, τὸ φλέγω.

Καίω σε: Αἰτιατικῇ.

Καίρια: [e] Τὰ συμφέροντα.

Τίνι γάρ ποτ', ὦ [f] φίλα γενέθλα, [g] πρόσφορον ἀκούσαιμ' ἔπος; τίνι φρονοῦντι καίρια;

[h] Ἀντὶ τοῦ, παρὰ τίνος ἀκούσαιμι τὰ συμφέροντα; οὕτω [i] Σοφοκλῆς. [k] Καὶ πάλιν·

[l] Ἡ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;

Καὶ αὖθις·

[m] Καιρὸν δ' ἐφήκεις.

Ἀντὶ τοῦ ἐπικαίρως ἥκεις.

[n] Ἐπελθεῖν εὔστοχος, ἀναχωρῆσαι καίριος, ἐνεδρεῦσαι τεχνίτης, μάχης ἐργάτης.

Καιρὸς λέγεται ὁ ἐκ τοῦ πλήθους τῶν ἀδικημάτων συναγόμενος ἀριθμὸς παρὰ θεοῦ, καὶ προκαλούμενος ἕως καιροῦ.

Καιριώτατα: [o] Ἐπικινδυνότατα, θανάσιμα.



A Καιρός: [p] Σοφοκλῆς·

Καιρὸς γάρ, ὅσπερ ἀνδράσι
μέγιστος ἔργου παντὸς ἔστ' ἐπιστάτης.

[q] Ἀντὶ τοῦ, ἐφ' ἑκάστου πράγματος τὸ καίριον καὶ χρησιμώτατον ὁ καιρός ἐστιν· ὅπου καὶ τὰ σπουδαῖα παρὰ καιρὸν γινόμενα οὐκ ἀποδέχονται· ὡς ἰατρὸν τῷ κάμνοντι περὶ φύσεως τοῦ νοσήματος διαλεγόμενον· ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο. Τὸ
B γὰρ καλὸν, μὴ [r] καλῶς γινόμενον, οὐ καλόν. Καὶ αὖθις·

[s] Ὁ δὲ Ἰουστινιανὸς, εἴτε ὑπὸ γήρως τὰ καίρια οὐ φρονῶν, εἴτε [t] ἄλλως ἔμελλε τὴν ὀρθογνώμονα περὶ Χριστοῦ δόξαν διακυκήσειν, εἰ μὴ ᾤχετο ἐξ ἀνθρώπων.

Καιρός: Καιροὺς ἡ γραφὴ καλεῖ τὰς συμφοράς.

Καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.
[u] Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου.

C [x] Ἀντὶ τοῦ . . . . . .

Καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν [[y] ἔλαιον:] Εὖ κεκαιρωμένων. [z] Καίρωμα δέ ἐστι τὸ διαπλεκόμενον ἐν τῷ στήμονι παρὰ τὸν μίτον, ὑπὲρ τοῦ μὴ συγχεῖσθαι τοὺς στήμονας.

Καιροφυλακῆσαι: Καιρὸν ἐπιτηρῆσαι.

Ὁ δὲ ἐκέλευεν αὐτὸν ἀναζευγνύναι, καὶ μὴ πολυπραγμονεῖν, μηδὲ καιροφυλακεῖν.

D Καιροφυλάκιον:

Καιρωστρίδες: Αἱ ὑφάντριαι. Καίρωσις γάρ, ἡ πλοκὴ τοῦ μίτου.

Καῖσαρ Ἰούλιος, ὁ πρῶτος μοναρχήσας. Ἔγραψε μετάφρασιν τῶν Ἀράτου Φαινομένων, Τέχνην γραμματικὴν Ῥωμαϊκῶς.

Καῖσαρ Αὔγουστος, [a] ὁ καὶ Σεβαστὸς, καὶ Ὀκτα-
E βιανὸς ἐπικληθείς. Ἔγραψε περὶ τοῦ ἰδίου βίου καὶ τῶν πράξεων αὐτοῦ βιβλία ιγʹ.

---

γνώμην. Νέαν γνώμην ἐξηγούμενος. Imo recte Suidas, εἰσηγούμενος. Est autem γνώμην εἰσηγεῖσθαι, *novam sententiam in medium proferre:* de quo consulendi rhetores Græci. TOUP.

ΚΑΙΝΟΣ: Ἰσοκράτης ἀντὶ τοῦ, ὃς τοῖς νεωτ.] Ex Harpocratione: apud quem tamen locus hic paulo aliter legitur. KUST. Cum Suida concordat Photius. Harpo- F cratio habet, Καινῶς, Ἰσοκράτης Πανηγυρικῷ, οἷον ὡς τοῖς ν. ἁρμόττειν πρ. Vid. Panegyr. p. 42. D.

[b] Οὕτω] οὗτος B.E.

ΚΑΙΝΟΤΑΦΙΑ] Κενοτάφια A.V.M. Gl. delevit Kusterus. Vid. infra in Κενοτάφια.

[c] Ἀριστοφάνης] Eccles. 580. Περὶ μὲν τοίνυν τοῦ καινοτομεῖν μὴ δείσῃς· τοῦτο γὰρ ἡμῖν Δρᾶν ἀντ' ἄλλης ἀρχῆς ἐστιν, τῶν δ' ἀρχαίων ἀμελῆσαι. KUST.

ΚΑΙΝΟΤΟΜΙΑ] Sic A. τοῦτο ἡ καινοτομία B.E. edd. vett. καινοτμ V.

[d] Ἡροδότῳ] Gloss. II. 100. Mox τῷ λόγῳ A.

ΚΑΙΝΟΥΡΓΙΣΜΟΣ] Καινουργησμὸς A.

ΚΑΙΝΟΦΙΛΟΣ ΚΑΙΝΟΦΙΛΟΝ] Καινόφιλος om. A.V. Photius.

ΚΑΙΝΥΤΟ] Vid. Od. γ'. 282.

[e] Ἔγκαιρα ἢ συμφέροντα] τὰ συμφέροντα A.B.V.

[f] φιλία] φίλα A.

[g] πρόφρων] πρόσφορον A.V.

[h] Ἀντὶ τοῦ—καίρια om. E.

[i] Σοφοκλῆς] Electr. 226. οὕτω Σοφ. om. M.

[k] Καὶ πάλιν—καίρια om. A.V. h. l. sed habent post gl. seq.

[l] Ἡ δρᾶν ἀμείνων εὑρ.] Sophocl. Aj. 119. Τούτου τίς ἂν σοι τἀνδρὸς ἦν προνούστερος Ἡ δρᾶν ἀμείνων &c. KUST.

[m] Καιρὸν δ' ἐφήκεις] Sophocl. Aj. 34.

[n] Ἐπελθεῖν εὔστοχος, ἀναχ.] Hæc sunt verba Dionis de rege Decebalo, ut monuimus etiam supra v. Δεινὸς, ubi fragmentum hoc auctius legitur. KUST.

ΚΑΙΡΟΣ] Καίριον εὔκαιρον. καὶ Καιρὸς V. Gl. om. B.E.M.

[o] Ἐγκαιρότατα, ἐπικινδυνότατα] Delevi ἐγκαιρότατα cum A.B.V.E.

[p] Σοφοκλῆς] Electr. 75. Ἀριστοφάνης A.V.

[q] Ἀντὶ τοῦ, ἐφ' ἑκάστῳ πρ.——διαλέγοιτο] Hæc sunt verba Scholiastæ ad modo indicatum locum Sophoclis. KUST.

[r] καλῶς] καλὸν B.

[s] Ὁ δὲ Ἰουστιν.] Ex Menandro, opinor. TOUP.

[t] ἄλλως] ἄλλα B.E.

ΚΑΙΡΟΣ—αἰῶνα] Ex Theodoret. in Ps. LXXX. 16.

[u] Καιρὸς παντὸς ἀνθρώπου] Respexit noster ad Genes. VI. 13. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Νῶε· Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου. *Tempus adest, quo omnes homines demetendi sunt.* TOUP. G

[x] Ἀντὶ τοῦ . . . . . Sic A.V.E.

ΚΑΙΡΟΣΕΩΝ Δ' ὈΘΟΝΕΩΝ ἈΠΟΛΕΙΒΕΤΑΙ ὙΓΡ.] Homer. Odyss. η'. v. 107. KUST.

[y] ἘΛΑΙΟΝ om. A.V.E.M.

[z] ΚΑΙΡΩΜΑ δέ] Hæc, et quæ sequuntur, sunt verba Scholiastæ ad modo indicatum locum Homeri. KUST.

ΚΑΙΡΟΦΥΛΑΚΗΣΑΙ] Vid. v. Λόχμη. TOUP.

ΚΑΙΡΟΦΥΛΑΚΙΟΝ] Sic V. et Photius.

H ΚΑΙΡΩΣΤΡΙΔΕΣ] Καιροστρίδες edd. vett. Vid. not. ad Hesych.

ΚΑΙΣΑΡ ἸΟΥΛΙΟΣ, ὁ πρῶτος μον.] Eadem leguntur etiam supra v. Γαῖος Ἰούλιος. KUST.

ΚΑΙΣΑΡ ΑΥΓ. ὁ καὶ Σεβ.] Vide supra v. Αὔγουστος, ubi eadem leguntur. KUST.

[a] ὁ καὶ] καὶ ὁ V.

Καῖσαρ Τιβέριος: Ἔγραψεν Ἐπιγράμματα, καὶ A Τέχνην ῥητορικήν.

Καῖσαρ: Οὕτως ὀνομάζονται οἱ Ῥωμαίων βασιλεῖς, ἀπὸ Ἰουλίου Καίσαρος, τοῦ μὴ γεννηθέντος. Τῆς γὰρ μητρὸς αὐτοῦ θανούσης ἐν τῷ θʹ μηνὶ, ταύτην ἀνατεμόντες, ἐξέβαλον αὐτόν· καὶ οὕτως ἐκάλεσαν [[b]αὐτὸν Καίσαρα.] Κατὰ γὰρ τὴν Ῥωμαίων [c]γλῶσσαν Καῖσαρ ἀνατομὴ λέγεται.

B Ὅτι ἐπὶ Ῥωμαίων τῶν πάλαι ὁ δῆμος ἦρχεν· αὖθις οἱ ὀλίγοι, καὶ τὰ [d]τελευταῖα ἐς μοναρχίαν κατέστη Ῥωμαίοις τὰ πράγματα, ἐξέτι Καίσαρος τοῦ πρώτου μοναρχήσαντος καὶ βασιλεύσαντος. Καὶ ἀστασίαστα διετέλει τὰ κοινὰ [e]ἄχρις ἐς Μάρκον Ἀντωνῖνον [f]Ῥωμαίων ἄρχοντα· ἐπεὶ δὲ ὁ τούτου παῖς ὁ [g]Κόμοδος τὴν φύσιν οὐ πάνυ φρενήρης, καὶ φιληδονίας ἥττων γενόμενος, καὶ οὐ μάλα [h]τοι ἀγαθὸς τὰ πολέμια, καὶ C φιλόψυχος, δολοφονηθεὶς ὑπό τινων κατελύθη, [i]ἐπαναστάσεις τε συνεχεῖς ἐγένοντο. . .

Καισαρεύς:

Καισάρεια, ἡ μητρόπολις, ἀπὸ Καίσαρος Τιβερίου Ὀκταβίου· [k]ἣν ἀφείλετο Ἀρχέλαον, πρότερον [l]Μάζακα ἐπονομαζομένην, ἔπειτα Καισάρειαν κληθεῖσαν τῇ ἰδίᾳ προσηγορίᾳ.

Καισάρειος, ὁ Γρηγορίου τοῦ Θεολόγου ἀδελφός. D Ἔγραψε διάφορα, καὶ κατὰ Ἑλλήνων.

Καίσωνος: Ὄνομα κύριον.

Καίστωνος: Ὄνομα κύριον.

Καὶ ταῦτ᾽ ἔχοντες κυμάτων ἐν ἀγκάλαις: Ἀντὶ τοῦ, ὄντες ἐν πολλοῖς κινδύνοις.

Καὶ [m]σφάκελοι ποιοῦσιν ἀτέλειαν: Πεισίστρατος, ὥς φασιν, ὁ τύραννος, δεκάτας τῶν γεωργουμένων ἀπῄτει τοὺς Ἀθηναίους. Παριὼν δὲ ἔσθ᾽ ὅτε, καὶ ἰδὼν πρεσβύτην πέτρας ἐργαζόμενον καὶ λιθώδεις τόπους, ἤρετο αὐτὸν, τίνας ἐκ τῶν τόπων κομίζοιτο τοὺς καρπούς. Ὁ δὲ ἀπεκρίνατο, [n]ὀδύνας καὶ σφακέλους. Θαυμάσας δὲ ὁ Πεισίστρατος τὴν παρρησίαν αὐτοῦ, ἀτέλειαν τῆς δεκάτης δέδωκε· καὶ ἐκ τούτου οἱ Ἀθηναῖοι τῇ παροιμίᾳ ἐχρήσαντο.

Καὶ τάχα ἴμεν: Καὶ ταχέως πορευόμεθα.

Καίοιτο: Ὑπάρχοιτο.

Καὶ τὸ τοῦ λύκου: Φασὶ λύκον ἰδόντα τὸν ποιμένα [o]ἢ καὶ κύνα τῶν ποιμενικῶν προβάτων ἐσθίοντα, εἰπεῖν· Ἐγὼ τοῦτο εἰ ἐποίουν, πόση κραυγὴ ἐγίγνετο ἄν;

Καί τοι σ᾽ οὐκ ἐρῶ γ᾽, ὡς οὐ φιλῶ: Τουτέστιν, οὐ κρύπτω τὸν ἐμὸν πόθον.

Καὶ χερσί: Καὶ ἔργοις.

Κέοιτο: [p]Ὑπάρχοιτο.

Κεάδας: Βάραθρόν ἐστι τόπος βαθὺς, ὅπου οἱ κακοῦργοι [q]ἐνεβάλλοντο Ἀθήνησι, καὶ οἱ ἐπὶ θανάτῳ, ὥσπερ εἰς τὸν [r]Κεάδαν οἱ Λακεδαιμόνιοι.

Κέαρ: Τὴν καρδίαν φησὶν [s]Ἀριστοφάνης·

[[t]Ἔγ᾽ ᾦδ᾽,] ἐφ᾽ ᾧγε τὸ κέαρ εὐφράνθην.

Κέαται: Κεῖνται.

Κέβης, Θηβαῖος, φιλόσοφος, Σωκράτους μαθητής. [u]Διάλογοι δὲ αὐτοῦ φέρονται τρεῖς, Ἑβδόμη, Φρύνιχος, [x]Πίναξ· ἔστι δὲ τῶν ἐν ᾅδου διήγησις· καὶ ἄλλα τινά.

Κέβρηνα, πόλις [y]Τρωάδος, Κυμαίων ἄποικος.

Κέγκλος: Εἶδος ὀρνέου θαλασσίου.

E ΚΑΙΣΑΡ—λέγεται] Eadem fere Cedrenus p. 165. ed. Paris.

[b] αὐτὸν Καίσαρα om. A.B.V.

[c] φωνὴν] γλῶσσαν A.B.V.

[d] τελευταῖα] τελευτὰ V.

[e] ἄχρις] ἄχρι A.V.E.

[f] Ῥωμαίων] Ῥωμαῖον V. Post ἄρχοντα E. addit ἦλθεν.

[g] Κόμμοδος] ὁ Κόμοδος A.E. ὁ Κόμμοδος B.V.

[h] τοι] τι B.V.

[i] ἐπαναστάσεις] ἐπαναστάσεις τε A.B.V.E. Tum συνεχέσταται V. συνεχέστατοι E. F

[k] ἣν ἀφείλετο Ἀρχέλαον, πρότερον Μάζ.] Eutropius in Breviario: *Archelai Cappadocis regnum in provinciæ formam redegit*, (Tiberius scilicet,) *et maximam civitatem appellari suo nomine jussit, quæ nunc Cæsarea dicitur, cum Mazaca antea vocaretur.* Hunc ipsum locum Suidas vertisse videtur: vel potius, sua descripsit ex Græco interprete Eutropii; non eo, quem hodie habemus, sed alio antiquiore, qui nunc intercidit. Exstant enim et alia apud Suidam loca, ex Eutropio ad verbum versa, ut G alibi lectorem monemus. KUST.

[l] Μάζακα] Μάζα καὶ V.

ΚΑΙΣΑΡΕΙΟΣ] Cæsarius pater Eudoxii, martyr sub Maximiano. Vid. supr. Εὐδόξιος. REINES. Καισάριος A.B.

ΚΑΙ ΤΑΥΤ᾽ ἜΧΟΝΤΕΣ ΚΥΜΑΤΩΝ ᾿ΕΝ ᾿ΑΓΚ.] Aristoph. Ran. 715. ubi vide Schol. Vide etiam infra v. Κῦμα. KUST.

ΚΑΙ ΣΦΑΚΕΛΟΙ ΠΟΙΟΥΣΙΝ ᾿ΑΤΕΛΕΙΑΝ. Πεισίστρ.] Totum hunc locum ex Zenobio Suidas descripsit. Vide H etiam infra v. Σφακελισμὸς, ubi eadem repetuntur. KUST.

[m] ΣΦΑΚΕΛΟΙ] σφάκελλοι B. Vide Diodori Siculi Exc. Vaticana p. 29. et notam Dindorfii p. 31.

[n] ὀδύνας καὶ σφακέλους] Adde ex Zenobio, et ipso Suida v. Σφακελισμός: καὶ τούτων δεκάτην Πεισίστρατος φέρει. KUST.

ΚΑΙ ΤΑΧΑ] Ex Timæo p. 151. ubi τάχει et πορευσόμεθα. In E. πορευσόμεθα pr.

ΚΑΙΟΙΤΟ] Sic A.V. Vid. infra Κέοιτο.

ΚΑΙ ΤΌ ΤΟΥ ΛΥΚΟΥ] Vid. Schol. Platon. p. 68. Heindorf. ad Phædr. p. 272 C.

[o] ἢ καὶ κύνα] Sic A. et V. pro v. l. ἢ καὶ λύκαιναν B.E. V.M.

ΚΑΙ ΤΟΙ Σ᾽ ΟΥΚ] Aristoph. Lys. 904. οὐ ante φιλῶ om. A.

[p] Ὑπάρχοι] ὑπάρχοιτο B.E. Photius. gl. om. A.V.

ΚΕΑΔΑΣ] Vide paulo ante v. Καιάδας. KUST. Eadem leguntur v. Βάραθρον. Κεάδαν V. Κεώδαν B.E. Κεώδας M.

[q] ἐνεβάλλοντο] ἐβάλλοντο A. ἐμβάλλονται V. et sic v. Βάραθρον.

[r] Καιάδαν] Κεάδαν A.V. Κεώδαν B.

[s] Ἀριστοφάνης] Acharn. 5.

[t] ἔγ᾽ ᾦδ᾽ om. A.B.E.M.

ΚΕΑΤΑΙ] Il. λʹ. 658.

[u] Διάλογοι δὲ αὐτοῦ—Πίναξ] Ex Laërtio. KUST.

[x] Πίναξ] Hodie adhuc sub nomine Cebetis *Tabula* quædam circumfertur; sed quæ vitæ humanæ, non vero eorum, quæ apud Inferos fiunt, descriptionem continet. Unde dubium videri potest, an *Tabula* illa vere Cebetis sit: vel saltem, an Suidas de eadem *Tabula* hic intelligendus sit, quæ hodie in manibus eruditorum versatur. Sed hac de re videndus omnino Samuel Petitus *Miscellan.* lib. IV. c. 4. KUST. Sequentia legerit Hemsterhusius, Ἔστι δὲ καὶ τῶν ἐν Ἅδου διήγησις, καὶ ἄλλα τινα.

ΚΕΒΡΗΝΑ, καὶ ΚΕΒΡΗΝ, πόλις τῆς Τρωάδος, Κυμ. ἀπ.] Ex Harpocratione. KUST. Κέβρινα A.B. Photius, Harpocrat. ms. Pal. Cum iisdem statim delevi καὶ Κέβρην. E. habet κέβρην tantum. Vid. Demosth. c. Aristocr. p. 671, 9.

[y] τῆς Τρωάδος] τῆς om. A.B.V. Photius.

ΚΕΓΚΛΟΣ] Κέγκλης M. Vid. in Ἡμερινὰ ζῶα.

Κεγχραμίδες: Τοῦ σύκου καὶ τῶν ἐλαῶν οἱ πυρῆνες λέγονται κεγχραμίδες. A

Κεγχρέα:

Κεγχρεαί: Ὄνομα τόπου.

Κεγχρεών: [z] Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον [a] γραφῇ·

Κἄπειτ' ἔπεισε τοὺς οἰκέτας τοὺς ἐμοὺς καθέζεσθαι εἰς τὸν κεγχρεῶνα.

Ἀντὶ τοῦ εἰς τὸ [b] καθαριστήριον, ὅπου τὴν ἐκ τῶν μετάλλων διέψυχον κέγχρον. B

Κεγχρήτισι:

[c] Καὶ νάρδῳ ψαφαρῇ, κεγχρήτισιν ἰσχάσιν ἀμφί.

Κεγχρίνης: Εἶδος ὀρνέου, ὃ λέγεται μηδόλως διψᾶν. [d] Ἢ εἶδος ὄφεως.

Κεδάζω: Σκορπίζω.

Κεδίκιος: Ὄνομα κύριον.

Κεδνός: Συνετὸς, σώφρων, ἢ φρόνιμος. Αἴας· C

[e] Κἀγὼ γὰρ, ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην
παρ' Ἕκτορος δώρημα [f] δυσμενεστάτου,
οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.

Κεδρωσία: Ὄνομα πόλεως.

Κέδροι: [g] Δένδρα ὑψίκομα καὶ ἄκαρπα· αἷς ἀπεικάζει [h] Δαβὶδ τὴν εἰδωλολατρείαν.

Κέθη: Ὄνομα κύριον.

Κέθηγος: Ὄνομα κύριον. D

Κεκαδησόμεθα: Φροντίσομεν.

Κεκαθίσθαι: Ἐκ τοῦ καθίζω.

Κεκασμένον: Κεκοσμημένον.

Κεκαυτηριασμένος: Μὴ ἔχων [k] ὑγιῆ τὴν συνείδησιν.

Κεκαινοπεποιημένοι:

[l] Ἵνα μὴ ὦσιν ἔκδιψοι καὶ προεκλελυμένοι, ἀλλ' ἐκπαθεῖς [m] καὶ κεκαινοπεποιημένοι.

Τουτέστιν ὑγιεῖς.

Κεκαφηότα: Ἐκπνεύσαντα.

Κεκιβδήλευται: Διαβέβληται, κατέγωσται, ἀποδεδοκίμασται, νενόθευται.

Κεκίλιος: Ὄνομα κύριον. Ζήτει τοῦτο πλατύτερον εἰς τὸ ΚΑΙ δίφθογγον ὀπίσω.

Κεκινέαται: [n] Κεκίνηται.

Κεκλάγξω, καὶ κεκλάγξομαι: Ἀντὶ τοῦ ὑλακτήσω. Ἐπὶ τῶν κυνῶν.

Κέκλεικα: Ἠσφάλισα.

Κεκλήατο: Ἐκ τοῦ καλῶ, καλέσω.

Κεκληγότες: Κράζοντες.

Κέκληκα: Ἐκάλεσα.

Κεκλίαται: Ἐκ τοῦ κλίνω. Καὶ κέκλικα, ὁμοίως.

Κεκλιμένος: Περιεχόμενος.

Κεκλόμενος: Παρακελευόμενος.

Κεκλοφέναι: Κλέψαι, ὑφελέσθαι.

---

ΚΕΓΧΡΙΜΙΔΕΣ] Imo, *κεγχραμίδες*. KUST. Utitur Theophil. ad Autol. p. 142. *ἐκ συκῆς κεγχραμίδος γίνεσθαι συκῆν.* TOUP. *Κεγχραμίδες* A.B.V.E. *λέγονται κεγχραμίδες* addit A. Vid. Gataker. ad M. Anton. p. 301.

ΚΕΓΧΡΕΑ] Diodor. Sic. IV. 72. ubi v. Wesseling. E

ΚΕΓΧΡΕΑΙ] Vid. Wass. ad Thucyd. VIII. 10.

ΚΕΓΧΡΕΩΝ] Photius in Lexico inedito vocem hanc sic interpretatur: *Κεγχρεών. τόπος Ἀθήνησιν, ἐν ᾧ ἡ ἀργυρῖτις ἐκαθαίρετο κέγχρος, καὶ ἡ ἀπὸ τῶν ἀργυρείων ἀναφερομένη ἄμμος.* Optime. KUST.

[z] *Δημοσθένης ἐν τῇ πρὸς Παντ. παραγρ.*] P. 627. KUST. P. 974.

[a] *παραγραφῇ*] *γραφῇ* A.B.V.E.M. Photius, Harpocrat. ms. Pal.

[b] *καθαριστήριον*] Sic etiam legitur in Lexico Photii inedito. Sed malim *ἐργαστήριον*. KUST. F

ΚΕΓΧΡΙΤΙΣΙ] *Κεγχρήτισι* A.B.E. Anthol. ms. *Κεγχρήτοισι* V.

[c] *Καὶ νάρδῳ ψαφαρῇ, κεγχρ.*] Anthol. Pal. VII. 231.

ΚΕΓΧΡΙΝΗΣ] Vid. vv. *Γαμψώνυχα. Ἐπιρυγχίδα.* ubi *Κεγχρῆϊς*. Idem forte *Κερχνῆς* Aristoph. Av. 306. ubi v. Dindorf.

[d] *εἶδος ὄφεως*] Vid. Nicand. Ther. 463. et Schneiderum ad eum locum. G

ΚΕΔΑΖΩ] Statim delevi *καὶ* ΣΚΕΔΑΖΩ, *καὶ* ΔΙΑΣΚΕΔΑΖΩ, cum A.B.V. Post gl. seq. delevi ΚΕΔΜΑΤΑ: *Τὰ χρόνια ἀλγήματα λέγει ὁ Ἱπποκράτης*, cum A.B.V. Irrepsit ex Zonara.

[e] *Ἐγὼ γὰρ, ἐξ οὗ*] Sophocl. Aj. 661. *κἀγὼ* A.B.E.M.

[f] *δυσμενεστάτου*] *βροτῶν* addunt A.B.E. seq. vs. om. A.V.

[g] *Δένδρα*] *δένδρη* V. Mox *εἰδωλολατρίαν* A.V.

[h] *Δαβὶδ*] Ps. XXVIII. 5. *φωνὴ Κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει κύριος τοὺς κέδρους τοῦ Λιβάνου.* Ad eum locum Theodoretus: *Σημαίνει διὰ τούτων τῶν λόγων τὴν τῶν εἰδώλων κατάλυσιν. Ἐπειδὴ γὰρ ὑψηλὰ ἦν πάλαι τὰ τῶν εἰδώλων τεμένη, καρπὸν οὐδένα τοῖς σεβομένοις ὀρέγοντα, ταῖς τοῦ Λιβάνου κέδροις ἀπείκασε ταῦτα, αἳ ὑψηλαὶ μέν εἰσιν, ἐδώδιμον δὲ καρπὸν οὐ πεφύκασι φέρειν.* H

ΚΕΚΑΔΗΣΟΜΕΘΑ: *Φροντ.*] Hoc sensu vox ista capitur apud Homerum Il. θ'. 353. ubi Scholiasta: *Κεκαδησόμεθα, λυπησόμεθα, φροντιοῦμεν.* KUST. Statim delevi *λυπηθησόμεθα. Ἴσως ἀπὸ τοῦ ἄχος, ἀχῶ, ἀχάζω, ἀχαδῶ, χαδῶ,* cum A.B.V.E. Plura vide apud Etymologum. Delevi etiam cum iisdem mss. ΚΕΚΑΔΟΝΤΟ. *Ἀντὶ τοῦ ὑπεχώρησαν. Ὅμηρος* (Il. ο'. 574.) *Ὑπὸ δὲ Τρῶες κεκάδοντο. Ἀπὸ τοῦ χάζω, τὸ ὑποχωρῶ, ὁ μέσος β' ἀόριστος ἐχαδόμην, ἐχάδοντο· τροπῇ τοῦ δασέος εἰς ψιλὸν, καὶ ἀναδιπλασιασμῷ ποιητικῷ, κεκάδοντο.*

ΚΕΚΑΣΜΕΝΟΝ] Od. γ'. 725. Aristoph. Eq. 682.

ΚΕΚΑΥΤΗΡΙΑΣΜΕΝΟΣ: *Μὴ ἔχων ὑγ.*] Respexit Suidas ad locum illum 1 ad Tim. IV. 2. *Ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν.* KUST.

[k] *ὑγιᾶ*] *ὑγιῆ* A.E. Photius.

ΚΑΙΝΟΠΕΠΟΙΗΜΕΝΟΝ] *Κεκαινοπεποιημένοι* A.E.B.

[l] *Ἵνα μὴ ὦσιν ἔκδιψοι*] Hæc verba leguntur etiam supra, v. *Ἐκπαθεῖς*. Interpretatio vero, quam adfert Suidas, plane ridicula est. *Ἐκπαθεῖς: Ὑγεῖς, Ἐκτὸς πάθους.* Ad utrumque tamen locum silent interpretes. Legendum proculdubio: ΕΥΠΑΘΕΙΣ *καὶ καινοπεποιημένοι· bene curati et refecti: fresh and in good spirits.* Sed nihil muto. Ita Alciphron in Epist. II. 4. p. 244. edit. Bergler. *Μὰ τὴν Καλλιγένειαν ἐν ᾗ νῦν εἰμι κατέχαιρον, Μένανδρε,* ΕΚΠΑΘΗΣ *ὑπὸ ἡδονῆς γινομένη.* Ubi vide editorem. De præpositionis *ἐκ* duplici et diversa vi consulas Valcken. Diatrib. in Euripidem p. 197. TOUP.

[m] *καὶ καινοπεποιημένοι*] *καὶ κεκαινοπεποιημένοι* A. *κεκαινοπεποιημένοι* B.V.E.

ΚΕΚΑΦΗΟΤΑ] Hom. Il. ε'. v. 698. KUST.

[n] *Κεκίνηται*] *κεκίνηνται* Etymologus, et Zonaras.

ΚΕΚΙΛΙΟΣ] Sic A.V. Integram historiam h. l. dant B.E.

ΚΕΚΛΑΓΞΩ—ΚΕΚΛΑΓΞΟΜΑΙ] Aristoph. Vesp. 924. *κεκλάγγω*, 925. *κεκλάγξομαι.*

ΚΕΚΛΗΑΤΟ] Il. κ'. 195.

ΚΕΚΛΙΑΤΑΙ] Il. π'. 68.

ΚΕΚΛΙΜΕΝΟΣ: *Περιεχόμενος*] Homerus Il. ε'. 740. *Πόντῳ κεκλιμένοι ἑκὰς ἥμεθα πατρίδος αἴης.* Ubi Scholiasta: *Πόντῳ κεκλιμένοι: παρακεκλιμένοι τῇ θαλάσσῃ, περιεχόμενοι.* KUST. Vid. Il. ε'. 709.

ΚΕΚΛΟΜΕΝΟΣ] Il. π'. 525.

Κεκλωσμένα [o]ὑπὸ τῆς εἱμαρμένης: Ἀμεταποίητα.

[[p]Νενησμένα κρατῶν δὲ προσδόκα λύπας.]

Κεκμηκώς: [q]Κάμνων. Καὶ χωρὶς τοῦ κ΄. [r]Ἐν Ἐπιγράμμασι·

> Ἐνθάδε [s]Καλλιμένης [t]φιλομήδεσιν ἄνθετο Μούσαις,
> [u]γήραϊ [x]κεκμηκὼς, ὄμματα καὶ παλάμας.

Κεκολουμένος: Ἀδυνάτως ἔχων, ἀμηχανῶν.

> [y]Τηξιμελεῖ νούσῳ κεκολουμένος ἔδραμε θυμῷ
> ἐς [z]προτέρην ἔργων ἄρσενα μαρτυρίην.

Ἢ κεκολουμένος, ἐκτετηγμένος.

Κεκομψευμένος: Σεμνὸς, ἢ ἀστεῖος, ἢ [a]ἐκκαλλώπιστος.

Κεκονιαμένοις: Ἀσβέστῳ κεχρισμένοις.

Οἶνος δὲ ἦν, ὃν ἐν λάκκοις κονιατοῖς εἶχον.

[b]Ξενοφῶν φησι.

Κεκονιμένος: Σπουδάζων πάνυ, καὶ σχεδὸν κόνεως πεπληρωμένος.

> [c]Ὃς ἂν
> μὴ πρῶτα πάνυ τοῦ κνέφους
> [d]ἥκῃ κεκονιμένος.

[e]Τουτέστιν, ἔτι τοῦ κνέφους ὄντος. Καὶ αὖθις·

> [f]Ἀλλὰ σιδηρείου [g]κεκονιμένη ἐκ πολέμοιο.

[h]Πρὸς γὰρ τὴν τοιαύτην δίαιταν ἔλεγον οἱ ἅγιοι τρεῖς παῖδες [i]κεκονίσθαι τὴν τῶν ὀσπρίων.

Ἀντὶ τοῦ [k]ἐνεθίζεσθαι. Σημαίνει δὲ τὸ [l]κεκονίσθαι, καὶ [m]τὸ κυλίεσθαι.

Κεκονιμένων: Σπευδόντων. Ἔτι τὴν κόνιν τοῖς ποσὶ περιφερόντων.

Δύο νεανίσκων κεκονιμένων, [n]καὶ ἀγγελίαν ἀπαγγειλάντων.

Κεκότητο: Ὤργιστο. Καὶ Κεκοτηότες.

Κεκωδωνισμένος: Ἐξητασμένος. Ἀπὸ τῶν τοὺς φύλακας διὰ τοῦ κώδωνος ἐξεταζόντων. Καὶ διακωδωνίσαι, τὸ ἐξετάσαι. [o]Ἀριστοφάνης Λυσιστράτῃ·

> Ὡς αἰσχρὸν ἀκωδώνιστον ἐᾶν.

Κεκωφῆσθαι: Κωφὸν γεγονέναι.

Κεκραγμόν: Τὴν βοὴν [p]Ἀττικοί.

Χοῖρον αὐτίκα ἐκ τοῦ πύργου ἐπικρεμάσαντες, τὸν κίνδυνον τὸν ἐκ τοῦ ἐλέφαντος διέφυγον. Κεκραγμὸν γάρ τινα σκαιὸν ὁ χοῖρος ἠρτημένος [q]ἠφίει· ὅπερ ὁ ἐλέφας ἀχθόμενος ἀνεχαίτιζε.

Κέκραχθι: Κράξον.

Κεκράκτης: Μεγαλόφωνος. [r]Ἀριστοφάνης·

> Κυκλοβόρου φωνὴν ἔχων.

[s]Ποταμὸς δὲ Ἀττικὸς ὁ [t]Κυκλοβόρος, χειμάρρους. Τὴν κακοφωνίαν οὖν εἴκασε τοῦ ποταμοῦ τῷ ἤχῳ. [u]Καὶ ἀλλαχοῦ·

> Ἅρπαξ, κεκράκτης, κυκλοβόρου φωνὴν ἔχων.

Κεκραμένον τρία καὶ δύο: Τρία μέρη [x]ὕδατος ἐπιδεχόμενον, [y]οἴνου δὲ δύο. Ἀρίστη κρᾶσις. [z]Ἀριστοφάνης·

> [a]Ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.
> Ἡ Τριτογενὴς γὰρ αὐτὸν [b]ἐνετριτώνισε.

---

[o] ΥΠΟ ΤΗΣ ΕΙΜ. Ἀμεταποίητα om. B.E.

[p] Νενησμένα κρ.] Versus hic oneirocriticus legitur apud Astrampsychum: qui ideo in hunc locum translatus est, quia τὸ νενησμένα idem significat quod κεκλωσμένα. KUST. A. in marg. Λύσις ὀνείρου V. κρατῶν δὲ om. B.E.

[q] ἐκ τοῦ κάμνω] κάμνων A.V. Photius.

[r] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 66.

[s] Καλλιμένης] Καλλιμέλης A.

[t] φιλομήδεσιν] In Anthol. φιλομειδέσιν, i. e. *risus amantibus*. KUST.

[u] γήραϊ] γῆρας B. γήραος E.

[x] κεκμηκὼς] κεκμηὼς Anthol. et sic reperisse videtur Suidas. Mox παλάμην Anthol.

[y] Τηξιμελεῖ νούσῳ] Anthol. Pal. VII. 234.

[z] προτέρην—μαρτυρίην] πρότερον—μαρτύριον E.

[a] ἐκκαλλώπιστος] Scribe εὐκαλλώπιστος, ut habet Photius in Lexico inedito. KUST. Sic etiam Lex. Seg. Vid. Ruhnken. ad Tim. p. 154. 155.

ΚΕΚΟΝΙΜΕΝΟΙΣ] Repræsentavi hic lectionem duorum meliorum mss. Paris. qui non solum hoc loco, sed etiam in sequentibus, ubi priores editt. κεκονιαμένος ingerunt, constanter κεκονιμένος exhibent. KUST. Κεκονιαμένοις A. B.V. edd. vett. Mox κεχρημένοις A.V.

[b] Ξενοφῶν] Anab. IV. 2, 22.

ΚΕΚΟΝΙΜΕΝΟΣ] Κεκονιαμένος B.E. edd. vett. Vide Hemsterhus. ad Lucian. Tim. c. 45.

[c] Ὃς ἂν μὴ πρῶτα] Aristoph. Eccles. 289. Ἠπείλησε γὰρ Ὁ Θεσμοθέτης, ὃς ἂν μὴ πρῴ πάνυ τοῦ κνέφους Ἥκῃ κεκονισμένος &c. Ceterum, utrumque dicitur, et κεκονισμένος, et κεκονιμένος. Illud a κονίζω; hoc a κονίω. KUST.

[d] ἥκει] ἥκῃ A.V.

[e] Τουτέστιν] ἀντὶ τοῦ A.V.

[f] Ἀλλὰ σιδ.] Anthol. Pal. VI. 124. πολλὰ σιδ.

[g] κεκονισμένη] κεκονιμένη A. κεκονιαμένη B.V.E. κεκονημένη Anthol. ms.

[h] Πρὸς γὰρ τὴν τοιαύτην] Pertinet ad Dan. I. 12.

[i] κεκονίσθαι] βεκονίσθαι V. κεκονεῖσθαι E. κεκονιᾶσθαι M.

[k] ἐνεθίζεσθαι] ἐνειθίζεσθαι A.B.V.E.

[l] ΚΕΚΟΝΙΣΘΑΙ] Sic duo mss. Paris. cujus loco priores editt. minus recte exhibent κεκονιᾶσθαι. KUST. βεκονίσθαι V. κεκονεῖσθαι E. Mox Κεκονιαμένων M.

[m] τὸ κυλίεσθαι] ἀντὶ τοῦ κυλίεσθαι A.V.

[n] καὶ τὴν] τὴν om. A.B.V.E. καὶ om. M.

ΚΕΚΟΤΗΤΟ] Κεκοτήοτο A.

ΚΕΚΩΔΩΝΙΣΜΕΝΟΣ: Ἐξητασμ.] Vide v. Ἀκωδώνιστον, v. Διακωδωνίσαι, v. Διεκωδώνισε, v. Ἐκωδωνίζοντο, et v. Κωδωνίσαι. KUST.

[o] Ἀριστοφάνης Λυσιστρ.] Ver. 486.

ΚΕΚΩΦΩΣΘΑΙ] Κεκωφῆσθαι A.B.V.E. Damascium Photii p. 1069. citat Toupius. Vide Porsonum ad Eurip. Orest. 1279. κεκωφεῖσθαι Photius m. pr.

[p] Ἀττικοὶ] Vid. notas ad Mœrin p. 226.

[q] ἀφίει] ἠφίει A.

ΚΕΚΡΑΧΘΙ] Κέκραθι A.V.E. edd. ante Kuster. qui Porti emend. tacite amplexus est. Vid. Aristoph. Vesp. 198. Thesm. 699.

[r] Ἀριστοφάνης] Equit. 137.

[s] Ποταμὸς δὲ Ἀττικὸς ὁ Κυκλοβ. χειμάρρους] Locus hic ex Scholiasta ad modo indicatum locum Aristophanis sic supplendus est: Ποτ. δὲ Ἀττ. ὁ Κυκλοβόρος, οὐκ ἀεὶ, οὐδὲ διὰ παντὸς ῥέων, ἀλλὰ χειμάρρους. KUST. ποτὲ V. et infra. Aliud Scholion descripsit Suidas, non id quod indicavit Kusterus; scil. ποταμὸς τῆς Ἀττικῆς χειμάρρους ὁ Κυκλοβόρος, ὑπὸ Ἀθηναίων χωσθείς. Τὴν κακοφωνίαν οὖν τοῦ Κλέωνος εἴκασε τῷ ἤχῳ τοῦ ποταμοῦ.

[t] Κυκλοβόρος] Κυβόριος V. κυκλοβόριος A.

[u] Καὶ ἀλλαχοῦ] Seqq. delevit Kusterus. Pro ἅρπαξ κεκράκτης etc. alium versum citat Scholiastes, ᾤμην δ' ἐγὼ τὸν Κυκλοβόρον κατιέναι.

[x] ἐπιδεχόμενον ὕδατος] ὕδατος ἐπιδεχόμενον A.V. Schol.

[y] καὶ οἴνου] οἴνου δὲ V. Schol. ἀρίστη κρᾶσις E. in marg.

[z] Ἀριστοφάνης] Equit. 1184. ubi pro ἔγχεε rectius legitur ἔχε καί: quam lectionem etiam agnoscunt 2 mss Paris. Vide etiam infra v. Πόμα κεκραμένον. KUST.

[a] Ἔγχεε] ἔχε καὶ A.E. Mox δύω A.

[b] ἐνετριτώνισε] ἐνετριτάνισε B.E.

[c]Βούλεται δηλοῦν, ὅτι ἡ Ἀθηνᾶ τοιοῦτον ἐποίησεν, ὡς [d]δύνασθαι τρία μέτρα φέρειν ὕδατος.

Κεκραμένη σπονδή: Ἣν ἔθυον μόνῳ τῷ Ἑρμῇ, διότι, ὥς φασι, καὶ ζώντων καὶ τετελευτηκότων [e]ἄρχει, καὶ παρ' ἀμφοτέρων τὰς τιμὰς δέχεται.

Κεκράξομαι: Οὐκ ἐπὶ φωνῆς, ἀλλ' ἐπὶ προθυμίας καὶ συντόνου καὶ σπουδαίας εὐχῆς. [f]Δαβίδ·

Πρὸς σὲ, Κύριε, κεκράξομαι.

Κεκραιπαληκώς: [g]Εὐφραμμένος.

Κεκρηγέναι ἢ κεκραγέναι.

Κεκριγότες Ἰλλύριοί: Ἀριστοφάνης. Ἀντὶ τοῦ ποιὰν φωνὴν ἀποτελοῦντες. Κεκριγότες οὖν, διὰ τὴν ἀσάφειαν τῆς φωνῆς αὐτῶν. Κρίγη γὰρ ὁ τῶν ἀποθνησκόντων τρισμὸς, τοῖς ὀδοῦσι γιγνόμενος.

Κεκριμένον: Ἀντὶ τοῦ ἐγνωσμένου.

Κεκροπίδης: Ὁ τοῦ Κέκροπος υἱός.

Κεκροπίς: Μία τῶν ἐν [h]Ἀθήνησι δέκα φυλῶν.

Κεκροπίς: [i]Ἀθῆναι, ἀπὸ Κέκροπος. Καὶ Κεκροπίδαι, οἱ Ἀθηναῖοι.

ΜΑΞΈΝΤΙΟΣ, βασιλεὺς Ῥωμαίων. Ὃς κακῶς τοὺς Ῥωμαίους ἐπέτριβε, τυραννικῷ μᾶλλον, ἢ βασιλικῷ τρόπῳ χρώμενος κατ' αὐτῶν, μοιχεύων [p]ἀνέδην τὰς τῶν ἐλευθέρων γυναῖκας, καὶ πολλοὺς ἀναιρῶν, καὶ ποιῶν τούτοις ἀκόλουθα. Τοῦτο γνοὺς ὁ μέγας Κων-
C σταντῖνος, ῥύσασθαι [q]Ῥωμαίους τῆς ὑπ' αὐτὸν [r]βασιλείας ἐσπούδαζεν, εὐθύς τε φροντίδα [s]ἐτίθει, τίνα τρόπον καθέλοι αὐτόν. Ἐν τοιαύτῃ οὖν φροντίδι ὢν, περὶ μεσημβρινὰς ἡλίου ὥρας [t]εἶδεν ἐν τῷ οὐρανῷ στύλον πυρὸς [u]σταυροειδῆ γράφοντα, ἘΝ ΤΟΎΤΩΙ ΝΊΚΑ· καὶ γέγονε Χριστιανός. Λικίνιος δὲ, ὁ [x]συμβασιλεύων αὐτῷ, τὰς [y]Ἑλληνικὰς ψύχων δόξας, ἐμί-
D σει Χριστιανοὺς, καὶ διωγμὸν μὲν προφανῆ φόβῳ Κωνσταντίνου κινεῖν ὑπεστέλλετο, λεληθότως δὲ πολλοὺς ἐσκευωρεῖτο. [z]Προϊὼν δὲ καὶ φανερῶς [a]ἐπεχεί-

y Καὶ Ὅμηρος] Seqq. Æliano tribuit Valckenærius. Leguntur infra v. Πλάστιγξ.

z Αἱρεσιάρχης] Statim delevi Ἡ ἀπὸ τοῦ Μάνεντος καὶ Μανιχαίου, cum A.B.V. Quæ quid sibi vellent, non intelligebat Kusterus, ita correxit Hemsterhusius: Ἡ ἀπὸ τοῦ Μάνεντος τοῦ καὶ Μανιχαίου. Pro Μανιχαίου E. Μανιχαῖοι.

a ἀντὶ τοῦ ἀκούω] Aristoph. Plut. 58. REINES..

b διότι] ὅτι A.B.V.

MANNON] Hæc om. A.

c Ὁ δὲ παρὰ Μάννον ἀπεχ.] Fragmentum hoc legitur etiam supra v. Ἀπεχώρησε, et v. Δεξιός. Sed posteriore loco scriptum est παρὰ Μάννου ἀπεχ. i. e. *A Manno discessit.* KUST.

d βασιλεὺς] βασιλεῖ V.

e φλὸξ] Statim delevi καὶ μανὸς cum A.B.V. Photio et Timæo p. 176.

f Καὶ ἡ μάννα ἀπὸ τοῦ τετρίφθαι ὠνόμασται] Sic etiam habet Photius in Lexico inedito: sed quæso, quo sensu? Quid enim hic sibi vult μάννα? Aut, quomodo ea vox a τετρίφθαι deduci potest? Quare statuat lector, utrum locus hic litura sanandus sit, an vero amplius de eo cogitandum. KUST. Animo versans hunc locum, mentem lexicographi hanc esse judicavi, quod sc. agens in hoc articulo de v. Μανὸς, quæ *rarum* et *tenuem* significat, subjecerit, vocem μάννα etiam esse a μανὸς, quando significat *grana thuris concussu elisa.* Plinius XII. 14. de thure, *Micas concussu elisas mannam vocamus.* Vid. Stephanum in v. Μάννα. Non itaque voluit dicere Suidas, vocem μάννα dictam esse ἀπὸ τοῦ τρίβεσθαι vel τετρίφθαι, quod absurdum foret, sed concussu elisa, rara et tenuia facta, ἀραιὰ, thuris grana dicta esse μάννα a μανός. BOS. Conf. Albert. ad Hesych.

g τετρίφθαι] S. μανῶς τετρίφθαι. TOUP. τετρύφθαι A.V.

[MANON] Hæc A. in marg. διαφέρει τὸ μ. τοῦ ν. V. in marg.

gg ΜΑΝΤΙΑΣ] ὁ ῥήτωρ Aristot. Rhet. II. 23. REINES. Μαντίας δὲ A.V. Gl. seq. om. A.

ΜΑΝΤΙΝΕΩΝ ΔΙΟΙΚΙΣΜΟΣ] Ex Harpocratione. Huc spectant verba illa Polybii lib. IV. c. 27. Οἱ Λακεδαιμόνιοι Μαντινεῖς φίλους ὄντας καὶ συμμάχους ἀναστάτους ποιήσαντες, οὐκ ἔφασαν ἀδικεῖν, ἐκ μιᾶς πόλεως εἰς πλείους αὐτοὺς διοικίσαντες. Eandem historiam tangit Diodorus Siculus lib. XIV. p. 336. [XV. 12.] Ammonius autem v. Οἰκίζεται, non Mantineam, sed Megalopolin a Lacedæmoniis διοικισθῆναι refert. Verba ejus hæc sunt: Διοικίζεται πόλις, ἡ ἐκ μιᾶς πόλεως μεγέθει ἰσχυούσης εἰς πολλὰ καταδιαιρουμένη ὑπὸ τῶν ἐχθρῶν, ἵνα ἀσθενὴς γένηται· ὡς οἱ Λακεδαιμόνιοι τὴν ἐν Ἀρκαδίᾳ
E Μεγάλην πόλιν διῴκισαν. Vel ergo ἁμάρτημα μνημονικὸν hic commisit Ammonius: vel ea, quæ refert, ad aliam historiam pertinent. KUST. Μαντιναίων A.V. et sic infra. Tum διωκισμὸς A.V.E. et sic Photii ms. et edd. ante Kuster. qui Porti emendationem tacite adoptavit.

h πόλιν διῴκισαν] διῴκησαν πόλιν A. Phot. διώκησαν E.M. διώκεισαν B. Vid. Isocrat. de Pac. p. 179 C.

i Πόλις Ἀρκαδικὴ] Hæc A. in marg. om. B.V.

k ΜΑΝΤΙΝΙΚΟΣ] Μαντινικὴ B. Μαντινεικὴ V. Μαντινεικος (ὴ) E. Et hæc A. in marg.

F l ἐν τῷ Πλίνθος] Sed ibi mentio fit vocis Μαντινειακὴ, non Μαντινικός. KUST.

ΜΑΝΤΙΣ: μάντις] Μάντις sec. om. A. qui et ἡ om. ante δοτική.

m γενικῶς] πληθυντικῶς καὶ γενικῶς E.

n ἔστιν ἀκρὶς δυσκ.] Vide supra v. Ἀρουραία, ubi eadem leguntur. KUST. Desunt hæc V. Habet A. in marg.

o Μαντειῶν] Delevi statim καὶ μαντοσύνη cum A.B.V.

ΜΑΞΕΝΤΙΟΣ, βασιλεὺς Ῥωμ.] Totum hunc articulum consarcinavit Suidas ex Socratis Histor. Eccles. lib. I. c.
G 2. 3. 4. ut Pearsonius observaverat. KUST.

p ἀναίδην] ἀνέδην A.

q τοὺς Ῥωμαίους] τοὺς om. A.V. Mox αὐτὸν A. pro αὐτοῦ.

r βασιλείας] Scribe δουλείας, ut habet Socrates. KUST.

s ἐποιεῖτο] ἐτίθει A.V. om. B.

t εἶδεν ἐν τῷ οὐρανῷ στύλον πυρὸς σταυροειδῶς γρ.] Locus hic apud Socratem rectius et plenius sic legitur: Εἶδεν ἐν τῷ οὐρανῷ στύλον φωτὸς σταυροειδῆ, ἐν ᾧ γράμματα ἦν, λέγοντα, Ἐν τούτῳ νίκα. KUST. οἶδεν V.

H u σταυροειδῶς] σταυροειδῆ A.

x συμβασιλεύων] συμβασι^λ A. qui εύσας habet suprasc. a m. rec. συμβουλεύων M.

y Ἑλλήνων] Ἑλληνικὰς A.V. ἔχων Socrat. pro ψύχων.

z προϊὼν δὲ καὶ φανερῶς ἐπεγείρει] Emenda et supple ex Socrate προϊὼν δὲ καὶ φανερῶς αὐτοὺς βλάπτειν ἐπεχείρει. KUST.

a ἐπεγείρει] ἐπεχείρει A.B.E. ἐχείρει V.

ρει· καὶ γίνεται διωγμὸς τοπικός. Τὸν δὲ Κωνσταντῖνον οὐκ ἐλάνθανε. Νόμῳ γὰρ ὁ Λικίνιος τοὺς ἐπισκόπους ἐκέλευε μὴ φοιτᾶν [b]παρ' ἀλλήλους, ὡς ἂν μὴ ἔχῃ πρόφασιν αὔξεσθαι τὰ Χριστιανῶν. [c]Διακοπείσης δὲ τῆς πλαστῆς φιλίας, εἰς ἀπέχθειαν ἦλθον· καὶ τέλος ἀναιρεῖται ὑπὸ Κωνσταντίνου ὁ Λικίνιος.

Μαξιμῖνος, βασιλεὺς Ῥωμαίων. Οὗτος παραλαβὼν τὴν ἀρχὴν, πολλὴν τὴν μεταβολὴν ἐποιήσατο, τραχύτατα καὶ μετὰ πολλοῦ φόβου τῇ ἐξουσίᾳ χρώμενος· ἔκ τε ἡμέρου βασιλείας εἰς τυραννίδος ὠμότητα μεταγαγεῖν [d]πάντα ἐπειρᾶτο. Φύσει δὲ ἦν τὸ ἦθος, ὥσπερ καὶ τὸ γένος, βάρβαρος, [e]τό τε φοινικὸν πάτριον ἔχων. Εὐθέως οὖν τούς τε φίλους πάντας, οἳ συνῆσαν τῷ Ἀλεξάνδρῳ, σύνεδροί τε ὑπὸ τῆς συγκλήτου [f]ἐπιλεχθέντες, ἀπεσκευάσατο, βουλόμενος [g]μόνος εἶναι ἐν τῷ στρατῷ, καὶ μηδένα αὐτῷ παρεῖναι ἐκ συνειδήσεως [h]εὐγενῆ. Πλείστους δὲ αὐτῶν καὶ ἀπέκτεινεν, ἐπιβουλὰς ὑποπτεύων.

[i]Βασιλεύων δὲ τῆς ἑώας, πολλὰ μιαρὰ καὶ ἄτοπα καθ' ὑπερβολὴν ἐπεδείξατο· καὶ πρὸς τούτοις διωγμὸν ἀπηνῆ καὶ ἀπάνθρωπον κατὰ πᾶσαν [k]τὴν ἀνατολὴν εἰς τοὺς Χριστιανοὺς, καθ' ὃν πλεῖστοι τῶν εὐδοκίμων ἐμαρτύρησαν. Ἄξια δὲ τῆς δυσσεβείας αὐτοῦ [l]τὰ προοίμια τῆς μελλούσης αὐτὸν διαδέχεσθαι κολάσεως εἰκότως πέπονθε. Νόσῳ γὰρ δεινοτάτῃ περιπεσόντος, ἀλγηδόνες ἰσχυραὶ τὴν πᾶσαν σάρκα αὐτοῦ διελυμαίνοντο· καὶ τὰ μὲν ἔγκατα διεφθείροντο ὑπὸ τῆς ἐνδο- A μυχούσης σφοδροτάτης πυρώσεως· ἡ δὲ σὰρξ πᾶσα κηροῦ δίκην ἐξετήκετο· λαβροτέρως δὲ [m]φλογιζομένῳ καὶ τηγανιζομένῳ καὶ αὐτὰ συνεφρύγησαν τὰ ὀστᾶ, ὥστε ἐξαφανισθῆναι καὶ τὸν χαρακτῆρα τῆς ἀνθρωπίνης μορφῆς. Ἐλεεινῶς δὲ κατασηπόμενος, τοσαύτην δυσωδίαν ἐξέπεμπεν, ὡς οὐδὲν τῶν ἐν τάφοις διαλυθέντων διαφέρειν. Ὁ δὲ βραχὺ ἐμπνέων καὶ στενάξας ἀπέθανε.

B Μάξιμος Τύριος, φιλόσοφος, διέτριψε δὲ ἐν Ῥώμῃ [n]ἐπὶ Κομόδου. [[o]Ἔγραψε] περὶ Ὁμήρου, καὶ τίς ἡ παρ' αὐτῷ ἀρχαία φιλοσοφία· [p]Εἰ καλῶς Σωκράτης οὐκ ἀπελογήσατο· [q]καὶ ἄλλα τινὰ φιλόσοφα ζητήματα.

Μάξιμος Ἠπειρώτης, [r]ἢ Βυζάντιος, φιλόσοφος, διδάσκαλος Ἰουλιανοῦ Καίσαρος τοῦ παραβάτου. Ἔγραψε [s]Περὶ ἀλύτων [t]ἀντιθέσεων, [u]Περὶ καταρ- C χῶν, Περὶ ἀριθμῶν, Ὑπόμνημα [x]εἰς Ἀριστοτέλην, καὶ ἄλλα τινὰ πρὸς τὸν αὐτὸν Ἰουλιανόν.

Μαπέειν: Καταλαβεῖν.

Μαραθίωνος: [[y]Καὶ Μαραθήσιον, ὄνομα τόπου.]

Μαραθών: Τόπος Ἀθήνησιν· ἀπὸ Μαράθου, υἱοῦ Ἀπόλλωνος. Τοῦτον Καλλίμαχος Ἐννότιον λέγει, τουτέστιν [z]ἔνυδρον. Καὶ Μαραθώνιον ἔργον. [Καὶ, D Μαραθωνομάχαι, σφενδάμνινοι. Περὶ Μαραθῶνος ἐν τῷ Διεξιφίσῳ.]

[b] παρ' ἀλλήλους] Scribendum est παρ' Ἕλλησιν, ut habet Socrates. Vel, quod est usitatus, παρ' Ἕλληνας, in casu quarto. KUST.

[c] Διακοπείσης] διασκοπείσης V.

ΜΑΞΙΜΙΝΟΣ,—ὑποπτεύων] Hæc omnia leguntur apud Joannem Antiochenum in Excerptis a Valesio editis, p. 830. unde ea Suidas descripsit. Maximinus autem de quo hic agitur, est ille, qui vulgo Thrax dicitur, et Alexandrum Severum excepit. KUST.

[d] πάντα] πάντας B.E.M.

[e] καὶ τὸ] τό τε A.B.V.E.

[f] ἐπιλεχθέντες] Sic habent mss. Paris. itemque Joannes Antiochenus loco laudato. At priores editt. minus recte, [cum E.] συνεπικληθέντες. KUST. Vid. Cuper. Lactant. t. II. p. 469.

[g] μόνος om. B.E.

[h] εὐγενῆ] εὐγενοῦς A.B.V.E. edd. ante Kuster. Excerpt. μηδὲν supra Excerpt. Mox πλείους A.

[i] Βασιλεύων δὲ τῆς ἑώας, πολλὰ μιαρὰ καὶ ἄτ.] Hæc, et quæ sequuntur, non de Maximino Thrace, sed Galerio Maximiano intelligenda sunt, ut patet ex Euseb. Hist. Eccles. lib. VIII. c. 14. et 16. Male ergo Ecloga hæc priori absque ulla nota distinctionis subjuncta est, quæ ob argumenti diversitatem inde non solum distinguenda, sed etiam sub alio capite collocanda erat. KUST. In re manifesta sejungere non dubitavi.

[k] τὴν ἀνατολὴν] τὴν om. A.B.V.E.

[l] τὰ προοίμια] τὰ om. A.B.

[m] φλογιζομένῳ] καὶ τηγανιζομένῳ addunt A.V. λαυροτέρως M.

[n] ἐπὶ Κομόδου] Imo et ante eum, si vera est sententia Scaligeri, Jonsii, et Jacobi Capelli, existimantium, Maximum Tyrium unum fuisse ex præceptoribus Marci Antonini: quod tamen in dubium revocat Gatakerus ad Marc. Anton. lib. I. §. 15. quem lector consulat. Ante Commodum tamen Maximum Tyrium floruisse fidem facit Eusebius in Chronico, et qui eum exscripsit, Georgius Syncellus: quippe qui eum ad imperium Antonini Pii referunt. KUST. Euseb. in Chron. sub an. IX. Anton. Pii eum cum aliis Cæsaris Verissimi nominat præceptorem. REINES.

[o] Ἔγραψε περὶ Ὁμήρου, καὶ τίς ἡ π.] Hæc Dissertatio hodie adhuc exstat, præfixo hoc lemmate: Εἰ ἔστι καθ' Ὅμηρον αἵρεσις. KUST. ἔγραψε om. A.B.V.E.

[p] Εἰ καλῶς Σωκράτης οὐκ ἀπελογ.] Et hæc dissertatio hodie E adhuc in manibus eruditorum versatur. KUST.

[q] καὶ ἄλλα τινὰ φιλόσοφα ζητ.] Exstant hodie XLI. Διαλέξεις, sive Dissertationes Maximi Tyrii, varii argumenti. KUST.

ΜΑΞΙΜΟΣ Ἠπειρ.] Occisus est a Proc. Asiæ Festo. Vid. infra Φῆστος. REINES.

[r] ἢ Βυζάντιος] Suidæ repugnat Socrates, quippe qui Hist. Eccles. lib. III. c. 1. Maximum philosophum, præceptorem Juliani imperatoris, (quem tamen non Epirotam, sed Ephesium facit,) expresse a Maximo Byzantio F distinguit. Verba ejus hæc sunt: Προκόπτοντος δὲ αὐτοῦ κατὰ τὴν ῥητορικὴν, ἐφίσταται τῇ Νικομηδείᾳ Μάξιμος ὁ φιλόσοφος, οὐχ ὁ Βυζάντιος, ὁ Εὐκλείδου πατὴρ, ἀλλ' ὁ Ἐφέσιος, &c. Hoc Maximo Julianum imperatorem doctore et magistro usum esse, Socrates ibidem refert. Ad eundem hodie exstant duæ epistolæ Juliani imperatoris, XV. et XVI. Plura de eo vide apud Eunapium in Maximo. KUST. Vid. Vales. ad Ammian. Marcell. XXIX. 1. 42. Wyttenbach. Eunap. p. 163.

[s] περὶ ἀλύτων] Adjunxit hoc scriptum H. Stephanus G quibusdam Dionysii Halicarnassensis partibus a se primum in lucem datis Lutet. apud C. Steph. 1544. p. 44. quod fugit Fabricium Bibl. Gr. VIII. p. 769. HEMST. Vid. Fabric. B. G. T. IX. p. 570.

[t] ἀντιθέσεων] ἀντισθέντων V.

[u] Περὶ καταρχῶν] Hoc opus, initio mutilum, e Codice Mediceo edidit Joannes Albertus Fabricius Bibl. Gr. t. VIII. p. 415. Conf. Wesseling. Probab. c. 17.

[x] εἰς] πρὸς B.V.E.M.

H ΜΑΠΕΕΙΝ] Hesiod. Scut. 231. 304.

[y] Καὶ Μαραθήσιον] Seqq. om. A.

ΜΑΡΑΘΩΝ] Vide Meursium in libello de Pop. Att. v. Μαραθών. KUST. Vid. Schol. Platon. p. 139.

[z] δίυγρον ἢ ἔνυδρον] δίυγρον ἢ om. A.B.V.

ΜΑΡΑΘΩΝΟΜΑΧΑΙ, ΣΦΕΝΔΑΜΝ.] Aristophanes Ach. 179. Hæc om. A. qui περὶ Μαραθ. etc. in marg.

Μαραναθά: Ἑβραϊστὶ, [a]ἀντὶ τοῦ, εἶδον τὸν [b]κύριον.

Μαραναθά: Κατὰ τὴν Ἑβραΐδα φωνὴν [c]λέγει, [d]ἀντὶ τοῦ, ὁ Κύριος ἡμῶν ἦλθε. Τὸν δὲ τῆς οἰκονομίας βεβαιῶν λόγον, τοῦτό φησιν· ὡσανεὶ ἔλεγεν, ὁ πάντων ἡμῶν δεσπότης καταβῆναι τοσοῦτον κατηξίωσε, καὶ ὑμεῖς ἐν τοῖς αὐτοῖς ἐστὲ ἁμαρτάνοντες, καὶ οὐ φρίττετε τῆς ἀγάπης τὴν ὑπερβολὴν, τῶν ἀγαθῶν τὸ κεφάλαιον. Ἐννόησον γὰρ τοῦτο μόνον, φησὶ, καὶ ἀρκέσει σοι εἰς πάσης ἀρετῆς προκοπήν· καὶ πᾶσαν δυνήσῃ κατασβέσαι τὴν ἁμαρτίαν.

Μαραντώπη: Ὄνομα κύριον.

Μάρας, ἀπὸ Βεροίας, τῆς ἐν Συρίᾳ πόλεως, ἀνὴρ τῶν πλουσιωτάτων, ἀλλ᾽ ὅμως ὁ κόρος οὐδεμίαν αὐτῷ ὕβριν ἐνέτεκεν. Οὐδὲ γὰρ κόρος οὐδεὶς ἐφαίνετο τῶν χρημάτων, ἀλλὰ ταῦτα μὲν ὄργανα ἐποιεῖτο δικαιοσύνης τε καὶ φιλανθρωπίας, ἐπιχορηγῶν τε τοῖς δεομένοις, καὶ φιλοτιμούμενος ἐν τοῖς πολιτεύμασιν. Οὕτω παρεῖχεν ἑαυτὸν τοῖς πᾶσιν ἐπιεικῆ καὶ δίκαιον, ὥστε οὔτε τῶν πολιτῶν οὐδεὶς αὐτῷ [e]ἐγκέκληκε πώποτε, οὔτε [f]ξένων, οὔτε τῶν ἀστυγειτόνων, οὔτε τῶν ἐν ἀγροῖς ὁμορούντων. Οὐ μὴν ταῦτα δικαιοσύνης ἔργα ἀπελογίζετο, εἰ μηδένα [g]ἀδικοίη τῶν πολιτευομένων· ἀλλ᾽ ἐκεῖνα μᾶλλον, εἰ μὴ κάμνοι εὐεργετῶν. Τοιγαροῦν οὐ τῶν ἑαυτοῦ μόνον ἐπεμελεῖτο πραγμάτων, ἀλλὰ καὶ τῶν ἀλλοτρίων, μάλιστα τῶν [h]περικεκτημένων ἔν τε τῷ ἄστει, καὶ κατ᾽ ἀγρούς. Μάλιστα δὲ τούτου τεκμήριον, εἴ τις ἠβούλετό τι πωλεῖν, ἤ τις ὠνεῖσθαι τῶν πλησιαζόντων αὐτῷ, ὁ μὲν προσαπήτει, ὁ δὲ προσετίθει τῷ τιμήματι τῆς ἄλλης ἀξίας, ὑπὲρ αὐτοῦ γέ τοι δήπουθεν, ὑπὲρ τοῦ κτήσασθαι ὅμορον καὶ γείτονα Μάραν, τὸν πάντων ἀνθρώπων [i]δικαιότατον. Ὥστε καὶ ἐξενίκησεν [k]εἰς παροιμίαν ὁ Μάρας, ἐπὶ δικαίᾳ χρήσει τῶν πέλας.

Μαργαρίτης:

[Μαργαρῖται δηλοῦσι δακρύων ῥόον:]

Μαργαίνει: Μαίνεται.

Μάργης, καὶ μάργος: Μαινόμενος. Καὶ [l]ὑπερμαργότερος, ὁ ὑπερμαινόμενος. Καὶ γαστρίμαργος, ὁ περὶ τὴν γαστέρα μεμηνώς.

Μαργίτης: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἐπωνυμίαν Ἀλεξάνδρῳ Μαργίτην ἔθετο. Ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτως.

Μαργίτης: Ἀνὴρ ἐπὶ μωρίᾳ κωμῳδούμενος. [m]Ὄν φασιν ἀριθμῆσαι μὲν μὴ πλείω τῶν ε´ δυνηθῆναι· νύμφην δὲ ἀγόμενον, μὴ ἅψασθαι αὐτῆς, ἀλλὰ φοβεῖσθαι, λέγοντα, μὴ τῇ μητρὶ αὐτὸν [n]διαβάλλῃ· [o]ἀγνοεῖν δὲ νεανίαν ἤδη γεγενημένον, καὶ πυνθάνεσθαι τῆς μητρὸς, εἴγε ἀπὸ τοῦ αὐτοῦ πατρὸς ἐτέχθη.

Μαργῶσαν χεῖρα: Μαινομένην χεῖρα.

Μαρδόνιος: Ὄνομα κύριον.

Μάρδονος:

Μαρδοχαῖος: Ὄνομα κύριον. [[p]Ἔστιν ἐν τῷ Ἀμὰν, καὶ ἐν τῷ Ἐσθήρ.]

ΜΑΡΑΝΑΘΑ] Usus est hac voce D. Paulus 1 Corinth. XVI. 22. ubi Theophylactus inquit: Μαραναθά. Τουτέστιν, ὁ Κύριος ἦλθε. Τοῦτο δὲ εἶπεν, ἅμα μὲν τὸν τῆς οἰκονομίας βεβαιῶν λόγον, καὶ διὰ τοῦτο τὴν ἀνάστασιν· ἅμα δὲ καὶ ἐντρέπων αὐτοὺς, ὅτι ὁ δεσπότης ὑπὲρ ἡμῶν πάντα κατεδέξατο, &c. KUST. Vid. Chrysost. Hom. XL. in Corinth. I. t. X. p. 410. ed. Montfauc.

[a] ἀντὶ τοῦ, εἶδον τὸν Χριστόν] Melior et verior vocabuli hujus interpretatio traditur in voce sequenti. KUST. Sed vid. Albert. ad Hesych. et Gloss. Gr. p. 44.

[b] Χριστὸν] κν̄ vel κύριον A.B.V.E. Hesych.

[c] λέγεται] λέγει A. voc. om. E.

[d] ἀντὶ τοῦ, ὁ Κύριος ἡμῶν ἦλθε] Sic etiam vocem hanc interpretatur Theophylactus, cujus verba in nota præcedenti adduximus. Certe *Mar* apud Syros *dominum* significat; ut vel ex Philone in Flaccum constat, qui Μάριν scribit τὸν κύριον ὀνομάζεσθαι παρὰ Σύροις. Μάριν enim idem est, quod Syrorum *Mar*, addita tantum terminatione Græca. KUST.

ΜΑΡΑΣ, ἀπὸ Βεροίας, τῆς ἐν Συρ.] Hunc articulum excerpsit Suidas ex scriptore aliquo, qui hodie intercidit. KUST. Damascium statuere videtur Kusterus ad Μέτριοι, quanquam ibi Maras in Laodicea Syriæ dicatur habitasse. HEMST.

[e] ἐγκέκληκε] ἐγκέκλικε E. Mox πώποτε A.B.V. pro ποτε.

[f] τῶν ξένων] τῶν om. A.B.V.E. Mox τῶν ἀστυγειτόνων E. τῶν κατ᾽ ἄστυ γειτόνων A.B.V.

[g] ἀδικοίη] ἀδικεῖν A.B.V.E.

[h] περικεκτημένων] παρακεκτημένων A.V.

[i] δικαιότερον] δικαιότατον A.B.V. Mox καὶ post ὥστε ex A.

[k] εἰς παροιμίαν—χρήσει] ἡ παροιμία—κρίσει E.

ΜΑΡΓΑΡΙΤΑΙ ΔΗΛΟΥΣΙ ΔΑΚΡ.] Sic etiam versus hic legitur apud Nicephorum in Oneirocritico. At Astrampsychus hic habet: Οἱ μάργαροι δηλοῦσι δακρύων ῥόον. KUST. A.V. marg.

ΜΑΡΓΑΙΝΕΙ] Hom. Il. ε´. 882. Μαργαίνειν, ubi Schol. μαργαίνειν: μαίνεσθαι, ἐνθουσιᾷν, ἀκρατῶς ὁρμᾷν.

[l] ΥΠΕΡΜΑΡΓΟΤΕΡΟΣ] Herodotus III. 29. et alibi ὑπομαργότερος. Et perperam ὑπερμαργότερος a Suida poni existimat H. Steph. Thes. t. I, p. 793, C.

ΜΑΡΓΙΤΗΣ: Αἰσχίνης ἐν τῷ κατὰ Κτ.] Ex Harpocratione: qui plura habet. KUST.

ΜΑΡΓΙΤΗΣ: Ἀνὴρ ἐπὶ μωρίᾳ κωμῳδ.] De hoc Margite, homine insigniter stolido, poëma scripsisse fertur Homerus, cujus mentionem faciunt Aristoteles de Poëtica, c. IV. Hephæstion de Metris, p. 64. et 67. Scholiasta Aristophanis ad Aves, 914. Harpocratio v. Μαργίτης; et alii. Ab aliis tamen poëmatis hujus auctor fuisse traditur Pigres, ut discimus ex Suida infra v. Πίγρης. De hujus autem Margitæ stultitia insignis est locus apud Eustathium ad Odyss. κ´. p. 1669. quem hic describam. Οὕτως ἔγνωμεν καὶ τὸν ἄφρονα Μαργίτην, τὸν ἀπὸ τοῦ μαργαίνειν, ὅ ἐστι, μωραίνειν· ὃν ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ὁμήρου Μαργίτην ὑποτίθεται εὐπόρων μὲν εἰς ὑπερβολὴν γονέων φῦναι· γήμαντα δὲ, μὴ συμπεσεῖν τῇ νύμφῃ, ἕως ἀναπεισθεῖσα ἐκείνη, τετραυματίσθαι τὰ κάτω ἐσκήψατο· φάρμακόν τε μηδὲν ὠφελήσειν ἔφη, πλὴν εἰ τὸ ἀνδρεῖον αἰδοῖον ἐκεῖ ἐφαρμοσθείη. Καὶ οὕτω θεραπείας χάριν ἐκεῖνος ἐπλησίασεν. Quis hæc legens non rideat? Polybius in Excerptis a Valesio editis, p. 58. Ταῦτα γὰρ οὐχ οἷον Τίμαιον εἰρηκέναι τις ἂν πιστεύσειεν, ἀλλ᾽ οὐδὲ τὸν λεγόμενον Μαργίτην ἐκεῖνον. KUST.

[m] Ὄν φασιν ἀριθμῆσαι μὲν μὴ πλ.] Idem etiam de Melitide traditur. Vide Nostrum supra v. Γελοῖος. KUST.

[n] διαβάλλῃ] διαβάλῃ A.B.

[o] Ἀγνοεῖν δὲ νεανίαν ἤδη γεγενημένον, καὶ π.] Locus hic proculdubio mutilus est, quem sic supplendum puto: Ἀγνοεῖν δὲ νεανίαν ἤδη γεγενημένον, ἐξ ὁποτέρου τῶν γονέων ἐτέχθη· καὶ πυνθάνεσθαι τῆς μητρὸς, &c. KUST.

ΜΑΡΓΩΣΑΝ ΧΕΙΡΑ: Μαινομένην] Eurip. Hecub. 1128. Μέθες μ᾽ ἐφεῖναι τῇδε μαργῶσαν χέρα. Ubi Schol. Τὴν μαινομένην χεῖρα. Ad hunc locum respexit Suidas. TOUP. χεῖρα in exp. addidi cum A.V. et Photio.

ΜΑΡΔΟΝΙΟΣ] Ejus acinacem, spolium victoriæ ad Platæas de Medis dedicarunt Athenienses in arce, vid. Meurs. in Cecrop. cf. Herodot. IX. 1. Pausan. Att. c. 27. Gobryæ filius. Idem Attic. c. 1. REINES.

[p] Ἔστιν ἐν] Seqq. om. A.V.

Μάρδοι: Ἔθνος τὸ πᾶν λησταί· καὶ οὔτ' ἂν εὖ [q]ποιῶν τις αὐτοὺς πιστοὺς κτήσαιτο, οὔτ' αὖ κακώσας ἐς τοσόνδε ταπεινώσειεν, ὡς, εἰ τοῦ φόβου ἀπαλλαχθεῖεν, μὴ ἂν παραντίκα ἐπιθέσθαι, οἷς πάλαι ὑπέδυσαν.

Μάρδοι: Ἔθνος πολυάνθρωπον, τραχεῖαν γῆν [r]ἐποικοῦντες, καὶ μόλις ἀφ' ὧν γεωργοῦσι τρεφόμενοι, ἄνιπποι, καὶ πένητες· [s]ὡς καὶ τὴν πρώτην ἀπιστεῖσθαι τύχην.

Μαραίνω: Αἰτιατικῇ.

Μαριανός, Μάρσου δικηγόρου, τῶν ὑπάρχων Ῥώμης. Ῥωμαῖος [u]γὰρ τὸ ἀρχαῖον· μετοικήσαντος δὲ τοῦ πατρὸς Ἐλευθερόπολιν, μίαν τῶν τῆς πρώτης Παλαιστίνης, ἀπὸ ὑπάτων, καὶ ὑπάρχων, καὶ πατρίκιος γεγονὼς, τὸ ἐπιφανέστερον, κατὰ τὸν βασιλέα Ἀναστάσιον. Ἔγραψε βιβλία τοσαῦτα· [x]Μετάφρασιν Θεοκρίτου ἐν ἰάμβοις γχν', Μετάφρασιν Ἀπολλωνίου τῶν Ἀργοναυτικῶν ἐν ἰάμβοις εχχ', Μετάφρασιν Καλλιμάχου Ἑκάλης, Ὕμνων, καὶ [y]τῶν Αἰτίων, καὶ τῶν Ἐπιγραμμάτων, ἐν ἰάμβοις ϛωι', Μετάφρασιν Ἀράτου, ἐν ἰάμβοις αρμ', Μετάφρασιν Νικάνδρου τῶν Θηριακῶν, ἐν ἰάμβοις ϡτο'· καὶ ἄλλας πολλὰς μεταφράσεις.

Μαριλάδης: Ὄνομα. Τουτέστι, γέρων Ἀχαρνικός.

Μαρίλη: Ἀμαυρὸν πῦρ· ὁ χνοῦς, καὶ τὸ λεπτότατον τῶν ἀνθράκων.

Χαλκεὺς οἷά τις γέμων καπνοῦ καὶ μαρίλης.

Καὶ Κρατῖνος ἐν Ὥραις·

[z]Ἐφθάρη μαρίλης [a]τὴν φάρυγγα πλέαν ἔχων.

Ἡ ἀπὸ τῶν ἀνθράκων σποδιά. [b]Ἀριστοφάνης·

[c]Ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν
ὁ λάρκος ἐπετίλησεν, ὥσπερ σηπία.

Μαρίνα:

A Μαρῖνος, Νεαπολίτης, φιλόσοφος, καὶ ῥήτωρ, μαθητὴς Πρόκλου τοῦ φιλοσόφου, καὶ διάδοχος. Ἔγραψε [d]βίον Πρόκλου τοῦ αὐτοῦ διδασκάλου, [e]καὶ καταλογάδην, καὶ ἐπικῶς· καὶ ἄλλα τινὰ φιλοσόφων ζητήματα.

Μαρῖνος: Οὗτος τὴν Πρόκλου διατριβὴν παραδεξάμενος, καὶ Ἰσιδώρου τοῦ φιλοσόφου τῶν Ἀριστοτέλους λόγων καθηγησάμενος, ἐλθόντι τὸ δεύτερον B Ἀθήναζε, τοῦ κοινοῦ διδασκάλου τετελευτηκότος, [f]ἐπέδειξεν αὐτῷ συγγεγραμμένον ὑπόμνημα πρὸς ἑαυτοῦ στίχων παμπόλλων εἰς τὸν Πλάτωνος Φίληβον, ἐντυχεῖν τε καὶ ἐπικρῖναι κελεύσας, εἰ ἐξοιστέον εἴη τὸ βιβλίον. Ὁ δὲ ἀναγνοὺς ἐπιμελῶς, οὐδὲν ἀπεκρύψατο τῶν αὐτῷ δοκούντων· οὐ μέντοι ἄμουσον ἀφῆκε φωνὴν οὐδεμίαν, τοσοῦτον δὲ ἔφη μόνον· Ἱκανὰ εἶναι τὰ τοῦ διδασκάλου ὑπομνήματα εἰς τὸν διάλογον· C [g]συνιεὶς δ' ἐκεῖνος, παραντίκα διέφθειρε [h]πυρὶ τὸ βιβλίον. Ἤδη δὲ καὶ πρότερον δι' [i]ἐπιστολῆς ἐκοινώσατο πρὸς αὐτὸν τὴν ἑαυτοῦ δόξαν [περὶ] τῶν εἰς Παρμενίδην ὑποθέσεών τε καὶ ἐξηγήσεων· τά τε ἐπιχειρήματα συντάξας ἔπεμψεν, οἷς ἐπείσθη μὴ εἶναι τὸν διάλογον περὶ θεῶν ὁ Μαρῖνος, ἀλλὰ περὶ εἰδῶν. Ἐφ' ᾧ καὶ ὑπομνήματα κατεβάλετο, τοῦτον ἐξηγούD μενα τὸν τρόπον τὰς Παρμενίδου διαλεκτικὰς ὑποθέσεις. Ὁ δὲ καὶ πρὸς ταύτην ἀντιγράφει τὴν ἐπιστολὴν, μυρίαις ὅσαις ἀποδείξεσι [k]καταβαλλόμενος, ἀληθεστάτην εἶναι τὴν θειοτέραν ἐξήγησιν τοῦ διαλόγου, ὥστε εἰ μὴ ἔφθη τὸ βιβλίον ἐκδεδομένον, τάχα ἂν καὶ τοῦτο διέφθειρεν. Ἴσως δὲ αὐτὸν διεκώλυσε καὶ ἡ ὄψις τοῦ ἐνυπνίου· ὅτι θεάσασθαί [l]ποτε ἔλεγεν ὁ Πρόκλος, ὡς ὑπομνημάτων εἰς Παρμενίδην αὐτοῦ E [m]Μαρίνου ἐσομένων.

Μαρίωνος: Ὄνομα κύριον.

Μάρις, τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος ἐπίσκοπος,

ΜΑΡΔΟΙ] Vid. Freinshem. ad Curt. V. 6. p. 354.

[q] ποιῶν τις] τριῶν V. sine τις. Mox οὔτ' ἂν A.B.V. In fine ὑπέδησαν V.

[r] ἐποικοῦντες] ἐπιοικοῦντες A.

[s] ὡς καὶ] ὡς om. A.

ΜΑΡΑΙΝΩ] Post h. gl. habent edd. Μάρης: τῆς ἐν Βιθυνίᾳ. Vide post Μαρίωνος in Μάρις.

ΜΑΡΙΑΝΟΣ] Hic Μαρῖνος appellatur Σύρος ab Euagrio Hist. Eccl. lib. III. c. 42. ubi vide Valesium. KUST.

[u] γὰρ] μὲν V. Mox μετοικήσαντος A.B.V.E. pro μετωκήσαντος. Infra ἀπὸ ὑπάτων om. edd. vett.

[x] Μετάφρασιν] Μετάφρασις A. Mox εχκ V.

[y] τῶν αἰτιῶν] τῶν om. A.

ΜΑΡΙΛΑΔΗΣ: Ὄνομα. Τουτέστι γέρων Ἀχ.] Aristophanes Acharnens. 609. Τωνδὶ δὲ μηδὲν ἑτεόν, ὦ Μαριλάδη. Scholiasta ad eum locum: Ὦ Μαριλάδη. Ἀπὸ τῆς μαρίλης· ὅτι τὸ ἀμαυρὸν πῦρ δηλοῖ. Τουτέστιν, ὦ γέρον Ἀχαρνικέ. KUST.

[z] Ἐφθάρη μαρίλης τὴν φ.] Metrum fragmenti hujus luxatum est, quod sic vel alio modo in integrum restitui potest: Ἐφθάρη Οὗτος μαρίλης τὴν φάρυγγα πλέαν ἔχων. KUST.

[a] τὴν φάρυγγα] Hæ duæ voces in prioribus editt. [et B.V.E.] desunt, quas ex mss. Paris. revocavi. KUST. Mox ἔχων suprascr. in V. ἔφθη Porsonus pro ἐφθάρη. Dobræus ad Aristoph. Eq. 523. p. (127.)-⏑ ἐφθάρη μαρίλης τὴν φάρυγα πλέαν ἔχων.

[b] Ἀριστοφάνης] Acharn. 349.

[c] Ὑπὸ] ἀπὸ A.

ΜΑΡΙΝΑ] ὄνομα κύριον A. in marg.

[d] βίον Πρόκλου] Post Fabricium edidit J. Fr. Boissonadius Lipsiæ 1814.

[e] καὶ καταλογάδην, καὶ ἐπικῶς· καὶ ἄλλα τινὰ φιλ.] Locus hic turbatus mihi videtur, quem modo laudatus Joannes Albertus Fabricius in Prolegomenis ad Marini Proclum sic restituendum esse putat: Ἔγραψε βίον Πρόκλου, τοῦ αὐτοῦ διδασκάλου· Φιλοσόφων ζητήματα· καὶ ἄλλα τινὰ καὶ καταF λογάδην, καὶ ἐπικῶς. Sic sane Suidam scripsisse, vel scribere debuisse censeo, quoniam lectio ista sensum hujus loci concinniorem reddit. KUST.

ΜΑΡΙΝΟΣ: Οὗτος τὴν Πρόκλου διατρ.] Tota hæc de Marino Ecloga descripta est ex Damascio, ut patet ex Photio, apud quem in Excerptis ex Damascio p. 1036. nonnulla eorum, quæ Suidas hic tradit, αὐτολεξεὶ quoque leguntur. En Photii verba: Μαρῖνος δὲ, ὁ Πρόκλου διάδοχος, ὁ καὶ Ἰσιδώρου μετὰ καὶ ἄλλων τῶν Ἀριστοτέλους λόγων διδάσκαλος, ὑπόμνημα πολύστιχον εἰς Φίληβον συντάξας τοῦ Πλάτωνος. Οὗτος G τῷ Ἰσιδώρῳ ἐντυχεῖν τε τῷ ὑπομνήματι κελεύει, καὶ ἐπικρῖναι, εἰ ἐξοιστέον. Ὁ δὲ ἀναγνοὺς, οὐδὲν ἀπεκρύψατο τῶν αὐτῷ δοκούντων· οὐ μέντοι οὐδὲ ἄμουσον ἀφῆκε φωνὴν, τοσοῦτον δὲ μόνον ἔφη, ἱκανὰ εἶναι τὰ τοῦ διδασκάλου. Ὁ δὲ Μαρῖνος συνιεὶς, πυρὶ διέφθειρε τὸ βιβλίον. Qui hæc cum verbis Suidæ contulerit, nullus utique dubitabit, quin Noster ex eodem auctore, ex quo Photius, (id est, ex Damascio, ut diximus,) sua deprompserit. KUST.

[f] ἐπέδειξεν] ὑπέδειξεν A.

H [g] Συνιεὶς] συνεὶς B.E.

[h] τὸ βιβλίον πυρὶ] πυρὶ τὸ βιβλίον A.

[i] ἐπιστολῆς] ἐπιστολὴν V. Mox [περὶ] inseruit Kusterus.

[k] καταβαλλόμενος] καταβαλόμενος A.B.

[l] ποτε] ὅτε A.

[m] τοῦ Μαρίνου] τοῦ om. A.B.E.

ΜΑΡΗΣ, τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος Ἐπ.] Articulum hunc

[n]καταλαβὼν δὲ Ἰουλιανὸν τὸν Παραβάτην θύοντα [o]τῇ Τύχῃ ἐν τῇ βασιλικῇ [p]Κωνσταντινουπόλεως, τηνικαῦτα χειραγωγούμενος, (ἦν γὰρ δὴ πρὸς τῷ γήρᾳ ὑπόχυσιν ὀφθαλμῶν ὑπομείνας,) πολλὰ τὸν βασιλέα προσελθὼν περιύβρισε, τὸν ἀσεβῆ καλῶν, τὸν ἀποστάτην, τὸν ἄθεον. Ὁ δὲ λόγοις τὰς ὕβρεις ἠμύνετο, τυφλὸν καλέσας, καὶ οὐκ ἄν φησιν οὐδὲ ὁ Γαλιλαῖός σου Θεὸς [q]θεραπεύσῃ σε. Γαλιλαῖον γὰρ εἰώθει καλεῖν τὸν Χριστόν. Ὁ δὲ δὴ Μάρις παρρησιαίτερον B πρὸς τὸν βασιλέα [r]εἶπεν· "Εὐχαριστῶ," φησὶ, "τῷ Θεῷ, τῷ τυφλώσαντί με, ἵνα μὴ ἴδω τὸ πρόσωπόν σου, οὕτως [s]ἐκπεπτωκότος πρὸς τὴν ἀσέβειαν." Οὐδὲν πρὸς ταῦτα ὁ Ἰουλιανὸς ἀπεκρίνατο· δεινῶς [t]δὲ καὶ [u]τοῦτο μετήρχετο. Ἑωρακὼς γὰρ τοὺς ἐπὶ Διοκλητιανοῦ μαρτυρήσαντας ὑπὸ τῶν Χριστιανῶν τιμωμένους, προθύμως τε σπεύδειν [x]ἐπὶ τὸ μαρτυρῆσαι C πολλοὺς [y]ἐπειγομένους, ὥσπερ αὐτῷ τούτῳ τοὺς Χριστιανοὺς ἀμυνόμενος, ἐπὶ ἑτέραν [z]ἐτρέπετο. Καὶ τὴν μὲν ὑπερβάλλουσαν [a]ἐπὶ Διοκλητιανοῦ ὠμότητα ὑπερέθετο· οὐ μὴν πάντη τοῦ διώκειν ἀπέσχετο. Διωγμὸν δὲ λέγω, τὸ ὁπωσοῦν ταράττειν τοὺς ἡσυχάζοντας. Ἐτάραττε δὲ ὧδε. Νόμῳ ἐκέλευε Χριστιανοὺς παιδεύσεως μὴ μετέχειν, ἵνα μὴ, φησὶν, ἀκονώμενοι τὴν γλῶτταν, ἑτοίμως πρὸς τοὺς διαλεκτικοὺς τῶν Ἑλλήνων ἀπαν- D

A τῶσι. Πολλὰ δὲ ἐπὶ πολλοῖς μηχανησάμενος, ἔπεισέ τινας πρὸς τὸ θύειν ἀποκλῖναι· ἐν οἷς καὶ Ἐκηβόλιον [b]τὸν Κωνσταντινουπόλεως σοφιστήν.

Μαρκελλῖνος, ἀνὴρ ἐπιεικὴς καὶ γενναῖος, ἐδυνάστευε μὲν Δαλματείας, ἐν Ἠπείρῳ κατῳκημένων Ἰλλυριῶν. Ἐπεπαίδευτο δὲ τὴν [c]Ῥωμαΐδα παιδείαν, καὶ μαντικῆς ἐμπειρότατος ἐγεγόνει, καὶ τἄλλα φιλολογώτατος· ὃς ἐλευθέραν ἐκέκτητο τὴν ἀρχὴν, [d]οὔτε B Ῥωμαίων βασιλείᾳ δουλεύων, [e]οὔτε ἄλλῳ δυναστεύοντι τῶν ἐθνῶν οὐδενί· ἀλλ' ἦν αὐτόνομος, μετὰ δικαιοσύνης ἐξηγούμενος τῶν ὑπηκόων. Παρῆν δὲ αὐτῷ καὶ φρόνησις ἱκανὴ [f]πολιτεύματος, καὶ [g]ἀνδρεία θαυμαστὴ, μεμελετηκυῖα τὰ πρὸς πόλεμον· ᾧ συνῆν Σαλούστιος ὁ φιλόσοφος.

Μάρκελλος, μάγιστρος Ἀρκαδίου τοῦ βασιλέως, κόσμος ἀρετῆς ἁπάσης, ἢ, τό γε ἁρμονικώτερον εἰπεῖν, C ἀρετή τις ἔμψυχος.

Μάρκελλος Περγαμηνὸς, ῥήτωρ. Ἔγραψε [h]βιβλίον Ἀδριανὸν, ἢ περὶ βασιλείας.

Μάρκελλος [i]Σιδήτης, ἰατρὸς, [k]ἐπὶ Μάρκου Ἀντωνίνου. Οὗτος ἔγραψε δι' ἐπῶν ἡρωϊκῶν βιβλία [l]ἰατρικὰ μβ'· ἐν οἷς καὶ [m]περὶ λυκανθρώπου.

Μάρκελλος, στρατηγὸς ἐπὶ Κομόδου· ὃς δωροδο- D κίας τοσοῦτον ἀπεῖχεν, ὅσον [n]τῆς γε φιλανθρωπίας

descripsit Suidas ex Socratis Hist. Eccles. lib. III. c. 12. ut Pearsonius quoque monuit. Confer etiam Photium Cod. CCLVIII. p. 1428. ubi eadem de Mare historia narratur. KUST. Μάρις A. et Socrates. Hunc articulum hac sede posui cum A.V. Vulg. habetur post Μαραίνω.

n καταλαβὼν] δὲ addit A.

o τῇ Τύχῃ] V. in summo paginæ, Στήλη τύχης ἐν τῇ βασιλικῇ, ᾗ ἔθυσεν ὁ παμμιαρὸς Ἰουλιανός.

p Κωνσταντινουπόλει] Κωνσταντινοπόλεως A. et Socrates.

q θεραπεύσει] θεραπεύσῃ A.B.

r εἶπεν] ἀπήντησεν Socr.

s ἐκπεπτωκότος] ἐκπεπτωκὸς V. Socrat. καταπεπτωκὸς A.

t δὲ καὶ] δὲ κατὰ V.

u τοῦτο μετήρχετο] *Eum graviter ultus est.* KUST. Sic et Valesius Socratis verba Latine vertit: ibi enim τοῦτον legitur. Verum in optimis codd. τοῦτο scriptum inveniri testatur, idque sibi magis placere, etsi quo sensu non addiderit. Fuerat igitur mutanda interpretatio hunc in mo- F dum: *Studebat autem vehementer huic rei;* ut Christianos scil. non persequendo, sed callidis artibus everteret. Similis locutio Euagrii H. E. I. p. 250, 30. ληστρικῶς δὲ τὸ πρᾶγμα μέτεισι. HEMST.

x ἐπὶ τὸ] ἐπὶ τῷ A.

y ἐπειγομένους] ἐπιστάμενος Socr.

z ἐτράπετο] ἐτρέπετο A.B.V.E. Socrat.

a ὠμότητα ἐπὶ Διοκλ.] ἐπὶ Διοκλ. ὠμότητα A. Socrat. Mox ὑπέσχετο V.

b τὸν] καὶ B.E.

ΜΑΡΚΕΛΛΙΝΟΣ, ἀνὴρ ἐπιεικὴς καὶ γενν.] Et hæc ex Damascio Suidas deprompsit, ut itidem colligere licet ex Photio, qui in Excerptis ex Damascio Marcellini hujus his verbis meminit: Ὁ δὲ Μαρκελλῖνος τῆς Δαλματῶν ἦν χώρας αὐτοδέσποτος ἡγεμὼν, Ἕλλην τὴν δόξαν. Locum hunc Photii observaverat etiam Pearsonius. KUST. Μαρκελῖνος B.E.M. qui mox ἐδυνάστευσε. Tum Δαλμάτας B.E. Infra ἐπαιδεύετο V.

c Ῥωμαΐδα παιδείαν] Nihil aliud hic notat, quam quod H Photius dixit Ἕλλην τὴν δόξαν. HEMST.

d οὔτε—δουλεύων] Imp. Leone, postquam occisus Ætius. REINES.

e οὔτε—ἀλλ' ἦν om. A.

f πολιτεύματος] Sic rectius mss. Paris. quam priores editt. [et B.E.] quæ habent πολίτευμα. KUST.

g ἀνδρεία] ἀνδρία A. pro v. l.

h βιβλίον] βιβλία B.V.E. Tum Ἀδριανὸν A.B.V. pro Ἀδριανός.

i Σιδίτης] Scribendum potius est Σιδήτης, per η in syllaba penultima. Vide Stephanum Byzantium v. Σίδη. KUST. Σιδήτης plane A.V.

k ἐπὶ Μάρκου Ἀντωνίνου] Imo et ante eum, ut me docuit E vetus Epigramma in Marcellum hunc Sidetem. KUST. (Anthol. Pal. VII. 158.) ubi v. Jacobs.

l ἰατρικὰ om. V.

m περὶ λυκανθρώπου] Priores editt. habent, περὶ λυκάνου: quod Portus verterat, *de Lycano:* quasi Lycanus esset nomen proprium viri: qui est insignis error. Scribendum enim est, περὶ λυκανθρώπου: id est, de morbo, *lycanthropus* vel *lycanthropia* dicto: ut recte monuit Petrus Lambecius de Biblioth. Cæs. lib. VI. p. 148. Errorem istum ex compendio scribendi natum esse manifestum est. Qui F enim codices mss. Græcos vel a limine salutarunt, ignorare non possunt, vocem ἄνθρωπος plerumque in illis contracte ἄνος exaratam esse: cui consequens est, ut λυκάνθρωπος scribatur λυκάνος; quam vocem sic contractam imperiti librarii postea pro nomine proprio viri in hoc loco Suidæ acceperunt. Scribendum autem esse περὶ λυκανθρώπου, ut diximus, dubitare nos non sinit Aëtius Amidenus, qui (ut modo laudatus Lambecius recte itidem observavit) ipsum illum Marcelli locum, in quo de *lycanthropo* morbo egerat, ex carmine heroico in prosam orationem G conversum, posteritati conservavit. Is enim lib. VI. c. 11. sic inquit: Περὶ λυκανθρώπου, ἤτοι κυνανθρώπου. ΜΑΡΚΕΛΛΟΥ. Οἱ τῇ λεγομένῃ λυκανθρώπῳ ἤτοι κυνανθρώπῳ νόσῳ κατεχόμενοι. Κατὰ τὸν Φευρουάριον μῆνα νυκτὸς ἐξίασι, τὰ πάντα μιμούμενοι λύκους ἢ κύνας, καὶ μέχρις ἡμέρας τὰ μνήματα μάλιστα διανοίγουσι, &c. Reliqua apud ipsum Aëtium lege. Totum enim locum hic describere supervacaneum judico. Clare autem hinc patet, Marcellum in libris suis de re medica, qui hodie interciderunt, de *lycanthropo* H morbo egisse: quod ipsum et Suidas hoc loco lectorem docere voluit. KUST. λυκάνου A.

ΜΑΡΚΕΛΛΟΣ, στρατηγὸς ἐπὶ Κομ.] Hæc, et quæ sequuntur usque ad finem articuli, leguntur etiam apud Dionem in Excerptis a Valesio editis p. 725. unde ea Suidas descripsit. KUST.

n τῆς τε Exc.

καὶ [o]τῆς ἡμερότητος μετεῖχεν. Ὅπως γὰρ δὴ διὰ πάσης τῆς νυκτὸς ἐγρηγορέναι [p]δοκῇ, καὶ κατὰ τοῦτο μηδὲ τῶν ἄλλων τις τῶν συνόντων οἱ καθεύδῃ, δώδεκα γραμματεῖα, οἷά γε ἐκ φιλύρας ποιεῖται, καθ' ἑκάστην ἑσπέραν, ὡς εἰπεῖν, συνέγραφε, καὶ προσέταττέ τινι ἄλλο ἄλλῃ ὥρᾳ κομίζειν τισὶν, ἵν' ὡς καὶ ἀεὶ ἐγρηγορὼς θαυμάζηται. Ἦν μὲν γὰρ καὶ ἄλλως ὑπνομαχεῖν πεφυκώς· ἐπὶ πλεῖον δὲ αὐτὸ καὶ ἐκ τῆς τροφῆς ἠσκήκει. Τά τε γὰρ ἄλλα ἥκιστα [q]ἄδην ἐσιτεῖτο, καὶ ὅπως μηδὲ τῶν ἄρτων διαπιμπλᾶται, ἐκ τῆς Ῥώμης αὐτοὺς μετεπέμπετο, οὐχ ὡς οὐ δυνάμενος τῶν ἐπιχωρίων ἐσθίειν, ἀλλ' ἵν' ὑπὸ τῆς παλαιότητος αὐτῶν μὴ δύνηται μηδὲ σμικρῷ πλέον τοῦ πάνυ ἀναγκαίου φαγεῖν. [r]Τὰ γὰρ [s]οὖλα αὐτοῦ κακῶς ἔχοντα ῥᾳδίως ὑπὸ τῆς τῶν ἄρτων ξηρότητος ᾑμάσσετο. Ἐπετήδευε δ' οὖν ἐπὶ μεῖζον αὐτὸ πλάττεσθαι, ἵν' ὡς μάλιστα διαγρυπνεῖν δοκῇ.

Μαρκιανός: Οὗτος ἐπὶ Οὐάλεντος [t]βασιλέως ἦν, καὶ Ἀγγελίου ἐπισκόπου Κωνσταντινουπόλεως, ἐλλόγιμος· ὃς πάλαι μὲν κατὰ τὰ βασίλεια ἐστρατεύετο, τότε δὲ [u]πρεσβύτερος τῆς Ναυατιανῶν ἦν ἐκκλησίας, γραμματικοὺς λόγους Ἀναστασίαν τὴν τοῦ βασιλέως θυγατέρα διδάσκων.

Μαρκιανός: Οὗτος συνῆν Μουσωνίῳ ἐκ Παμφυλίας, ἀνὴρ ἐς ἀρετὴν ἅπασαν ὥσπερ τις κανὼν ἀπηκριβωμένος. Φιλόκαλος γὰρ ὢν καὶ φιλάγαθος ὁ Μουσώνιος, τοὺς πανταχόθεν εἷλκε [x]παρ' ἑαυτὸν, ὥσπερ ἡ μαγνῆτις τὸν σίδηρον. Οὐκ ἦν δὲ βασανίζειν ὁποῖός τις ὁ δεῖνα, ἀλλὰ [y]Μουσωνίου φίλον ἀκούσαντα, ὅτι καλὸς ἦν εἰδέναι.

Μαρκιανός: Οὗτος ἐπὶ Ζήνωνος ἤκμαζεν. Ἐν ᾧ δὲ ἦν εὐκτηρίῳ [z]πρεσβύτερος χειροτονηθεὶς, διετέλει. Μεγίστης δὲ ἐξουσίας τυχὼν παρὰ Ἴλλου [a]οὗτος ὁ πλάνος, καὶ τοῖς Ἐπικουρείοις δόγμασιν ὁσημέραι αὐτὸν κακύνων, αὐτοφυῆ ἔλεγε τὸν κόσμον, καὶ διοικεῖσθαι οὐκ ἐκ Θεοῦ, ἀλλ' [b]ἐξ ἐνεργείας τῆς τῶν ἀστέρων. Καθὸ γὰρ ἕκαστον αὐτῶν τῇ τούτων φθάσει

A συμπεριφερόμενον δινήσει τῶν κατ' αὐτὴν τικτομένων τὴν ῥοπὴν, τὴν ἐπικρατείαν κληροῦνται.

Μάρκιον: Ὄνομα ὄρους.

Μάρκιος, στρατηγὸς Ῥωμαίων. Οὗτος ἐφυγαδεύθη ὑπὸ τοῦ δήμου· ἥν τε οἰμωγὴ καὶ δάκρυα τῶν προπεμπόντων αὐτὸν καὶ οἰκτειρόντων. Ὁ δὲ Μάρκιος οὔτε ἀνακλαυσάμενος ὤφθη τὰς ἑαυτοῦ τύχας, οὔτε B ἀποιμώξας, οὔτε ἄλλο εἰπὼν ἢ δράσας ἀνάξιον τῆς ἑαυτοῦ μεγαλοφροσύνης οὐδοτιοῦν. Ἔτι δὲ μᾶλλον ἐδήλωσε τὴν καρτερίαν καὶ τὴν γενναιότητα τῆς γνώμης, ἐπειδὴ οἴκαδε ἀφικόμενος γυναῖκά τε εἶδε καὶ μητέρα καταρρηγνυμένας τοὺς πέπλους, καὶ τὰ στέρνα τυπτούσας, καὶ οἷα εἰκός ἐστιν ἐπὶ τοιαύταις συμφοραῖς λέγειν τὰς ἀποζευγνυμένας ἀπὸ τῶν ἀναγκαιοτάτων σφίσι θανάτοις ἢ φυγαῖς ἀναβοώσας· οὐδὲ πρὸς C τὰ δάκρυα τῶν παίδων ἔπαθεν· ὧν ὁ εἷς δέκα γεγονὼς ἔτη, ὁ δὲ, ὑπαγκάλιος· ἀλλ' ἐξῄει κατὰ σπουδὴν ἐπὶ τὰς πύλας, [c]οὐδενὶ δηλώσας, ὅπου τὴν ἀπαλλαγὴν ποιήσοιτο. Ἦν δὲ ἀνὴρ ἄριστος τὰ πολέμια, καὶ πρὸς πάσας τὰς ἡδονὰς ἐγκρατής, τά τε δίκαια οὐκ ἀπὸ νόμου μᾶλλον ἀνάγκης ἅπασιν ἀποδιδοὺς, ἀλλ' ἑκών τε καὶ [d]προσπεφυκὼς πρὸς αὐτὰ εὖ. Καὶ οὐ μόνον D αὐτὸς ἁγνεύειν ἀπὸ πάσης κακίας προθυμούμενος, ἀλλὰ καὶ τοὺς ἄλλους προσαναγκάζειν δικαιῶν· μεγαλόφρων τε, καὶ δωρηματικὸς, [e]καὶ ἐς ἐπανόρθωσιν προχειρότατος. Ἀλλὰ γὰρ ἐν ἀδυνάτῳ ἦν ἄρα πάσας τὰς ἀρετὰς ἐν ἀνθρώπου γενέσθαι φύσει· οὐδὲ φύεταί τις ἀπὸ θνητῶν καὶ ἐπικήρων σπερμάτων περὶ πάντα ἀγαθός. [f]Ἐκείνῳ γε οὖν πάντα καὶ πάσας τὰς ἀρετὰς ὁ δαίμων χαρισάμενος, ἑτέρας οὐκ εὐτυχεῖς κῆράς τε E καὶ ἄτας προσῆψε. Τὸ γὰρ πρᾶϋ καὶ φαιδρὸν οὐκ ἐπῆν αὐτοῦ τοῖς τρόποις, οὐδὲ τὸ θεραπευτικὸν τῶν πέλας, ἔν τε ἀσπασμοῖς, καὶ [g]προσαγορεύσει. [h]Οὐδὲ δὴ τὸ εὐδιάλλακτον καὶ μετριοπαθὲς, ὁπότε δι' ὀργῆς [i]τῳ γένοιτο, οὐδὲ ἡ πάντα τὰ ἀνθρώπινα ἐπικοσμοῦσα χάρις· ἀλλ' ἀεὶ πικρὸς καὶ χαλεπὸς ἦν. Ταῦτα [k]δὲ δὴ αὐτὸν [l]ἐν πολλοῖς ἔβλαψε. Καὶ πάντων μάλιστα

F

[o] ἡμερότητος] τῆς ἡμ. A. Exc. Mox μετεῖχεν om. Exc.

[p] δοκῇ] δοκεῖν V. Mox τῶν συνόντων οἱ om. B.E. οἱ τίς καθ. V. Tum γραμμάτια B.V. Exc.

[q] ἄδδην] ἄδην A.V. Exc. Paullo infra habet A. in marg. Ἐπεξήγησις τοῦτο. Περὶ τῶν οὔλων Μαρκέλλου, καὶ περὶ τῆς αὐτοῦ ἀσκήσεως, καὶ ὅπως τὸ ὅλον οὐδὲν ἀπώναντό τινες τῆς ἀκρότητος ὁποῖοι οἱ τῶν Ἑλλήνων μάλιστα ἐπιδεικτικοί.

[r] Τὰ γὰρ οὖλα αὐτοῦ κακῶς ἔχοντα ῥᾳδ.] De hoc loco Suidæ vide Reinesium Var. Lect. lib. I. p. 74. KUST. G H. Valesii interpretationem dedit Kusterus, quæ non probanda: nam ὑπὸ τῆς τῶν ἄ. ξ. jungi debent non cum κακῶς ἔχ. sed cum ᾑμάσσετο. HEMST.

[s] οὖλα] ὅλα V.

ΜΑΡΚΙΑΝΟΣ: Οὗτος ἐπὶ Οὐάλεντος βασιλ.] Articulum hunc descripsit Suidas ex Socratis Hist. Eccles. lib. IV. c. 9. KUST.

[t] βασιλέως] τοῦ βασ. V.

[u] πρεσβύτερος] πρεσβύτης B.E.

[x] πρὸς] παρ' A.

[y] Μουσωνίῳ] Μουσωνίου A.

[z] πρεσβύτης] πρεσβύτερος A.

[a] οὗτος—ὁσημέραι] οὐ ὁσημέραι A.

[b] ἐξ ἐνεργείας] ἐκ συνεργίας V. Mox τῆς addidi cum A.B. Infra habet A. in marg. Ὅπως τὴν γενεθλιαλογίαν ἐσπούδαζεν οὗτος.

ΜΑΡΚΙΟΝ: Ὄνομα ὄρους] Stephanus Byzantius: Μάρκαιον. Ὄρος τῆς Τρωάδος. KUST. Μάρδιον E. Post v. seq. ponit A.

ΜΑΡΚΙΟΣ, στρατηγὸς Ῥωμ.] Totum hunc articulum descripsit Suidas ex Dionysii Halicarnass. Antiq. Rom. lib. VII. ut Portus etiam monuit. Et quidem pars prior, usque ad verba illa, ὅπου τὴν ἀπαλλαγὴν ποιήσοιτο, legitur apud modo dictum Dionysium, p. 472. Reliqua vero usque ad finem articuli, p. 528. 529. Multa autem Suidas brevitatis gratia præteriit: nonnulla item aliter habet, quam Dionysius; ut lector ex collatione locorum facile deprehendet. KUST.

[c] οὐδενὶ] οὐθενὶ A. Mox ἐγκρατείας V.

[d] προσπεφυκὼς] Dionysius habet, πεφυκώς: quæ lectio melior est. KUST. Lege πρὸς πεφυκὼς, *et præterea:* vel πρός τε πεφ. *et præterea etiam.* TOUP.

[e] καὶ εἰς ἐπανόρθωσιν προχ.] Vide hic Dionysium, qui plura habet. KUST.

[f] Ἐκείνῳ γε οὖν πάντα καὶ πάσας τὰς ἀρ.] Dionysius me- H lius: Ἐκείνῳ γε οὖν ταύτας ὁ δαίμων τὰς ἀρετὰς, &c. KUST. πάσας om. A.B.V.E.

[g] προσαγορεύσει] προαγορεύσει B.E.

[h] Οὔτε δὴ] δὴ om. E. οὔτε μὴ B.

[i] τῳ] Sic Dionys. ὅτῳ A.B.V.E. edd. ante Kuster.

[k] δὲ δὴ] τε δὴ A.B.

[l] ἐν πολλοῖς] Dionysius, ἐν πολλοῖς πολέμοις. KUST.

ἡ περὶ τὰ δίκαια καὶ τὴν φυλακὴν τῶν νόμων [m]ἀκριτός τε καὶ ἀπαράπειστος καὶ [n]οὐθὲν τῷ ἐπιεικεῖ διδοῦσα ἀποτομία. Ἔοικεν ἀληθὲς εἶναι τὸ ὑπὸ τῶν ἀρχαίων λεγόμενον φιλοσόφων, ὅτι μεσότητές εἰσιν, οὐκ ἀκρότητες αἱ τῶν ἠθῶν ἀρεταί· μάλιστα [o]δὲ ἡ δικαιοσύνη. Οὐ γὰρ μόνον λείπουσα τοῦ δικαίου πέφυκεν, ἀλλὰ καὶ ὑπερβάλλουσα· αὐτοῖς τε οὐ λυσιτελής ἐστιν, ἀλλ' [p]αἰτία μεγάλων συμφορῶν. Μάρκιον γὰρ τὸ ἄκρον δίκαιον ἔβλαψε, καὶ [q]ἐξηλάθη τῆς πατρίδος. [r]Πρὸς πάντα γὰρ τὰ μὴ δίκαια ἀντιλέγων, μῖσος ἤγειρεν. [s]Εἰ μὲν οὖν ἅμα τοῖς σώμασι διαλυομένοις καὶ τὸ τῆς ψυχῆς, ὅ τι δή ποτέ ἐστιν ἐκεῖνο, συνδιαλύεται, καὶ οὐδαμῆ οὐθὲν ἔτι ἐστὶν, οὐκ [t]οἶδ' ὅπως μακαρίους ὑπολάβω τοὺς μηθὲν μὲν ἀπολαύσαντας τῆς ἀρετῆς ἀγαθὸν, δι' αὐτὴν δὲ ταύτην [u]ἀπολομένους· εἰ δὲ καὶ ἄφθαρτοι μέχρι τοῦ παντὸς αἱ ψυχαὶ [x]τυγχάνουσιν ἡμῶν οὖσαι, ἢ χρόνον μετὰ τὴν ἀπαλλαγὴν τῶν σωμάτων [y]ἐνδιαμένουσι, μήκιστον μὲν αἱ τῶν ἀγαθῶν ἀνδρῶν, ἐλάχιστον δὲ [z]αἱ τῶν κακῶν, ἀποχρῶσα τιμὴ φαίνοιτο [a]ἂν τοῖς τὴν ἀρετὴν ἀσκοῦσιν, [b]κἂν ἠναντιώθη παρὰ τῆς τύχης, [c]ἡ παρὰ τῶν ζώντων εὐλογία καὶ μνήμη μέχρι πλείστου παραμείνασα χρόνου. Ὃ καὶ τῷ ἀνδρὶ ἐκείνῳ συνέβη. Οὐ γὰρ μόνον [d]Οὐολοῦσκοι τοῦτον ἐπένθησαν, ὧν ἦρχεν, ἀλλὰ καὶ Ῥωμαῖοι πένθος ἐποιήσαντο ἰδίᾳ καὶ δημοσίᾳ, καὶ αἱ γυναῖκες, ἀποθέμεναι χρυσὸν καὶ τὸν ἄλλον κόσμον, καὶ μέλασιν [e]ἀμφίοις χρησάμεναι, καὶ πενθήσασαι ἐνιαύσιον χρόνον· καὶ ἐτῶν ἐς τόδε [f]πεντακοσίων διαγεγονότων, οὐ γέγονεν ἐξίτηλος ἡ τοῦ ἀνδρὸς μνήμη.

Μαρκίωνος:

Μάρκος, ὁ καὶ Ἀντωνῖνος, βασιλεὺς Ῥωμαίων, [g]ὁ ἐπαινετὸς κατὰ πάντα φιλόσοφος· ἀκροατὴς μὲν καὶ [h]ἄλλων πολλῶν γενόμενος, [i]ὕστερον δὲ διήκουσε [k]καὶ Σέξτου, ἐκ Βοιωτίας φιλοσόφου, ἐπ' αὐτῆς [l]τῆς Ῥώμης, θαμίζων αὐτῷ, καὶ φοιτῶν ἐπὶ [m]θύρας· ὃν καὶ [n]Λούκιός τις ῥήτωρ, γνώριμος Ἡρώδου τοῦ Ἀθηναίου ῥήτορος, ἤρετο [o]προϊόντα, ποῖ [p]βαδίζοι, καὶ ἐφ' ὅ τι. Καὶ ὁ Μάρκος, "Καλὸν," ἔφη, "καὶ γηράσκοντι τὸ μανθάνειν. Εἶμι δὴ πρὸς Σέξτον τὸν φιλόσοφον μαθησόμενος ἃ οὔπω οἶδα." Καὶ ὁ Λούκιος ἐξάρας τὴν χεῖρα ἐς τὸν οὐρανὸν, "Ὦ ἥλιε," ἔφη, "[q]ὁ Ῥωμαίων βασιλεὺς γηράσκων [r]ἤδη [s]δέλτον ἐξαψάμενος ἐς διδασκάλου φοιτᾷ. Ὁ δὲ ἐμὸς βασιλεὺς Ἀλέξανδρος δύο καὶ λ' ἐτῶν ἀπέθανεν." Οὗτος [t]ἔγραψε τοῦ ἰδίου βίου [u]ἀγωγὴν ἐν βιβλίοις ιβ'.

Μάρκος, βασιλεὺς Ῥωμαίων· ὃν ἐκπλήττεσθαι σιωπῇ μᾶλλον ἢ ἐπαινεῖν ῥᾴδιον, οὐδενὸς λόγου ταῖς τοῦ ἀνδρὸς ἀρεταῖς ἐξισουμένου. Ἐκ πρώτης γὰρ ἤδη τῆς ἡλικίας εὐσταθῆ τε καὶ ἡσύχιον [x]βίον ὑποστησάμενος, οὔτε κατὰ δέος οὔτε καθ' ἡδονὴν τραπεὶς τὸ πρόσωπον ὤφθη πώποτε. [y]Ἐπῄνει δὲ τῶν φιλοσόφων τοὺς ἀπὸ τῆς Στοᾶς· καὶ ἦν ἄρα ἐκείνων μιμητὴς, οὐ μόνον κατὰ τὴν τῶν διαιτημάτων ἐπιτήδευσιν, ἀλλὰ καὶ κατὰ τὴν τῶν μαθημάτων σύλληψιν. Οὕτω γοῦν ἐκ νέας κομιδῆ τῆς ἡλικίας [z]ἐξέλαμπεν, ὡς πολλάκις τὸν Ἀδριανὸν ἐπὶ τοῦτον ἐθελῆσαι τὸν τῆς βασιλείας ἀγαγεῖν κλῆρον. Ἐπεὶ δὲ ἔφθασε τὸν Εὐσεβῆ πρότερον κατὰ νόμον [a]παῖδα ποιησάμενος, ἐκείνῳ μὲν τὴν [b]αὐτοῦ διαδοχὴν ἐφύλαξε· τοῦτον δὲ συνοικεῖν ἔγνω διὰ τῆς ἐπιγαμίας τῷ Εὐσεβεῖ, ὡς ἂν κατὰ τὴν τοῦ γένους διαδοχὴν εἰς τὴν ἡγεμονίαν παρέλθοι. Τόν τε γοῦν ἰδιώτην βίον ἐν ἰσηγορίᾳ τοῖς πολλοῖς Ῥωμαίοις [c]ἐβίω, οὐδὲν τῇ ἐσποιήσει τοῦ γένους ἀλλοιωθείς.

[m] ἄκριτός τε καὶ ἀπαρ.] Dionysius, ἄκρατός τε καὶ ἀπαράσπειστος. KUST.
[n] οὐδὲν] οὐθὲν A.B.E.M.
[o] δὲ ἡ] δὲ om. A.
[p] αἰτία] αὐτίκα V.
[q] ἐξηλάθη] ἐξηλάσθη B.
[r] Πρὸς πάντα] πρὸς om. A.B.V.E.M.
[s] Εἰ μὲν οὖν] οὖν om. A. Mox διαβαλλομένοις V.
[t] οἶδ' ὅπως] οἶδα πῶς A.B.V.E.
[u] ἀπολομένους] ἀπολουμένους B.E.M.
[x] τυγχάνουσιν αἱ ψυχαὶ] αἱ ψυχαὶ τυγχάνουσιν A.
[y] διαμένουσι] ἐνδιαμένουσι A.V.
[z] αἱ τῶν] αἱ om. B.E.M.
[a] ἂν τοῖς] αὐτοῖς A.B.E. Mox τὴν om. B.E.M.
[b] κἂν ἠναντιώθη παρὰ τῆς τύχης] Dionysius rectius habet: Καὶ εἰ ἠναντιώθη τὰ ἐκ τῆς τύχης. KUST. κἂν om. A.B.V.E.M. Post ἠναντιώθη lacuna in M.
[c] ἡ παρὰ τῶν ζώντων εὐλογία, καὶ μνήμη, μέχρι πλείστου παραμείνασα χρόνου] Sic habent mss. Paris. itemque Dionysius Halicarnassensis. At priores editt. male, (et fere B.E.) ἡ περὶ τῶν ζώντων εὐλόγῳ μνήμῃ μέχρι πλείστου παραμείνασα χάρις. KUST.
[d] Οὐολοῦσκοι] Βολοῦσκοι V. Mox τοῦτον A.
[e] ἀμφίοις] Dionysius habet, ἀμφιασμοῖς. KUST.
[f] πεντακοσίων] φησι V. Post h. v. addunt B.V.E. edd. ante Kuster. Μάρκιος νεός. Ἐν τῷ Βουολοῦσκοι.
ΜΑΡΚΙΩΝΟΣ] Sic A.B.V. Vulg. Μαρκίων, Μαρκίωνος, ὁ αἱρεσιάρχης.
[g] ὁ ἐπαινετὸς] ὃς ἐπ. B.E.
[h] ἄλλων] ἄλλων πολλῶν A.B.V.E.
[i] ὕστερον δὲ διήκουσε καὶ Σέξτου, ἐκ Βοιωτ.] Hæc, et quæ sequuntur, deprompsit Suidas ex Philostrato in Vita Herodis, p. 556. ut Pearsonius etiam observaverat. KUST.
[k] καὶ Σέξτου] καὶ om. A. Tum σέκστου V.
[l] τῆς Ῥώμης] τῆς om. A.B.V.E.
[m] θύραις] θύρας A. Tum πρὸς addunt A.B.E.M.
[n] Λούκιος] Sic habent mss. Paris. itemque Philostratus. At priores editt. male, Λύκιος. KUST. γνώριμος ῥήτωρ M.
[o] προϊόντα] προσιόντα A.
[p] βαδίζει] βαδίζοι A.B.V.
[q] ὁ Ῥωμαίων] ὁρωμένων A.
[r] ἤδη om. Exc.
[s] δέλτον ἐφαψάμενος] Philostratus rectius habet, δέλτον ἐξαψάμενος: i. e. *tabulam sibi appendens*; vel, *tabella ex lacerto suspensa*. Solebant enim olim adolescentes Romæ ludum literarium adire, suspensis e lævo lacerto tabellis, ut discimus ex hoc loco Horatii lib. I. Sat. 7. *Noluit in Flavi ludum me mittere, magni Quo pueri magnis e centurionibus orti, Lævo suspensi loculos tabulamque lacerto, Ibant.* KUST. δέλτον A.V. δέλτων B. Non dubitavi recipere ἐξαψάμενος.
[t] ἔγραψε τοῦ ἰδίου βίου διαγωγὴν ἐν βιβλίοις ιβ'.] Hoc opus hodie adhuc exstat, illustratum erudito commentario Thomæ Gatakeri. KUST.
[u] διαγωγὴν] ἀγωγὴν A.V.
ΜΑΡΚΟΣ, βασιλεὺς Ῥωμαίων· ὃν ἐκπλήττεσθαι σιωπ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Joannis Antiocheni, quæ leguntur in Collectaneis Constant. imper. a Valesio editis, p. 821, 822. unde ea Suidas descripsit. KUST.
[x] βίον om. A.
[y] Ἐπῄνει] ἐπαίνει V.E. Mox ἀπὸ om. A.
[z] διέλαμπεν] ἐξέλαμπεν A.B.V. Excerpt.
[a] παῖδα om. A.B.V.E. edd. ante Kuster. qui addidisse videtur ex Excerptis.
[b] αὐτοῦ] ἑαυτοῦ A.B.V.
[c] ἐβίου] ἐβίω A.B.E. Mox οὐδ' ἐν τῇ εὐποιήσει V.

Καὶ ἐπεὶ παρῆλθεν εἰς τὴν ἡγεμονίαν, κατὰ μοναρχίαν ἐξηγούμενος, καὶ τὴν ἄκραν δυναστείαν καρπούμενος, πρὸς οὐδεμίαν ἀλαζονείαν ὑπήχθη πώποτε· ἀλλ' ἦν ἐλεύθερος μὲν [d]καὶ δαψιλὴς ἐν τοῖς εὐεργετήμασιν, ἀγαθὸς δὲ καὶ μέτριος ἐν ταῖς τῶν ἐθνῶν διοικήσεσι.

Μάρκος, βασιλεὺς Ῥωμαίων, ὁ Εὐσεβὴς ἐπικληθείς. [e]Οὗτος εἶχε μὲν καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας, καὶ ἄριστα [f]δὴ πάντων τῶν ἐν κράτει [g]τινὶ γενομένων ἦρξε, πλὴν καθόσον οὐ πολλὰ τῷ σώματι ἀνδρίζεσθαι ἐδύνατο· καὶ τοῦτο ἐξ ἀσθενεστάτου καρτερικώτατον [h]ἀπέδειξε. Πλεῖστον δὲ ἐν εὐεργεσίᾳ διῆγεν, ὅθεν που καὶ νεὼν αὐτῆς ἱδρύσατο, ὀνόματί τινι ἰδιωτάτῳ καὶ μήποτε ἀκουσθέντι προσκαλέσας αὐτήν. Αὐτὸς μὲν γὰρ πάντων τῶν ἁμαρτημάτων ἀπείχετο, καὶ οὔτε ἑκὼν οὔτε ἄκων ἐπλημμέλει· τὰ δὲ δὴ τῶν [i]ἀλλοτρίων ἁμαρτήματα, καὶ μάλιστα τὰ [k]τῆς γυναικὸς, ἔφερε, καὶ οὔτε ἐπολυπραγμόνει, οὔτε ἐκόλαζεν· ἀλλ' εἰ μέν τις χρηστόν τι ἔπραττεν, ἐπῄνει, καὶ ἐχρῆτο ἐς ἐκεῖνο αὐτῷ, τῶν δὲ ἑτέρων οὐ προσεποιεῖτο, λέγων, ὅτι ποιῆσαι μὲν [l]τινι ἀνθρώπους ὁποίους βούλεται ἔχειν, ἀδύνατόν ἐστι· τοῖς δὲ δὴ οὖσι προσήκει, ἐς ὅ τι ἄν τις αὐτῶν τῷ κοινῷ χρήσιμος ᾖ, χρῆσθαι. Ἔτη γὰρ πεντήκοντα, καὶ μῆνας δέκα, ἡμέρας τε κ' ζήσας, καὶ ιθ' ἔτη, ἡμέρας ια' αὐταρχήσας, [m]ὅμοιος διὰ πάντων ἐγένετο, καὶ ἐν οὐδενὶ ἠλλοιώθη. Ἀγαθὸς δὲ ἦν, καὶ οὐδὲν προσποιητὸν εἶχε. Πάμπολλα γὰρ καὶ ὑπὸ παιδείας ὠφελήθη, ἐν ῥητορικῆς [n]καὶ φιλοσοφίας λόγοις ἀσκηθείς. Ἀφ' οὗ δὴ παμπληθεῖς φιλοσοφεῖν ἐπλάττοντο, ἵνα ὑπ' αὐτοῦ πλουτίζωνται. Πλεῖστον δὲ ὅμως ὑπὸ τῆς φύσεως ἐξήρθη. Λέγει καὶ ἄλλους [o]μυρίους ἐπαίνους εἰς αὐτὸν ὁ Δίων.

Μάρκος Ἀπίκιος, Ῥωμαῖος, [p]ὡς ἦν ἀσωτίας πέρας οὐδεὶς ἀντιφήσει· δοκεῖ δέ πως μεγαλονοίας ἔργον ἐκεῖνο [q]ἀποδείξασθαι· ἐν [r]αὐτοῦ εἱστιῶντο ὁσημέραι· A (καὶ γὰρ ἔζη, [s]φασὶ, τῇ γαστρὶ, καὶ τοῖς ἐκείνης ἀκρατεστέροις·) καί ποτε μεταξὺ θοιναζόντων, Φάβιος, τῶν ὑπατευκότων εἷς, λαβὼν ἔκπωμα κρυστάλλου μέγα τίμιον, εἶτα ἄκων κατέαξεν αὐτό· καὶ ἐπὶ τούτῳ συννεφὴς ἦν, [t]ἄχει πληγεὶς τὴν ψυχήν. Ὁ τοίνυν Ἀπίκιος πειρώμενος αὐτὸν τῆς λύπης ἀπάγειν, Οὐ καταβαλεῖς, φησὶ, τὸ πραχθὲν, καὶ σεαυτὸν ἡμῖν παρέξεις φαιδρότερον συμπότην; ἦ σοὶ φίλῳ ὄντι B [u]τοῦτο δρᾶσαι οὐκ ἐξέσται, ὅπερ οὖν δρῶσι καὶ τῶν οἰνοχόων καὶ τῶν ἀργυρωνήτων πολλοὶ πολλάκις;

Μάρκος Μάλλιος, εὐπατρίδης, Κελτῶν ἐπελθόντων [x]τῇ Ῥώμῃ, ταύτην [y]περιέσωσε, καὶ [z]τιμῶν μεγίστων ἠξιώθη. Ὕστερον δὲ πρεσβύτην πολλάκις ἐστρατευμένον, ἀγόμενον εἰς δουλείαν ὑπὸ τοῦ δανειστοῦ γνωρίσας, ἀπέδωκε τὸ χρέος ὑπὲρ αὐτοῦ, καὶ ἐπὶ [a]τῷδε εὐφημούμενος, πᾶσιν ἠφίει τοῖς ἑαυτοῦ χρήσταις τὰ C ὀφλήματα. Προϊὼν δὲ τῇ δόξῃ, καὶ ὑπὲρ ἄλλων ἀπεδίδου, καὶ ταῖς δημοκοπίαις ἐπαιρόμενος, ἐβούλευσεν ἤδη χρεῶν ἀποκοπὰς κοινὰς, ἢ τὸν δῆμον ἠξίου τοῖς δανείσασιν ἀποδοῦναι τὴν γῆν, ἐς τοῦτο ἀποδόμενον ἔτι οὖσαν ἀνέμητον.

Μάρκος, Ἀρεθουσίων ἐπίσκοπος, λόγῳ καὶ βίῳ κεκοσμημένος· ὃν ἐπὶ Ἰουλιανοῦ πολλαῖς αἰκίαις ὑπέβαλον, καὶ εἰς ὑπονόμους ἐμβαλόντες, εἶτα παιδίοις D παρέδοσαν κεντεῖν αὐτὸν ταῖς [b]γραφίσι. Μετὰ δὲ ταῦτα εἰς γύργαθον ἐμβαλόντες, καὶ γάρῳ καὶ μέλιτι χρίσαντες, ὑπαίθριον ἠώρησαν ἐν θέρους ἀκμῇ, σφῆκας ὁμοῦ καὶ [c]μελίσσας εἰς θοίνην προκαλούμενοι. Ὁ δὲ ἀνενδότως διεκαρτέρησε.

[Μάρκος, ὁ εὐαγγελιστὴς, ἔχει τίτλους μή· κεφάλαια λϛ'.]

E Μαρμαρέην: Λαμπράν. Καὶ [d]Μαρμαρέαισιν αὐγαῖς: Ταῖς [e]λαμπραῖς. Μαρμαίρειν γὰρ, τὸ λάμπειν, καὶ καταυγάζειν.

Μαρμαρυγή: Ἄστραψις, λαμπηδών.

[d] καὶ] μὲν καὶ A.B.E.

[e] Οὗτος εἶχε μὲν καὶ τὰς ἄλλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Dionis de Marco Antonino philosopho, quæ Suidas hic male ad Antoninum Pium refert. KUST. Vid. Excerpta ed. Vales. p. 721. Dio LXXI. 34.

[f] δὲ ἁπάντων] δὴ πάντων A.V.E. δὴ ἁπάντων Exc.

[g] γενομένων τινι] τινι γενομένων A. γινομένων V.

[h] ἀπέδειξε] ὑπέδειξε B.V.E.M.

[i] ἀλλοτρίων] ἄλλων Exc.

[k] τῆς] τὰ τῆς A.B.V.E. Exc.

[l] τινι] τι B.E.

[m] ὅμοιος διὰ πάντων ἐγ.] Recte. Ipse enim Marcus lib. I. §. 8. de se ait, se ab Apollonio didicisse, τὸ ἀεὶ ὅμοιον ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνου, ἐν μακραῖς νόσοις. Vide ibi Gatakerum. KUST.

[n] λόγοις καὶ φιλοσοφίας] καὶ φιλοσοφίας λόγοις A. Mox δὲ V.

[o] ἐπαίνους μυρίους] μυρίους ἐπαίνους A. Mox Δίων sine ὁ A.E.

ΜΑΡΚΟΣ Ἀπίκιος] Confer Nostrum supra v. Ἀπίκιος. KUST. Ælianum stylus prodit. HEMST.

[p] ὃς ἦν] ὡς ἦν ἀσωτείας πέρας οὐδεὶς ἀντιφήσει. VALCK. Adnot. Crit. Nov. Test. p. 332. secundum ms. Leid. ὡς ἦν A. Tum ἀσωτίας A.V. δ' post οὐδεὶς om. A.B.V.E.

[q] ἀποδ. ἐν αὐτῷ] Puto legendum, ἀποδείξασθαι ἐν αὐτοῦ εἱστιῶντο ὁσημέραι. *Apud eum vel ejus in ædibus epulabantur quotidie*. HEMST. ἑστιῶντος ὁσημέραι (καὶ γὰρ ἔζη, φασὶ, τῇ γαστρὶ) καί ποτε μεταξὺ θοινάζων. VALCK.

[r] αὐτῷ] αὐτοῦ A.

[s] φασὶ] φησὶ B.E. Mox ἐκείνοις V.E. Infra τῶν ante θοιναζόντων om. A.B.V.E.

[t] ἄχει] ἄχρι A.

[u] δρᾶσαι τοῦτο] τοῦτο δρᾶσαι A. et ni fallor V. Tum οὖν A. post ὅπερ. Supra σὺ M.

F ΜΑΡΚΟΣ Μάλλιος, εὐπατρίδης, Κελτῶν ἐπελθ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Appiani apud Constantinum in Excerptis a Valesio editis, p. 549. unde ea Suidas descripsit. KUST.

[x] τῇ Ῥώμῃ] τὴν Ῥώμην A.V.E. pr.

[y] τε διέσωσε] περιέσωσε A.B.V. Exc.

[z] μεγίστων τιμῶν] τιμῶν μεγίστων A. Exc.

[a] τούτῳ] τῷδε A.V. Exc.

ΜΑΡΚΟΣ, Ἀρεθουσίων ἐπίσκοπος, λόγῳ καὶ β.] Eclogam hanc excerpsit Suidas ex Theodoreti Histor. Eccles. lib. G III. c. 7. ut Pearsonius etiam observaverat. KUST.

[b] γραφίσι] Sic recte mss. Paris. itemque Theodoretus loco laudato. At priores editt. [et E.] ῥαφίσι: i. e. *acubus*. KUST.

[c] μελίσσας] μελίττας A.

ΜΑΡΚΟΣ, ὁ Εὐαγγελιστὴς, ἔχει τίτλ.] Confer Nostrum infra v. Τίτλος. KUST. Hæc A. in marg. om. V.

ΜΑΡΜΑΡΕΗΝ] Vid. Il. γ'. 126. Schol. ad eum l. et Heyne.

H [d] ΜΑΡΜΑΡΕΑΙΣΙΝ ΑΥΓΑΙΣ. Λαμπραῖς] Aristoph. Nub. 286. Ὄμμα γὰρ αἰθέρος Ἀκάματον σελαγεῖται ΜΑΡΜΑΡΕΑΙΣΙΝ ἘΝ ΑΥΓΑΙΣ. Ad hunc locum respexit Suidas. TOUP.

[e] λαμπραῖς] ταῖς λαμπραῖς A.B.V.

ΜΑΡΜΑΡΥΓΗ] Vid. Od. θ'. 265. et Schol.

Μαρώνεια: Τόπος ἐστὶ τῆς Ἀττικῆς, οὗ [f]Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ μνημονεύει. Ἔστι [g]δὲ καὶ πόλις ἐν Θράκῃ, ἣν φασιν εἶναι τὴν ὑφ᾽ Ὁμήρου Ἴσμαρον καλουμένην.

Μαρωνεῖτις φυλὴ [[h]καὶ γυνή. Καὶ Μαρώνειος [i]οἶνος.]

Μάρωνος: Ὄνομα κύριον.

Μάρπησσος: Ὄνομα κύριον.

Μάρσιππος: Σάκκος, θυλάκιον, σακέλλιον.

[k]Εἶδόν τινας ἐν πέτραις [l]μαρσιππίους ἱματίων κατατιθεμένους. Ξενοφῶν.

Μαρσύας, Περιάνδρου, Πελλαῖος, ἱστορικός. Οὗτος δὲ ἦν πρότερον γραμματοδιδάσκαλος, καὶ ἀδελφὸς Ἀντιγόνου τοῦ μετὰ ταῦτα βασιλεύσαντος· σύντροφος δὲ Ἀλεξάνδρου τοῦ βασιλέως. Ἔγραψε Μακεδονικὰ ἐν βιβλίοις δέκα· ἤρξατο δὲ ἀπὸ τοῦ πρώτου βασιλεύσαντος Μακεδόνων, καὶ μέχρι τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου ἐπὶ τὴν Συρίαν ἐφόδου, μετὰ τὴν Ἀλεξανδρείας κτίσιν· Ἀττικὰ ἐν βιβλίοις ιβ΄· καὶ [n]αὐτοῦ Ἀλεξάνδρου ἀγωγήν.

Μαρσύας, Κριτοφήμου, Φιλιππεὺς, ἱστορικὸς, ὁ νεώτερος.

Μαρσύας, Μάρσου, [o]Ταβηνὸς, ἱστορικός. Ἔγραψεν Ἀρχαιολογίαν ἐν βιβλίοις [p]ιβ΄, Μυθικὰ ἐν βιβλίοις ζ΄, καὶ ἕτερά τινα περὶ τῆς ἰδίας πατρίδος.

Μαρσύας: Ἐν τοῖς χρόνοις τῶν Ἰουδαίων Κριτῶν καὶ Μαρσύας ἐγένετο [q]σοφὸς, ὅστις ἐφεῦρε διὰ μουσικῆς αὐλοὺς ἀπὸ καλάμων καὶ χαλκοῦ· ὃς παραφρονήσας, ἔρριψεν [r]εἰς ποταμὸν ἑαυτὸν, καὶ ἀπώλετο· καὶ ὠνομάσθη ὁ ποταμὸς Μαρσύας· περὶ οὗ μῦθος φέρεται, ὅτι ἑαυτὸν ἀποθεώσας ἀπώλετο. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους ἐγένετο [s]καὶ τὰ κατὰ τὸν Ἰάσονα καὶ τοὺς Ἀργοναύτας, [t]ὡς Ἀπολλώνιος ὁ Ῥόδιός φησι. Λέγεται δὲ μῦθος, ὅτι ἐξεδάρη ὑπὸ Ἀπόλλωνος.—Καὶ φέρεται [u]λόγος περὶ [x]Ὁρμίσδου τοῦ Πέρσου, ὃς ηὐτομόλησε πρὸς Κωνσταντῖνον τὸν μέγαν. Ἐξελθὼν γὰρ [y]ἐπὶ θήραν οὗτος, καὶ εἰς τὰ βασίλεια [z]ὑποστραφεὶς, τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον οὐκ ἐξαναστάντων κατὰ τὸ καθῆκον, ἠπείλησε τὸν Μαρσύου θάνατον αὐτοῖς ἐπιθήσειν. Τοῦτο παρά τινος ἀκηκοότος ἀναμαθόντες οἱ τῶν Περσῶν [[a]κρείττους,] μετὰ θάνατον τοῦ πατρὸς, τὸν νεώτερον ἀναγορεύουσι βασιλέα· τὸν δὲ ἀποκλείουσιν ἐν εἱρκτῇ, καὶ σιδήροις πεδοῦσιν· ὃν ἡ γαμετὴ διὰ τῆς τοῦ ἰχθύος μηχανῆς ῥίνην εἰσενεγκοῦσα, ἐξήγαγε· καὶ ἀποδρὰς, ἱκέτης πρὸς [b]τὸν μέγαν ἔρχεται Κωνσταντῖνον. Ἡ ἱστορία δήλη.

Μαρτῖνος: Ὄνομα κύριον. Καὶ [c]Μαρτινιανός.

Μάρτιος: [d]Ὅτι Μάρτιος Βῆρος τὸν Θουκυδίδην ἐκπέμπει, καταγαγεῖν [e]Σύαιμον εἰς Ἀρμενίαν· ὃς δέει

ΜΑΡΩΝΕΙΑ: Τόπος ἐστὶ τῆς Ἀττ.] Ex Harpocratione. KUST.

[f] Δημοσθένης] P. 967, 17. ed. Reisk.

[g] δὲ] δὲ καὶ A.V.E. Photius.

[h] [καὶ ΓΥΝΗ] Seqq. om. A. καὶ γυνὴ om. E. Vid. Menag. ad Laërt. VI. 96.

[i] ΟΙΝΟΣ] Athen. I. 26. et 28. Maroneum vinum in Thraciæ maritima parte Plin. XIV. 4. REINES.

ΜΑΡΩΝ Μάρωνος] Μάρων om.. Statim delevi, Ὁ πρῶτος οἰκιστὴς Μαρωνείας, cum B.V. Gl. om. A.

ib. Euanthei filius in Thracia. Homer. Od. ι΄. 197. Unus ex commilitonibus Bacchi Athen. I. 37. REINES.

ΜΑΡΠΗΣΣΟΣ] Μάρπηδος B.V.E. Μάρπιδος M.

ΜΑΡΣΙΠΟΣ] Μάρσιππος A.B.V.E.

[k] Εἶδόν τινας ἐν πέτραις μαρσ.] Fragmentum hoc legitur apud Xenophontem de Expedit. Cyri lib. IV. pag. 324. KUST. IV. 3, 11.

[l] μαρσίπους] μαρσιππίους A.B.V.E. μαρσιπίους edd. ante Kuster.

ΜΑΡΣΥΑΣ] De hoc Marsya, et sequentibus ejusdem nominis, vide Vossium de Hist. Gr. lib. I. c. 10. KUST. Vide Wesseling. ad Diodor. Sic. XX. 50. p. 443. TOUP. Adde Clintoni Fast. Hellen. ad a. 308.

[n] αὐτοῦ τοῦ] τοῦ om. A.B.V.E.M.

ΜΑΡΣΥΑΣ Κριτ.] Om. V.

[o] Ταβηνὸς] Est ἐθνικὸν a Τάβις: teste Stephano Byzantio v. Τάβις. KUST. L. Ταβιηνὸς, inquit Valesius ad Harpocr. p. 118. *natus Tibiis in Galatia.* Imo potius a Τάβαις Lydiæ oppido, unde ἐθνικὸν Ταβηνὸς itidem apud Stephanum. HEMST.

[p] ιβ΄] ιη΄ V.

[cc] Σκολιὰ Μελίτου, Καρ.] Apud Aristophanem loco laudato hodie legitur, Σκολιῶν Μελίτου, καὶ Καρικῶν αὐλημάτων: ubi cætera quidem recte se habent: sed vocula καὶ delenda est. Syllaba enim media in Μελίτου longa est; eamque ob causam modulus versus dictam voculam respuit. KUST.

[d] Μελίτου] Μελήτου A.

[e] μέλη] καὶ μέλη A.B.V.E. edd. ante Kuster.

[f] Λάρου] Λαΐου Clintonus Fast. Hellen. Introd. p. xxxiv. et ad ann. 440, 3.

[g] Καὶ ἦν om. V. τῶν om. E.

[h] Οὗτος ἔγρ.] Hæc nihil ad Melitum, verum ad Melissum pertinent. Pro Μέλισσος legitur Μιλήσιος apud Georgium Syncellum p. 248 A. HEMST. Immo omnia post Καὶ ἦν ἐπὶ τῶν Z. spectant ad Melissum, de quo vid. Diog. Laërt. IX. 24. et Menag.

Καὶ [i]ἀντεπολιτεύσατο δὲ Περικλεῖ· καὶ ὑπὲρ Σαμίων στρατηγήσας, ἐναυμάχησε πρὸς Σοφοκλῆν τὸν τραγικὸν, ὀλυμπιάδι ὀγδοηκοστῇ τετάρτῃ.

Μέλητος: Οὗτος ἐρᾷ νεανίου Ἀθήνησι τῶν εὖ γεγονότων καὶ πλουσίων, [k]μειρακίου καὶ ἐκείνου διαπρεποῦς, καὶ τὴν ὥραν ἀμάχου. Καὶ τῷ μὲν ἐραστῇ [l]Μέλητος ὄνομα ἦν· τῷ καλῷ δὲ, Τιμαγόρας, ὥς φασιν. [m]†Ἦν δὲ ἄτεγκτός τε καὶ ἀμείλικτος ὅδε ὁ παῖς, καί οἱ πολλὰ προσέταττε καὶ ἐπίπονα, καὶ κινδύνων ἐχόμενα τῶν ἐσχάτων, καὶ ὁμοῦ [n]τῷ ὀλέθρῳ ἐλαύνοντα. Καὶ ἦν τὰ πράγματα, κύνας τε ἀγαθὰς καὶ [o]θηρευτικὰς ἐκ τῆς ἀλλοδαπῆς ἄγειν, καὶ [p]ἵππον αὖ τῶν πολεμίων ἀπαγαγεῖν ὅτου δὴ γενναῖόν τε καὶ θυμικόν· καὶ ἄλλον χλαμύδα ὡραίαν· καὶ τοιαῦτα ἕτερα. Καὶ τελευτῶν ὄρνιθάς οἱ προσέταξε κομίσαι ὅτου δὴ τροφίμους, καὶ οἰκέτας γένος θαυμαστούς. †Ἐπεὶ δὲ καὶ τοῦτο κατεπράξατο ὁ ἔνθεος φίλος ἐκεῖνος, καὶ [q]ἐδωρεῖτό γε τῷ καλῷ τὸ μέγα τίμιον κτῆμα, τοὺς προειρημένους· ὁ δὲ ἀτεράμων ὢν, καὶ ἐς τοσοῦτον [r]ἀπεώσατο ἄρα τὸ δῶρον. Ὁ τοίνυν Μέλητος φλεγόμενος τῷ ἔρωτι, καὶ οἰστρούμενος, [s]καὶ ἐπὶ τούτοις [t]ἀσχάλλων τῇ ἀτιμίᾳ, καὶ ἀπαυδήσας ἐπὶ τοῖς ἀνηνύτοις [u]τε μόχθοις ἅμα καὶ ἀπείροις, ᾗ πεδῶν εἶχεν, [x]ἀνέθορέ τε ἐς τὴν ἀκρόπολιν, καὶ ἑαυτὸν ἔωσε κατὰ τῶν πετρῶν. [y]Οὐ μὴν ἡ τιμωρὸς δίκη τὸν ὑβριστὴν παῖδα καὶ ὑπερόπτην εἴασεν ἐπεγχανεῖν τῷ τοῦ Μελήτου θανάτῳ. Τοὺς ὄρνιθας [z]γοῦν ἀναλαβὼν, [a]καὶ ταῖς ἀγκάλαις ἐνθεὶς, [b]εἶτα μέντοι κατ' ἴχνια τὰ [c]ἐκείνου θέων, ὥσπερ οὖν ἑλκόμενος βίᾳ, ἑαυτὸν σὺν τῷ δυστυχεῖ [d]χορῷ ἐπὶ τῷ Μελήτῳ ἔρριψε φέρων, βραδὺν καὶ δυστυχῆ τὸν ἔρωτα [e]ἀντερασθεὶς τοῦτον. Καὶ ἕστηκεν εἴδωλον τοῦ πάθους κατὰ τὸν τόπον, παῖς

A ὡραῖος καὶ γυμνὸς, ἀλεκτρυόνας δύο μάλα εὐγενεῖς φέρων ἐν ταῖς ἀγκάλαις, καὶ ὠθῶν [f]ἐπὶ κεφαλὴν ἑαυτόν.

Μέλητοι καὶ Ἄνυτοι:

Μέλι: Τοῦτο γλυκὺ μέν ἐστι τὴν αἴσθησιν, πικρὸν δὲ τὴν ἀνάδοσιν. Χολῆς γὰρ [g]αὐτό φασιν ποιητικὸν εἶναι, καὶ τρέπειν τοὺς χυμοὺς εἰς τοὐναντίον τῆς γεύσεως· ὃ δὴ καὶ μᾶλλον τῆς ἐκ φύσεως αὐτοῦ
B [h]πικρότητος κατηγορεῖ τὴν γένεσιν.

Μελία: Εἶδος δένδρου. [i]Ἀριστοφάνης Ὄρνισιν·

[k]Ἱζόμενος μελίας ἐπὶ φυλλοκόμου.

Μελίβοιον: Τὴν †Ὀλυζῶνα πόλιν.

[Μελίβοιος: Γεωργὸς, ὁ τὸν Οἰδίπουν ἀναθρεψάμενος. Καὶ ἔστιν [l]ἐν τῷ Οἰδίπους.]

Μελίδειον: Κηρίον.

C Μελίαι: Βέλη, δόρατα.

Μελίαι δ' ἦσαν αὐταῖς αἱ κερκίδες·

φησὶν ὁ θεολόγος Γρηγόριος. Καὶ [m]ἐν †Ἐπιγράμμασι·

Οὕτω τοι μελία ταναὰ ποτὶ κίονα μακρὸν
ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά.

Μελιηδής: Ὁ γλυκύτατος. Καὶ [n]Ὅμηρος·

D Μελιηδέα θυμὸν ἀπηύρα.

Μελίνη: Εἶδος ὀσπρίου.

[o]Ἦν δὲ καὶ σῖτος ἀπὸ μελίνης. Τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον.

Καὶ αὖθις·

Ἐφέροντο ἀδεῶς [p]οἶνον, ὄσπρια, μελίνας, σῦκα. Πάντα γὰρ ἀγαθὰ εἶχεν ἡ χώρα πλὴν ἐλαίου.

E Μελίνη: Δημοσθένης ἐν [q]Φιλιππικῷ· Ὄσπριον

---

[i] ἀντεπολιτεύσατο] καὶ ἀντεπολιτεύσατο A.B.V.E.

ΜΕΛΙΤΟΣ, Οὗτος ἐρᾷ νεαν.] Totus hic locus descriptus est ex Æliano, ut discimus ex ipso Suida supra v. Ἀτέραμνον, ubi particula hujus Eclogæ, addito scriptoris illius nomine, legitur. Sumpta autem hæc sunt ex libro Æliani de Providentia, hodie deperdito; ex quo et reliqua fere omnia Æliani fragmenta, quæ apud Suidam occurrunt, deprompta esse, alibi quoque lectorem monui-
F mus. Conferendus est autem cum hoc loco Pausanias in Atticis p. 58. qui ejusdem historiæ mentionem faciens, Μέλητα adolescentem illum vocatum scribit, quem Ælianus in hoc fragmento Μέλιτον appellat. KUST.

[k] μειράκιον δὲ ἦν—διαπρεπὲς—ἄμαχον] μειραικίου καὶ ἐκείνου A. μειράκιον sine καὶ ἐκείνου B.V.—διαπρεποῦς A.V. ἀμάχου A.V.B. Infra ὥς φασιν om. V.

[l] Μέλιτος ὄνομα] Pausan. Att. 30. Μέλης—Τιμαγόραν ἐρασθέντα ἀτιμάζων. REINES.

G [m] Ἦν δὲ ἄτεγκτός τε καὶ ἀμ.] Locus hic legitur etiam supra v. Ἄτεγκτος. KUST.

[n] τῷ] τὰ τῷ A.B.E.M. καὶ ὁμοῦ—ἐλαύνοντα om. V.

[o] θηρευτικὰς] θηρατικὸς A. θηρατικὰς V.E.

[p] ἵππον] ἵππων B.E. pr. Tum ἂν τῶν A. αὐτῶν V. ὅτου—θυμικὸν om. V. qui mox χλαμύδας ὡραίας. Bastius mallet πολεμιστηρίων pro πολεμίων, citato Synes. p. 185.

[q] ἐδωρεῖτο] καὶ ἐδωρεῖτο A.V.B. Tum γε om. V.B. καὶ ante τίμιον om. A.B.V.E.

H [r] ἀπεώσατο ἄρα] Forte leg. ἀπεώσατο τὸ τοῦ ἐραστοῦ δῶρον. VALCK. ἀπεωρήσατο V.

[s] καὶ ἐπὶ—ἀτιμίᾳ om. V.

[t] ἀσχάλλων τῇ ἀτιμ.] Vide Nostrum supra v. Ἀσχάλλων. KUST. ἀσχάλων A.

[u] τε μόχθοις] τε om. V. et mox ἅμα καὶ ἀπείροις.

[x] ἀνέθορεν εἰς] ἀνέθορέ τε ἐς A.

[y] Οὐ μὴν ἡ] Vid. Ἐπεγχανεῖν. HEMST.

[z] οὖν] γοῦν A.

[a] καὶ ταῖς ἀγ. ἐνθεὶς om. V.

[b] εἶτα] εἶτα μέντοι A.

[c] ἐκείνου] Μέλιτ° V. ubi om. χορῶν ἐπὶ τῷ, et mox τοῦ—τόπον, et δύο—εὐγενεῖς.

[d] χορῶν] χορῷ recte Kuhnius fragm. Ælian. HEMST. χωρῶν A.B. et sic conj. Portus.

[e] ἀντερασθεὶς] ἀνατερασθεὶς V.

[f] ἐπὶ κεφαλὴν ὠθῶν] ὠθῶν ἐπὶ κεφαλὴν A.

ΜΕΛΗΤΟΙ] Sic A. Vulgo Μέλιτοι etc., et collocant post Μελιτοῦττα.

[g] δὲ ποιητικὸν αὐτό φασιν] γὰρ αὐτό φασι ποιητικὸν A.

[h] πικρότητος] πικρότατον B. πικροτάτην E. edd. ante Kuster.

[i] Ἀριστοφάνης Ὄρνισι] Ver. 744.

[k] ἑζόμενος] ἱζόμενος A.V.

ΜΕΛΙΒΟΙΟΝ] Μελίβοιαν B. Homer. Il. β΄. 717. καὶ Μελίβοιαν ἔχον καὶ Ὀλιζῶνα τρηχεῖαν.

ΜΕΛΙΒΟΙΟΣ] Deest gl. A. καὶ ἔστι etc. om. V.

[l] ἐν τῷ ΟΙΔΙΠΟΥΣ] Sed ibi legitur Μέλοιβος. KUST. Μελίβοιος ibi A.V.

[m] ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 52.

[n] Ὅμηρος] Il. κ΄. 495.

ΜΕΛΙΝΗ] Addit V. εἶδος ὀσπρίου, ὅπερ τινὲς καλοῦσιν ἔλυμον.

[o] Ἦν δὲ καὶ σῖτος ἀπὸ μελ.] Ex Xenoph. lib. I. de Expedit. Cyri, [c. V. 10.] p. 256. ut Pearsonius observaverat. KUST.

[p] οἶον] οἶνον A.E. Portus e conjectura. Et sic Xenoph. Exped. VI. 4, 1. unde sumptum est exemplum.

ΜΕΛΙΝΗ: Δημοσθένης ἐν Φιλιππ.] Ex Harpocratione. KUST. Vid. notata ad Harpocrat.

[q] Φιλιππικοῖς] Φιλιππικῷ A. Photius, Harpocr. ms. Pal.

ἐστίν· ὅπερ καὶ ἀρσενικῶς λέγεται. Σοφοκλῆς μὲν [r]γάρ, καὶ Ἡρόδοτος, καὶ Ξενοφῶν, [s]θηλυκῶς [t]εἶπον μελίνην. Ξενοφῶν δὲ ὁ αὐτὸς ἐν Ἀναβάσει [u]καὶ μέλινον καὶ μελίνους εἶπε. Ἔνιοι δὲ εἶδός τι κεγχρίου νομίζουσι τὴν μελίνην, ὅπερ [x]τινὰς καλεῖν ἔλυμον. Θεόφραστος δὲ ἐν ἑβδόμῳ Περὶ Φυτῶν ὡς διαφέροντα ταῦτα ἀναγράφει, κέγχρον, ἢ μελίνην, ἢ ἔλυμον.

Μελίπηκτα: Εἶδος πλακοῦντος.

Μελιπνόους: Ἡδυπνόους.

Μελίρρυτον:

Μέλισσα: Ὄνομα πόλεως. Καὶ ζωΰφιον, ὅπερ ἐργάζεται τὸ μέλι.

Μελισσείου: Κηρίου.

Μελισμός: Τῶν μελῶν ἡ διαίρεσις. Ἐκ τοῦ μελίζω.

Μελισσοκόμος: Ὁ τῶν μελισσῶν ἐπιμελούμενος.

Μέλισσος: Ὄνομα κύριον. [Ἔστιν ἐν τῷ Γεννητική.]

Μελισσῶα:

Μελιστί: Κατὰ μέλος.

Μέλιττα: Ἡ μέλισσα.

Μελιταῖον κυνίδιον:

[y]Τῶν γὰρ κυνῶν οἱ μὲν [z]ἰχνευταί· οἱ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν· οἱ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων οἰκουροί· οἱ δὲ ἐπὶ τέρψει, ὡς τὰ [a]Μελιταῖα κυνίδια.

[[b]Καὶ [c]Μελιτηροὶ κύνες· οἱ ἐπὶ τέρψει τρεφόμενοι.]

Μελιταιεύς:

Μελίτη: Δημοσθένης ἐν τῷ κατὰ [d]Κόνωνος. Δῆμός [e]ἐστι τῆς Κεκροπίδος, ὀνομασθεὶς ἀπὸ Μελίτης [f]κατὰ μὲν Ἡσίοδον [g]θυγατρὸς Μύρμηκος, κατὰ δὲ Μουσαῖον, Δίου τοῦ Ἀπόλλωνος.

Μελιτηνή: Ὄνομα πόλεως. [[h]Καὶ Μελιτηνός, ὁ πολίτης.]

Μελιτιανός:

Μελιττοπηχεῖν: Τὸ κρούοντας ψόφον ποιεῖν, ἵνα μὴ αἱ μέλισσαι [i]προσπέτωνται.

Μέλιτος μυελός: Ἐπὶ τῶν ἄγαν ἡδέων.

Μελιτοῦττα: [k]Μάζα μέλιτι δεδευμένη· ἣν ἔφερον, ὡς ἐδόκουν, τοῖς ὄφεσι τοῖς [l]ἐς Τροφωνίου [m]μαντευομένοις. Ἐν [n]Λεβαδείᾳ ἐστίν.

Ὅτι [o]ἡ μελιτοῦττα, ἐπίθετον τῶν ναστῶν.

[p]Ἰστέον, ὅτι ἡ μελιτοῦττα [pp]ἐδίδοτο τοῖς νεκροῖς, ὡς εἰς τὸν Κέρβερον· καὶ ὀβολός, μισθὸς τῷ πορθμεῖ· καὶ στέφανος, ὡς τὸν βίον [q]διηγωνισμένοις.

Μελιτωδῶν ἐδεσμάτων:

Μελίτωνος:

Μελιτρός:

Μελίφρων: Ἡδύς, γλυκαίνων τὰς φρένας.

Μελίχλωρος: Ὁ χλωρός.

Μελόμενοι:

---

[r] γὰρ] μὲν γὰρ A. Phot. Harpocr. ms. Pal.

[s] θηλυκῶς] θηλυκὸν V.

[t] εἶπε] εἶπον A.V. Phot. Harpocr. ms. Pal. Tum μελίνη B.V. Phot. μελλίνην Harpocr. ms. Pal.

[u] καὶ μελίνην] καὶ μέλινον A.B.V. Phot. καὶ μέλλινον Harpocr. ms. Pal.

[x] τινὲς] τινὰς A. Phot. Harpocr. ms. Pal., θέλουσι post ἔλυμον, ni fallor, omisso. ὅπερ—θέλουσι om. V. qui et om. ἐν ἑβδόμῳ—ἀναγράφει. Vid. Theophrast. H. P. VIII. 1, 1. Schneid. ind. p. 446.

ΜΕΛΙΠΗΚΤΑ] Vid. Wagner. ad Alciphr. I. 39. p. 253.

ΜΕΛΙΠΝΟΟΥΣ] Vid. Ἀσταφίς. HEMST.

ΜΕΛΙΣΣΟΚΟΜΟΙ: Οἱ—ἐπιμελούμενοι] Μελισσοκόμος: Ὁ—ἐπιμελούμενος A.V.E.

ΜΕΛΙΣΣΟΣ] Μέλιττος A.V. qui mox om. ἔστιν ἐν τ. γ. Vid. in Μέλητος Λάρου.

ΜΕΛΙΣΣΩΣΑ] Μελισσῶα A.B.V.E.

ΜΕΛΙΤΤΑ] Post h. gl. delevi Μελιτενὲς cum A.V. Μελιτεὺς E.

ΜΕΛΙΤΑΙΟΝ ΚΥΝΙΔΙΟΝ] Multa de his collegit Boissonad. ad Herodian. p. 82.

[y] Τῶν γὰρ κυνῶν οἱ μὲν ἰχ.] Artemidorus lib. II. c. 11. Τῶν κυνῶν οἱ μὲν ἐπὶ θήραν τρέφονται· καὶ τούτων οἱ μέν εἰσιν ἰχνευταί· οἱ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν· οἱ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων, οὓς οἰκουροὺς καὶ δεσμίους λέγομεν· οἵ τε ἐπὶ τερπωλῇ, καὶ οἱ Μελιταῖοι λεγόμενοι. KUST.

[z] ἰχνευτικοὶ] ἰχνευταὶ A.

[a] Μελιταῖα] Μελιτταῖα V.

[b] Καὶ Μελιτηροὶ—τρεφόμενοι om. A. Μελιτηνοὶ Holsten. ad Steph. Byz. p. 203.

[c] ΜΕΛΙΤΗΡΟΙ] Μελιτήσιοι J. Ulit. in Gratii Cyneg. v. 405. Adducit Suidæ locum Petavius ad Themist. XXI. p. 503. [p. 520. ed. 4o.] HEMST.

ΜΕΛΙΤΑΙΕΥΣ:] Sic A.V. Μελιτεεὺς B. Vid. Steph. Byz. in Μελιταία.

ΜΕΛΙΤΗ: Δημοσθένης ἐν τῷ κατὰ Κ.] Ex Harpocratione. Confer etiam Schol. Aristoph. Ran. 504. KUST. Domum in Μελίτῃ habuit Epicurus, quam Hermacho, et qui cum eo philosophentur, dat inhabitandam testamento Laërt. X. 10. REINES. Schol. ad Platon. Parmenid. init. in ms. Paris. Μελίτη δῆμος Κεκροπίδος· ἔσχεν δὲ ὄνομα τοιοῦτον ἀπὸ Μελίτης τῆς τῷ Ποσειδῶνι φίλης, ὅθεν Μελίτην δὴ Ποσειδαῶνος ἑταίρην φησί τις ποιητής.

[d] Κονώνος] P. 1258, extr.

[e] δέ ἐστι] δὲ om. A.

[f] ἡ κατὰ—θυγατὴρ ἦν] κατὰ—θυγατρὸς A.V. Photius.

[g] θυγάτηρ] ᾗ ἐμίγη ὁ Ἡρακλῆς, Schol. Aristoph. Av. REINES.

[h] καὶ ΜΕΛ.] Hæc om. A.

ΜΕΛΙΤΙΑΝΟΣ] Delevi statim cum A. ὍΤΙ Βουταλίων καὶ Κόροιβος, καὶ Μελιτίδης ἐπὶ μωρίᾳ διεβέβληντο. Ἀριστοφάνης. Ἔστιν ἐν τῷ ΓΕΛΟΙΟΣ, quæ male repetuntur ex v. Βουταλίων.

ΜΕΛΙΤΤΟΠΗΧΕΙΝ] Et vox ista et interpretatio ejus mihi suspecta est: de qua proinde amplius cogitandum censeo. Confer interim Hesych. v. Μελιτοπολεῖν. KUST. Μελιττοχεῖν E. Μελιττοποιχεῖν Photii ms. ubi editum Μελιττοπτηχεῖν. Et sic in Suida reponit post Wolfium Hemsterhusius, monens h. v. formari a πτήσσω, ἔπτηχα. Vossius ad Hesych. μελιττεπηχεῖν vel μελιτταπηχεῖν.

[i] προσπέτωνται] προσάπτωνται Photii ms. ubi editum πρόσπτωνται. Portus conj. ἀποπέτωνται.

[k] μᾶζα μέλιτι] Ex Schol. Aristoph. Nub. 507.

[l] ἐν Τροφωνίου] ἐς Τροφωνίου A.B.E.

[m] μαντευομέναις] οἱ μαντευόμενοι E. Schol. Aristoph. Rav. Ἐν Λεβαδείᾳ ἱερόν ἐστι Τροφωνίου, ὅπου ὄφις ἦν ὁ μαντευόμενος, ᾧ οἱ κατοικοῦντες πλακοῦντας ἔβαλλον μέλιτι δεδευμένους.

[n] Λεβαδίᾳ] Λεβαδεία A.

[o] Ἡ μελιττοῦτα ἐπίθετον τῶν ναστῶν] Respexit Suidas ad locum illum Aristophanis Av. 568. Ἢν δ' Ἡρακλεῖ τις βοῦν, λάρῳ ναστοὺς θύειν μελιτούτας. Vide ibi Scholiastam. KUST.

[p] Ἰστέον ὅτι Μελιτοῦττα] Schol. Aristoph. Lysist. 601. HEMST.

[pp] ἐδίδοτο τοῖς νεκροῖς] Vid. supra Δανάκη et Καρχάδοντα. REINES. Conf. Hemsterhus. Lucian. Dial. Mort. XXI. 2. p. 422.

[q] διηγωνισμένοις] διηγωνισμένος A.B.E.

ΜΕΛΙΤΩΔΩΝ] Μελιτωδῶν B. edd. ante Kuster.

Καὶ ἐπίστευον εἶναι θεοφιλεῖς, τῷ δαίμονι τούτῳ μελόμενοι.

**Μέλον**: Διὰ φροντίδος ὄν. [r] Ἀριστοφάνης·

> Οὐδὲν ἄρ' ἐμοῦ μέλον, ὅσον δὲ μόνον εἰδέναι
> σκωμμάτιον, εἴποτέ τι θλιβόμενος ἐκβάλω.

Ὅτι δὴ βασιλεὺς ὢν καὶ Πέρσης, ἐθνῶν [s] τε τοσούτων καὶ πράξεων μέλον αὐτῷ· ὁ δὲ ἐφίετο γοῦν ὅμως ἀμηγέπη ἀπογεύεσθαι [t] λόγων, καὶ τῆς περὶ ταῦτα γάννυσθαι δόξης.

**Μελλονικιᾶν**: Τὸ βραδύνειν, καὶ ἀναβάλλεσθαι. [u] Ἀριστοφάνης·

> Οὐδὲ νυστάζειν . . .
> [x] ὥρ' ἐστὶν ἡμῖν, οὐδὲ μελλονικιᾶν.

B Νικίας γὰρ υἱὸς [y] Νικηράτου, ὃς [z] ἀνεβάλλετο ἀπελθεῖν εἰς Σικελίαν. Βραδὺς γὰρ ἦν περὶ τὰς ἐξόδους, [a] καὶ, ὡς οἱ διαβάλλοντες, οὐ προνοητικὸς, ἀλλ' ἀμελητής.

> Ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾷν.

**Μελόντων**: Ἐπιμελείσθωσαν.

C **Μέλος τι μελλοδειπνικόν**: [aa] Ἀριστοφάνης·

> [b] Ὑπανακίνει Κρητικῶ τὼ πόδε.
> . . . . τάχα γὰρ ἔπεισι
> λοπαδοτεμαχοσελαχογαλεοκρά.

**Μέλου**: Ἐπιμελοῦ.

> [d] Καὶ τὰ λοιπά μου
> μέλου δικαίως, ὥσπερ ἐς τόδ' ἡμέρας.

D **Μέλλω**: [e] Ἐπὶ τοῦ βραδύνω. Καὶ ἐπὶ τοῦ ἐσομένου χρόνου, παρὰ Θουκυδίδῃ. Καὶ [f] Σοφοκλῆς·

> Μέλλων γὰρ ἀεὶ δρᾷν τι, τὰς οὔσας τέ μου
> καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορα.

Καὶ [g] Ἀριστοφάνης·

> Μὴ δῆθ' ἱκετεύω, πλὴν ὅταν μέλλω 'ξεμεῖν.

E Τουτέστιν, εἰ ὅλως λέγεις, τότε εἰπὲ, ὅτε μέλλω ἐξεμεῖν· ἵν' ἅπαξ ἐμέσω, καὶ [h] μὴ τότε, καὶ ὅτε λέγεις. Ἢ οὕτω· Τότε, φησὶ, λέγε, ἐὰν θέλῃς, ἐπιτηρήσας, ὅτε μέλλω ἐξεμεῖν· ῥᾷστα γὰρ [i] μᾶλλον ἐξεμέσαιμι, ἐὰν εἴπῃς.

**Μέλω**: Ἐν ἐπιμελείᾳ εἰμί.

**Μέλπηθρα**: Παίγνια, σπαράγματα.

**Μέλποντες**: Ἄιδοντες, ἀνυμνοῦντες.

**Μελύδριον Ἰωνικόν**: Ἀντὶ τοῦ, τρυφηλόν· τοιοῦτοι γὰρ Ἴωνες. [k] Ἀριστοφάνης·

> Δεῦρ' [l] ἴτ' ἐπὶ τοὐμὸν στόμα
> μελύδριον εὑροῦσαί τι τῶν Ἰωνικῶν.

**Μελχισεδέκ**, ἱερεὺς τοῦ Θεοῦ, καὶ [m] βασιλεὺς τῶν Χαναναίων. Οὗτος κτίσας πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ Σιὼν, ἐπωνόμασεν αὐτὴν Σαλήμ· ὅ ἐστιν, [n] εἰρήνης πόλις· ἐν ᾗ βασιλεύσας ἔτη ριγ', ἐτελεύτησε δίκαιος, καὶ παρθένος. Ἀγενεαλόγητος δὲ εἴρηται, παρὰ τὸ μὴ ὑπάρχειν ἐκ τοῦ σπέρματος Ἀβραὰμ [o] ὅλως, μηδὲ γενεαλογεῖσθαι τὸ παράπαν, εἶναι δὲ Χαναναῖον τὸ γένος, καὶ ἐκ τῆς ἐπαράτου σπορᾶς [p] ὁρμώμενον· ὅθεν οὐδὲ γενεαλογίας ἠξίωτο. Οὐ γὰρ πρεπωδέστατον ἦν, τὸν τῆς ἄκρας δικαιοσύνης ἐπειλημμένον, συμπλέκειν τῷ τῆς ἄκρας ἀδικίας γένει· διὸ καὶ ἀπάτορα καὶ ἀμήτορα τοῦτον εἶναί φασιν. Ὅτι δὲ Χαναναῖος ἦν τὸ γένος, εὔδηλον καὶ ἀφ' ὧν ἐκράτει καὶ [q] ἐβασίλευε κλιμάτων [r] τῶν Χαναναίων, καὶ οἷς ἐπλησίαζε πονηροτάτοις Σοδόμοις. Καὶ μέντοι καὶ ἡ Σαλὴμ, ἧς ὑπῆρχε βασιλεὺς, ἡ πολυθρύλλητος Ἱερουσαλήμ ἐστιν, οὐδέπω τὸ ὅλον ὄνομα φέρουσα τῆς Ἱερουσαλήμ· ἐκ προσθήκης δὲ τῆς ἱεροῦ [s] μετὰ τὴν Σαλὴμ προσλαμβάνουσα συλλαβὴν, καὶ κατὰ συνάφειαν Ἱερουσαλὴμ ὀνομασθεῖσα· διὰ δὲ τὸ ἀγενεαλόγητον λέγεται ἀπάτωρ καὶ ἀμήτωρ. [t] Ὅταν δὲ ἀκούσῃς παρὰ τῶν Μελχισεδεκιτῶν, ὅτι Θεὸς ὀνομάζεται, μνήσθητι τοῦ Ἀποστολικοῦ, ὅτι ἑτέρας γενεᾶς ἐστι. Τουτέστι, τῶν Χαναναίων.

---

[r] Ἀριστοφάνης· Οὐδὲν ἄρ'—ἐκβάλω.—Ὅτι δὴ—δόξης] Prius fragmentum exstat apud Aristoph. in Vespis, 1279. ubi male legitur, ἐκβάλλω, ex Suida corrigendum. Quod et recte animadvertit Florens Christianus. In posteriori autem scribendum, καὶ ΤΗΙ περὶ ταῦτα γάννυσθαι ΔΟΞΗΙ. Quomodo legitur apud Agathiam, lib. II. p. 67. unde hunc locum decerpsit Suidas. De Chosroe autem Persarum rege hic sermo est, qui literas amabat scilicet, atque earum existimatione valde delectabatur. TOUP. τῇ—δόξῃ correxerat Portus. Et sic infra v. Χοσρόης.

[s] τε τοσούτων] τε om. E. Tum τοσοῦτον B.

[t] λόγων om. V. qui mox γῆς. Tum γάνυσθαι A.

[u] Ἀριστοφάνης] Av. 639. Καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν ἔτι Ὥρα 'στὶν ἡμῖν, οὐδὲ μελλονικιᾷν. Ἀλλ' ὡς τάχιστα δρᾷν. KUST.

[x] ἄρ'] ὥρ' A.V.

[y] Νικηράτου] Ἀλκβια$^{\delta}$ A.B.V.E.

[z] ἀνεβάλλετο] ἀνεβάλετο A.

[a] καὶ ὡς οἱ] Seqq. om. V. Mox ἀλλ' ἀμελητὴς A.B.E. Schol. ἀλλὰ μελητὴς M. Ald.

ΜΕΛΟΝΤΩΝ] Il. σ'. 463. τ'. 29. et al. Male A. μελλόντων cum Photio.

[aa] Ἀριστοφάνης] Eccles. circa finem; ubi sic legitur: Ἐπᾴσομαι μέλος τι μελοδειπνικόν. Sed metrum versus hujus claudicare recte vidit Portus, qui proinde μελλοδειπνικὸν legendum esse existimabat: quam conjecturam non puto esse spernendam. Jocatur enim Comicus, et canticum ob futuram cœnam cantandum esse dicit: cum moris sit, ut cœnantibus, non vero cœnaturis, cantica accinantur. KUST. μελλοδειπνικὸν A.V.

[b] Ὑπανακίνει Κρητικῷ τὼ π.] Hæc, et quæ sequuntur, nihil ad rem faciunt, eademque emendanda et supplenda sunt ex Aristophane. KUST. Κρητικὼ A. qui Ἀριστοφάνης inserit post ποδέ.

[d] Καὶ τὰ λοιπά μου μ.] Sophocl. Œdip. Colon. 1137.

[e] Ἐπὶ τοῦ βραδύνω] Schol. Thucyd. I. 86. τὸ γὰρ μέλλουσιν νῦν, οὐχὶ ἐπὶ τοῦ βραδύνουσι λεκτέον, ἀλλ' ἐπὶ τοῦ ἐσομένου χρόνου.

F [f] Σοφοκλῆς] Electr. 305. Mox διέφθειρα A.V. διέφθορε E. τουτέστι—ἐξεμεῖν accedunt ex A. Vid. Schol. Aristoph.

[g] Ἀριστοφάνης] Initio Ranarum: ad quem locum vide Scholiastam; cujus scrinia Suidas hic compilavit. KUST. Seqq. om. V. Mox μέλλω γ' ἐξεμεῖν M.

[h] μὴ τότε καὶ ὅτε] μὴ καὶ τότε καὶ ὃ λέγεις A.

[i] μᾶλλον] ἂν μᾶλλον A. Post εἴπῃς delevi cum A., ΜΕΛΩ δὲ, τὸ φροντίζω, δι' ἑνὸς λ, δοτικῇ., qui in marg. exhibet, Μέλλω τὸ βραδύνω, διὰ β λλ., μέλω δὲ τὸ φροντίζω δι' ἑνὸς, δοτικῇ.

G ΜΕΛΠΗΘΡΑ] Il. ν'. 233.

[k] Ἀριστοφάνης] Eccles. 877.

[l] ἴτ'] εἶτ' A. Mox στέμμα A.B.V.E.

[m] βασιλεὺς] καὶ βασιλεὺς A.B. Pertinet hic art. ad Ep. Hebr. VII. 1.

[n] εἰρηνόπολις] εἰρήνης πόλις A.V.

[o] ὅλως] Addit A. μὴ δὲ γενεαλογεῖσθαι τὸ παράπαν.

[p] ὁρμώμενον] ὁρμώμενος A.B.E.

[q] ἐβασίλευσε] ἐβασίλευε A. qui mox om. τῶν.

H [r] τῶν Χαν.] τῶν om. A.B.

[s] μετὰ] Σαλὴμ V.

[t] Ὅταν δὲ ἀκούσῃς παρὰ τῶν Μελχισεδ. ὅτε Θεὸς ὀνομάζεται] Sic locum hunc ex mss. Paris. emendavi, qui in prioribus editt. minus recte sic legitur: Ὅταν δὲ ἀκούσῃς περὶ (sic B.E.) τῶν Μελχισεδεκιτῶν, ὅτι ἔθνος ὀνομάζεται, &c. KUST.

Μελχισεδὲκ, ἱερεὺς, οὐκ Ἰουδαίων [u]μόνον, ἀλλὰ καὶ ἐθνῶν. Οὕτω καὶ ὁ Χριστὸς οὐχ ὑπὲρ Ἰουδαίων μόνον, ἀλλὰ καὶ ὑπὲρ πάντων ἀνθρώπων ἑαυτὸν προσενήνοχε τῷ Θεῷ. Ἄρχεται δὲ τῆς ἱερωσύνης ἐν τῇ νυκτὶ, μεθ' ἣν τὸ πάθος ὑπέμεινεν, ἡνίκα λαβὼν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ εἶπε· Λάβετε, φάγετε, καὶ τὰ ἑξῆς. Οὗτος ὁ Μελχισεδὲκ ἐπὶ Ἀβραὰμ ἤκμαζεν, ἀνὴρ θεοσεβὴς, ἐθνικὸς, καταγόμενος ἐκ τοῦ γένους Σίδου, [x]υἱοῦ Αἰγύπτου, βασιλέως τῆς Λιβύης. B Ὅστις [y]γινόμενος ἱερεὺς, καὶ βασιλεὺς τῶν Χαναναίων, ἔκτισε πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ Σιὼν, καὶ ἐκάλεσεν αὐτὴν Ἱερουσαλὴμ, ὅπερ ἐστὶν εἰρήνης πόλις· καὶ ἐβασίλευσεν ἐν αὐτῇ ἔτη ριγ΄.

Μελχισεδέκ: Οὗτος βασιλεὺς ὢν τῶν Χαναναίων, καὶ ἱερεὺς τοῦ ὑψίστου Θεοῦ, ὑποστρέφοντι τῷ Ἀβραὰμ [z]ἐκ τοῦ πολέμου ἀπαντήσας, ἐξήγαγεν αὐτῷ ἄρτους καὶ οἶνον, καὶ εἶπε πρὸς Ἀβραάμ· C "Εὐλογημένος Ἀβραὰμ τῷ Θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ εὐλογημένος ὁ Θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι." Καὶ ἔδωκεν αὐτῷ Ἀβραὰμ δεκάτην ἀπὸ πάντων. Ἑρμηνεύεται δὲ Μελχισεδὲκ, [a]βασιλεὺς εἰρήνης.

Μελχὸμ προσοχθίσματι: Εἴδωλον καὶ τοῦτο. D [b]Προσοχθίσματα γὰρ καὶ βδελύγματα τὰ εἴδωλα προσαγορεύειν εἴωθεν ἡ Γραφή· ὅπερ δηλοῖ [c]τὸ μῖσος, καὶ ἀπόβλητον.

Μεμαγμένη μᾶζα: Ἐπὶ τῶν ἑτοίμων ἀγαθῶν.

Μεμαγμένην: Παρεσκευασμένην, καὶ ἐν ἑτοίμῳ γενομένην. Ἔνθεν καὶ παροιμία·

[d]Μᾶζαν μεμαχὼς τὴν ὑπ' ἐμοῦ μεμαγμένην.

Μεμακκοακότα: Τὰ Μακκοῦς φρονοῦντα, ἀνοηταίνοντα. E Μακκὼ γὰρ καὶ [e]Λαιμὼ ἐγένοντο ἐνεαί· A τουτέστι, βαρέως νοοῦσαι. [f]Ἀριστοφάνης·

Ὁ δὲ, ὡς ὁρᾷ μεμακκοακότα τὸν δεσπότην,
τέχνην [g]πεποίηται.

Μεμακτῖα: Προθυμουμένη.

Μεμαώς: Προθυμούμενος.

Μεμαστιλημένος: Κατειργασμένος. [h]Τουτέστι, μεμασημένος.

Ματῖα: Προθυμουμένη, γλιχομένη.

B [i]Οὐδὲ γὰρ ἐν [k]θνητοῖσιν ἐδύνατο καὶ μεμαυῖα
εὑρέμεναι Κλωθὼ τῷδ' ἕτερον φονέα.

Μεμβλώκατον: Ἀντὶ τοῦ, [l]παραμένουσι. Καὶ Μέμβλετό μοι: Ἀντὶ τοῦ, μετ' ἐπιμελείας [m]ἐγένετό μοι.

Μέμβλωκε: Παραμένει. Καὶ [n]μεμβλωκὸς, παραγενόμενον, [o]καὶ μετ' ἐπιμελείας κατασκευασθέν.

[Μεμβράς: Εἶδος ἀφύας. Καὶ ἔστιν ἐν τῷ C Ἀφύα.]

Μεμελημένος: Πεπονημένος.

Μεμένηται: Μένει.

Μεμετρέαται: Μεμέτρηνται.

Μέμηλα: Ἐφρόντισα. Καὶ [p]Μέμηλε: Μέλει.

Μεμηλώς: Ἐπιμελούμενος.

Μέμηνε: Μαίνεται.

Μεμιλτωμένον: [q]Ἀριστοφάνης·

D Τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον.

Ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, εἰώθασιν ὑπηρέται δύο μεμιλτωμένον σχοινίον ἐκτείνοντες, διὰ τῆς ἀγορᾶς διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός. Ὅσοι δὲ ἐχρίοντο, ἐξέτινον ζημίαν.

Μέμμιος: Ὕπατος ἦν Ῥωμαίων. [[r]Ἔστιν ἐν E τῷ Ἀχαΐα.]

Μεμισθαρνηκώς: Ὁ μισθῷ [s]καμών.

[u] μόνον] μόνων B.E.

[x] υἱοῦ Αἰγύπτου] Sic habent mss. Paris. itemque Cedrenus, qui cum Suida conferendus est. At priores editt. [et E.] male, Αἰγυπτίων. KUST.

[y] γενόμενος] γινόμενος A.

[z] ἀπὸ] ἐκ τοῦ A.V.

[a] βασιλεὺς εἰρήνης] Imo, βασιλεὺς δικαιοσύνης: ut ignorare non possunt, qui vel primis, ut aiunt, labris linguam Hebraicam degustarunt. KUST.

ΜΕΛΧΟΜ: προσόχθισμά τι] Recte Ernestus Μελχὸμ προσοχθίσματι. Vid. Theodoret. Regg. III. Ἐρωτ. 37.

[b] ΠΡΟΣΟΧΘΙΣΜΑΤΑ] Vid. infra in v. Sumpta sunt ex Theodoret. in Regg. IV. Ἐρωτ. 3.

[c] τὸ μῖσος] Rectius μύσος: quod et Porto visum est. KUST. μίσος E. μῖσος tenet Theodoret.

ΜΕΜΑΓΜΕΝΗΝ] Confer Nostrum supra v. Μᾶζα. KUST.

[d] Μᾶζάν γε] γε om. A.B.V.E. Vid. Aristoph. Eq. 55. et seq.

ΜΕΜΑΚΚΟΑΚΟΤΑ: Τὰ τῆς Μακκ.] Ex Schol. Aristoph. Equit. 62. τῆς om. A.V. Schol. Aristoph.

[e] ΛΑΙΜΩ] Λαμὼ Schol.

[f] Ἀριστοφάνης] Apud Aristophanem loco laudato sic legitur: Ὁ δ' αὐτὸν ὡς ὁρᾷ μεμακκοακότα, Τέχνην πεποίηται, &c. KUST.

[g] ποιεῖται] πεποίηται A. Locum Aristoph. om. V.

ΜΕΜΑΚΤΙΑ] Corrupte pro Μεμαυῖα. Vide infra. Delevi in fine gl. γλιχομένη cum A.B.V.

ΜΕΜΑΩΣ] Il. γ'. 40. et Schol.

ΜΕΜΑΣΤΙΛΗΜΕΝΟΣ] Portus suspicabatur, legendum esse μεμυστιλημένος: quam conjecturam veram esse, patet ex ipso Suida infra v. Μυστιλᾶσθαι, quo lectorem remittimus. KUST.

[h] Τουτέστι, μεμασημένος] Has duas voces priores editt. non agnoscunt, quas ex mss. Paris. revocavimus. KUST.

ΜΕΜΑΤΙΑ] Schol. Il. γ'. 73.

[i] Οὐδὲ γὰρ ἐν θνητοῖσιν ἐδ.] Anthol. Pal. VII. 148.

[k] θνητοῖσιν ἐδύνατο] θνητοῖς (vel θνητοῖσιν) ἠδύνατο A.V.E.M. F θνητοῖσι δυνήσατο Anthol.

[l] παραμένουσι] Sic recte mss. Paris. At priores editt. male, παραβαίνουσι. Homerus Il. γ'. 11. Τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη Αἰεὶ παρμέμβλωκε. Scholiasta: Παρμέμβλωκε: παραμένει, πάρεστιν. Confer etiam Etymologum. KUST.

[m] ἐγένετό μοι] μοι om. A.B.

[n] ΜΕΜΒΛΩΚΟΣ, παραγενόμενον] Callimachus apud Schol. ad Sophoclis Œdip. Col. 305. Ἀμφὶ δέ οἱ κεφαλῇ νέον Αἱμονίηθεν ΜΕΜΒΛΩΚΟΣ πίλημα περίτροχον ἄλκαρ ἔκειτο Εἴδεος. G Ad hunc locum respexisse videtur Suidas. TOUP.

[o] καὶ μετ'] καὶ om. A.

ΜΕΜΒΡΑΣ] Μεμβρὰξ B. Gl. A. in marg. om. V.

ΜΕΜΕΝΗΤΑΙ: Μένει. ΜΕΜΕΤΡΕΑΤΑΙ: Μεμ.] Sic locum hunc ex 2 mss. Paris. emendavi et distinxi, qui in prioribus editt. male sic legitur: Μεμένηται. Μεμέτρηνται. Μεμένηται. Μένειν. KUST. Μεμένηνται: μεμέτρηνται E.

ΜΕΜΕΤΡΕΑΤΑΙ] Herodot. IV. 86. quem locum Etymologus perperam Hipponacti tribuit.

H [p] ΜΕΜΗΛΕ addidi cum A.B.V.E. et Photio. Mox Μέλλει mss. et Phot.

[q] Ἀριστοφάνης] Acharn. 22. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

[r] Ἔστιν etc. om. A.V.

[s] καμών] Sic recte mss. Paris. itemque editio Mediol. et Photius in Lexico inedito. At editt. Aldina, Basil. et

Μέμνηι: β' [t]προσώπου. A

Μεμνῆιτο: Μιμνήσκοιτο. Οὕτω προπερισπωμένως· ὡς Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ. Καὶ [u]Ἀριστοφάνης Πλούτῳ·

Ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου.

Μέμνων, [x]ὁ ἐς Ἴλιον στρατεύσας, ἡγεῖτο μὲν Αἰθιόπων, οὐκ ἦν δὲ Αἰθίοψ, ἀλλὰ ἀπὸ [y]Σούσων τῶν Περσικῶν καὶ τοῦ Χοάσπου ποταμοῦ, τὰ [z]ἐκεῖσε ἔθνη ὑποχείρια ἔχων.

B Μέμονα: Προθυμοῦμαι.

Μέμορται: Μεμοίραται.

Μεμωκημένος: Καταπεφρονημένος.

Μέμωνος: Ὄνομα κύριον.

Μεμπτέος: Μέμψεως ἄξιος.

Μεμοιραμένων: Λαχόντων, κληρωσαμένων.

Μεμοίραται: Μετέχει, εἴληφε.

C Μεμυαλωμένα: Εὐτραφῆ, καὶ πίονα. Οὕτω γὰρ καὶ ὁ Νόμος ἐκέλευσε. Καὶ Μαλαχίας δὲ ὁ προφήτης ἐκέλευσεν ἄμωμά τε καὶ ἄρτια· ἐπαρᾶται δὲ τοῖς τοιαῦτα μὲν ἔχουσιν, ἀνάπηρα δὲ προσφέρουσι.

Μεμύημαι: [a]Πεπείραμαι.

Μεμυκότα: Κρύψαντα, καμμύσαντα· ἢ [b]κεκολλημένα. Καὶ [c]Ὅμηρος·

Σὺν δ' ἕλκεα πάντα μέμυκεν.

D Ἐκ παρατηρήσεως Ὅμηρός φησι τῶν ἐν πολέμῳ τρωθέντων τὰ τραύματα μὴ μύειν, μόνου δὲ τοῦ Ἕκτορος κατὰ θείαν πρόνοιαν. [d]Καὶ ἐν Ἐπιγράμμασι·

Τὸν πάρος Ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον.

Ἀντὶ τοῦ, μυκηθμῷ χρώμενον, μυκώμενον.

Μεμύρωμαι: [e]Ἀριστοφάνης·

Μακαριωτάτη ἐγὼ, ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν ἀγαθοῖς· πολὺ δ' ὑπερπέπαικεν αὐτῶν τὰ Θάσια ἀμφορείδια.

[f]Ἀμφορείδια δὲ, τὰ κεράμια. Ἀπανθήσαντα δὲ, ξηρανθέντα.

Μεμυστιλημένοι: Εὐωχημένοι. Ζωμὸν ἀρυσάμενοι ἄρτοις κοίλοις, [g]καὶ [h]μύστρια μιμουμένοις. Ὅθεν καὶ τὸ ὄνομα τοῖς [i]μυστρίοις· οἷον μυστίλιόν τι ὄν. Ἐν [k]ταύτῃ δὲ τῇ ἑορτῇ πάντες προῖκα ἤσθιον καὶ τὴν ἀθάραν, καὶ ἄλλα τινά. Μυστίλη δὲ [l]καλεῖται κοῖλος ἄρτος· ἤγουν ἀθάρα. Ἐν γὰρ τοῖς Θησείοις ἀθάραν ἤσθιον. Ὁ δὲ νοῦς· Ὦ πολλὰ ταλαιπωρήσαντες, καὶ εἰς οὐδὲν ἑστιαθέντες, νῦν δὲ εὐτυχήσαντες. [m]Ὀλιγίστοις δὲ ἀλφίτοις λέγει, ἤγουν ἄρτοις. Τοῖς κοίλοις γὰρ ἄρτοις τοὺς ζωμοὺς ἀρυόμενοι, ταχέως ἐκορέννυντο δι' ἔνδειαν ἄρτου. Πεποίηται δὲ ἡ λέξις, [n]λέγω δὲ ἡ μυστίλη, παρὰ τὴν μάσησιν. Ἢ διὰ τὸ πλῆθος τῶν ὄψων ὀλίγον ἄρτον ἤσθιον. Ἢ τῷ ζωμῷ σχολάζοντες, ὑπὸ τούτου ἐκορέννυντο.

Μέμφις: Ὄνομα κύριον. [[o]Καὶ κλίνεται] Μέμφεως, ἡ δοτικὴ, τῷ Μέμφει, καὶ [p]θηλυκὸν, ἡ Μέμφις.

Μεμφίτης: [q]Ὁ ἀπὸ τῆς Μέμφεως.

Μεμφωλή: Μέμψις.

Μεμψιβολεῖν: Μέμφεσθαι.

Genev. male, κακῶν: quam lectionem Portus in versione secutus fuerat. KUST.

MEMNHI] Il. ό. 18.

E [t] προσώπου] ^προ^ἀσώπου A. Delevi statim καὶ MEMNHMAI ΣΟΥ: Γενικῇ., cum A.V.

MEMNHITO] Conf. Schol. Ven. Il. ψ'. 361. Suidæ locum aliquando repertum iri in Schol. Aristoph. cod. Rav. aut Ven, vix dubito.

[u] Ἀριστοφάνης Πλούτῳ] Ver. 992.

MEMNΩN] Pausanias X. [31, 7.] p. 875, 25. HEMST. Conf. Wesseling. Diodor. Sic. II. 22. Pausaniæ verba sunt, Ὅτι ὁ Μέμνων βασιλεὺς ἦν τοῦ Αἰθιόπων γένους, ἀφίκετο μέντοι ἐς Ἴλιον οὐκ ἀπ' Αἰθιοπίας, ἀλλὰ ἐκ Σούσων τῶν Περσικῶν καὶ ἀπὸ τοῦ Χοάσπου ποταμοῦ, τὰ ἔθνη πάντα ὅσα ᾤκει μεταξὺ ὑποχείρια πεποιημένος.

F [x] ὁ ἐς Ἴλιον στρατεύσας] Negat id Philostratus de Vit. Apoll. lib. VI. c. 3. quem vide. KUST.

[y] Σούσων] Σούνων A.

[z] ἐκεῖσε] ἐκείνη A.

MEMONA] Il. έ. 482.

G MEMΥΑΛΩMENA: Εὐτραφῆ καὶ π.] Pearsonius recte observaverat, notam hanc referendam esse ad Psalm. LXV. 15. ubi David secundum versionem τῶν LXX. sic inquit: Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι μετὰ θυμιάματος. Theodoretus ad illum locum: Μεμυαλωμένα κέκληκε τὰ εὐτραφῆ καὶ πίονα. Οὕτω γὰρ καὶ ὁ Νόμος προσφέρειν ἐκέλευσεν ἄμωμά τε καὶ ἄρτια. Ἐπαρᾶται δὲ καὶ ὁ προφήτης Μαλαχίας τοῖς τοιαῦτα μὲν ἔχουσιν, ἀνάπηρα δὲ προσφέρουσιν. Hinc Suidas supplendus et emendandus est. KUST. F. Μεμυελωμένα. Sic infra Μυελόεντα, τροφὴν ἔχοντα, et sic Sopingius ad Hesych. TOUP. Sunt ex Psalm. LXV. 15. Leg. Μεμυελωμένα. VALCK.

H [a] πεπείραμαι μὴ μύειν] Portus particulam negativam μὴ abjiciendam esse censet: cui assentior. KUST.

ib. δεδίδαγμαι, πεπείραμαι μὴ μυεῖν] πεπείραμαι A.V. Μεμύηται: πεπείραται Photius. Conf. Hesych. δεδίδαγμαι om. B. In fine μεμύειν vel μὴ μεμύειν B.E. Spectat gl. Pauli Ep. Philipp. IV. 12.

[b] κεκολλημένα] Procopius Goth. p. 188. ἀλλήλοις ξυνδέδενται καὶ μεμύκασι. TOUP.

[c] Ὅμηρος] Il. ώ. 420. KUST. Sumptus hic locus videtur e scholiis ad eum versum amplioribus. Conf. Heynii notam.

[d] Καὶ ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 115.

[e] Ἀριστοφάνης] Eccles. 1105. Εὐδαίμων δ' ἐγὼ, Αὕτη τε μοι δέσποινα μακαριωτάτη, Ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν Ἀγαθοῖσιν, ὦ Ζεῦ· πολὺ δ' ὑπερπέπαικεν αὖ Τούτων ἁπάντων τὰ Θάσι' ἀμφορείδια. KUST.

[f] ἈΜΦΟΡΕΙΔΙΑ δὲ om. V. δὲ om. A.

MEMΥΣΤΙΛΗMENOI: Εὐωχ.] Aristoph. Plut. 627. Ὦ πλεῖστα Θησείοις μεμυστιλημένοι, Γέροντες ἄνδρες, ἐπ' ὀλιγίστοις ἀλφίτοις. Vide ibi Scholiastam, cujus scrinia Suidas hic compilavit. KUST.

[g] καὶ μυστήρια μιμουμένοις. Ὅθεν καὶ τὸ ὄνομα τοῖς μυστ.] Emenda ex Scholiasta Aristophanis: Καὶ μυστρίοις ἱμούμενοι. Ὅθεν καὶ τὸ ὄνομα τοῖς μυστρίοις. &c. De voce μύστρον autem et μυστρίον, vide Lexica vulgata. KUST.

[h] μυστήρια] μύστρια A.B.E. et sic corrigendum vidit Kusterus in nota ad Schol. Aristoph.

[i] μυστηρίοις] μυστρίοις A.B.E. Mox μυστλίον Schol.

[k] ταύτῃ] ταύτῃ δὲ τῇ A.B.V.E. Schol.

[l] καλεῖται om. A.

[m] Ὀλιγίστοις] ὀλίγοις δὲ ἄρτοις ἤγουν ἀλφίτοις λέγει A. ἄρτοις ἤγουν ἀλφίτοις B.V.

[n] λέγω δὲ] λέγω δὴ A.B.V.

[o] Καὶ κλίνεται om. A. qui mox om. τῷ.

[p] θηλυκὸν, ἡ Μέμφις] In prioribus editt. [et B.V.E.] post verba hæc additur, Ἆπις, Θεὸς Αἰγύπτου. (Αἰγυπτίων V.) Τοῦτον Αἰγύπτιοι τιμῶσι σελήνῃ. Καὶ ἱερὸς ἦν ὅδε (δὲ V.) ὁ βοῦς τῆς σελήνης, ὥσπερ ὁ Μέμφις τοῦ ἡλίου. Sed ea hic omittenda putavi, tum quia in vetustissimo ms. A. desunt, tum etiam quia non pertinent ad vocem Μέμφις, sed Μνεῦις. Bos enim, qui apud Ægyptios Soli sacer habebatur, non appellabatur Memphis, sed Mneuis, ut vel ex ipso Suida supra v. Ἆπις, et infra v. Μνεῦις, discere licet. KUST.

[q] Ὁ ἀπὸ] ὁ om. A.

Μεμψίμοιρος: Φιλεγκλήμων.

Μένανδρος, Ἀθηναῖος, [r]κωμικὸς ἀρχαῖος. Καὶ [s]Μένανδρος ἕτερος, Ἀθηναῖος, ὁ [t]Διοπείθους καὶ Ἡγεστράτης· περὶ οὗ πολὺς παρὰ πᾶσιν ὁ λόγος· κωμικὸς τῆς νέας κωμῳδίας, στραβὸς τὰς ὄψεις, ὀξὺς δὲ τὸν νοῦν, καὶ περὶ γυναῖκας ἐκμανέστατος. Γέγραφε κωμῳδίας [u]ρη´, καὶ ἐπιστολὰς πρὸς Πτολεμαῖον τὸν βασιλέα, καὶ λόγους [x]ἑτέρους πλείστους καταλογάδην.

Μένανδρος, Λαοδικεὺς, τῆς παρὰ [y]Λύκῳ τῷ ποταμῷ, σοφιστής. Ἔγραψεν ὑπόμνημα εἰς τὴν Ἑρμογένους Τέχνην, καὶ Μινουκιανοῦ Προγυμνάσματα· καὶ ἄλλα.

Μένανδρος [z]Προτίκτωρ, ἱστορικός· ὃς λέγει περὶ ἑαυτοῦ· Ἐμοὶ πατὴρ Εὐφρατᾶς ἐκ Βυζαντίου ὁρμώμενος ἦν· οὗτος δὴ οὖν ἥκιστα τῆς τῶν λόγων μετειλήχει παιδείας. Ἡρόδοτος μὲν οὖν [a]ὁμόγνιος δέ μοι, τῆς πρὸς τὸν νόμον ἀπογευσάμενος παιδείας, εἶτα ἀφηνίασε τῆς περὶ ταῦτα σπουδῆς· ἀλλ᾽ ἔγωγε [b]οὔτι χρῆναι ᾠόμην μὴ καὶ νόμοις ὁμιλῆσαι, καὶ ἐς τέλος ἱκέσθαι τῶν πόνων· καὶ δὴ ἀφικόμην, ὥς μοι ὑπῆρχε δυνατόν. Ἥκιστα δὲ ἐχρησάμην τῇ ἐπαγγελίᾳ τοῦ ἐπιτηδεύματος· οὐ γάρ μοι θυμῆρες ἦν ἀγωνίζεσθαι [c]δίκας, οὔτε μὴν ἐν τῇ βασιλείῳ στοᾷ θαμίζειν, καὶ δεινότητι λόγων τὰς τῶν ἐντυγχανόντων οἰκειοῦσθαι φροντίδας. Καὶ τὰ σπουδαῖα τοιγαροῦν παρεὶς, καὶ τὰ χείριστα ἑλόμενος, κεχηνὼς περιενόστουν. Καί μοι [d]καταθύμιοι ἦσαν οἵ τε θόρυβοι [e]τῶν χρωμάτων, καὶ οἱ ἁμιλλητήριοι τῶν ἵππων ἀγῶνες, ἔτι γε μὴν καὶ ἡ παντόμιμος ὄρχησις. Οὐ μὴν ἀλλὰ καὶ παλαίστραις ἐναπεδυόμην, καὶ ἐς τοσοῦτον ἐξώκειλα ἀφροσύνης, ὡς καὶ [f]τὸν φαινόλην ἀποδύσασθαι, [g]συναποδύσασθαι δὲ αὐτῷ καὶ τὸ [h]νουνεχὲς, καὶ ἄλλο ὅ τι ἐς [i]βίον ἀγλάϊσμα. Ἐπεὶ δὲ Μαυρίκιος τὸ βασίλειον [k]διεδήσατο κράτος, τοῦτο μὲν προμηθέστατα ἔχων ἐς τοὺς ὑπηκόους, τοῦτο δὲ καὶ μουσῶν ἐραστὴς, ποιημάτων τε καὶ ἱστορίας ἥδιστα ἐπαΐων, ὡς καὶ τὸ πολὺ τῆς νυκτὸς μέρος καταναλίσκειν περὶ τὰς τοιαύτας φροντίδας, καὶ παρορμᾶν ἐντεῦθεν καὶ ὀξύνειν τοῖς χρήμασι τοὺς ἀμβλυτέρους τὸν λογισμόν· ἀγαπητῶς ἐν τῷ τότε ἔγωγε ἀλύων καὶ δυσανασχετῶν τῷ μὴ τὰ δέοντα ἔχειν, ἀναλογιζόμενος ἦν, ὡς [l]οὐ χρεὼν ἀνόνητά με περινοστεῖν. [m]Ὥστ᾽ ἂν οὖν μὴ διαπαντὸς κενεμβατοίην, ὡρμήθην ἐπὶ τήνδε τὴν συγγραφὴν, ἄρξασθαι μετὰ τὴν ἀποβίωσιν [n]Ἀγαθίου, καὶ [o]τῆς ἱστορίας ποιήσασθαι τὴν ἀρχήν.

Μένδα: Ὑπὸ Ἐρετριέων ᾠκισμένη.

Μενδαῖος: Ὁ ἀπὸ τῆς Μένδης.

Μένδη: Πόλις μία τῶν ἐν Πελλήνῃ.

Μένδην: Οὕτω καλοῦσι τὸν Πᾶνα Αἰγύπτιοι, ὡς τραγοπρόσωπον, τῷ καὶ τὸν τράγον τῇ αὐτῶν διαλέκτῳ οὕτω καλεῖν· καὶ τιμῶσιν αὐτὸν ὡς ἀνακείμενον τῇ γονίμῳ δυνάμει· καὶ τιμῶσιν αὐτὸν, [p]ὥστε μὴ ἐσθίειν τράγους· ὀχευτικὸν γὰρ τὸ ζῶον. Ἦν δὲ καὶ ἱερὸν

ΜΕΜΨΙΜΟΙΡΟΣ] Vid. Herald. adv. Salmas. p. 408.

[r] κωμικὸς ἀρχαῖος] Hunc Menandrum Suidæ errori deberi existimat Meinekius Quæst. Scen. II. p. 75. Vid. et not. ad vitam Menand. p. XXIII.

[s] Μένανδρος] Hujus Menandri fabulas accurate recenset Meursius in Bibliotheca Attica, quem vide. Omisit tamen fabulam ejus Ἄπιστος, cujus meminit Suidas v. Ἅβρα. Existimavit nimirum Meursius, vocem ἀπίστῳ esse partem fragmenti, quod Suidas dicto loco ex Menandro adducit; cum certissimum sit esse nomen fabulæ, ut et lectorem supra monuimus. Sic autem, ut diximus, Meursium censuisse, satis patet ex eo, quod in Bibliotheca Attica, ubi de fabula Menandri Ψευδηρακλῆς agit, locum illum Suidæ sic legendum et distinguendum esse monet: Μήτηρ τέθνηκε ταῖν ἀδελφαῖν ταῖν δυοῖν Ταύταιν, τρέφει δὲ παλλακή τις τοῦ πατρὸς Αὐτὰς, ἅβρα τῆς μητρὸς αὐτῶν γενομένη, Σικυωνία· καὶ γὰρ ἅβραν ἀντωνούμενος Ἐρωμένῃ, ταύτῃ μὲν οὐ παρέδωκ᾽ ἔχειν· Τρέφειν δὲ χωρὶς, ὡς ἐλευθέρᾳ πρέπει, Ἀπιστῶ· ᾤμην εἰ τὸ χρυσίον λάβοι Ὁ γέρων, θεράπαιναν εὐθὺς ἠγορασμένην Ἅβραν ἔσεσθαι. Subjungit postea: *Ita versus istos ibi latentes, e latibulo suo protractos, restituo.* Sed, quod salva modestia dixerim, insigniter fallitur. Fragmenta enim diversa, et ex diversis fabulis petita, in unam massam compegit, duasque istas voces, ἀπίστῳ, et Σικυωνία, quæ fabularum nomina sunt, invito plane sensu cum ipsis Menandri verbis miscuit: qui error ipsi cum Porto communis est. Vide nos supra v. Ἅβρα, ubi rite omnia distinximus, et suum cuique fabulæ fragmentum restituimus. KUST.

[t] Διοπείθους] ὁ Διοπ. A.B. Mox Ἡγεστράτης A.B.V. Ἡγιστράτης E. pro Ἡγησιστράτης.

[u] ρη´] Alii 109. Apollod. ap. Gell. XVII. 4. 105. REINES. ργ´ E.

[x] ἑτέρους] ἑτέρων δύο V.

[y] Λύκῳ] τῷ Λύκῳ A. Mox σοφιστοῦ A. In fine καὶ ἄλλα om. V.

[z] Προτίκτωρ] Πρωτίκτωρ V.

[a] μοι ὁμόγνιος] ὁμόγνιος δέ μοι A.B. ὁμόγνιός γε μοι V. μοι ὁμόγνιος δέ μοι E.

[b] οὔτι] οὔτε A.

[c] δίκας] δίκαις E.

[d] καταθύμιοι] κατάθυμοι V. qui mox ὅτι pro ἔτι.

[e] τῶν χρωμάτων] Wolfius legit ἁρμάτων: quàm conjecturam probo. KUST. An ὀχημάτων? Sed for. nihil mutandum. Vid. Suid. Πρασινὸν χρῶμα. Agathias V. p. 153. τὴν περὶ τὰ χρώματα ἔριν. Et p. 161. ἵππων ἁμίλλας τοῖς χρώμασι μεμερισμένας. TOUP. Mutari nolim; factiones enim Circenses coloribus distinguebantur. HEMST. Vid. Barth. Advers. XVI. c. 17. Editam lectionem fortasse adprobent ista Greg. Nazianz. Ep. 236. Οἱ πωλοδάμναι τοὺς πώλους γυμνάζουσι πρὸς τὰ χρώματα καὶ τοὺς φόβους (an ψόφους?) καὶ τῶν χωρίων τὰ πρηνῆ τε καὶ ὕπτια οὐχ ἵνα πτοήσωσιν, ἀλλ᾽ ἵνα μὴ πτοεῖσθαι διδάξωσι. REINES.

[f] τὴν φαινόλην] τὸν φ. A.B.E.M.

[g] συναποδύσασθαι] Dictum Gygis imitatur apud Herodot. I. 8. HEMST.

[h] νουνεχές] Sic recte 2 mss. Paris. At in prioribus editt. [et E.] male legitur συνεχές. KUST. τὸν συνεχὲς B. νουνενὲς V.

[i] βίον] βίου A.

[k] διεδήσατο] διεδύσατο B.E.M. Mox μουσῶν om. V.

[l] οὐκ ἦν] οὐ A.B.V.E. Tum χρεῶν A.

[m] Ὡς οὖν ἂν] ὡς τἂν (vel ὥστ᾽ ἂν) οὖν A.B.V.E. ὥστ᾽ ἂν μὴ M. ὥστ᾽ ἂν οὐκ μὴ ed. Portus, qui conj. ὥσθ᾽ ἵνα μή.

[n] τῶν Ἀγαθίου] τῶν om. A.B.V.E. τοῦ Ἀγαθ. M.

[o] τῆς ἱστορίας] Ex hac historia Excerpta quædam hodie adhuc supersunt, edita ab Hœschelio inter reliquas Legationum Eclogas. KUST.

ΜΕΝΔΑ] Μένδη Thucyd. IV. 123. ubi v. Duker. Hanc et paullo post sequentem glossam conjungit Harpocratio, v. Μένδη.

ΜΕΝΔΑΙΟΣ] Vid. Bergler. ad Alciphr. III. 5.

ΜΕΝΔΗΝ: Οὕτω καλοῦσι τὸν Π.] Vide Bochartum Hieroz. part. 1. lib. II. c. 53. KUST. Sumpsit forte Suidas ex Schol. ad Gregor. Naz. Vid. Nonnum Hist. Collect. p. 169. Plura dabit Jablonski Panth. Ægypt. II. c. 7. et Opusc. I. p. 138.

[p] ὥστε] ὡς ἔτι B.V.E.M.

τοῦ Μενδησίου παρ' Αἰγυπτίοις, ἐν ᾧ [q]ἄγαλμα τραγοσκελὲς ἦν, ὀρθὸν ἔχον τὸ αἰδοῖον.

Μενδήσιον κέρας: Τὸ τοῦ Νείλου στόμα.

Μένεα πνείων: Μεγάλα δυνάμενος.

Μενεδάϊος ἵππος: Ὁ πολεμιστήριος.

> [r] Σᾶμα τόδε φθιμένου μενεδαΐου εἵσατο Δᾶμις
> ἵππου, ἐπεὶ στέρνον τοῦδε δαφοινὸς Ἄρης
> τύψε.

Μενεδάϊος, καὶ κατὰ τροπὴν, μενεδήϊος.

Μενέδημος:

Μενεαινέμεν: Προθυμεῖσθαι.

Μενεθεύς: Ὄνομα κύριον. [s]Καὶ Μενεσθεύς.

Μενεκλείδης:

Μενεκράτης, κωμικός. [t]Δράματα αὐτοῦ, Μανέκτωρ, ἢ Ἑρμιονεύς.

Μενεκράτης, Συρακούσιος, ἰατρός. Οὗτος δὲ μισθὸν μὲν οὐδένα ἐκομίζετο τῆς θεραπείας, ([u]ἐθεράπευε γὰρ τὴν ἱερὰν νόσον,) δούλους δὲ αὐτοῦ ὁμολογεῖν τοὺς [x]θεραπευομένους ἀπῄτει, καὶ Δία ἑαυτὸν ἐκάλει, θεοὺς δὲ τοὺς ἰαθέντας ὑπ' αὐτοῦ, τιθεὶς [y]ἑκάστῳ προσηγορίαν, τῷ μὲν Ἑρμοῦ, τῷ δὲ, Ἀπόλλωνος.

Μενέλαος: [z]Δημοσθένης ἐν Φιλιππικοῖς. Ἀδελφὸς Φιλίππου ὁμοπάτριος.

Μενέλαος, [a]Αἰγαῖος, ἐποποιός. Ἔγραψε Θηβαΐδα ἐν βιβλίοις [b]ια'. καὶ ἄλλα.

Μενέμαχοι: Καρτερικοὶ, μένοντες ἐν τῇ μάχῃ· οὓς Ὅμηρος μενεχάρμας καλεῖ.

Μενετοὶ θεοὶ, καὶ μὴ ἀποδιδῶσι [c]μισητίαι: Ἀντὶ τοῦ, ἀνεξίκακοι, καὶ οὐκ εὐθέως τιμωρούμενοι,

A ἐπίμονοι, καὶ βέβαιοι, καὶ οὐκ [d]εὐεξαπάτητοι. [e]Μισητία δὲ, ἡ εἰς τὰ ἀφροδίσια ἀκρασία. Μήποτε μέντοι γενικώτερόν ἐστιν ἡ ἀπληστία, ἡ [f]αἰσχροκέρδεια.

Μενεχάρμης: Ὁ ὑπομονητικὸς ἐν μάχαις.

Μένεχμος: Ὄνομα κύριον.

Μενξίτιον: Ὄνομα τόπου.

Μενθῆρες: Αἱ φροντίδες.

B [Μένιππος: Ὁ Κυνικός. Ἔστιν ἐν τῷ Φαιός.]

Μένιππος: Κωμικός. Τῶν δραμάτων αὐτοῦ ἐστι, Κέρκωπες, καὶ ἄλλα.

Μενοεικής: Ὁ αὐτάρκης. Καὶ μενοεικέα.

Μένος: Δύναμις, ὁρμή. [g]Διαφέρει δὲ τὸ μένος τοῦ θάρσους. Τὸ μὲν γὰρ μένος ἐστὶ τοῦ σώματος· τὸ δὲ θάρσος, τῆς ψυχῆς.

C Μενοῦγγε: Ἐκ συνδέσμων τριῶν. Τὸ [h]ἀληθές.

Μένω:

> Ἡ δὲ Ὀλυμπιὰς ἐπὶ τῶν ἑαυτῆς [i]λογισμῶν ἔμενε.

Μένων: Οὗτος δῆλος ἦν ἐπιθυμῶν [k]πλούτου ἰσχυρῶς, ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως [l]πλείω λαμβάνοι, ἐπιθυμῶν δὲ τιμᾶσθαι, ἵνα πλείω [m]κερδαίνοι· φίλος τε ἐβούλετο εἶναι τοῖς μέγιστον δυναμένοις, ἵν' ἀδικῶν μὴ
D δοίη δίκην. Ἐπὶ [n]δὲ τὸ κατεργάζεσθαι, ὧν ἐπιθυμοίη, συντομωτάτην [o]ᾤετο ὁδὸν εἶναι διὰ τοῦ ἐπιορκεῖν τε καὶ ψεύδεσθαι καὶ ἐξαπατᾶν· τὸ δὲ ἁπλοῦν καὶ [p]τὸ ἀληθὲς ἐνομίζετο αὐτῷ ἠλίθιον εἶναι. Στέργων δὲ [q]φανερὸς μὲν ἦν οὐδένα· ὅτῳ δὲ φαίη φίλος εἶναι, τούτῳ ἔνδηλος ἐγίνετο ἐπιβουλεύων. Καὶ πολεμίου μὲν οὐδενὸς κατεγέλα, τῶν δὲ συνόντων πάντων ὡς καταγε-

[q] καὶ ἄγαλμα] καὶ om. A.V.B.E.

ΜΕΝΕΑ ΠΝΕΙΩΝ] Schol. Il. β'. 43. γ'. 8.

[r] Σῶμα] Σᾶμα A.B.V.E. Μνᾶμα Anthol. Pal. VII. 208. Mox δαφοινὸν A.B.V.M.

ΜΕΝΕΔΗΜΟΣ] Menedemus Eliensis Herculi rationem purgandi stabuli Augeæ tradit. Ptol. Heph. V. Narr. Hist. ap. Phot. 190. Menedemus Κωλώτου μαθητὴς Laërt. VI. 9. Menedemus Cleomenis discipulus Laërt. VI. 6. Menedemus Rhodius, Aristotelis discipulus Gell. XIII. 5. REINES.

ΜΕΝΕΑΙΝΕΜΕΝ] Il. ε'. 606.

[s] Καὶ ΜΕΝΕΣΘΕΥΣ in A. post Μενέμαχοι. Gl. om. V.

ΜΕΝΕΚΛΕΙΔΗΣ] Adversarius Epaminondæ in administratione reipublicæ, et dicendi potens: objecit Epaminondæ, quod liberos non haberet, nec duxisset uxorem. Cornel. Nepot. Epam. 5. REINES.

[t] Δράμα] δράμα[τ] A.V. δράματα E. edd. ante Kuster. leg. videtur δραμάτων, ut v. Μένιππος et alibi.

ΜΕΝΕΚΡΑΤΗΣ, Συρακούσιος, ἰατρός. Οὗτος δὲ μισθ.] Locum hunc de Menecrate Suidas deprompsit ex Athenæo, quem vide lib. VIII. p. 289. Ibi enim eadem res fusius narratur. KUST.

[u] ἐθεράπευσε] ἐθεράπευε B.V.E.M. Ald.

[x] θεραπευμένους] θεραπευομένους B. edd. ante Kuster. Athen.

[y] ἑκάστῳ] ἑκάστου V.

ΜΕΝΕΛΑΟΣ: Δημοσθ.] Ex Harpocratione. KUST.

[z] Δημοσθένης] P. 47, 21.

[a] Αἰγαῖος] An potius Ἀναῖος? Vide Holstenium ad Stephanum v. Ἀναία. KUST. Αἰγέος V.

[b] ιβ'] ια' A.B.V.E. ιβ' Eudocia.

ΜΕΝΕΜΑΧΟΙ] Hanc gl. dedi ex A.V.

ΜΕΝΕΤΟΙ ΘΕΟΙ, ΚΑΙ ΜΗ ἈΠΟΔ.] Aristoph. Av. 1617. Ἐὰν τις ἀνθρώπων ἱερεῖόν τῳ θεῶν Εὐξάμενος, εἶτα διασοφίζηται λέγων, Μενετοὶ θεοί· καὶ μὴ 'ποδιδῶ, μισητίαν Ἀναπράξομεν καὶ ταῦτα. Vide ibi Scholiastam, cujus verba Suidas hic de-
E scripsit. KUST.

[c] ΜΙΣΗΤΕΙΑΙΣ] μέσιτεῖαι A. μισητεῖαι V.

[d] εὐεξαπάτητοι] εὐαπάτητοι B. ἐξαπάτητοι E.

[e] ΜΙΣΗΤΕΙΑ] Μισητία A.

[f] αἰσχροκέρδεια] αἰσχροκερδία V.

ΜΕΝΕΧΑΡΜΗΣ: Ὁ ὑπομονητ.] Ex Scholiasta Homeri ad Il. ι'. 525. KUST.

ΜΕΝΞΙΤΙΟΝ] Μενζίτιον E.

ΜΕΝΘΗΡΕΣ] Potius, μενθῆραι. Vide Etymologum et
F Hesychium. KUST.

ΜΕΝΙΠΠΟΣ] Γαδαρεὺς Strab. XVI. 759. et Steph. in Γάδαρα. cf. Laërt. VI. 8. et Athen. I. 32. REINES. Hanc gl. habet A. in marg. ἔστιν etc. om. V.

ΜΕΝΟΕΙΚΗΣ] Vid. Schol. Il. ι'. 90.

[g] Διαφέρει] Seqq. habet A. in marg. Desumpta sunt ex Schol. Ven. ad Il. ε'. 2.

[h] ἀληθές] Statim delevi μᾶλλον μὲν οὖν cum A.B.V. Photio, et Etymol. Vid. not. ad Hesych.

G ΜΕΝΩ] γενικῇ addunt B.E.V. Gl. om. A.

[i] ἔμενε λογισμῶν] λογισμῶν ἔμενε V.

ΜΕΝΩΝ: Ἀθηναῖος. Οὗτος δῆλος ἦν ἐπιθ.] Hæc, et quæ sequuntur usque ad finem articuli, leguntur apud Xenophontem lib. III. de Expedit. Cyri, in fine: ut Pearsonius monuit. [II. 6, 21.] Notandum autem est, Menonem hunc a Xenophonte non vocari Ἀθηναῖον, sed Θετταλόν: unde Suidas proinde corrigendus est. KUST. Ἀθηναῖος delevi cum A.

[k] πλούτου om. V.

H [l] πλείω λαμβάνῃ] πλέω λαμῶν V. πλ. λαμβάνοι A.

[m] κερδάνῃ] κερδαίνοι A. κερδαίνῃ B.V.

[n] τὸ δὲ] δὲ τὸ A.B.

[o] ὁδὸν ᾤετο] ᾤετο ὁδὸν A.

[p] τε καὶ] τε om. A.B. Tum τὸ addunt A.B.V. ante ἀληθ.

[q] φανερῶς] φανερὸς A. Mox εἶναι om. V.

λῶν ἀεὶ διελέγετο. Καὶ τοῖς μὲν [r]τῶν πολεμίων κτήμασιν οὐκ ἐπεβούλευε, (χαλεπὸν γὰρ ᾤετο εἶναι τὰ τῶν φυλαττομένων λαμβάνειν), ἀλλὰ τὰ τῶν φίλων μόνος ᾤετο εἰδέναι ὅτι ῥᾷστον [s]ἀφύλακτα λαμβάνειν. Καὶ ὅσους μὲν αἰσθάνοιτο ἐπιόρκους καὶ ἀδίκους, [t]ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο· τοῖς δὲ ὁσίοις καὶ ἀλήθειαν ἀσκοῦσιν, ὡς [u]ἀνάνδροις ἐπειρᾶτο χρῆσθαι. Ὥσπερ δέ τις ἀγάλλεται ἐπὶ θεοσεβείᾳ [v]καὶ ἀληθείᾳ καὶ δικαιότητι, οὕτω Μένων ἠγάλλετο τῷ ἐξαπατᾶν δύνασθαι, τῷ πλάσαι ψευδῆ, τῷ φίλους διαγελᾶν· τὸν δὲ μὴ πανοῦργον ἀπαίδευτον ἐνόμιζεν εἶναι. [x]Καὶ παρ᾽ οἷς μὲν ἐπεχείρει [y]πρωτεύειν, διαβάλλων φιλίαν, τοὺς πρώτους τούτῳ ᾤετο δεῖν κτήσασθαι. Τὸ δὲ πειθομένους στρατιώτας παρέχεσθαι, ἐκ τοῦ [z]συναδικεῖν αὐτοῖς ἐμηχανᾶτο. Τιμᾶσθαι δὲ καὶ θεραπεύεσθαι ἠξίου, [a]ἐπιδεικνύων, ὅτι [b]πλεῖστα [c]δύναιτο καὶ ἐθέλοι ἂν ἀδικεῖν. [d]Εὐεργεσίαν δὲ κατέλεγεν, [e]ὁπότε τις αὐτοῦ ἀφίσταιτο, ὅτι χρώμενος αὐτῷ, οὐκ ἀπώλεσεν αὐτόν.

Μεντίδιος: Ὄνομα κύριον.

Μέντορος: Ὄνομα κύριον.

Μέντοι: Τὸ δὲ [f]σὺν τῷ γέ παρ᾽ οὐδενὶ τῶν Ἑλλήνων.

Μενοικεύς:

Μενοινή: Ἡ προθυμία.

Μενοινῶος:

Μενοίτιος: Ὄνομα κύριον.

A Μεραρχίαι: Αἱ δύο χιλιαρχίαι, ἀνδρῶν βμή. οἱ δὲ καὶ Τέλος ὀνομάζουσι. Καὶ τὸν ἡγούμενον, Μεράρχην, καὶ Τελετάρχην.

Μεριδαρχίας: Μεριτίας. Κατὰ δεκαρχίας.

Μερίζω: Αἰτιατικῇ.

Μερίς: Ἡ κληρονομία.

Μερὶς οὐ πνίξ: Τῶν δυνατωτέρων ἁρπαζόντων τὰς τροφὰς τῶν ἀσθενεστέρων, καὶ ἐπὶ τούτῳ ἐκείνων B πνιγομένων, [g]ἐπεὶ ἄρα [h]αὐτοῖς βοηθεῖν οὐκ ἠδύναντο, ἐπενοήθη ὁ διαμερισμός· καὶ ἕκαστος [i]ἑκάστῳ, τὸ ἴσον λαμβάνων, ἐπεφώνει, [k]Μερὶς οὐ πνίξ. Ἢ οὕτως γράφε, Μερὶς οὐ πνίγει. Ὅτε οὖν οἱ δυνατοὶ ἥρπαζον, ἦν πνίξ· ὅτε δὲ ἐπενοήθη [l]ὁ μερισμὸς, ἔλεγον οἱ [ll]πένητες, Μερὶς οὐ πνίξ.

Μερίτην: Συμμεριστήν. [m]Πολύβιος·

Καὶ πολλὰ περιελασάμενοι σώματα καὶ θρέμματα, [n]τούτων C οὐδενὸς μερίτην ἐποιήσαντο τῶν ἁλόντων.

Μερίτης: Ὁ τινὸς πράγματος μεταλαγχάνων. [o]Πολύβιος·

Ὁ δὲ φύλαξ εὐθὺς ἀνοίγει, ἐλπίζων καὶ πρὸς αὐτόν τι διατείνειν [p]τὴν εὐαγρίαν, διὰ τὸ μερίτην αὐτὸν ἀεὶ γίνεσθαι τῶν εἰσφερομένων.

Μερκηδῖνον: Τόπος τις.

D Μερμαίρω: Φροντίζω, ἢ χολῶ.

Μέρμερα: Μερίμνης ἄξια, χαλεπά.

Μερμερίζω: Μεριμνῶ.

Μερμερόης: Ὄνομα κύριον.

[r] τῶν πολεμίων] τῶν om. A. Mox εἶναι om. V. qui infra habet λαβεῖν.

[s] ἀφύλακτα] κἀφύλεκτα V.

[t] ὡς εὖ] καὶ ὡς εὖ B.E.

[u] ἀνάνδροις] ἀνάνδρους B. pr. Tum ἐπηρᾶτο V.

[v] καὶ ἀληθείᾳ addidi cum A.B.V.E. Mox οὔτε V. pro οὕτω.

[x] Καὶ παρ᾽ οἷς μὲν ἐπεχείρει πρωτεύειν, διαβάλλων φιλ.] Locus hic ex Xenophonte sic rescribendus est: Καὶ παρ᾽ οἷς μὲν ἐπεχ. πρωτ. φιλίᾳ, διαβάλλων τοὺς πρώτους, τούτους ᾤετο, &c. KUST.

[y] πρωτεύειν] προτερεύειν V.

[z] συναδικεῖν] συνδικεῖν A.V.

[a] ἐπιδεικνύων] μὲν addit A.

[b] πλεῖστα] μάλιστα (superscr. πλεῖστα) V.

[c] δύναιτο] ψεύδετο B. ψεύ . . . E.M. omisso statim καί.

[d] εὐεργεσίας] εὐεργεσίαν A.B.E.

[e] ὅτε] ὁπότε A.B.V. Tum ἀφίσταιτο A.B.V.E. edd. ante Kuster. pro ἀφίστατο.

ΜΕΝΤΟΡΟΣ] Mentor Bithynus, discipulus Carneadis, Acad. Laërt. IV. 9. et Euseb. Præp. XIV. 7. et 8. e Numenio. Mentor Syracusanus Plin. Mentor. scalptor, s. cælator in auro et argento Plin. REINES. cf. Menag. ad Laërt. IV. 63. Diodor. Sic. XVI. 52. et Wessel.

ΜΕΝΤΟΙ: ὅμως] ὅμως om. A.B. Photius.

[f] σὺν τῷ γε] Sic recte ms. Paris. A. et Photius in Lexico inedito. At priores editt. [et B.V.E.] συντῶσε: qua lectione Portus deceptus, ineptum loco huic sensum affinxerat. KUST. Vett. edd. corrupte quidem, sed ut non melior sit Kusteri lectio. Nam quis credat, μέντοι γε a Photio et Suida ignotum Græcis perhiberi, quum et sæpissime inveniatur, et ab aliis grammaticis agnitum sit? Etym. M. p. 580, 10. Μέντοι γε: ἐπίρρημα μεσότητος, ἐκ τοῦ μὲν καὶ τοῦ τοὶ παραπληρωματικοῦ συνδέσμου. Phavorinus: Μέντοιγε, πλὴν διὰ τοῦτο, ἢ ὅμως, ἢ ἕνεκεν τούτου. [Sic Zonaras p. 1355.] Quare Photium et Suidam scripsisse puto σὺν τῷ νῦ. Heraclides enim, ut ex Eustathio discimus p. 722, 59. 1726, 26. μέντον, quod in quodam Homeri loco aliqua exemplaria exhibebant, ab Argivis et Cretensibus pro E μέντοι dictum narraverat, quemadmodum contra ἐνδοῖ a quibusdam Doriensibus pro ἔνδον diceretur. Heraclidis igitur refutandi caussa hæc illorum grammaticorum annotatio scripta videtur. HERMAN. ad Viger. n. 337. p. 842. Qui poterat citasse ex Photio gl. seq. ΜΕΝΤΟΙ: τὸ δὲ ΜΕΝΤΟΝ βάρβαρον· ᾧ καὶ Χρύσιππος χρῆται. Conf. Valcken. ad Theocrit. Adon. pp. 363. 364.

ΜΕΝΟΙΤΙΟΣ] Rex Corinthi, cujus filius Creon. Hygin. Fab. 25. et 72. s. Thebanus fab. 76. REINES.

ΜΕΡΑΡΧΙΑΙ: Αἱ δύο Χιλ.] Scribe, Μεραρχία, numero F singulari. Duæ enim Chiliarchiæ unam tantum Merarchiam constituebant. Confer Ælianum in Tactic. c. 9. ubi Τελάρχης rectius vocatur, quem hic Suidas Τελετάρχην appellat. KUST. Μεραρχία ms. Coislin. ap. Montfaucon. p. 507. qui mox τελετάρχην cum Suida. Μεναρχίαι et infra Μενάρχην A.

ΜΕΡΙΔΑΡΧΙΑΣ] Vid. not. ad Hesych.

ΜΕΡΙΣ ΟΥ ΠΝΙΞ: Τῶν δυνατωτέρων ἁρπ.] Eadem ad verbum habet Photius in Lexico inedito. Confer etiam Ze- G nobium. [V. 23.] KUST.

[g] ἐπεὶ ἄρα] ὅτι Photius.

[h] βοηθεῖν αὐτοῖς] αὐτοῖς βοηθεῖν A. Phot.

[i] ἑκάστῳ] ἑκάστου V.

[k] ΜΕΡΙΣ—γράφε addidi ex A.B.V.E. ἢ οὕτως usque ad fin. om. Photius. ὅτε οὖν usque ad fin. om. V.

[l] ὁ μερισμὸς] ἡ μερὶς A.B.

[ll] πάντες] πένητες A.B.E.

ΜΕΡΙΤΗΣ: συμμεριστής] Μερίτην: συμμεριστήν A. et in pr. v. E.

H [m] Πολύβιος] Lib. IV. c. 29. KUST.

[n] τούτων] τὸν Σκερδιλαΐδαν Polybius.

[o] Πολύβιος] Lib. VIII. c. 24. (31) KUST.

[p] τὴν] τὸν A. Mox αὐτὸν om. A.B. αὐτὴν habet E.

ΜΕΡΜΑΙΡΩ] Μερμέρω V. Phot.

ΜΕΡΜΕΡΑ: Μερίμνης ἄξια. Χαλεπά] Ex Scholiasta Homeri ad Il. θ′.453. KUST. Conf. Schol. Platon. p. 133.

[q]Τὸν Μερμερόην ἡμῖν σημᾶναι, ὡς οὐκ ἔστιν ἀξιόλογος ἡ χώρα, οὐδὲ μὴν περιμάχητος, οὐδὲ [r]βασιλικῆς ἔργον ἐκστρατείας, ἀλλ' [s]ἓν ὑπάρχει τῶν ἐθνῶν τῶν [t]περὶ τὸν Καύκασον.

Μέρμις: Τὸ σχοινίον.

Μερόη: Νῆσος κατὰ τὸν ὠκεανόν.

[u]Εἰ καὶ τηλοτέρω Μερόης τεὸν ἴχνος ἐρείσεις.

Μερόλας: Ὄνομα κύριον.

Μέροπες, οἱ ἄνθρωποι. [x]Παρὰ τὸ μεμερισμένην B ἔχειν τὴν ὄπα, ἤγουν τὴν φωνήν. Ἡ εὐθεῖα Μέροψ.

Μερόπη: Ὄνομα κύριον. [[y]Καὶ Μεροπὶς, ἡ Κῶς νῆσος.]

Μέσαβον: Τὸ μέσον τῶν βοῶν ξύλον.

Μεσάγκτλος:

[Μεσσαπίων: Ἄρτος, ὁ ψωμός. Ἔστι δὲ καὶ ὄνομα τυράννου [z]Μεσσαπίων, καὶ πρόξενον Ἀθηναίους φησὶ ποιήσασθαι Πολέμων.]

C Μεσάτμωι: Τῷ κανόνι, τῷ μέσῳ καλάμῳ τοῦ ἱστοῦ.

Μεσάϋλιον: Κυρίως μὲν, ἡ [a]μέση θύρα· [b]κεῖται δὲ ἀντὶ τοῦ μεσαύλιον. [c]Ἡ μεσάϋλιον, ὁ μέσος τόπος τῆς αὐλῆς.

Μεσαιπόλιος: Ὠμογέρων, μιξοπόλιος.

Μεσαίτατος: Ὁ μέσος. Καὶ μεσαίτατον, τὸ ὑψηλόν.

D Μεσεγγύημα: Μεσεγγύημά ἐστιν, ὅταν οἱ συντιθέμενοι πρὸς ἀλλήλους περὶ πραγμάτων τῶν οὐ κατὰ τρόπον οὐδὲ δικαίως ἔσεσθαι μελλόντων, ἢ [d]περὶ ὧν τις βλάβη γενήσεται τῷ κοινῷ τῆς πόλεως, ὑπὲρ τοῦ πραχθῆναι τὰ [e]κατὰ τὰς συνθήκας, μισθόν τινα ὁρίσαντες, παρακατατιθῶνται κοινῷ φίλῳ τὸ ἀργύριον,

A [f]ὅπως ἂν ἀμφοτέροις τοῖς μέρεσι δοκῇ, ἂν ἄρα ἐκπραξάμενοι τὰ [g]στοιχηθέντα βεβαιώσωσι.

Μεσεγγύημα: Τὸ ὁμολογηθὲν ἀργύριον παρ' ἀνδρὶ μέσῳ γινομένῳ [h]ἐγγυητῇ τῆς ἀποδόσεως. Καὶ μεσεγγυήσασθαι, τὸ ποιῆσαι τοῦτο λέγεται.

Μεσέγγυος: Μεσίτης, ἐγγυητὴς, μέσος δύο μερῶν.

B Μεσεγγυοῦνται: Ἐγγυηταὶ γίνονται, ἢ ἐγγυητὰς ποιοῦνται. Ὡς καὶ Ἰσοκράτης ἐν τῷ [i]κατὰ τῶν Σοφιστῶν.

Μεσηγύς: Μεταξύ.

Μεσῆϊς πηγή: Καὶ Μεσηΐδος γῆς.

Μεσῆλιξ: Ὁ μέσος τῇ ἡλικίᾳ.

Μεσημβρίζω: [Καὶ μεσημβρινός.]

Μεσήνη: Ὄνομα πόλεως, καὶ Μεσήνιος, ὁ ἀπὸ C τῆς Μεσήνης.

Μεσιτεύειν: Ἀναμέσον κεῖσθαι.

Τὰ δὲ χρήματα μεσιτεύειν ἐν Κύπρῳ συνετάξαντο, παρ' οἷς ἂν [k]αὐτὸς εὐδοκηθῇ.

Μεσίτης: Ὁ εἰρηνοποιός.

Μέσμα: Ὄνομα πόλεως.

[Μεσσόα: Τόπος.]

Μεσοβασιλεύς: Μετὰ θάνατον Ῥωμύλου, ἀναρ- D χίας οὔσης ἐν τῇ Ῥώμῃ, ἐνιαυτὸν ὅλον ἡ σύγκλητος τὸ κῦρος τῶν κοινῶν εἶχε πραγμάτων, πενθήμερον [l]ἀρχὴν τοῖς ἐπιφανεστέροις τῶν βουλευτῶν ἐκ διαδοχῆς κατανέμουσα· οὓς μεσοβασιλεῖς [m]ὠνόμασαν.

Μεσόγεων: Αἰτιατική. Μεσόγειος δὲ, ἀντὶ τοῦ, μέσος κατὰ [n]τὴν γῆν.

Μεσόδμη: [o]Τὸ μέσον.

E

[q] Τὸν Μερμερόην ἡμῖν σημ.] Fragmentum hoc legitur etiam supra v. Ἀξιόλογα. KUST.

[r] βασιλικῆς] βασιλικὸν A. βασιλικῶν V. Mox ἐκστρατιᾶς A.V.E.M.

[s] ἐνυπάρχει] ἓν ὑπάρχει. TOUP. Sic A.B.E.M.

[t] περὶ] παρὰ V.

ΜΕΡΜΙΣ] Od. κ'. 23.

[u] Εἰ καὶ] Anthol. Pal. V. 301.

ΜΕΡΟΛΛΟΣ] Μερόλας A.B.V.

F ΜΕΡΟΨ: Καὶ ΜΕΡΟΠΕΣ] Μέροψ καὶ om. A.B.V. qui addunt in fine gl. ἡ εὐθεῖα μέροψ. Vid. Schol. Il. α'. 250.

[x] ἀπὸ τοῦ] παρὰ τὸ A.B. ἤγουν A. pro ἤτοι.

[y] Καὶ ΜΕΡΟΠΙΣ] Seqq. A. in marg.

ΜΕΣΑΒΟΝ] Hesiod. Opp. 467. ubi v. not.

ΜΕΣΑΓΚΤΛΟΣ] Leg. Μεσάγκυλα. Vid. Hesych.

ΜΕΣΑΠΙΩΝ: Ἄρτος. Ὁ ψωμ.] Locus hic est corruptissimus, qui sic legi et in integrum restitui debet: Μεσαπίων. Ἄρτος. Ὁ ψωμός. Ἔστι δὲ καὶ ὄνομα τυράννου Μεσ- G σαπίων. Καὶ πρόξενον αὐτὸν Ἀθηναίους ποιήσασθαι φησὶ Πολέμων. Sic enim recte legitur supra v. Ἄρτος: ad quem locum hæc proprie pertinent. Portus hic οὐδὲν ὑγιές: cujus versio proinde litura nobis sananda fuit. Arti autem, Messapiorum tyranni, meminit Athenæus lib. III. p. 108. ut monuimus etiam supra. KUST. Μεσσαπίων B.E. Μεσσαπ̈ ο̅ τυρα̅. Μεσάπων δὲ πρόξενον Ἀθηναίους ποιήσασθαι φ̅ πολέμ̅. A. in marg.

[z] Μεσσαπίωνα] Μεσσαπίων B.E. Tum καὶ addit E. Mox πρόξενον pro πρόξενος B.E. Ἀθηναίους pro Ἀθηναίοις E. et πο- H λέμων B.E. pro πόλεμον.

ΜΕΣΑΤΜΩΙ] Confer Hesychium v. Μέσακμον. KUST.

ΜΕΣΑΤΛΙΟΝ] Vide Valesium ad Euagr. lib. IV. c. 1. et eundem ad Harpocrationem v. Μέταυλος. KUST. Μέσαυλον Lex. Seg. ut videtur recte.

[a] μέση θύρα] μεσοθύρα V.

[b] Κεῖται] καλεῖται Photius.

[c] Ἡ ΜΕΣΑΤΛΙΟΣ] ἡ μεσαύλιον A.B.E. hæc vv. om. V.

ΜΕΣΑΙΠΟΛΙΟΣ] Μεσαιπολ ὁ μιξοπόλις V. μιξοπόλιος om. h. l. A. Vid. Il. ν'. 361. Boissonad. ad Eunap. fr. 73.

ΜΕΣΕΓΓΤΗΜΑ] Appian. p. 724. TOUP.

[d] περὶ τῶν ἐξ ὧν] τῶν ἐξ om. A.B.V.E.

[e] κατὰ] τὰ κατὰ A.V. Mox ὡρίσαντες B.E.M.

[f] ὅπως] Malim ᾧ τινι vel ὅτῳ. HEMST.

[g] στοιχειωθέντα] στοιχηθέντα A.B.V.

ΜΕΣΕΓΓΤΗΜΑ: Τὸ ὁμολογ.] Ex Harpocratione. KUST.

[h] ἐγγυητῇ τῆς] ἐγγυητὴς A. τῆς om. B.V.E. Post h. gl. delevi cum A.V., ΜΕΣΕΡ: Ἡ Αἴγυπτος. Καὶ ἔστιν ἐν τῷ ΜΕΣΡΕΜ.

ΜΕΣΕΓΓΤΟΤΝΤΑΙ] Imo potius μεσεγγυῶνται: a μεσεγγυάομαι. KUST. Μεσεγγυοῦνται Isocratis mss. optimi p. 292 A. Mox μεσεγγυηταὶ π. edd. ante Kuster.

[i] κατὰ τῶν] τῶν om. A.

ΜΕΣΗΙΣ] Leg. Μεσσηΐς et refer ad Il. ζ'. 457.

ΜΕΣΗΛΙΞ] Schol. Il. ν'. 361. TOUP.

ΜΕΣΗΜΒΡΙΖΩ] καὶ μεσημβρινός om. A.

[k] αὐτὸς] αὐτοῖς Portus.

ΜΕΣΣΟΑ] Deest gl. A.

ΜΕΣΟΒΑΣΙΛΕΤΣ] Vid. Dionys. Hal. A. R. II. p. 115, 16. Hæc autem ex Diodori Siculi excerptis vel Appiani videntur depromta. HEMST.

[l] ἀρχὴν] αὐγχ̂ V.

[m] ὠνόμασαν] ὠνόμασε A.

ΜΕΣΟΓΑΙΩΝ] Μεσόγεων A.V. Μεσόγαιον rescribit Hermannus de Em. Rat. gramm. p. 30. collato Suida v. Ἀνώγεων. Ibi edd. vett. præbent Μεσόγαιον.

[n] τὴν γῆν] γῆν A. τρῖ V.

[i] Ἑλληνικὴ] Lege, Ἑλληνιστὶ, ut habet Menander. KUST.

[k] Τὸν κύνα Διογένην, νεκ.] Anthol. Pal. VII. 63.

[l] δέξο με] δέξαι A.B.V.E. edd. ante Kuster. qui ex Anthol. tacite mutavit.

[m] Νεκρὸς] ὁ νεκρός A. Statim delevi ΝΕΜΑΥΣΟΣ. Πόλις Γαλλίας. Ἀπὸ Νεμαύσου Ἡρακλείδου. ΝΕΜΕΑ. τόπος, καὶ πόλις, cum A.V. Ἰταλικὴ B.E. pro Γαλλίας. Vid. Steph. Byz.

ΝΕΜΕΑ] Anthol. p. 183. Ἴσθμια καὶ Νέμεα. Dio Chrysost. p. 458. ita leg. TOUP.

[n] Τόποι] Male. Νέμεα enim et Ἴσθμια vocabantur ipsi ludi, non vero loca, in quibus ludi illi celebrabantur. Res nota est. KUST. Uncinis inclusa om. A.V.

ΝΕΜΕΑΣ αὐλητρίδος μνημ.] Ex Harpocratione, qui plura habet. Harpocratio vero eadem mutuatus est ab Athenæo, qui tibicinam hanc Νεμεάδα vocatam fuisse scribit, lib. XIII. p. 587. KUST.

[o] Πατροκλέους] Ita Kusterus ex Harpocrat. Προκλέους A. V.E.M.

[p] ΝΕΜΕΑΣ ΣΕΛΙΝΑ] An, Νεμέα Σελήνης? Nemea enim Lunæ erat filia, teste Anonymo in Prologo ad Pindari *Nemea*. KUST. Humani quid passus est Kusterus, quem fugere non debuerat σέλινα in certamine Nem. victoris præmium esse.

ΝΕΜΕΑΣ ΧΑΡΑΔΡΑ: Τόπος τ.] Ex Harpocratione. KUST. Νεμέα V.E.M.

ΝΕΜΕΣΑΙ] Agathias p. 32. τὸ θεῖον νεμεσᾷ τοῖς γιγνομέ-

Νεμεσᾶν: Τὸ ἐμποδὼν ἵστασθαι τοῖς [q]πραττο- A μένοις [r]κατὰ γνώμην· [ἢ μᾶλλον, μὴ κατὰ γνώμην.]

Νεμεσηθείς: Μεμφθείς.

[rr]Νεμεσηθεὶς δ' ἀλόχῳ [s]κατ' ὄρχησιν, βέλει τρωθεὶς λείπει τὸν βίον.

[t]Ἰώσηπος·

Παρεκάλει τὸν Θεὸν, νεμεσῆσαι μὲν ταῖς τῶν πολεμίων ἐλπίσιν, ἐλεῆσαι δὲ τὸν αὐτοῦ λαόν.

Καὶ αὖθις·

Εἰ δὲ νεμεσηθείην τῆς [u]ἐπιβουλῆς, ἴσθι με μὴ πταίσαντα παρ' ἐλπίδας.

Νεμεσήσομαι: [x]Φθονήσω. Καὶ νεμεσῆσαι, μέμψασθαι.

Νεμεσητικός: Ὁ ἐναντίος τῷ φθονερῷ. [y]Ὁ μὲν γὰρ φθονερὸς λυπεῖται ἐπὶ ταῖς τῶν καλῶν εὐπραγίαις· ἐπεὶ καὶ ὁ φθόνος τοιοῦτον. Νεμεσητικὸς C δὲ, ὁ λυπούμενος ἐπὶ ταῖς τῶν κακῶν εὐπραγίαις· τοιοῦτον γὰρ ἡ νέμεσις. Ὥστε ὁ νεμεσητικὸς οὐ φθονερός. [z]Ἔστι δὲ τὸ πρόβλημα ὁρικόν. [Ζήλῳ ῥητόρων τοῦτο λέγει. Ὁριζομένου γάρ τινος, φθονερὸν εἶναι καὶ τὸν λεγόμενον νεμεσητικὸν, ἐπειδὴ καὶ αὐτὸς μέμφεταί τινας· ἀνθοριζόμεθα, οὐ τὸν νεμεσητικὸν [a]τοιοῦτον, εἴπερ ὀρθῶς τινας μέμφεται· ἀλλὰ τὸν μὴ τὰ δέοντα μεμφόμενον. Αὐτὸς γάρ ἐστι φθονερός.] D

Νεμεσητόν: Μεμπτόν.

Νεμεσία: [b]Δημοσθένης ἐν τῷ κατὰ Σπουδίου. Μήποτε ἑορτή τις Νεμέσεως, καθ' ἣν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα. Νεμεσία οὖν, ἡ ἐπὶ τοῖς νεκροῖς [c]γινομένη πανήγυρις· ἐπεὶ ἡ νέμεσις ἐπὶ τῶν νεκρῶν τέτακται.

Νεμεσίζει: Μέμφεται.

Νεμεσίων: Ὄνομα κύριον.

[d]Ὁ δὲ Νεμεσίων ἀνεπτεροῦτο, καὶ μετέωρος ἦν ταῖς ἐλπίσι, καὶ ἐδόκει ἑρμαίῳ ἐντετυχηκέναι, ἐμοὶ περιτυχών.

Νέμεσις: Ἡ δίκη. [e]Ἀριστοφάνης·

Ἰὼ [f]Νέμεσι, βαρύβρομοί τε βρονταί.

Νέμεσις: Μέμψις, δίκη, ὕβρις, φθόνος, τύχη.

[g]Τὴν τῶν ἀλαζόνων τιμωρὸν [h]Νέμεσιν συνέντες, ἥπερ αὐτοὺς B μετῆλθε σὺν τῇ δίκῃ.

Καὶ αὖθις·

[i]Οὐκ ἔλαθε τὴν ἅπασιν ἐναντιουμένην τοῖς ὑπερηφάνοις Νέμεσιν, ἀλλ' ἐν ταῖς ἰδίαις ἠναγκάσθη παιδευθῆναι συμφοραῖς.

Παρῆν [k]δὲ Νέμεσις, [[l]ἣ τὰ γῆς ἐποπτεύει·

ἢ καὶ ἄλλως,]

ἣ τἄδικ' ἐποπτεύει.

[m]Βάβριός φησιν ἐν Μυθικοῖς. Καὶ Αἰλιανός·

C Νεμέσεως ἐφόρου, τρόπους ὑπερόπτας καὶ ὑπερηφάνους κολαζούσης, ἐναργῆ μαρτύρια.

Καὶ [n]παροιμία·

Νέμεσις δέ γε πὰρ [o]πόδα βαίνει.

Παρόσον μέτεισι ταχέως ἡ [p]δαίμων τοὺς ἡμαρτηκότας.

[q]Λήθουσα δὲ πὰρ πόδα βαίνεις·
γαυρούμενον αὐχένα κλίνεις·
[r]ὑπὸ πῆχυν ἀεὶ βιοτὰν κρατεῖς. D

Νεμεσῶ: Δοτική.

Νέμειν: Καρποῦσθαι, διοικεῖν.

Ἀλλὰ παρ' ἐμοὶ [s]γενομένην πατρίδα τε νέμειν, ἣν ἐγὼ νέμω, καὶ οἶκον, ὃν ἐγὼ κέκτημαι.

Νέμειν προστάτην: Ἀντὶ τοῦ, ἔχειν προστάτην.

---

νοις. Menander Hist. p. 134. Hœschel. νεμεσᾷ τε καὶ E ἀγανακτεῖ ὁ Καῖσαρ. TOUP. Νεμεσεῖ B. Νεμεσᾶται V. Νεμεσσᾷ ed. Photii, ubi ms. Νεμεσπᾶ.

ΝΕΜΕΣΑΝ: Τὸ ἐμποδὼν ἵστ.] Artemidorus lib. II. c. 42. p. 135. Νέμεσις τοῖς παρανομοῦσι, καὶ τοῖς ἐπιτιθεμένοις τισὶ καὶ μεγάλων ἀρχομένοις πραγμάτων, ἐναντία καθίσταται, καὶ ἐμπόδιος τῶν ἐπιχειρουμένων. Νέμεσιν γὰρ καλοῦμεν καὶ τὸ ἐμποδὼν ἵστασθαι τοῖς πραττομένοις παρὰ γνώμην. Hinc Suidas sua descripsit. KUST.

q πραττομένοις etc. om. V. ἢ μᾶλλον etc. om. A.

r κατὰ] L. παρά. TOUP.

rr Νεμεσηθεὶς] Seqq. om. V.

s κατ' ὄρχησιν] κατορχήσει A. κατορχήση B.E.

t Ἰώσηπος] P. 511. ed. Haverc. TOUP.

u ἐπιβουλῆς] Ms. A. ἐπιβολῆς. KUST. ἐπηβολῆς A. ex em. ἐπιβουλῆς pr. ἐπιβολῆς B.E.

x Φθονήσω] φθονῶ A.V. Mox μέμψεσθαι V.

y Ὁ μὲν γὰρ φθονερὸς λυπεῖται ἐπὶ ταῖς τ.——πρόβλημα ὁρικόν] Hæc sunt verba Alexandri Aphrodisiensis in librum II. Topic. p. 76. KUST.

z Ἔστι δὲ] δὲ om. A. Mox ζήλῳ ῥητόρων etc. om. A.V. G

a τοιοῦτον] τοιοῦτον εἶναι B.E.M.

ΝΕΜΕΣΗΤΟΝ] Sic rectius habent mss. Paris. et Photius in Lexico ms. quam priores editt. in quibus legitur νεμεσητικόν. KUST. Nic. Damasc. p. 461. ed. Vales. ἐννοηθεὶς ὅτι νεμεσητὰ δρᾷ. TOUP.

ΝΕΜΕΣΙΑ] Scribe, Νεμέσεια, ut habet Harpocratio, ex quo notam hanc Suidas descripsit. KUST.

b Δημοσθένης] P. 1031, 13.

c γινομένη] γενομένη Photius. H

ΝΕΜΕΣΙΖΕΙ] Menand. Hist. p. 93. TOUP.

d Ὁ δὲ Νεμεσίων ἀνεπτ.] Fragmentum hoc ex Damascio depromptum esse discimus ex voce Ἑρμαῖον. Vide etiam supra v. Ἀνεπτεροῦτο, ubi eadem leguntur. KUST.

e Ἀριστοφάνης] Fallitur Suidas. Est enim ex Euripidis Phœniss. 189. atque ita cum auctoritate Scholiastæ, tum E sententiæ arbitrio repræsentandum: Ἰὼ ΝΕΜΕΣΙ καὶ Διὸς Βαρύβρομοι βρονταὶ, Κεραύνιόν τε πῦρ αἰθαλοέν. Σύ τοι ΜΕΓΑΛΗΓΟΡΙΑΝ Ὑπεράνορα κοιμίζεις. Vulgo ineptissime legitur, μεγαλανορίαν ὑπεράνορα. Quod et doctissimo Valckenario displicuisse video. Ceterum occurrit hoc fragmentum supra v. Ἰώ. ubi recte Suidas, Νέμεσι. TOUP.

f νέμεσις] νέμεσι A.V.E.

g Τὴν τῶν ἀλαζ.] Videtur Æliani fragmentum. VALCK.

h Νέμεσιν συνέντες] συνέντες Νέμεσιν A. v. συνιέντες V.

i Οὐκ ἔλαθε τὴν ἅπασιν ἐναντ.] Inepte Portus fragmentum F hoc in versus redigere conatur, quod pedestri oratione constare facile cuivis patere potest. KUST.

k δὲ] δ' ἡ A.B.V.E. edd. ante Kuster.

l ἣ τὰ γῆς—ἄλλως om. A. ἢ καὶ ἄλλως om. V. Vitiosum esse τὰ γῆς judicavit Schneiderus: at τἄδικ' metro repugnat.

m Βάβριος] Tyrwhitt. p. 44.

n παροιμία] Vid. Jacobs. Animadv. Anthol. T. IX. p. 345.

o πόδα] πόδας A.B.V.E. edd. ante Kuster. et sic infra. G

p δίκη] δαίμων A. δίκη δαίμων V.C.

q Λήθουσα δὲ πὰρ πόδα β.] Synesius Epist. XCIV. p. 235. Οὐχ ὡς ἂν κινῆσαι Θεοῦ τε καὶ ἀνθρώπων Νέμεσιν. Αὕτη μέντοι σαφῶς ἐστι, περὶ ἧς πρὸς λύραν ᾄδομεν, Λήθουσα δὲ πὰρ πόδα βαίνεις· Γαυρούμενον αὐχένα κλίνεις· Ὑπὸ πῆχυν ἀεὶ βιοτὰν κρατεῖς. Hinc Suidas sua deprompsit. Vide etiam infra v. Ὑπὸ πῆχυν. KUST.

r ὑπὸ πῆχυν ἀεὶ β.] Locum hunc pulchre illustrat Reinesius Var. Lect. lib. III. p. 573. KUST.

H ΝΕΜΕΣΩ] A. in marg.

s γενομένην] For. γενόμενον. TOUP.

ΝΕΜΕΙΝ ΠΡΟΣΤΑΤΗΝ] Confer Nostrum supra v. Ἀπροστασίου, et Petitum de Leg. Att. p. 170. KUST. Plutarch. in Mario p. 488. ubi lapsus est Bryanus. Dion. Hal. p. 81. Harpocrat. v. Προστάτης. Synes. Ep. p. 179. ed. Cuj. TOUP.

Τῶν γὰρ μετοίκων ἕκαστος μετὰ προστάτου τῶν ἀστῶν A τινος τὰ πράγματα αὐτοῦ [t]διῴκει, καὶ τὸ μετοίκιον κατετίθει. Καὶ τὸ ἔχειν προστάτην, καλεῖται ΝΈΜΕΙΝ ΠΡΟΣΤΆΤΗΝ. Ὑπερίδης·

Ὥστε κελευστέον τοὺς μαρτυροῦντας τὰ τοιαῦτα, καὶ τοὺς παρεχομένους μάτην [u]ἀπατᾶν ὑμᾶς, μὴ τυγχάνωσι [x]δικαιότερα λέγοντες· καὶ νέμον ἡμῖν ἀναγκάζετε παρέχεσθαι, τὸν κελεύοντα μὴ νέμειν προστάτην.

ΝΈΜΕΙΟΣ: Ὁ ἐν τῇ [y]Νεμέᾳ.

ΝΕΜΗΘΈΝΤΩΝ: Κληρωθέντων. Αἰλιανός·

Ἀλλὰ καὶ ἐκείνων νεμηθέντων εἰς τὴν στάσιν.

ΝΕΜΉΣΑΣΘΑΙ: Διαμερίσασθαι.

ΝΕΜΉΣΕΙΣ ὙΠΟΚΡΙΤΩ͂Ν: Οἱ ποιηταὶ ἐλάμβανον [z]τρεῖς ὑποκριτὰς, κλήρῳ νεμηθέντας, ὑποκρινομένους τὰ δράματα· ὧν ὁ νικήσας εἰς τοὐπιὸν [a]ἄκριτος παραλαμβάνεται. Ἔστιν οὖν οἷον διαιρέσεις.

ΝΈΜΟΝΤΑ: Διοικοῦντα. C

ΝΈΜΟΣ ἘΠΆΚΤΙΟΝ: Τὸ ἄλσος, τὸ ὄρος τὸ παράλιον. [b]Σοφοκλῆς·

Πάραλά τ' [c]ἄντρα, καὶ νέμος ἐπάκτιον.

Οἱ δὲ ἀγχοῦ τῆς χηλῆς τοῦ ὄρους ηὐλίζοντο, ὡς τὴν ὕλην, καὶ τὸ ἐκ ταύτης νέμος, πρόβλημα εἶναι.

[ΝΈΜΩ: Τὸ μερίζω [d]δοτικῇ.]

ΝΈΜΩ: Νομιῶ.

[e]Τὴν δ' ἄρ' οὐκέτι νέμω πόλιν.

[ΝΈΜΩ: Τὸ βόσκω [f]αἰτιατικῇ.]

ΝΈΜΟΙΤΟ: Καρποῖτο.

ΝΈΝΑΚΤΟ: [g]Ἐπεπλήρωτο. [h]Ἰώσηπος·

Συνεκπίπτει δὲ τοῖς πολεμίοις εἴσω· καὶ πᾶσα οἰκία ὁπλιτῶν νένακτο, τὰ [i]τέγη δ' ἦν τῶν μαινομένων κατάπλεα.

ΝΕΝΕΩΛΚΗΜΈΝΑΣ ΝΑΎΣ: Ἔξω οὔσας, εἱλκυσμένας.

ΝΕΝΗΜΈΝΗΝ καὶ ΝΕΝΗΣΜΈΝΗΝ: Σεσωρευμένην. B [k]Ξενοφῶν·

[l]Εὕροις γὰρ θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων περυσινῶν.

Καὶ [m]Ἀριστοφάνης·

Τί κάθησθ' ἀβέλτεροι,
. . . . . . . . . . . . ὄντες λίθοι,
ἀριθμὸς, [n]πρόβατ', ἄλλως ἀμφορεῖς νενησμένοι;

τουτέστιν, ἀνόητοι. Πρὸς τοὺς θεατάς φησι. Διὰ C γὰρ τοῦ μωροῦ [o]δοκιμάζεται ὁ φρόνιμος. ἈΜΦΟΡΕΙ͂Σ δὲ [ΝΕΝΗΣΜΈΝΟΙ,] ἀντὶ τοῦ, ματαίως κέραμοι σεσωρευμένοι. [p]ΝΗ͂ΣΑΙ γὰρ, τὸ σωρεῦσαι.

ΝΕΝΏΜΕΘΑ: Διανενοήμεθα.

ΝΕΟΑΡΔΈΑ: Νεωστὶ πεποτισμένα.

ΝΕΟΓΙΛΛΌΝ: Νεογέννητον.

ΝΕΟΓΝΌΝ: Νεωστὶ γεννηθέντα.

ΝΕΟΔΑΜΏΔΗΣ: Ὁ ἐλεύθερος παρὰ τοῖς Λακεδαι- D μονίοις.

[t] διῴκει] συνῴκει A.B.V.E. edd. ante Kuster. τὰ αὐτῶν πράγματα διοικεῖν Lex. Seg. Bekker. p. 298, 3.

[u] ἀπατᾶν] ἀπαντᾶν V.

[x] δικαιότερα] Sic habet ms. Paris. A. At reliqui mss. Paris. et priores editt. σκαιότερα. KUST. Et σκαιότερα præferre videtur Toupius, in superioribus reponens κωλυστέον.

[y] Νεμέᾳ] Statim delevi τῇ Λοκρικῇ δηλαδή. Ὁ γὰρ τῆς κατὰ τὴν Ἦλιν Νεμέας πολίτης, Νέμεος ἀναγράφεται, καὶ Νεμεαῖος· ἤδη δὲ καὶ Νεμεήτης· ὡς δῆλον ἐκ τοῦ Ζεὺς-Νεμεήτης, cum A.V. Conf. Steph. Byz. Νεμήϊος Ζεὺς habet Archytas Stobæi XLIII. 134. p. 270. ed. Gesn.

ΝΕΜΗΣΕΙΣ ὙΠΟΚΡΙΤΩΝ: Οἱ π.] Eadem etiam legas apud Hesychium. KUST. Vid. Polyb. p. 683. Plutarch. in Pyrrh. 446. πεποιημένοι τὴν νέμησιν. Vulgo νέμεσιν. TOUP.

[z] τρεῖς ὑποκριτὰς] Id est, πρωταγωνιστὴν, δευτεραγωνιστὴν, et τριταγωνιστήν. Latine, *Actorem primarum, secundarum, et tertiarum partium.* Confer Valesium in notas Maussaci ad Harpocrat. v. Ἴσχανδρος. KUST.

[a] Ἄκριτος] Hesychius habet ἀκρίτως: quod malim. KUST. Interpretatur Hemsterhusius, (ad Luciani Tim. c. 51.) *quorum poëtarum qui superior discessit, in posterum sine sortis discrimine suos sibi actores legebat.* Hæc ampliori disquisitione indigere putat Tyrwhittus ad Aristot. Poët. c. 10.

[b] Σοφοκλῆς] Aj. 413.

[c] ἄντρα] ἄνδρα A.V. qui mox om. *καί*.

[d] δοτικῇ] Hanc gl. V.A. marg. B.

[e] Τὴν δ' ἄρ' οὐκέτι ν.] Sophocl. Œdip. Colon. 879.

[f] αἰτιατικῇ] Hanc gl. A.V. marg.

ΝΕΝΑΚΤΟ] Joseph. Vide Haverc. ad Bell. Jud. p. 96. Idem p. 107. νάγμα. Aristid. I. p. 545. TOUP.

[g] Ἐπεπλήρωτο suprasc. in A. a m. recent. Delevi cum V.E. Ἐκ τοῦ νάσσω, νάξω, καὶ τοῦ παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. Ἐξ οὗ καὶ ὁ ΝΑΣΤΟΣ ἄρτος. Habet tamen E. in marg. H Ceterum ἐπεπλήρωτο—ὁπλιτῶν νένακτο desunt A. et fortasse exciderunt ob ὁμοιοτέλευτον. Ad verba καὶ τοῦ παρ' Ὁμήρῳ sic Kusterus: "Lego et suppleo: Καὶ παρ' Ὁμήρῳ ἐν "Ὀδυσσείᾳ, ἔναξε. Usus est enim Homerus v. ἔναξε, "Odyss. φ'. 122."

[h] Ἰώσηπος] Lib. I. de Bello Jud. c. 13. p. 739. sed ubi pro νένακτο, cujus vocabuli gratia locum hunc adduxit Suidas, hodie male legitur ἐκτᾶτο. Vetus tamen interpres, qui vulgo Ruffinus putatur, νένακτο etiam legit, ut ex versione ejus apparet. Vicissim apud Josephum pro μαινομένων, ut hic Suidas habet, rectius legitur ἀμυνομένων. KUST. Mox post εἴσω M. inserit καὶ αἰτιατικῇ.

E [i] τέγη] γένη V.

ΝΕΝΗΜΕΝΗΝ] Delevi statim καὶ νενησμένην cum A.V. Photius Νενησμένην: σεσωρευμένην, nec plura. Restituenda ista vox Xenoph. Anab. p. 521. lib. VII. ubi male legitur, Κρεῶν μεστοὶ νενεμημένων. Leg. νενημένων. Arrian. Exp. Alex. p. 429. ubi male νενεμένη. Vid. v. Κολωνός. TOUP.

[k] Ξενοφῶν] Lib. V. de Expedit. Cyri, p. 353. [V. 4, 27.] ut Portus monuit. Ibi autem sic legitur: Εὕρισκον θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων πατρίους περυσινῶν. KUST.

[l] Εὕροις] εὕρῃς A.B.V.

F [m] Ἀριστοφάνης] Nub. 1203. Τί κάθησθ' ἀβέλτεροι Ἡμέτερα κέρδη τῶν σοφῶν, ὄντες λίθοι, Ἀριθμὸς, πρόβατ', ἄλλως ἀμφορῆς νενασμένοι. Nota, apud Aristophanem pro νενησμένοι, ut hic Suidas habet, hodie legi νενασμένοι, i. e. *repleti*, a νάσσω, νάσω: quod magis probem. Vide etiam supra v. Ἀμφορεαφόρους, ubi idem locus Aristophanis adducitur. KUST.

[n] πρόβατ'] προβάτων A.

[o] ὁ φρόνιμος δοκιμάζεται] δοκιμάζεται ὁ φρόνιμος A.

[p] ΝΗΣΑΙ] νῆσαι A.B.V.E.

ΝΕΝΩΜΕΘΑ] Vide infra v. Νωσάμενος, et v. Νῶσαι. G KUST.

ΝΕΟΑΡΔΕ' ἈΛΩΗΝ] Homerus Il. φ'. 346. KUST. Νεοαρδέα A.V. Photius. Mox πεποτισμένα A. non πεποτισμένην.

ΝΕΟΓΙΛΟΝ] Νεογιλλὸν A.V. Photii ms. λ duplicant Apollonius Lex. Hom. in v. et ni fallor Homeri mss. Od. μ'. 86. Sequentia Παρὰ τὸ νέον γίνεσθαι, νεογινόν. Καὶ ὡς πνεύμων, πλεύμων, Ἀττικῶς, καὶ νίτρον, λίτρον· οὕτω νεογινὸν, νεογιλλὸν, omisi cum A.V. et Photio. Vide Piersonum ad H Mœrin p. 309. quosque ille laudat.

ΝΕΟΔΑΜΩΔΗΣ: Ὁ ἐλ.] Ex Scholiasta Thucydidis ad lib. VII. c. 58. Confer etiam Hesychium, Athenæum, Eustathium, et alios. KUST. Plutarch. Ages. p. 598. Xenoph. p. 436. TOUP. Delevi Ἤτοι ἐκ τῶν Εἱλώτων, cum A.B.V.

Νεόδμητον: Νεοδάμαστον.

Νεοεργές: Προσφάτως εἰργασμένον.

Νεοθαλής: Νεωστὶ βλαστήσασα.

Νεοθανής: Νεωστὶ τεθνεώς.

Νεοθηγεῖ: Νεωστὶ ἀκονηθέντι.

> [q]Ἡ δὲ σέθεν φθιμένης πολιοὺς [r]νεοθηγεῖ σιδήρῳ
> κείρατο γηραλέης ἐκ κεφαλῆς πλοκάμους.

Νεοκαταστάτοις ἀνθρώποις: [s]Φησὶ Θουκυδίδης. Ἀντὶ τοῦ, νεωστὶ κατῳκισμένοις.

B Νεοκλῆς, Ἀθηναῖος, φιλόσοφος, ἀδελφὸς Ἐπικούρου. [t]Ὑπὲρ τῆς ἰδίας αἱρέσεως.

Ὅτι Νεοκλέους ἐστὶ τὸ Λάθε βιώσας.

Νεοκλείδου κλεπτίστερος: Οὗτος κεκωμῴδηται ὡς ῥήτωρ ἦν, καὶ τυφλὸς, καὶ συκοφάντης, καὶ κλέπτης. [u]Ἀριστοφάνης·

> Νεοκλείδης, ὃς ἐστι μὲν τυφλὸς,
> C κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντισε.

Νεόκμητον: Νεωστὶ κατεσκευασμένον.

Νεολαία: Νέων συναγωγὴ, [x]ὁ νέος λαός.

[y]Ὑπὲρ τοῦ τὴν νεολαίαν [z]τῶν Ῥωμαίων ἀξιοζήλως τε καὶ ἅμα τῷ θάρσει διαγωνίζεσθαι.

Καὶ Αἰλιανός·

[a]Λοιμὸς γὰρ τῇ Ἐφέσῳ πόλει ἐνήκμαζεν οἷος βαρύτατος, προμοίροις δὲ θανάτοις [b]διεφθείροντο ἡ νεολαία, καὶ ἦν [c]ἀγονία καὶ D μέντοι καὶ γυναικῶν καὶ τῆς ἀγέλης τῆς τετράποδος.

Νεόλεκτος: Ὁ νεωστὶ ἠθροισμένος λαός.

Νέον [d]Ὅμηρος ἡβώοντα: Οὐ λέγει νέον καθ' ἡλικίαν, ἀλλὰ κατὰ μεσότητα· οἷον, νεωστὶ ἡβῶντα.

Νέοντας: Νηχομένους.

A [e]Ἐφεῖλκον καὶ ἵππους [f]νέοντας τρεῖς ἅμα καὶ τέτταρας τοῖς ἀγωγεῦσι.

Νεόπλουτος: Ὁ νεωστὶ πλουτῶν.

Νεορράντῳ: Νεαρῷ ἀπὸ τοῦ αἵματος. [g]Σοφοκλῆς·

> [h]Πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει.

Νέορτον: Νέον.

> [i]Τί δ' ἐστὶν, ὦ παῖ Λαΐου, νέορτον αὖ;

B Νεορρύτοις: Νεωστὶ ῥέουσι.

Νεός: Ἡ νεωστὶ [k]ἠροτριασμένη γῆ.

> [l]Καί τις γεωργὸς πυρὸν εἰς νεὸν σπείρας,
> φύλασσεν ἑστώς.

Νέος ἐστὶ καὶ ὀξύς: Ἀμαθής [m]ἐστι καὶ προπετής. [Πλάτων ἐν Γοργίᾳ.]

Νεοσσιά: Ἡ καλιὰ τῶν στρουθίων.

Νεόσμηκτον: Νεόθηκτον, [καὶ νεοκάθαρτον.]

C Νεοσσός: Ὁ στρουθός.

Νεοσπάδα: Τὴν νεωστὶ ἀποσπασθεῖσαν. [n]Πισίδης·

> Ταύτην δὲ τὴν φάλαγγα τὴν νεοσπάδα.

Νεοτελής: Νεωστὶ τετελειωμένος.

Νεοτευχές: Νεωστὶ κατεσκευασμένον.

Νεοττεία: Ἡ ἐκλέπισις.

Νεόττιον: Γέννημα. [o]Ἀριστοφάνης·

> D Πέρδιξ [p]γενέσθω τοῦ πατρὸς νεόττιον.

Τοῦ Πισίου [q]ὁ υἱὸς ὅμοιος βούλεται γίνεσθαι τῷ πατρί. Ἦν δὲ ὁ Πισίας προδότης. Καὶ αὖθις·

> [r]Τρία κνώδαλα ἀναιδῆ, Πισίας, [s]Ὀσφύων, [t]Διϊτρεφής.

Νεοττός: Ἡ τοῦ ᾠοῦ [u]λέκιθος, καὶ τὸ πυρρόν. Μένανδρος [x]Ἀνδρίᾳ·

ΝΕΟΘΑΝΗΣ] Ruhnken. ad Timæi Lex. Νεοθνής. Sed E Græci utrumque amant. Sic ἡμιθνὴς et ἡμιθανής. Agathias p. 66. ἀνθρώπου νεοθανοῦς. TOUP.

q Ἡ δὲ σέθεν φθιμ.] Anthol. Pal. VII. 181.

r νεοθηγεῖ] Metri gratia scribendum est νεοθῆγι: ut legitur in codice ms. Epigrammatum. KUST. Recte νεοθῆγι: sed ms. Pal. habet νεοθηγεῖ. Seq. gl. ΝΕΟΚΑΙΣΑΡΕΙΑ. Ποντικὴ, φασὶ, πόλις. Καὶ οἱ πολῖται, Νεοκαισαρεῖς. Οἱ αὐτοὶ καὶ Ἀδριανουπολῖται. Ἔστι δὲ καὶ Βιθυνίας πόλις, delevi cum A.V. Descripta est ex Steph. Byzant.

s Φησὶ Θουκυδίδης] Lib. III. c. 93.

F ΝΕΟΚΛΗΣ, Ἀθην.] Vide Menagium ad Laërt. lib. X. 3. KUST.

t ἔγραψεν ὑπὲρ] ἔγραψεν om. A.V. Et sæpe in talibus omittit Suidas. Mox Ὅτι A.V. pro καί.

u Ἀριστοφάνης] Plut. 665. Vide ibi Scholiastam. KUST.

x ὁ νέος λ.] Heinsius ad Theocr. p. 132. ὁ ἐκ νέων λαός. Ita Schol. TOUP.

y Ὑπὲρ τοῦ] Et h. fr. Æliano tribuit Valckenærius.

z τῶν Ῥωμαίων] τὴν Ῥωμαίων B.E.V. Mox τε om. E.

G a Λοιμὸς γὰρ τῇ Ἐφ.] Confer Nostrum supra v. Ἀγονία, et infra v. Προμοίρους, ubi idem fragmentum adducitur. KUST.

b διεφθείροντο] Leg. διεφθείρετο. Vid. vv. Ἀγονία. Προμοίροις. TOUP.

c ἀγονία] ἀγωνία V.E. In fine addit V. Νεωλέα δὲ ὁ τοῦ νεὼ λᾶϊ:

d Ὅμηρος] Il. ί. 446. ubi legitur, Νέον ἡβώοντα: uti etiam hic apud Suidam scribendum est. KUST. Dedi ἡβώοντα pro ἡβόωντα ex A. ἡβώωντα B.E. ἡβόοντα M. Descripta H est gl. ex Schol. Ven.

e Ἐφεῖλκον καὶ ἵππ.] Hæc sunt verba Polybii, III. 43. KUST.

f νέοντας om. A. Sequentem gl. ΝΕΟΝ ΤΕΙΧΟΣ. Τῆς Αἰολίδος ἐστὶ τόπος. Ὁ ἐκεῖθεν, Νεοτειχίτης. Ὡς καὶ τὸ Χωλὸν τεῖχος, τὸ περὶ Καρίαν· καὶ Χωλοτειχίτης, ὁ ἀπὸ τούτου, delevi cum A.V. Provenit ex Stephano Byz.

ΝΕΟΠΛΟΥΤΟΣ] Vid. Photii Bibl. p. 1468. TOUP.

g Σοφοκλῆς] Aj. 30.

h Πηδῶντα] καὶ μοί τις αὐτὸν σὺν νεορράντῳ ξίφει πηδῶντα ἰδὼν, ἐδήλωσε A.B.V. προίας πηδῶντα σὺν ν. ξ. E. πεδία π. σ. ν. ξ. M.

i Τὶ δ' ἔστιν] Soph. Œd. Col. 1507.

k ἠροτριασμένη] ἠροτριωμένη A.

l Καί τις γεωργ.] Fragmentum hoc ex Babrio desumptum est. KUST. Tyrwhitt. p. 44.

m δηλονότι] ἔστι A.V. Photius. Mox Πλάτων ἐν Γοργίᾳ om. A.B.V. Photius. Platonis locus est p. 463 E.

ΝΕΟΣΜΗΚΤΟΝ] Anthol. Pal. VI. 227. Mox καὶ νεοκάθαρτον om. A.V.

n Πισίδης] Fr. Foggin. 121.

ΝΕΟΤΕΛΗΣ] Ex Timæo, ubi τετελεσμένος pro τετελειωμένος. Cum Suida concordat Photius.

ΝΕΟΤΕΥΧΕΣ] Theocrit. I. 28.

o Ἀριστοφάνης] Av. 768.

p γενέσθω] γενέσθαι B.V.

q ὁ υἱὸς] ὁ om. A. Mox γενέσθαι A.

r Τρία κνώδαλα ἀναιδ.] Est fragmentum Cratini, quod auctius adducit Scholiasta ad modo indicatum locum Aristophanis. Vide etiam infra v. Πισίαν. KUST.

s Ὀσφύων] Apud Scholiastam Aristophanis loco laudato, et ipsum Suidam infra v. Πισίαν, legitur Ὀσφρύων. KUST.

t Διϊτρεφὴς] Scribe, Διϊτρέφης, cum accentu in penultima. KUST.

ΝΕΟΤΤΟΣ: Ἡ τοῦ ᾠοῦ λ.] Sic locus hic in mss. Paris. itemque Lexico Photii legitur. At in prioribus editt. post vocem νεοττὸς inepte addita sunt hæc verba, ἰδίως τοῦτο παρὰ τὸν δηλοῦντα τὸ νεόττιον. Quid hæc ad rem? KUST. Νεοττὸν edd. ante Kuster. probante Bentleio.

u λέκυθος] λέκιθος A.V. λέκηθος Photii ms.

x Ἀνδρείᾳ] Scribe Ἀνδρίᾳ, per ι. Fabulæ enim huic nomen dedisse mulierem Andriam, ab insula Andro, a qua

Καὶ τεττάρων ᾠῶν μετὰ τοῦτο, φιλτάτη,
[y] τὸν νεοττόν.

A Κλέαρχος [z] ἐν τῷ Περὶ Οἴνων συγγράμματι φησίν·

Ὁ διαδίδοται [a] ἀρχὴ ὑπὸ τὸν ὑμένα λευκόν· ἐν τούτῳ γὰρ τὸ σπέρμα, καὶ οὐκ ἐν τῷ καλουμένῳ νεοττῷ. Διεψεύσθησαν γὰρ οἱ πρῶτοι τοῦτο φήσαντες. Καὶ ἔστι τὸ ὠχρὸν περίττωμα τοῦ σπέρματος.

Ὅτι δὲ τὸ ὠχρὸν νεοττὸν ἔλεγον, μαρτυρεῖ καὶ Χρύσιππος ἐν τῷ Περὶ Χρησμῶν. [b] Ὄναρ γάρ τινα [c] φησὶ B θεασάμενον ἐκ τῆς κλίνης αὐτοῦ [d] κρέμασθαι ᾠὰ, προσαναθέσθαι ὀνειροκρίτῃ· τὸν δὲ εἰπεῖν, Ὀρύττων θησαυρὸν εὑρήσεις κατὰ τὸν τόπον ἐκεῖνον. Εὑρόντα δὲ σταμνίον ἐν ᾧ ἀργύριον ἦν καὶ χρυσίον, ἐνεγκεῖν τι τοῦ ἀργυρίου τῷ μάντει· τὸν δὲ μάντιν εἰπεῖν· [e] Τοῦ δὲ νεοττοῦ οὐδέν μοι δίδως; Καὶ Δίφιλος κέχρηται τῇ λέξει·

C Ὠῶν δ' ἐν αὐτῇ διέτρεχεν νεόττια.

**Νεοττός**: Καὶ ὁ νεογνὸς ὄρνις.

Οἶδά [f] τοι ἔγωγε καὶ ἐς ὀκτὼ ὅλας ἡμέρας ἀναλωθέντα αὐτῷ κατοικιδίας ὄρνιθος οὐ μέγαν νεοττόν.

**Νεουργόν**: Νεωστὶ εἰργασμένον.

**Νεόφθιτον**: Νεωστὶ τελευτῆσαν, νεωστὶ φθαρέν.

**Νεοφρῶν**, ἢ **Νεοφῶν**, Σικυώνιος, τραγικός· οὗ φασιν εἶναι τὴν [g] τοῦ Εὐριπίδου [h] Μήδειαν· ὃς πρῶτος D εἰσήγαγε παιδαγωγοὺς, καὶ οἰκετῶν βάσανον. [i] Ἐδίδαξε δὲ τραγῳδίας ρκʹ. Συνῆν δὲ μετὰ ταῦτα Ἀλεξάνδρῳ τῷ Μακεδόνι, καὶ διότι φίλος ἦν Καλλισθένει τῷ φιλοσόφῳ, σὺν ἐκείνῳ καὶ [k] αὐτὸν ἀνεῖλεν αἰκισμοῖς.



A **Νεόφυτον**: Τὸ νεωστὶ φυτευθέν.

**Νεόφυτος**: Ὄνομα κύριον.

**Νεοχάρακτα**: Νεωστὶ κεχαραγμένα. [l] Σοφοκλῆς·

Ἴχνη τἀκείνου νεοχάρακτα.

Ὁπόταν γὰρ νεωστὶ αἱ ἀποχαράξεις τῶν ζώων γένωνται, μᾶλλον ἐπακολουθοῦσιν οἱ κυνηγέται, πρὶν ὑπὸ ἀνέμου ἀφανισθῇ ἡ ὀδμή.

B **Νεοχμός**: Νέος, νέαν καὶ ἀκαταπόνητον δύναμιν ἔχων.

[m] Μὴ παρόντων ἐς τὰς ἀρχὰς ἀνδρῶν τῶν διέπειν ταύτας δυναμένων, πολλὰ νεοχμεῖσθαι ἐν τοῖς πολιτικοῖς.

[n] Ἀριστοφάνης·

Τέρας νεοχμόν.

Ἀντὶ τοῦ, παράδοξον.

Ἀτοπίας [o] πλέων.

C Ἀντὶ τοῦ, θαύματος.

**Νεοχμοῦν**: [p] Καινοτομεῖν, νεώτερα ἐργάζεσθαι.

[q] Ὁ δὲ φυλάσσειν τῶν καθεστώτων οὐδὲν ἠξίου· πάντα δὲ νεοχμοῦν ἐσαεὶ ἤθελε.

**Νεοχμώσαντες**: Νεωστὶ κινήσαντες. [r] Ἡρόδοτος.

**Νεοχμώσειν**: Νεωτερισθῆναι, καινόν τι ἐργάσασθαι.

D Ἀσχόλους τε γὰρ αὐτοὺς ὄντας διὰ τὸν πόλεμον, μηδὲν [s] νεοχμώσειν.

**Νέω**: Τὸ κολυμβῶ, καὶ τὸ πορεύομαι.

**Νεωκορήσει**: Ἐνίοτε ἀντὶ τοῦ [t] ἱεροσυλήσει. Κορεῖν γὰρ λέγουσι τὸ καλλύνειν, τὸ σαροῦν, καὶ

---

deducitur gentile Ἄνδριος, sic dictam, vel ex Terentii Andria patet, quæ ex fabula ista Menandri expressa est. KUST. Ἀνδρείᾳ A. Ἀνδρία Phot.

[y] τὸν νεοττὸν] τῶν νεοττῶν V.C. τὸ νεοττὸν M.

[z] ἐν τῷ περὶ οἴνων] Menagius ad Laërt. lib. I. segm. 9. scribendum censet, ἐν τῷ περὶ θινῶν: auctoritate Athenæi, qui Clearchum ἐν τῷ περὶ θινῶν laudat. Sed conjectura hæc dubia est et anceps, cum nihil obstet, quo minus quis credere possit, Athenæum ex Suida corrigendum esse: vel saltem, aliud esse opus περὶ θινῶν, et aliud περὶ οἴνων; et proinde neutram lectionem solicitandam esse. F KUST. Ego vero utramque lectionem sollicitandam esse puto. Illud enim Θινῶν est nihil aliud quam corruptio τοῦ Οἴνων· quod et ipsum corruptum est. Audacter repono: Κλέαρχος ἐν τῷ περὶ Ὠῶν. *Clearchus in libro de Ovis.* Quod vel ipse locus Clearchi, qui sequitur, manifeste evincit: Ὠῷ διαδίδοται ἀρχὴ ὑπὸ τὸν ὕμενα λευκόν· (leg. τὸ λευκόν·) ἐν τούτῳ γὰρ τὸ σπέρμα, καὶ οὐκ ἐν τῷ καλουμένῳ νεοττῷ. Διεψεύσθησαν γὰρ οἱ πρῶτοι τοῦτο φήσαντες. Καὶ ἔστι τὸ ὠχρὸν περίττωμα τοῦ σπέρματος. *Album sub membrana est ovi principium: in hoc enim semen continetur, non autem in vitello: et decepti fuerunt illi, qui primi hoc dixerunt. Luteum autem ovi est excrementum seminis.* Ita scribendus iste locus. Vulgo legitur, Ὁ διαδίδοται. Sed editio princeps, Ὠι. Unde veram lectionem eruimus. Quare auctor sum, ut Clearchus deinceps laudetur ἐν τῷ ΠΕΡΙ ΩΩΝ. TOUP. ᾯ διαδ. E. Photius.

[a] ἀρχὴ] ἡ ἀρχὴ Phot.

[b] Ὄναρ γάρ τινα φησὶ θεασ.] Eandem ex Chrysippo historiam narrat Cicero lib. II. de Divinat. c. 65. his verbis: H *Defert ad conjectorem quidam somniasse se, ovum pendere ex fascia lecti sui cubicularis. (Est hoc in Chrysippi libro somnium.) Respondit conjector, thesaurum defossum esse sub lecto. Fodit: invenit auri aliquantum, idque circumdatum argento. Misit conjectori quantulum visum est de argento. Tum ille, Nihilne, inquit, de vitello? Id enim* E *ei ex ovo videbatur aurum declarasse; reliquum, argentum.* KUST.

[c] φησὶ] φασὶν Phot. A. Tum θεασάμενος E.

[d] κρέμασθαι] κρεμᾶσθαι V. qui mox προσανθέσθαι ὀνειροκρίτην.

[e] Τοῦ δὲ] δὲ om. V.

[f] τοι] τι A.V.

ΝΕΟΥΡΓΟΝ] Ex Timæo, ubi vid. Ruhnken. Deest gl. V.

ΝΕΟΦΡΩΝ] Νεόφρων A.B.V.

[g] Εὐριπίδου] τοῦ Εὐριπίδου A.B.V. Mox πρῶτα V.

[h] Μήδειαν] Vid. Petit. Misc. VI. 17. p. 137. qui non esse Neophronis, sed Euripidis, qui fuit e fratre nepos, probat. REINES. Vide quæ de h. l. disputavit Elmsleius ad argum. Euripid. Med.

[i] Ἐδίδαξε] ἐδίδαξε δὲ A. qui mox δὲ τὰ μετά.

[k] αὐτὸν ἀνεῖλεν] Supra ad Καλλισθένης vocat eum Nearchum τὸν τραγικόν. REINES.

[l] Σοφοκλῆς] Aj. 6. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

G [m] Μὴ παρόντων ἐς τὰς ἀρχ.] Locum integrum Joannis Antiocheni, unde fragmentum hoc decerptum est, habes supra v. Θεοδόσιος, βασιλεὺς Ῥωμ. ubi pro παρόντων recte legitur παριόντων. Ceterum, exemplum hoc ad vocem sequentem Νεοχμοῦν referri debebat. KUST.

[n] Ἀριστοφάνης] Ran. 1418.

[o] πλέον] πλέων A.

[p] Καινοτομεῖν] καὶ νεοτομεῖν E. καὶ καινοτομεῖν M.

[q] Ὁ δὲ φυλάσσειν τῶν καθεστ.] Hæc sunt verba Procopii Histor. Arc. c. 6. KUST. Desunt V.

[r] Ἡρόδοτος] Gl. V. 19.

[s] νεοχμώσειν] νεοχμῶσαι E.M.

ΝΕΩΚΟΡΗΣΕΙ: Ἐνίοτε ἀντὶ τοῦ ἱεροσυλήσει] Vide nos supra ad v. Ἱερόν τι νεωκορήσας. KUST. Platonis locum Rep. IX. p. 503 e. ed. Læmar. [574 D. Steph.] indicavit Abreschius. Conf. Schol. p. 189.

[t] ἱεροσυλήσει] συλήσει V. et mox om. γάρ.

ἐκκαλλύνειν. Τό τε [u]ἘΚΚΟΡΗΘΕΊΗΣ, ἀντὶ τοῦ, ἐκ- A καλυνθείης.

Νεωκόρος: Ὁ τὸν [x]ναὸν κοσμῶν καὶ εὐτρεπίζων· [[y]ἀλλ' οὐχ ὁ σαρῶν.]

Νεωλέα: Ὠ τοῦ νεὼ λαός. [[z]Νεολαία δὲ, ἡ νεόλεκτος.]

Νεωλκήσας: Ἔξω τὴν ναῦν ἑλκύσας.

Νέων, Νέωνος. Ὄνομα κύριον. [a]Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος περὶ τῆς πρὸς Φίλιππον τούτου B φιλίας φησίν.

Νεώνητον: Τὸν νεωστὶ ἠγορασμένον. Ἐπεὶ μὴ ἐκ γένους ἦν [b]Ἀθηναῖος ὁ Κλέων, ἀλλὰ νεωστὶ προσεληλυθὼς τῇ πολιτείᾳ. Ἐμφαίνει δὲ διὰ [c]τούτων, ὅτι καὶ τῶν Ἀθηναίων καθάπτεται, ὅτι δέον πιστεύειν αὐτοὺς τοῖς γνησίοις καὶ πολλὰ τὴν πόλιν εὐεργετηκόσιν, οἱ δὲ μᾶλλον ἐτίμων τὸν Κλέωνα. Πεφύκαμεν γὰρ καὶ τῶν οἰκετῶν μᾶλλον πιστεύειν τοῖς οἴκοι γεννηθεῖσι καὶ [d]συντραφεῖσιν, ἢ οἷς ἂν [e]ἐπικτησώμεθα πριάμενοι.

Νεωρῆ: Νεωστὶ ἠρτημένον· ἢ ἐκ νέου τινὸς, καὶ ὥραν ἔχοντος νέαν.

> Ὁρῶ νεωρῆ βόστρυχον τετμημένον.

Καὶ [f]Σοφοκλῆς·

> Φόβον νεωρῆ τῆς ἐμῆς ἐπεισόδου.

Νεώρια: Ὁ ναύσταθμος τῶν νεῶν.

> [g]Ἐμπρήσαιεν ἂν τὸ νεώριον.
> Ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος,
> ἅψας ἂν [h]ἐσπέμψειεν ἐς τὸ νεώριον.

Νεώρια καὶ νεώσοικοι: Μήποτε νεώρια λέγεται ὁ τόπος ἅπας, εἰς ὃν ἀνέλκονται αἱ τριήρεις, καὶ πάλιν ἐξ αὐτοῦ καθέλκονται, ὡς ὑποσημαίνουσι Λυκοῦργός τε καὶ Ἀνδοκίδης.

Νεώς: Ὁ ναὸς, Ἀττικῶς. [i]Θηλυκῶς δὲ ἐπὶ γενικῆς νεὼς, τοῦ πλοίου.

Νεώσατε: Ἀροτριάσατε.

Νεῶσι: [k]Δημοσθένης κατ' Αἰσχίνου. Πόλις ἐστὶν ἐν τῇ Φωκίδι. [l]Καὶ Ἡρόδοτος μὲν ἐν ὀγδόῃ Νεῶνα ὀνομάζει. Ἀνδροτίων δὲ ἐν ἕκτῳ Ἀτθίδος, Νεῶνας.

Νεωστί: [m]Προσφάτως.

Νεώσοικοι: Οἰκήματα παρὰ τῇ θαλάσσῃ οἰκοδομούμενα εἰς ὑποδοχὴν νεῶν, ὅτε μὴ θαλαττεύοιεν.

> Ὅτι [n]Πολυκράτης ὁ [o]Σαμίων τύραννος τῶν ὑφ' ἑωϋτῷ ὄντων πολιητέων τὰ τέκνα καὶ τὰς γυναῖκας ἐς νεωσοίκους συνειλήσας εἶχεν [p]ἑτοίμους, ἢν ἄρα προδιδῶσιν οὗτοι πρὸς τοὺς κατιόντας, ὑποπρῆσαι [q]αὐτοῖσι τοῖσι νεωσοίκοις.

Νέωτα: Τὸ ἐπιὸν ἔτος· ἤτοι, εἰς τὸ μέλλον.

> Αἰεὶ γεωργὸς ἐς νέωτα πλούσιος.

Ἢ ἐκ τοῦ [r]νέος, ἐξ οὗ τὸ νεωστὶ, νέωστα, (ὡς δὴ, C δῆτα, ἐπεὶ, ἔπειτα) καὶ ἐκβολῇ τοῦ σ', νέωτα. Τὸ ἐκ νέου, καὶ ἔναγχος.

Νεώτερα:

> Τούτων [s]δὲ ἀνεῖλον, ὡς νεώτερα κατὰ Ῥωμαίων πράττοντα.

Νεωτερίζει: Καινὰ πράττει.

Νεωτερίζειν: [t]Θουκυδίδης·

> Τῆς ἡμέρας τὸ πνῖγος ἐλύπει· νύκτες δὲ μετοπωριναὶ καὶ ψυ- D χραὶ τῇ μεταβολῇ ἀσθένειαν ἐνεωτέριζον.
>
> [u]Ὁ δὲ βάρβαρος οὐδὲ ἐπὶ τὴν νεωτερίζουσαν τὰ πράγματα τύχην ἔσχεν ἀνενεγκεῖν τὴν αἰτίαν, ὡς ἂν ἔννομόν τινα καὶ ὕπαιθρον ἀγωνισάμενος μάχην.

Νεωτερισμός: [[x]Ἀνταρσία.]

Νεώτερον: Καινόν.

> Ὁ δὲ ἔλεγε δεδιέναι ἂν ἀδόκητόν τι καὶ νεώτερον κακὸν [y]ἀπαντήσῃ.

E Νεωτεροποιός: [z]Ἀντάρτης, τύραννος, ἐπιθέτης.

---

[u] ἘΚΚΟΡΗΘΕΙΗΣ] Vide supra v. Ἐκκορηθείης. KUST.

[x] νεὼν] ναὸν A. Photius.

[y] ἀλλ' οὐχ ὁ σαρῶν] Quid ni? Κορεῖν enim significat idem quod σαροῦν. Quare legerim potius, ἢ ὁ σαρῶν. KUST. Hæc verba om. A. et Photius.

[[z] ΝΕΟΛΑΙΑ] Hæc om. A. Habet V. in marg.

ΝΕΩΛΚΗΣΑΣ] Νεολακήσας E.

ΝΕΩΝ, Νέωνος, ὄνομα κ.] Ex Harpocratione. KUST.

[a] Δημοσθένης] P. 324, 12.

ΝΕΩΝΗΤΟΝ: Τὸν νεωστὶ ἠγορ.] Ex Schol. Aristoph. ad principium Equitum. KUST. τὸ νεωστὶ A.C.M.

ib. ΝΕΩΝΗΤΟΝ] Vales. ad Harpocr. p. 129. TOUP.

[b] Ἀθηναῖος] Ἀθηναίων A.

[c] τούτου] τούτων A.V. Schol. Mox εὐηργετηκόσιν edd.

[d] συντραφεῖσιν] τραφεῖσιν Schol.

[e] ἐπικτησαίμεθα] ἐπικτησώμεθα A.V. οὓς ἂν κτησώμεθα Schol. Tum πριώμενος B.

ΝΕΩΡΗ: Νεωστὶ ἠρτημ.] Ex Schol. Sophocl. Electr. 901.

[f] Σοφοκλῆς] Œdip. Colon. 730.

[g] Ἐμπρήσαιεν ἂν τὸ νεώρ.] Aristoph. Acharnens. 918. unde Suidam supplebis. KUST.

[h] ἐσπέμψειεν] ἐσπέμψοι E. Seqq. ΤΙΦΗ μὲν, θηλυκῶς, ἡ καὶ σίλφη, ζωΰφιον κανθαρῶδες· ᾧ δοκοῦσι Βοιωτοὶ ἐμπηγνύντες δᾷδα ἡμμένην, ἤ τι τοιοῦτον, ἐμπυρίζειν ὃ δύνανται. Τοῦτο δὲ καὶ δι' ἀλωπέκων καὶ χελωνῶν ἐγένετο. ΤΙΦΟΣ δέ γε, τὸ δάσος. Παρὰ τὸ ὙΠΟΤΥΦΕΙΝ, φασὶ, καὶ ὑποκρύπτειν τὰ ἔσω αὐτοῦ, H τροπῇ συνήθει τοῦ υ εἰς ι. Ἡ δὲ τίφη καὶ σπερματίου λεπτοῦ ἐστιν ὄνομα, om. A.V. Habet E. in marg.

ΝΕΩΡΙΑ καὶ ΝΕΩΣΟΙΚΟΙ: Μήπ.] Ex Harpocratione. KUST.

[i] Θηλυκῶς δὲ] Seqq. om. Photius.

ΝΕΩΣΙ: Δοτικὴ πληθυντικῶν. Δημοσθ.] Et hæc ex Harpocratione sumpta sunt. KUST. Delevi δοτικὴ πληθυντικῶν cum A. et Photio.

[k] Δημοσθένης] P. 387, 9.

[l] Καὶ Ἡροδ.] ἦν Ἡρόδ. Phot. Harpocr. Vid. Herodot. VIII. 32. 33. μὴν V. pro μέν.

[m] Προσφάτως] Statim omittunt A.V. Ὥσπερ ἐκ τοῦ μεγάλου, μεγάλως, καὶ Ἀττικῶς, μεγαλωστί· οὕτω καὶ νέου, νέως, F νεωστί. Καὶ ἔστιν ὅμοιον τὸ οὕτω τοι· εἰ καὶ βαρύνεται ἐκεῖνο.

[n] Πολυκράτης ὁ Σαμίων τύραννος τῶν ὑφ' ἑαυτῷ ὄντ.] Hæc, et quæ sequuntur, sunt verba Herodoti lib. III. c. 45. KUST.

[o] Σαμίων] Σαλαμίων V.

[p] ἑτοίμως] ἑτοίμους A.B.V.

[q] αὐτοῖσι νεωσοίκοισι] αὐτοῖσι τοῖσι νεωσοίκοις A. et fere V. ubi αὐτοῖς σιτοῖσι νεωσοίκοις. Αὐτοῖσι τοῖσι νεωσοίκοισι B.E.

ΝΕΩΤΑ: Τὸ ἐπιὸν ἔτ.] Eadem legas apud Etymologum. KUST. Delevi Παρὰ τὸ ἓν, ὥς φασιν, ἔνοστα, καὶ ἀπελεύσει G τοῦ σ, ἔνοτα, καὶ μεταθέσει τοῦ ε, καὶ ἐκτάσει τοῦ ο εἰς ω, νέωτα, cum A.V.

[r] νέος] νέως A. Mox ἐκδρομῇ E.M. pro ἐκβολῇ.

[s] δὴ] δὲ A.V.E.

[t] Θουκυδίδης] Lib. VII. c. ultimo, ubi sic legitur: Ἐν γὰρ κοίλῳ χωρίῳ ὄντας πολλοὺς, οἵ τε ἥλιοι τοπρῶτον καὶ τὸ πνῖγος ἔτι ἐλύπει, διὰ τὸ ἀστέγαστον, καὶ αἱ νύκτες ἐπιγιγνόμεναι τοὐναντίον μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταβολῇ ἐς ἀσθένειαν ἐνεωτέριζον. Hinc Suidas supplendus est. KUST.

[u] Ὁ δὲ βάρβαρος] Eunap. Fr. 68. Conf. Wyttenbach. ad eundem scriptorem p. 82.

[x] Ἀνταρσία] om. A.V.

[y] ἀπαντήσειν] ἀπαντήσῃ A.B.V.

ΝΕΩΤΕΡΟΠΟΙΟΣ] Jamblich. Myst. p. 155. TOUP.

[z] Ἀντάρτης] ἀντάρτω V.

Νεώτερος: Τὸ συγκριτικὸν [a]ἀντὶ τοῦ ἁπλοῦ. Ἀντὶ τοῦ νέος.

Νέποδες: Οἱ ἰχθύες. Παρὰ τὸ νε στερητικὸν, [b]καὶ τὸ πούς· ἄποδες γάρ εἰσιν. [c]Ἐν Ἐπιγράμμασι·

Πτηνὰ, καὶ ἀγροτέρων κέρδεα, καὶ νεπόδων.

Νέποδες: Νηξίποδες· τὸ γὰρ ἄποδες, ψεῦδος. Ἔχουσι γὰρ πόδας αἱ φῶκαι.

Ἀμφὶ δέ μιν φῶκαι νέποδες.

[d]Ὅμηρος. Νέπως δὲ, Νέπωτος, ἐθνικόν.

Νέρβας, βασιλεὺς τῶν Ῥωμαίων. Οὗτος καὶ τὸν εὐαγγελιστὴν Ἰωάννην [e]ἐκ τῆς ἐξορίας Πάτμου ἀνακαλέσας, ἤγαγεν ἐν Ἐφέσῳ· καθ' ὃν καιρὸν καὶ τὸ τῶν Μανιχαίων ἀνεφάνη δόγμα, αὐτοῦ Μάνεντος φανερῶς ἐξηγουμένου.

Νεργόβριγες: [[f]Ἐθνικόν.] [g]Ἀππιανός·

Νεργόβριγες δ' αὐτοῦ περὶ τῆς μετριοπαθείας πυθόμενοι, ἐθαύμαζον.

Νέρων, βασιλεὺς Ῥωμαίων. Οὗτος κραταιουμένης αὐτῷ τῆς βασιλείας ἐς ἀνοσίους πράξεις ἐξώκειλε, [h]καὶ ἀλλότρια τῆς βασιλείας ἐπετήδευσε πράγματα, κιθαρίζων, καὶ τραγῳδῶν, καὶ ὀρχούμενος ἐπὶ τῶν θεάτρων· [i]καὶ πρὸς πάσαις αὐτοῦ ταῖς ἀθεμιτουργίαις καὶ τὸ τῆς θεομαχίας [k]μύσος προσέθηκε, διώκτης πρῶτος γενόμενος τοῦ θείου λόγου. Μετὰ δὲ ταῦτα ἀνεῖλε καὶ τὴν μητέρα, καὶ ἑαυτόν.

Ὅτι Νέρων [l]ἔτι νέος ὢν ἐσχόλαζε φιλοσόφοις, καὶ τὰ περὶ τοῦ [m]Χριστοῦ κατεμάνθανεν· ἔτι γὰρ ἐνόμιζεν αὐτὸν τοῖς ἀνθρώποις συναναστρέφεσθαι. Καὶ μαθὼν ὅτι ὑπὸ τῶν Ἰουδαίων ἐσταυρώθη, ἠγανάκτησε, καὶ προσέταξεν ἐλθεῖν [n]τοὺς ἱερεῖς Ἄνναν καὶ Καϊάφαν, καὶ αὐτὸν Πιλάτον, τὸν ἄρχοντα τότε γενόμενον, σιδηροδεσμίους. Καὶ καθίσας ἐπὶ τῆς συγκλήτου, τὰ περὶ αὐτοῦ πεπραγμένα κατεμάνθανεν. Οἱ οὖν περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἔλεγον, ὅτι ἡμεῖς τοῖς νόμοις αὐτὸν [o]παρεδώκαμεν, καὶ εἰς καθοσίωσιν οὐχ ἡμάρτομεν· [p]ὁ γὰρ ἄρχων ἐξουσίαν ἔχων, ὅσα ἠβουλήθη, ἔπραξεν. Ἀγανακτήσας οὖν ὁ Νέρων, Πιλάτον ἐν τῷ δεσμωτηρίῳ [q]ἐνέβαλε· τοὺς δὲ περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἀπέλυσεν. [r]Ἤκμαζε δὲ τότε καὶ Σίμων ὁ Μάγος. Καὶ διαλεγομένων Πέτρου καὶ
B Σίμωνος [s]παρουσίᾳ Νέρωνος, ἤχθη Πιλάτος ἀπὸ τοῦ δεσμωτηρίου· καὶ παρισταμένων τῶν τριῶν τῷ Νέρωνι, ἐρωτᾷ τὸν Σίμωνα, Σὺ εἶ ὁ Χριστός; ὁ δὲ λέγει, ναί. Εἶτα ἐρωτᾷ τὸν Πέτρον, Σὺ εἶ ὁ Χριστός; [t]ὁ δὲ λέγει, οὔ· ἐμοῦ γὰρ παρισταμένου εἰς τὸν οὐρανὸν ἀνελήφθη. Ἠρώτησε [u]δὲ καὶ τὸν Πιλάτον, ποῖός ἐστιν ἐκ τούτων ὁ λεγόμενος Χριστός; καὶ εἶπεν, Οὐδὲ εἷς· ὁ μὲν γὰρ Πέτρος μαθητὴς αὐτοῦ
C γέγονε, [x]καὶ εἰσηνέχθη παρ' ἐμοὶ ὡς μαθητὴς αὐτοῦ, καὶ ἠρνήσατο αὐτὸν, λέγων, Οὐκ οἶδα τὸν ἄνθρωπον· καὶ ἀπέλυσα αὐτόν. [y]Οὗτος δὲ ὁ Σίμων οὐδαμῶς ἔγνωσταί μοι, [z]οὐδεμίαν δὲ ἔχει ὁμοιότητα πρὸς ἐκεῖνον· ἔστι γὰρ οὗτος καὶ Αἰγύπτιος, καὶ ἐμπληθὴς, καὶ κατάκομος, καὶ μέλας, παντελῶς τῆς ἐκείνου μορφῆς ἀλλότριος. Ἀγανακτήσας οὖν ὁ βασιλεὺς, [a]κατὰ
D μὲν τοῦ Σίμωνος, ὡς ψευσαμένου, καὶ εἰπόντος ἑαυτὸν Χριστόν· κατὰ δὲ τοῦ Πέτρου, ὡς ἀρνησαμένου τὸν διδάσκαλον, ἐξέβαλεν αὐτοὺς ἀπὸ τοῦ συνεδρίου. [b]Τὸν δὲ Πιλάτον τῆς κεφαλῆς ἀπέτεμεν, [c]ὡς [d]τηλικοῦτον ἄνθρωπον ἀνελεῖν τολμήσαντα δίχα βασιλικῆς προστάξεως.

[e]Ὡς δὲ ἐκλήθη ὁ Νέρων πηλὸς αἵματι πεφυρμένος, [κεῖται ἐν τῷ Ἀλέξανδρος Αἰγαῖος.]

E Νέρτερος: Κατώτερος. [[f]Τὸ ἐντελὲς, ἐνέρτερος, καὶ ἀφαιρέσει, νέρτερος. Ὁμοίως τὸ ἔνερ-

---

[a] ἀντὶ ἁπλοῦ] ἀντὶ τοῦ ἁπλοῦ A. Conf. Fischer. ad Platon. Euthyph. init. Duker. Thucyd. III. 26. Tum delevi, ΝΕΠΕΤΟΣ: Πόλις Ἰταλίας. Παρὰ Διονυσίῳ ἐν Ῥωμαϊκοῖς. Τὸ ἐθνικὸν σεσημείωται. Νεπεσῖνος γὰρ, τροπῇ τοῦ τ εἰς σ., cum A.V. Quæ sumpta sunt ex Steph. Byzant.

[b] καὶ τοῦ] καὶ τὸ A.V.

[c] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 11.

[d] Ὅμηρος] Odyss. δ. 404. KUST. Post ἐθνικὸν delevi Καὶ ὄρους δὲ ἀνύδρου ὄνομα. Παρὰ τὸ νε στερητικὸν, καὶ τοῦ πῶμι, πώσω, κατὰ τοὺς παλαιούς. Ἐξ οὗ δηλαδὴ οὐκ ἔστι πιεῖν, cum A.V.

[e] ἀπὸ τῆς] ἐκ τῆς A. In marg. præbet E. seqq. Ὅτι μετὰ τὸ ἐκ τῆς ἐξορίας τῆς ἐν Πάτμῳ ἐπανελθεῖν Ἰω' τὸν εὐαγγελίστην εἰς Ἔφεσον ἤρξατο ἡ αἵρεσις τῶν Μανιχαίων.

[f] Ἐθνικὸν om. A.

[g] Ἀππιανός] De Bellis Hispan. p. 475. Vide etiam supra v. Μετριοπαθεῖν, ubi fragmentum hoc auctius legitur. KUST.

ΝΕΡΩΝ] Νέρων ἑρμηνεύεται πηλὸς αἵματι πεφυρμένος V.

[h] καὶ ἀλλότρια—πράγματα om. A.

[i] καὶ πρὸς πάσαις] πάσαις δὲ V. et mox ἀθεμιουργίαις.

[k] μύσος προσέθηκε] μῖσος παρέθηκε A. μίσος item E. μῖσος M. Mox τοῦ θείου λόγου om. V.

ΝΕΡΩΝ: Ἔτι νέος—ἀπέλυσεν] Hæc sunt verba Joannis Antiocheni, quæ leguntur in Excerptis a Valesio editis, p. 809. unde ea Suidas sumpsit. KUST.

[l] Ἔτι νέος] Hæc de Tiberio imp. vera fortassis sunt. REINES.

[m] χριστοῦ] τοῦ χριστοῦ A. Excerpt.

[n] τοὺς ἱερεῖς et infra τὸν ἄρχοντα τοτε γενόμενον om. V. τὸν ἄ. τ. γ. om. Excerpt. καὶ καθίσας ἐ. τ. σ. om. Excerpt. Mox σιδήρῳ δεσμίους M.

[o] παραδεδώκαμεν] παρεδώκαμεν A. Excerpt.

[p] ὁ γὰρ] καὶ ὁ V. ὁ γὰρ Πιλάτος ὢν ἄρχων ὅσα ἠ. ἔπραξεν. καὶ τοῦτον ἐν δεσμωτηρίῳ κατέκλεισεν, τοὺς δὲ περὶ τὸν Ἄνναν ἀπέλυσεν. Ὕστερον δὲ τὸν Πιλάτον τῆς κ. Excerpt.

F [q] ἐνέβαλε· τοὺς δὲ περὶ τὸν] ἔβαλλε· τὸν δὲ V.

ib. ἐνέβαλε] Chron. Al. ἀπεκεφάλισεν. REINES.

[r] Ἤκμαζε δὲ τότε καὶ Σίμων ὁ Μ.] Confer cum hoc loco Joannem Malalam in Chronogr. p. 328. KUST. καὶ om. V. Hinc usque ad τοῦ συνεδρίου om. Excerpt.

ib. Ἤκμασε—μάγος] Hæc de Claudio Nerone, qui post Claudium imperavit, sunt intelligenda. REINES.

[s] παρουσίᾳ] παρρησίᾳ A. παρουσίᾳ Νέρωνος om. V. et mox id. om. ἀπὸ τοῦ δεσμωτηρίου et ναὶ—λέγει.

[t] λέγει] ὁ δὲ λέγει A.E.

G [u] δὲ τὸν] δὲ καὶ τὸν A. καὶ τὸν V. Mox λεγόμενος om. V.

[x] καὶ εἰσηνέχθη—αὐτὸν om. E. καὶ ἀπέλυσα αὐτὸν om. V.

[y] Οὗτος δὲ ὁ Σίμων] ὁ δὲ Σίμων οὗτος V. ὁ Σίμων δὲ E.

[z] οὐδεμίαν δὲ ἔχει] οὐδὲ μίαν ἔχει A.

[a] κατὰ μὲν τοῦ—διδάσκαλον om. V.

[b] Τοῦ δὲ Πιλάτου τὴν κεφαλὴν] τὸν δὲ Πιλάτον τῆς κεφαλῆς A.B.V. Excerpt.

[c] ὡς τηλικοῦτον—τολμήσαντος] Zonaras Pilatum sub Tiberio ad caussam dicendam evocatum esse scribit ex Eu-
H sebio sub an. MML. et in hist. ubi e Phlegonte id tradere putat Scalig. REINES.

[d] τηλικοῦτον] τοιοῦτον V. Mox τολμήσαντα B.V. Excerpt. pro τολμήσαντος.

[e] Ὡς δὲ ἐκλήθη om. A. qui in marg. scriptum habet γρ. ωζ. Tum κεῖται—Αἰγαῖος om. A.V.

[f] [Τὸ ἐντελὲς] Seqq. om. A.

ΘΕΝ, ΝΈΡΘΕΝ. Οὕτω καὶ ἐκ τοῦ, ἘΣ ΚΌΡΑΚΑΣ, τὸ ΣΚΟΡΑΚΊΖΕΙΝ.]

ΝΈΣΣΟΣ: Ὁ Κένταυρος, περὶ οὗ φησι Σοφοκλῆς. Δηϊάνειρά φησιν·

> [g]Οὕτως ἔχει γ' ἡ πίστις, ὡς τὸ μὲν δοκεῖν
> ἔνεστι, πείρᾳ δ' οὐ [h]προσωμίλησά πω.
> ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς οὐδ' εἰ δοκεῖς
> ἔχειν, ἔχοις ἂν [i]γνῶναι μὴ πειρωμένη.

ΝΕΣΤΟΡΈΗΙ: Τῇ τοῦ Νέστορος. Καὶ ΝΕΣΤΌΡΕΙΟΣ ΟἾΚΟΣ [k]ὁ τοῦ Νέστορος.

ΝΕΣΤΟΡΊΔΗΣ: Πατρωνυμικόν.

ΝΕΣΤΌΡΙΟΣ: [l]Μετὰ Μάνεντα καὶ Παῦλον καὶ [m]Ἀπολινάριον καὶ Θεόδωρον ἐφάνη Νεστόριος, ἀπὸ Γερμανικείας τῆς Συρίας, [n]τοῦ θρόνου Κωνσταντινουπόλεως δραξάμενος, ὁμοίως τῇ φωνῇ τῶν ἐν Χριστῷ δύο φύσεων [o]κακοφρόνως ἀποχρησάμενος Παύλῳ καὶ Θεοδώρῳ τοῖς ἑαυτοῦ προγόνοις· υἱὸς μὲν γὰρ ἦν τοῦ Κίλικος, ἀπόγονος δὲ τοῦ Σαμοσατέως. Καὶ διὰ τοῦτο πρὸς τὴν [p]ἁγίαν παρθένον καὶ θεοτόκον ἄσπονδον ἤρατο πόλεμον· [q]καὶ τρίτος προστάτης γεγονὼς τῆς Ἰουδαϊκῆς ταύτης αἱρέσεως ἄλλον εἶναι παρ' ἑαυτῷ τὸν Χριστὸν, καὶ ἄλλον τὸν Θεὸν λόγον, κατὰ τὴν πατρικὴν αὐτοῦ πλάνην ἐδογμάτισε. Μετὰ δὲ τοῦτον Εὐτύχης. Οὗτος δὲ ὁ Νεστόριος [r]φυσικῶς εὔλαλος ὢν, πεπαιδεῦσθαι μὲν ἐνομίζετο· τῇ δὲ ἀληθείᾳ, [s]ἀνάγωγος ἦν, καὶ τὰς τῶν παλαιῶν ἑρμηνεύων βίβλους, ἀπηξίου μανθάνειν. Τυφούμενος γὰρ ὑπὸ τῆς εὐγλωττίας, οὐκ ἀκριβῶς προσεῖχε τοῖς παλαιοῖς, ἀλλὰ πάντων κρείττονα ἐνόμιζεν ἑαυτόν.

ΝΈΣΤΩΡ Λαρανδεὺς, ἐκ Λυκίας, ἐποποιὸς, πατὴρ Πεισάνδρου τοῦ ποιητοῦ, γεγονὼς [t]ἐπὶ Σεβήρου τοῦ βασιλέως· Ἰλιάδα [γράψας] λειπογράμματον, ἤτοι ἀστοιχείωτον. [u]Ὁμοίως δὲ αὐτῷ [x]καὶ ὁ Τρυφιόδωρος ἔγραψεν Ὀδύσσειαν. Ἔστι γὰρ ἐν [y]τῇ πρώτῃ μὴ εὑρίσκεσθαι α΄, καὶ κατὰ ῥαψῳδίαν οὕτως τὸ ἑκάστης [z]ἐκλιμπάνει στοιχεῖον. [Ἔγραψε δὲ] Μεταμορφώσεις, [a]ὥσπερ καὶ Παρθένιος ὁ Νικαεὺς, [b]καὶ ἄλλα.

ΝΕΟΊΗ: Θράσος νεότητος, προπέτεια.

ΝΈΟΙΣ ΜῈΝ ἜΡΓΑ, ΒΟΥΛᾺΣ ΔῈ [c]ΓΕΡΑΙΤΈΡΟΙΣ:

ΝΕΥΘΆΝ: Εἶδος μέτρου.

ΝΕῦΜΑΙ: Ἀντὶ τοῦ, ἐλεύσομαι. [d]Ὅμηρος·

> Ἠῶθεν γὰρ νεῦμαι.

Ἐνεστῶτος [e]δὲ νέομαι, νεῦμαι. Βούλεται δὲ εἰπεῖν, ἐλεύσομαι.

ΝΕῦΡΑ ΜΆΧΗΣ: Ὁ πλοῦτος. [f]Πισίδης·

> Βλέπων μάλιστα καὶ τὰ νεῦρα τῆς μάχης,
> τὸν πλοῦτον ἐκρεύσαντα πρὸς τοὺς βαρβάρους.

[ΝΕΥΡΆΝ: Χορδήν. Τὸ παχὺ ἔντερον τοῦ προβάτου.]

ΝΕΥΡῆΦΙΝ: Ἐκ τῆς νευρᾶς τοῦ τόξου.

ΝΕΥΡΟΣΠΑΔῊΣ ἌΤΡΑΚΤΟΣ: [g]Παρὰ Σοφοκλεῖ ἐν

---

ΝΕΣΣΟΣ] Νέσος A.E.M.

[g] Οὕτως ἔχει χ' ἡ π.] Sophocl. Trach. 590. ἔχει γ' οὕτως A. ἔχει γ' B.C.E.M.

[h] προσωμίλησά πω] προσωμιλησάτω A. πρὸσμιλησάτω V. προσωμίλησά τω B.E.

[i] γνῶναι] γνῶμα Soph. Statim delevi ΝΕΣΣΩΝ. Πόλις Θεσσαλίας. Καὶ λίμνη ΝΕΣΣΩΝΙΣ, cum A.V.

ΝΕΣΤΟΡΕΗΙ] Il. β΄. 54.

[k] ὁ τοῦ] ὁ om. A.E.

[l] Μετὰ Μάνεντα,—δογμάτισε] Hæc sumpta sunt ex Theodori Presbyteri libello de Incarnatione Domini, ut Pearsonius recte monuit. KUST. Monuit etiam Reinesius.

[m] Ἀπολλινάριον] Ἀπολινάριον A.E.M. Mox om. Θεόδωρον V. cum lacuna. Mox τῆς Συρίας om. V.

[n] τοῦ θρόνου] τὸν θρόνον A.

[o] κακοφρόνως] Apud Theodorum Presbyterum legitur, κακοφυῶς. KUST.

[p] ἁγίαν] ἁγίαν παρθένον καὶ A. σεμνὴν παρθένον Theod. om. καὶ θεοτόκον.

[q] καὶ τρίτος] καὶ om. A. Mox παρ' ἑαυτῷ om. V. et infra om. κατὰ τὴν π. α. πλάνην.

[r] φυσικῶς] φυσικὸς A.E.

[s] ἀνάγωγος] μὴ τυχὼν τῆς δεούσης ἀναγωγῆς A. marg. sed m. pr. φαύλως ἀνηγμένος, κακῆς ἀγωγῆς· ἀάγωγος, καὶ δι' εὐφωνίαν ἀνάγωγος· ἀναγωγὸς δέ γε ὀξυτόνως, ὁ ἀνάγων τινὰς διὰ τῆς παιδεύσεως B. marg.

ΝΕΣΤΩΡ Λαρανδεὺς, ἐκ Λυκίας, ἐποπ.] Hesychius Milesius: Νέστωρ, ἐποποιὸς, ὁ ἐκ Λυκίας, ἔγραψεν Ἰλιάδα λειπογράμματον. Ἔστι γὰρ ἐν τῷ α μὴ εὑρίσκεσθαι α, καὶ κατὰ ῥαψῳδίαν οὕτω τὸ ἑκάστης ἐκλιμπάνει στοιχεῖον. Ἐποίησε δὲ καὶ Τρυφιόδωρος Ὀδύσσειαν ὁμοίως αὐτῷ. Hæc ipsa verba Suidam descripsisse apparet: quamvis et plura habeat, et ordinem nonnihil immutaverit. KUST.

[t] ἐπὶ] γεγονὼς ἐπὶ A.B.V.E. Mox γράψας om. A.V. Infra ἔγραψε δὲ om. A.V.E.

[u] Ὁμοίως δὲ αὐτῷ καὶ ὁ Τρυφιόδωρος ἔγραψεν Ὀδύσσειαν] Hæc verba parenthesi includenda sunt. Quæ enim sequuntur, non pertinent ad Tryphiodorum, (ut male putavit Vossius in libello de poetis Græcis) sed ad Nestorem ipsum, ut clare patet ex verbis Hesychii Milesii in nota præcedente adductis. Tryphiodorus enim scripserat quidem Ὀδύσσειαν λειπογράμματον, sed quæ elemento Σ tantum careret: ut expresse testatur Eustathius in proœmio ad Odysseam. Confer nos infra ad v. Τρυφιόδωρος. KUST.

[x] καὶ ὁ] καὶ om. A.

[y] τῷ α΄] τῇ πρώτῃ A.B.V.

[z] ἐκλιμπάνει] ἐκλιμπάνειν A.B.V.E. edd. ante Kuster.

[a] ὥσπερ καὶ] ὥσπερ ὁ V. Ad Μεταμορφώσεις notatum in B. μυθικὰς, ὁποίας πολλάκις τερθρεύονται οἱ ποιηταί.

[b] καὶ ἄλλα] In Geoponicis laudantur etiam ejus Ἀλεξίκηπος, et Πανάκεια. KUST. καὶ ἄλλα πολλὰ V.

ΝΕΟΙΗ] Sic recte mss. Paris. At priores editt. male, νεείη. KUST. Vox Νεοίη referenda est ad Homer. Iliad. ψ΄. 604. νόον νίκησε νεοίη. Ubi Schol. Νεοίη, νεότης. Quæ sequuntur, παροιμιακὰ sunt. Euripides in Menalippa apud Stobæum Grotii, p. 475. Παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων, Βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος. Atque ad hunc locum respexisse videtur Suidas. TOUP.

[c] ΓΕΡΑΙΤΕΡΟΙΣ] γεραιτέροισι A.

[d] Ὅμηρος] Il. σ΄. 136.

[e] δὲ] ἐστι A.V.

ΝΕΥΡΑ ΜΑΧΗΣ: Ὁ πλοῦτος] Vide Menagium ad Laërt. lib. IV. segm. 48. KUST. Ex Pindaro. Vid. v. Μεγάνορος. TOUP. Demosthen. (p. 15, 2.) Δεῖ τῶν χρημάτων, καὶ ἄνευ τούτων οὐδέν ἐστι γενέσθαι τῶν δεόντων. Vid. de hoc Demosthenis dicto Isid. Pelus. II. ep. 146. qui id interpretatur et addit ἐν πολέμῳ. REINES.

[f] Πισίδης] Heracliad. Acr. I. 163.

ΝΕΥΡΑΝ: Χορδήν] Νευρά: χορδὴ A. ubi gl. in marg. om. V.

ΝΕΥΡΗΦΙΝ] Il. θ΄. 300. et al. Sequentia ΝΕΥΡΟΙ Θ', ἹΠΠΟΠΟΔΕΣ ΤΕ. Οἱ αὐτοὶ καὶ Νευρῖται. Σαρματίας ἔθνος. Ἡ χώρα Νευρὶς, delevi cum A.V. Sumpta sunt ex Steph. Byz. Delevi etiam cum A.V., ΝΕΥΡΟΝ. Δι' οὗ νεύει τὰ κατὰ τὸ σῶμα. Ἢ παρὰ τὸ νέω· νεῖται γὰρ τὰ νεῦρα δι' ὅλου τοῦ σώματος.

ΝΕΥΡΟΣΠΑΔΗΣ] Deest h. gl. A.V. et nescio an servari debuerit.

[g] Παρὰ Σοφοκλεῖ ἐν Φιλοκτήτῃ] Ver. 290.

Φιλοκτήτῃ. Ὃν ἀφίησί τις, τῇ νευρᾷ ἐπισπώμενος A αὐτόν.

Νευσούμενοι: Κολυμβήσοντες. [h]Ξενοφῶν·

Ἐκδύντες, ἔχοντες τὰ ἐγχειρίδια γυμνοὶ ὡς νευσούμενοι [i]ἐπειρώμεθα διαβαίνειν.

(Νεφέλας:) [ii]Νεφέλη ἡ καπνώδης ἐκ γῆς ἀναθυμίασις. Καὶ εἶδος δικτύου θηρευτικοῦ.

[Νεφέλας ξαίνεις: Ἐπὶ τῶν μάτην πονούντων καὶ [k]ἀδυνάτων. Εἴληπται ἴσως τὸ ξαίνειν ἐκ τοῦ B εἰπόντος, [l]ἐοικέναι τὰς νεφέλας ἐρίοισιν ἀναπεπταμένοισι.]

Νεφελοκοκκυγία: Πόλις [m]παρὰ Ἀριστοφάνει [n]πεπλασμένη εἰς τὸν ἀέρα οὖσα.

Νεφθαλείμ: Ὄνομα [o]πόλεως.

[Νεφθαλῖται: Ἔθνος ἐπικρατῆσαν τῆς ἕω παρὰ Ἰωσήπῳ.]

Νεφροί: Οἱ λογισμοί. Ἐπειδὴ τὰς ὑπογαστρίους C ὀρέξεις οἱ νεφροὶ διεγείρουσιν, [p]ἐντεῦθεν κινοῦνται τῆς ἐπιθυμίας οἱ λογισμοί.

Νείατος: [q]Ἔσχατος. Καὶ οὐδετέρως, νείατον.

Νείαιρα: Τόπος ἔσχατος τῆς γαστρός.

Νεικέσαι: Παρ' Ὁμήρῳ τὸ λοιδορῆσαι, ἀλλ' οὐ τὸ κρῖναι.

Νεικεῖ: [r]Ψέγει, φιλονεικεῖ. D

Νεικείῃσι: Κακολογήσῃ.

Νείκη: Ἡ φιλονεικία.

Νεῖκος: Διαφορὰ μετ' [s]ἐπιπλήξεως· οἱ δὲ, [t]μάχη, φιλονεικία, λοιδορία.

[u]Ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.

Λέγων κατὰ μέμψιν. Καὶ,

[x]Νεῖκος Ὀδυσσῆος.

Καὶ [y]μάχη.

[z]Ἐπεὶ ὧς ἄγε νεῖκος Ἀθήνη.

[a]Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη.

Νῖκος δὲ, ἡ νίκη, διὰ τοῦ ί. οὐ μόνον δὲ ἡ [b]φιλονεικία διὰ διφθόγγου, ἀλλὰ καὶ ἡ διὰ χειρῶν μάχη.

Νεῖλος: Ὁ ποταμός. Καὶ οὐδετέρως, Νειλομέτριον, τὸ τοῦ Νείλου μέτρον. Καὶ, Νειλῴοις.

Νεῖν: Κολυμβᾶν, καὶ τὸ [c]νήθειν κρόκην. [d]Ἀρριανός·

Ὅσοι κουφότατοι καὶ κουφότατα ὡπλισμένοι, καὶ τοῦ νεῖν δαημονέστατοι, τούτους ἐκνήξασθαι [e]κελεύει ἀπὸ συνθήματος.

Καὶ αὖθις·

Ὥσπερ γὰρ οἱ ὄρνιθες ἵπτασθαι, καὶ νεῖν ἰχθύες, αἵ τε ἔλαφοι θεῖν [f]ἐπιπεφύκασιν, οὐδὲν τοῦ διδαχθῆναι [g]προσδέονται.

Νειός: Ἡ νενεασμένη γῆ. Καὶ [h]νειοῖο.

Νεῖσθαι: Κολυμβᾶν.

Νεῖται: Ἀφίξεται, ἐλεύσεται.

[i]Οὐδ' ἔτι νεῖται,  
ἰξὸν ἐπ' ἀγρευταῖς χευάμενος καλάμοις.

[h] Ξενοφῶν] Lib. IV. de Expedit. Cyri p. 324. ut Pearsonius observaverat. KUST. IV. 3, 12.

[i] ἐπειρῶντο] ἐπειρώμεθα A.B.V. Aliter apud Xenophontem; ἐκδύντες δὲ, ἔφασαν ἔχοντες τὰ ἐγχειρίδια γυμνοὶ ὡς νευσούμενοι διαβαίνειν.

[ii] Νεφέλη] Νεφέλαι A.B.C. Νεφέλας præposui cum E Schol. Aristoph. Av. 194.

ΝΕΦΕΛΑΣ ΞΑΙΝΕΙΣ] Deest gl. A. Usque ad πονούντων tantum habent V.C.

[k] ἀδυνάτως] ἀδυνάτων B.

[l] ἐοικέναι τὰς νεφέλας] Apud Aristoph. Nub. 342. Strepsiades de nubibus inquit: Εἴξασιν οὖν ἐρίοισιν πεπταμένοισιν. Ad hunc locum Suidas respexit. KUST.

[m] παρὰ Ἀριστοφάνει] Av. 820.

[n] εἰς τὸν ἀέρα οὖσα πεπλασμένη] πεπλασμένη εἰς τ. ἀ. ο. A. Statim delevi ἣν παίζει ἐκεῖνος ὑπὸ ὀρνίθων πεπολίσθαι, cum F A.V.

[o] πόλεως] Addit V. πλὴν τοῦ σὴμ σαλὴμ καὶ ἱερουσαλήμ.

ΝΕΦΘΑΛΙΤΑΙ] Gl. om. A. Seq. ΝΕΦΟΣ. Οἱονεὶ νέφαος. Τὸ ἐστερημένον φωτός. Ὅθεν καὶ ΚΝΕΦΑΣ, τὸ κενὸν φάους, omisi cum A.V.

ΝΕΦΡΟΙ: Οἱ λογισμοί. ἐπειδὴ τὰς ὑπογ.] Hæc sumpta sunt ex Theodoreto ad Psalm. VII. 11. KUST.

[p] καὶ ἐντεῦθεν] καὶ om. A.B.E. Seq. gl. ΝΕΦΡΟΙ. Οἱ τοῦ σώματος· εἰς οὓς νείφεται τὸ οὖρον, delevi cum A.V. In ea G οἴχεται pro νείφεται maluit Reinesius. Vulg. habent Etymologus et Zonaras.

[q] Ἔσχατος] Statim delevi καὶ οὐ λέγεται μόνον ἀρσενικῶς ἀλλὰ cum A.V. Tum οὐδέτερον V.

ΝΕΙΑΡΑ] Alii, νείαιρα, per diphthongum in syllaba penultima. Notandum autem est, τὸ νείαιρα non tam esse substantivum quam adjectivum, ut vel ex Homero patet; apud quem vox illa adjunctum semper habet substantivum γαστήρ. Sic Iliad. έ. 539. Νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσε. Scholiasta ad eum locum: Νειαίρῃ: H Τῇ νεάτῃ. Λέγει δὲ τὸ ἔσχατον μέρος τῆς γαστρός. Confer etiam Etymologum. KUST. Νείαιρα A.B.E.

ΝΕΙΚΕΣΑΙ] Vid. Heynium ad Il. ώ. 29. Schol. Ven. Il. ή. 161.

[r] Ψέγει] Sic recte mss. Paris. At priores editt. [et E.] male, λέγει. KUST.

ΝΕΙΚΕΙΗΙΣΙ] Il. ά. 579. Deinde κακολογήσει A.E.M.

[s] ἐπιπλήξεως] Sic recte ms. A. Ante enim male legebatur ἐκπλήξεως. KUST. ἐκπλήξεως B.V.E. ἐπιπλήξεως Photius.

[t] μάχη] μάχην, φιλονεικίαν, λοιδορίαν Photius.

[u] Ὅς με μετ' ἀπρήκτους ἔρ.] Est versus Homeri Il. β'. 376. KUST.

[x] Νεῖκος Ὀδ.] Od. θ'. 75.

[y] ἡ μάχη] ἡ om. A.E. Phot.

[z] Ἐπεὶ ὡς] Il. λ'. 720.

[a] Ἠλείοισι] Il. λ'. 670. Tum νεῖκος καὶ ἡμῖν V.

[b] φιλονεικία] ἡ φιλονεικία A.B.V.E. Νῖκος δὲ—μάχη om. Photius. Sequentem gl. ΝΕΙΛΕΩΣ. Ὄνομα κύριον· ὃ καὶ Νειλεὺς κοινῶς, ἢ Νειλεύς, Αἰολικῶς· οὗ ἀποικία περιᾴδεται εἰς Ἀσίαν. Γίνεται, φασὶ, παρὰ τὸ νέος, καὶ τὸ λεώς, Νεόλεως, καὶ κράσει τοῦ ε καὶ ο εἰς τὴν ει δίφθογγον, Νείλεως· ὁμοίως τῷ Κλεισθένης, Λεωσθένης, (Κλεοσθένης Πλεισθένης B.) Προσθένης, δέον, δεῖν, πλέον πλεῖν. Ἢ, φασὶν, ἀπὸ τοῦ Νηλεὺς Νηλέως γενικῆς γέγονεν, ἀναδρομῇ τῆς γενικῆς εἰς εὐθεῖαν, καὶ τροπῇ Βοιωτικῇ τοῦ η εἰς τὴν ει δίφθογγον, Νείλεως, Αἰολικῶς μετὰ προπαροξυτονήσεως, delevi cum A.V. Horum ὁμοίως τῷ Κλ.—δίφθογγον Νείλεως om. E.

ΝΕΙΛΟΣ] Nilus dicebatur Triton. De ejus ortu vide varias sententias ap. Schol. Apoll. Rhod. p. 226 b. REINES. In fine delevi καὶ Νεῖλος ὄνομα κύριον cum A.V. ζήτει περὶ τοῦ Νείλου ἐν τῷ Βραχμάνες. A. marg.

ΝΕΙΝ] Vid. Schol. Platon. p. 161.

[c] νήθειν κρόκην] κρόκην om. Photius.

[d] Ἀρριανός] De Rebus Ind. p. 556. KUST.

[e] κελεύει] κελεύοι A.

[f] ἐπιπεφύκασιν] ἐπεὶ πεφύκασιν B.E. Tum οὐδὲν A.B.V. pro οὐδέ.

[g] ἐπιπροσδέονται] προσδέονται A.B.V.E. Sequentia Τοῦ δὲ νεῖν, ἤτοι νήθειν, ἡ χρῆσις παρ' Ἡσιόδῳ, ἐν τῷ, Τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης. Τινὲς δὲ τὸ νεῖ νήματα διὰ τοῦ η ἔγραψαν, ὡς ἀποκοπὲν ἐκ τοῦ νήθει. πλὴν καὶ οὕτως ἡ ἀναλογία τὸ νῶ εἰς νεῖ οἶδε πρωτότυπον· ἐξ οὗ παράγωγον τὸ νήθω· ὡς κνῶ, κνήθω, σῶ, σήθω, delevi cum A.V.

[h] ΝΕΙΟΙΟ] Il. κ'. 353. σ'. 547.

[i] Οὐδ' ἔτι] Anthol. Pal. VII. 171.

Νείφω: Τὸ βρέχω, διὰ διφθόγγου. [k]Νιφόμενος δὲ, [l]χιονιζόμενος, διὰ τοῦ ι. Νήφων δὲ, ἐγρηγορῶν, διὰ τοῦ η.

Νῆα: Ναῦν, [m]πλοῖον.

Νηγάτεον: Λεπτὸν, καινὸν, ἁπαλὸν, λευκὸν, [n]εὐφυές.

Νήγρετος: [o]Ἀνέγρετος.

Νὴ Δία: Ναὶ [p]μὰ τὸν Δία.

Νήδυμος: Ὁ ἡδὺς, καὶ γλυκὺς [q]ὕπνος.

Νηδύς: Γαστὴρ, μήτρα.

Νήεον ὕλην: Ἐσώρευον ὕλην. Καὶ [r]νήησας, σωρεύσας. Καὶ νῆες, τὰ πλοῖα.

Νήϊα: Τὰ ναυπηγήσιμα ξύλα. Καὶ [s]Νήϊον, ὄρος Ἰθάκης, τὸ καὶ Ὑπονήϊον.

Νήϊδα: Ἄπειρον, ἀμαθῆ, ἀσθενῆ. Νήϊδες δὲ, νύμφαι.

Νῆϊς: Οὐκ εἰδὼς, ἄπειρος. Τὴν δὲ Νήϊδα, νύμφην, παρὰ τὰ νάματα ἔνιοι, καὶ τὸν Νεῖλον. Καὶ [t]ἐν Σάμῳ δὲ θηρία [u]γενέσθαι, ὧν φθεγγομένων ῥήγνυσθαι τὴν γῆν. Ἐκαλοῦντο δὲ [x]Νήϊα, ὡς [y]Εὐταίων.

Νηΐτης: Ὁ διὰ τῶν [z]νηῶν.

[a]Οὐ μόνον [b]νηΐτῃ στόλῳ, ἀλλὰ καὶ διὰ γῆς κατὰ Βανδίλων ἐστράτευσε.

A Καὶ Αἰλιανὸς [c]περὶ τῶν Λακεδαιμονίων·

Νηΐταις κινδύνοις μὴ πάνυ [d]συντραφέντες.

Νηκερδής: Ἀνωφελὴς, ἀσύνετος.

Νηκούστησε: Παρήκουσε.

Νηκτά: Ἔνυδρα, κολυμβητά.

Νηλεῶς: Ἀπανθρώπως, σκληρῶς. Λέγεται καὶ νηλειῶς.

Νηλεύς: Ὄνομα κύριον.

B Νηλής: Ὁ ἀνηλεής.

Νηλίπους: Ὁ ἀνυπόδητος.

[e]Γεροντανωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη.

Νηλίτης: Ὁ [f]ἁμαρτωλός.

[Νενησμένα κρατῶν δὲ, προσδόκα λύπας:]

Νῆμα: Καὶ νήματα. [[g]Ἐκ τοῦ νήθω, τὸ κλώθω.]

C Νημερτές: Ἀληθές. [Καὶ νημερτής.]

Νηνεμία: [h]Ἀνέμων ἀπουσία.

Νήνεμος: Ἄνεμον οὐκ ἔχων.

Νηοφυλακεῖον:

Νηπενθὲς, ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων: Ἀντὶ τοῦ, ἀπενθές.

Νήπειον φρόνημα: Νηπία δὲ, ἡλικία.

Νήπια: Τὰ [i]βρέφη.

D

[k] ΝΙΦΟΜΕΝΟΣ] Vid. Aristoph. Ach. 1074.

[l] ὁ χιονιζόμενος] ὁ om. A. Mox ἐγρηγορῶν A. pro ὁ γρηγορῶν. Sequentem gl. ΝΗ. Στερητικὸν ἐπίρρημα. Ἔστι δὲ καὶ ἐπιτατικόν. Ὅθεν, ΝΗΧΥΤΟΝ ΥΔΩΡ, καὶ ΝΗΧΥΤΟΣ ὈΡΠΗΞ, om. A.V. Vid. Etymol. M. p. 602, 40.

[m] πλοῖον] Seqq. Ὅτι δὲ διαφέρει πλοῖα νηῶν, ὡς οἱ παλαιοὶ παρασημειοῦνται, δεδήλωται καὶ ἐν ταῖς εἰς τὴν Ἰλιάδα, om. A. V. et Photius. conf. Eustath. Il. η'. p. 684=559, 34. Od. μ'. p. 1727=495. Duker. ad Thucyd. IV. 116.

E [n] εὐφυὲς] εὐυφὲς Photius. Delevi Τινὲς μὲν οὕτω ΝΗΓΑΤΕΟΝ, τὸ καινὸν, ὡς νεηγάτεον, τὸ ἐκ νέου γεγενημένον· πρὸς ὁμοιότητα τοῦ νηγενές. Ἕτεροι δὲ κατὰ στέρησιν, τὸ μὴ γατὸν, ἤγουν γεγονὸς, ἀλλ' οἷον ἀχειρόκμητον, cum A.V. et Photio. Conf. Schol. Il. β'. 43. et Etymol. p. 602, 44.

[o] Ἀνέγερτος] ἀνέγρετος A. Schol. Od. ν'. 74.

[p] μὰ τὸν] ναὶ μὰ τὸν A.

F [q] ὕπνος] Omisi statim Ἡ ὁ βαθὺς, καὶ ἀνέκδυτος. Παρὰ τὸ νη στερητικὸν, καὶ τὸ δύω ῥῆμα, cum A.V.

ΝΗΕΟΝ ὝΛΗΝ] Homerus Il. ψ'. 139. KUST.

[r] ΝΗΣΑΣ] νηήσας A.B.E. cum Il. ι'. 358. Mox καὶ om. A.

ΝΗΙΑ] Νήϊα δοῦρα Od. ι'. 498. Mox καὶ Νήϊον om. A.V.

[s] ΝΗΙΟΝ, ὄρος Ἰθ.] Ejus mentio fit apud Homerum Odyss. α'. 486. KUST.

ΝΗΙΔΑ] Il. η'. 198. Νηΐδες δὲ om. A. Phot.

G [t] ἐν Σάμῳ—φασιν] Ex Heraclidis Politiis ista sunt, quas vide, et Bochart. Canaan. I. 8. REINES.

[u] γενέσθαι φασὶν] φασὶν om. A.V. Photius.

[x] ΝΗΙΑ] Heraclides de Politiis, in Republ. Samiorum, bestias has Νηΐδες appellatas fuisse scribit. At Ælianus Hist. Anim. lib. XVII. c. 28. Νηάδες illis nomen fuisse tradit. KUST.

H [y] Εὐταίων] Scribe, Εὐφορίων. Ælianus loco laudato: Εὐφορίων δὲ ἐν τοῖς ὑπομνήμασι λέγει,——γενέσθαι ἐν αὐτῇ (Σάμῳ) θηρία μεγέθει μὲν μέγιστα, ἄγρια δὲ, καὶ προσπελάσαι τῳ δεινά. Καλεῖσθαι δὲ μὴν Νηάδας· ἀπεροῦν καὶ μόνῃ τῇ βοῇ ῥηγνύναι τὴν γῆν. Confer etiam Bochartum Geogr. Sacr. part. II. lib. I. c. 8. KUST. εὐταίων A.B.E. εὐταῖα V. suprasc. ἤγουν τελευταῖα. Ωσεῦται αν Photius. Legendum censet Dobræus ad Photium p. 752. Ἐκαλοῦντο δὲ νηΐδες, ὡς Εὐγαίων.

[z] νεῶν] νηῶν A.

[a] Οὐ μόνον] "Ex Procopio, opinor." Wass. ad Thuc. II. 24.

[b] νηΐτῃ στόλῳ] Euagrius p. 274. Arrian. Exp. p. 454. TOUP.

[c] περὶ τῶν Λακεδαιμονίων] παρὰ Λακεδαιμονίοις V. τῶν om. A.

[d] συντραφέντες] F. ἐντραφέντες. Eurip. Phœn. 371. innutriti. Charito p. 4. Bos Exercit. TOUP. συστραφέντες A.

ΝΗΚΟΥΣΤΗΣΕ] Il. υ'. 14.

ΝΗΛΗΣ] Il. ι'. 628.

[e] Γεροντανωγεῖ, πολλ.] Sophocl. Œdip. Colon. 349.

[f] ἁμαρτωλός] Post h. v. delevi cum A.V. sequentia: Τούτου ἐστὶ καὶ θηλυκὸν αἱ ΝΗΛΙΤΙΔΕΣ, ἐν Ὀδυσσείᾳ. Ἐκ τοῦ νηλίτης βαρυτόνου ἀρσενικοῦ. Καὶ ἔστι μὲν ἡ ἀπ' ἀρχῆς δευτέρα, ἤγουν ἡ λι συλλαβὴ, ἀναλόγως ἐν τῷ βιβλίῳ τούτῳ διὰ τοῦ ι'. Οἱ δὲ Τεχνικοὶ (ὁ δὲ τεχνικὸς B.E.) διὰ τοῦ η' εἰδότες αὐτὸ, καὶ ζητοῦντες αἰτίαν Αἰολικὴν, αἰτιῶνται τροπὴν τοῦ ι' εἰς η'· ὃ πρὸς ἄλλοις καὶ ἐν τῷ ψιμμύθιον, καὶ Αἰολικῶς ψημμύθιον (ψιμύθιον B.E.M.). Ad v. ἐν Ὀδυσσείᾳ annotavit Kusterus, "Odyss. "τ'. 498. sed ubi hodie legitur νηλιτεῖς, non νηλίτιδες. "Variantis hujus lectionis meminit etiam Eustathius, p. "1874."

ΝΕΝΗΣΜΕΝΑ ΚΡ.] Versus hic oneirocriticus legitur apud Astrampsychum. KUST. A. et V. in marg. Νενησμένα κρατεῖν B.E.

[g] Ἐκ τοῦ etc. om. A. qui gl. seq. om. καὶ νημερτής.

ΝΗΝΕΜΙΑ] Νηνεμίαν ἀνέμων poëta apud Platon. Symp. p. 197 C.

[h] Ἀνέμων ἀπουσία] Sic habent mss. Paris. itemque Photius in Lexico inedito. At priores editt. [et E.] ἀνέμων ἡσυχία. KUST.

ΝΗΠΕΝΘΕΣ, ἌΧ.] Est versus Homericus Odyss. δ'. 221. sed ubi hodie pro ἐπίληθες legitur ἐπίληθον. KUST. ἐπίληθον A.B.V.E. Ceterum A. sic exhibet: Νηπενθὲς ἀπενθὲς, omissis mox ἀντὶ τοῦ ἀπενθές.

ΝΗΠΕΙΟΝ] Hanc gl. A. in marg.

[i] βρέφη] Seqq. Παρὰ τὸ νη στερητικὸν, καὶ τὸ ἔπος. Ἤγουν, τὰ μήπω λέγειν δυνάμενα. Ἢ παρὰ τὸ νη ἐπιτατικὸν, καὶ τὸ ἤπιον. Ἤγουν, τὰ παρὰ τὸ δέον ἤπια., carent A.V.

Νηπιέη: Ἀφροσύνη.

Νήπιος: Ἄφρων, ἀνόητος.

[k] Φίλιππος ὁ Μακεδὼν, πολλοὺς ἀνελὼν, ὕστερον ἐφθέγξατο τοῦτον τὸν στίχον·

Νήπιος, ὃς πατέρα κτείνας υἱοὺς [l] καταλείπει.

[m] Νήπιοι, οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός.

Ἔσθ' ὅτε γὰρ πλειόνων ἐπιθυμῶν τις, [n] ἀποβάλλει καὶ ἃ ἔχει.

Νηποινί: Ἄνευ τιμωρίας καὶ ποινῆς.

[o] Αἰτιώτατος δὲ γεγονὼς τῆς στάσεως, οὐ φεύξεται νηποινὶ τὸ ἐπίκλημα.

Καὶ αὖθις·

Οὐ γὰρ νηποινί γε πείσεσθαι, ἃ πρὸς [p] αὐτῶν ἐπεπόνθει.

Νηπύτιος: [q] Νήπιος· ποιητικῶς. [r] Ἀριστοφάνης Νεφέλαις·

Νηπύτιος γάρ [s] ἐστὶ
καὶ τῶν [t] κρεμάθρων οὐ τρίβων τῶνδε.

Νηρεύς: Ὁ θαλάσσιος θεός.

Νηρῆϊδας: Τὰς νύμφας, κατὰ συγκοπὴν τοῦ ι'.

Νηρηΐδες: Νύμφαι. Πεντήκοντα τὸν ἀριθμόν εἰσι. [u] Σοφοκλῆς·

Τῶν ἑκατομπόδων
Νηρηΐδων [x] ἀκόλουθος.

A Νηρῆϊς: Κατὰ συναίρεσιν ἐκ τοῦ Νηρηΐς· ὥσπερ καὶ τὸ Χρυσηΐς, Χρυσῆς, καὶ Βρισηΐς, Βρισῆς.

Νηρίθμους: Ἀναριθμήτους, ἀπείρους.

Νηρηΐνη:

Νηρίον:

Νηρίτης: Θαλάσσιος [y] κόχλος.

Νήριτον: [z] Ὄρος.

Νῆσσα: Τὸ ὄρνεον. [a] Καὶ νῆττα.

B Νῆσσα: Ὄνομα κύριον.

Νῆσαι: Σωρεῦσαι. Καὶ νήσουσι, σωρεύσουσι.

Νησίον: Καὶ νησιώτης, ὁ ἀπὸ νήσου. Καὶ νηστάριον, νησίον μικρόν.

Νῆσις, Νήσιδος. Ὄνομα πόλεως, καὶ ὄνομα [b] θεᾶς.

Νῆσος:

Νηστεία: Ἐκ τοῦ νηστεύω. Καὶ νήστιμος, ἡ

C τῆς νηστείας ἡμέρα.

Νῆστις: Ὁ ἄσιτος· καὶ τὸ μεταξὺ τῆς [c] κοιλίας καὶ τοῦ στομάχου ἔντερον· παρὰ τὸ νη στερητικὸν μόριον, καὶ τὸ [d] ἔδειν, ἢ παρὰ τὸ νη στερητικὸν, καὶ [e] τὸ σῖτος.

[f] Νῆστίς θ', ἣ δακρύοις γε πικροῖς νωμᾷ βρότειον γένος.

Τὸ ὕδωρ λέγων.

D

ΝΗΠΙΕΗ] Sic mss. Paris. At priores editt. minus recte νηπείη. Voce autem hac usus est Homerus Il. υ'. 411. Δὴ τότε νηπιέῃσι ποδῶν ἀρετὴν ἀναφαίνων. Scholiasta: Νηπιέῃσιν: Ἀφροσύναις, ἀνοίαις. KUST.

[k] Φίλιππος ὁ Μακεδὼν, πολλοὺς ἀνελ.] Idem de Philippo refert Polybius in Excerptis a Valesio editis, p. 118. Non tamen hæc inde sumpsisse videtur Suidas. KUST.

[l] καταλείπει] Addunt h. l. edd. Θηριῶδες ἴσως τοῦτο. Δοκεῖ γὰρ παραινεῖν ἡβηδὸν τοὺς ἐχθροὺς κτείνειν. Sed absunt hæc ab A.B.V.E. De versu proverbiali vide Victorium ad Aristot. Rhet. I. 15, 14. II. 21, 11.

[m] Νήπιοι, οὐδ' ἴσασιν ὅσῳ πλ.] Est versus Hesiodi in Ἔργοις. Confer Platonem de Republ. V. p. 463. et Nostrum supra v. Ἡμίσεια. KUST.

[n] καὶ ἃ ἔχει ἀποβάλλει] ἀποβάλλει καὶ ἃ ἔχει A. Prov. Vat. III. 3.

ΝΗΠΟΙΝΙ] Vid. Schol. Platon. p. 236.

[o] Αἰτιώτατος δὲ] δὲ om. A.

[p] αὐτῶν] αὐτὸν B.E.

[q] Νήπιος, μωρὸς] μωρὸς om. A.B.V. Habet E. in marg.

[r] Ἀριστοφάνης Νεφέλαις] Ver. 866.

[s] ἔστ' ἔτι] ἔτι om. A.B.E. cum nonnullis mss. Aristoph.

[t] κρεμαθρῶν—τῶν ἐνθάδε] κρεμάθρων—τῶνδε A.V.

ΝΗΡΗΙΔΑΣ] Νηρίδας A.

[u] Σοφοκλῆς] Œdip. Colon. 719.

[x] ἀκόλουθος] ἀκόλουθοι A.V.E. ἀκόλουθον M. Ald.

ΝΗΡΗΙΣ] H. gl. om. A. qui habet tamen in marg. εὐθ Νηρηΐς καὶ κατὰ συγκοπὴν νηρ ὥσπερ etc. V. præbet, Νηρῆς: ἡ εὐθεῖα νηρηΐς καὶ κατὰ συναίρεσιν Νηρῆς.

ΝΗΡΗΙΝΗ] Νηρηΐνοι V. Post Νήριον delevi cum A.V. Ἴσως ὁ Νηρίτης, ὑποκοριστικῶς· ἵνα ᾖ ἐκ τοῦ Νηρός. Ὅθεν ὁ Νηρίτης εἴη, καὶ τὸ Νηρίον. ΝΗΡΙΣ: Πόλις Μεσσήνης.

[y] κόχλος] Sequentia, Ἐκ τοῦ νέω, νῶ, τὸ κολυμβῶ, ΝΗΡΟΣ, ἰχθύς. Καὶ ΝΗΡΟΣ ΜΥΧΟΣ παρὰ Λυκόφρονι, (896. ubi νειροῖς μυχοῖς) ὁ κοῖλος, ἡ κάθυγρος. Καὶ ἐκ τοιαύτης παραγωγῆς, ὁ νηρίτης. Εἰ γὰρ ἦν κατά τινας ἐκ τοῦ Νηρεὺς, διὰ διφθόγγου ἂν εἶχε τὴν παραλήγουσαν ὁ νηρίτης, delevi cum A.V.

[z] Ὄρος] Sequentia, Ἔστι καὶ ΝΗΡΙΤΟΣ ὝΛΗ, ἡ δασυ-

H τάτη· πρὸς ἣν οὐκ ἂν ἑτέρα ἐρίσοι. ΝΗΡΙΚΟΝ δὲ ἐν τῷ κ', ὃ καὶ Ἀκτορικὸν, τόπος Ἠπείρου ἐν Ὀδυσσείᾳ· ἢ ὕστερον Λευκάς., delevi cum A.V. Ad verba Ὃ καὶ Ἀκτορικὸν notavit Kusterus: "Scribe, ἢ καὶ Ἀκτὴ καθ' Ὅμηρον. Referenda " enim hæc sunt ad locum illum Homeri Odyss. ω'. Οἷος " Νήρικον εἷλον ἐϋκτίμενον πτολίεθρον, Ἀκτὴν Ἠπείροιο, Κεφαλ- " λήνεσσιν ἀνάσσων. Confer etiam Stephanum Byzantium " v. Νήρικος."

[a] Ἥτις καὶ νῆττα λέγεται Ἀττικῶς] καὶ νῆττα A. Sequuntur in edd. Δυσαύλης ὄνομα συνῴκησε τῇ Βαβοῖ, καὶ ἔσχε παῖδας Πρωτονόην τε καὶ Νῆσσαν. Quæ leguntur supra v. Δυσαύλης. Omittit A. sed agnoscunt alii mss. In V. præfigitur ὍΤΙ.

[b] θεᾶς] Delevi ΝΗΣΙΔΟΣ δὲ, τὸ ὑποκοριστικόν. Ἐν Ἐπιγράμ-

E ματι· Ἀκταίης νησῖδος ἀλιξάντοισι χοιράσι, cum A.V. Vid. supra v. Ἀλιξάντοις. Ceterum pro Νησὶς δὲ B.E. habent νησῖδος, et νησῖδος in Epig.

ΝΗΣΟΣ] Delevi Ἐκ τοῦ νῶ, νήσω. Ἢ οἷον ἐγκολυμβῶσα ὕδατι. Ἤ, φασὶ, καὶ ὡς ἀπὸ τοῦ ὀρνέου τῆς νήσσης, καθ' ὁμοιότητα. Ἐντεῦθεν ΝΗΣΙΤΗΣ, καὶ κατὰ πλεονασμὸν, ΝΗΣΙΩΤΗΣ, ὡς ἀγροιώτης. ΝΗΣΩΠΗ. Νῆσος Λέσβου, τὸν Σίγρην, φασὶ, λιμένα ποιοῦσα, cum A.V. Ceterum pro Νησιώπη dedi Νησώπη cum B.E. Mox B. Σίγριν. Steph. Byz. Σίγριον.

[c] κοιλίας] νηστείας V.

F [d] ἐσθίειν] ἔδειν A.B.V. Statim addit ὁ ἐστερημένος τοῦ ἔδειν A. ὁ νῆστις ὁ ἄσιτος καὶ τὸ μεταξὺ τῆς νηστείας ὁ ἐστερημένος τοῦ ἔδειν V.

[e] τὸ σιτίον] τὸ σῖτος A.B.V. τοῦ σιτίου E.

[f] Νῆστίς θ', ἡ δακρύοις γε πικρ.] Est fragmentum Empedoclis, sed mendosum; quod apud Sextum Empiricum, et Pseudo-Heraclidem in Allegoriis Homericis, [c. 24.] rectius sic legitur: Νῆστίς θ', ἢ δακρύοις τέγγει κρούνωμα βρότειον. Hinc Suidam emendabis. Apud Laërtium in Em-

G pedocle idem fragmentum sic legitur: Νῆστίς θ', ἢ δακρύοις ἐπιπικροῖ ὄμμα βρότειον. Sed et ibi rescribendum est, uti apud Suidam rescribendum esse monuimus, τέγγει κρούνωμα βρότειον. Ceterum, per νῆστις Empedoclem intellexisse *aquam*, Laërtius loco laudato expresse monet: a quo interpretationem illam Suidas mutuatus esse videtur. KUST. Empedocles ap. Sext. Empir. VIII. 2. Diogen. Laërt. VIII. 2, 12. Νῆστίς θ', ἢ δακρύοις ἐπιπικροῖ ὄμμα βρότειον, leg. δακρυόεσσά τ' ἐπικρούνωμα βρότειον. Νῆστις dea quædam Sicula ap. Eustath. Il. τ. Legendum autem est ap. Plu-

H tarch. Plac. Philos. I. 3. Νῆστίς θ', ἢ δακρύοις τέγγει κρούνωμα βρότειον, *et Nestis lacrymis humanos quæ rigat alveos*. Nestis et humanorum canalium nomine intelligi ait Plut. semen et aquam. Athenag. Apolog. pro Christian. Ζεὺς ἀργὴς, Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεὺς, Νῆστίς θ', ἣ δ. τ. κ. β. εἰ τοίνυν Ζεὺς μὲν τὸ πῦρ, Ἥρα δὲ ἡ γῆ, καὶ ὁ ἀὴρ Ἀϊδωνεὺς, καὶ τὸ ὕδωρ Νῆστις. Vid. ibi annot. p. 187. et 188. REINES.

Νήτη: Χορδὴ μουσικὴ, ὀξὺν φθόγγον ἀποτελοῦσα. A

Νὴ τήν: Μὰ τήν.

Νὴ τὴν ἱερὰν κεφαλήν: Τὸ νὴ [g]κατωμοτικόν ἐστιν ἐπίρρημα, τουτέστι, μεθ' ὅρκου βεβαιωτικόν· ὥσπερ τὸ μὰ [h]ἀπωμοτικὸν, μεθ' ὅρκου ἀρνητικόν. Νὴ τὸν, καὶ ναὶ μὰ τόν. Κατωμοτικὰ ταῦτα. Ἀπωμοτικὰ [i]δὲ, Μὰ τὸν Δί', [k]οὐ μὰ τόν. Ὥστε ἐσχάτη ἀκυρολογία τὸ λέγειν, Μὰ τὸν Δία [l]ποίησον. B

Νῆτον: [m]Δυϊκὸν ῥῆμα.

Νῆτρον: Τὸ [n]κλωστήριον.

Νῆυς: Ἡ ναῦς.

Νηφάλεος: Ὁ [o]σώφρων.

Νηφάλια ξύλα: [p]Τὰ μὴ ἀμπέλινα, μήτε σύκινα, μήτε μύρσινα· ἐκεῖνα γὰρ οἰνόσπονδα λέγεται.

C Νηφάλιος θυσία: Παρὰ Ἀθηναίοις ἐτελεῖτο Μνημοσύνῃ, Ἠοῖ, Ἡλίῳ, Σελήνῃ, Νύμφαις, Ἀφροδίτῃ Οὐρανίᾳ· ὥς φησι Πολέμων. Καὶ ξύλα δὲ νηφάλια, τὰ μὴ ἀμπέλινα, μήτε σύκινα, ἀλλὰ τὰ ἀπὸ τῶν θύμων. Καὶ πρώτη ἐστὶν αὕτη [q]ὕλη πρὸς τὰς ἐμπύρους θυσίας· παρ' ὃ καὶ [r]τοὔνομά φασι λαβεῖν τὸν θύμον, ὡς παρὰ τὴν [s]θυμίασιν καὶ τὴν θυὴν πεποιημένης τῆς φωνῆς. Εἰσὶ δέ τινες τοπαράπαν ἄσπονδοι θυσίαι, D κατὰ τύχην εἰς ἔθος παρελθοῦσαι. [t]Σοφοκλῆς·

> Οὐ γὰρ ἄν ποτε
> πρώταισιν [u]ὑμῶν ἀντέκρυσ' ὁδοιπορῶν,
> νήφων ἀοίνοις.

Πρὸς τὰς Εὐμενίδας λέγων, [[x]αἳ ἄοινοι λέγονται, ὡς A ἀεὶ νήφουσαι, καὶ [y]μὴ μέθην παρέχουσαι. Τοῦτο δὲ διὰ τὸ τῆς θείας δίκης ἄϋπνον.]

Νηφάλιοι θυσίαι: Ἐν αἷς οἶνος οὐ σπένδεται, ἀλλὰ ὕδωρ μελίκρατον.

Νηφαλισμός: Ἡ προσοχή.

Νῆφε: Γρηγόρει.

[z]Ἀλλ' ἔστιν αἴτιον, [a]τὸ μὴ πρόχειρον ὑπάρχειν τὸ παρ' Ἐπιχάρμῳ καλῶς εἰρημένον·

> Νῆφε, καὶ μέμνησ' ἀπιστεῖν· ἄρθρα ταῦτα τῶν φρενῶν. B

Νήχεται: Κολυμβᾷ.

Νήχυτος [b]ἔρως:

Νία: Τὰ σχοινία.

Νίβα: Χιόνα. Καλεῖται δὲ οὕτως καὶ κρήνη ἐν Θρᾴκῃ.

Νίγερ: Ὄνομα κύριον.

Νίγλαροι: Τὰ τερετίσματα καὶ περίεργα [c]κρούματα. C [d]Κροῦμα δέ ἐστι καὶ μέλος μουσικὸν παρακελευστικὸν ὁ νίγλαρος.

Νιγρῖνος: Ὄνομα κύριον. [e]Καὶ Νῖγρος.

[Νιδάριον: Παρὰ Πέρσαις τὸ πρὸς [f]τῇ κεφαλῇ προσείλημα· ὃ δὴ παρ' Ἀθηναίοις καλεῖται [g]κρώβυλος· παρὰ δὲ Κυπρίοις, κορδύλη· ὡς Κρέων ἐν τῷ πρώτῳ τῶν Ῥητορικῶν.]

D Νίδες: Αἰδοῖα, ἢ [h]ὀρχίδια παιδίων. Σικελοί.

Νίζε: Νίπτε.

Νίζει: Ῥύπτει, πλύνει, [i]νίπτει, κλύζει, ἀποσμήχει.

Νικαγόρας, Μνησαίου ῥήτορος, Ἀθηναῖος, σοφιστής. Γέγονε δὲ κατὰ Φίλιππον τὸν Καίσαρα.

---

ΝΗ ΤΗΝ: Μὰ τὴν.] In Photio editum, Νήτην: μάτην. Sic et Hesych. ubi vid. not. Delevi statim Ἐλλειπτικόν. E Κατὰ τὸ, ΜΑ ΤΟΝ, καὶ ΜΑ ΤΑΣ, cum A.V.

[g] κατομωτικὸν] κατωμοτικὸν A.V.E. et infra.

[h] ἀπομωτικὸν] ἀπωμοτικὸν A.V.E. et infra.

[i] δὲ ταῦτα] ταῦτα om. A.V.E. Photius.

[k] ΟΥ] οὐ μὰ τὸν A.V. ἀπομοτικὰ δὲ οὐ μὰ τὸν Δία Photius.

[l] ποιήσω] ποίησον A.V. Photius.

[m] Δυϊκὸν ῥῆμα] τὸ γβ A. τὸ δυϊκὸν B.E. Deest gl. V.

[n] κλωστήριον] κλω . . . . A.

[o] σώφρων] Delevi statim, καὶ νηφαλέα, θηλυκόν cum A.V. F

[p] Τὰ μήτ'] τὰ μὴ A.B.V.E. cum Photio, Hesychio, Diogenian. VI. 76. App. Vat. II. 100. Post λέγεται delevi Ὡς καιόμενα, ὅτε μὴ ὕδωρ, ἀλλὰ οἶνος σπένδεται, cum A.V.

ΝΗΦΑΛΙΟΣ ΘΥΣΙΑ: Παρὰ Ἀθην.] Ex Schol. Sophocl. Œdip. Colon. 100.

[q] ἡ ὕλη] ἡ om. A.B.V. Mox ἐμπείρους V.

[r] τοὔνομά φασι] φασι om. A.

[s] θυσίαν] θυμίασιν A.B.V.E. Schol. Soph.

[t] Σοφοκλῆς] Œdip. Colon. 98.

G [u] ὑμῖν] ὑμῶν A.V.C.

[x] αἳ ἄοινοι] Seqq. non agnoscunt A.V. et debent deleri.

[y] μὴ μέθην παρέχουσαι] Cum Porto legere malim, μὴ μέθης μετέχουσαι, i. e. quæ nunquam inebriantur, sed omnis temulentiæ expertes sunt. KUST. Leg. μέθῃ χαίρουσαι. TOUP. Ad literas propius μέθῃ προσέχουσαι.

[z] Ἀλλ' ἐστὶν αἴτιον, τὸ μὴ πρόχ.] Hæc sunt verba Polybii lib. XVII. c. 30. [XVIII. 23, 4.] quæ etiam repetuntur infra v. Πρόχειρος. KUST.

[a] τὸ μὴ] τοῦ μὴ A.B.V.E. edd. ante Kuster. Mox τῶν H ante φρενῶν om. A.B.E. edd. ante Kuster.

ΝΗΧΥΤΟΣ] Vide Scholiastam Apollonii Rhodii ad lib. III. 530. KUST.

[b] ἜΡΩΣ] Immo εὐρὼς, ut in Fr. (Callimachi) 313. Πέδιλα, τὰ μὴ πύσε νήχυτος εὐρώς. RUHNKEN. Ep. Crit. p. 177. Delevi statim Ἐπιτατικὸν κἀνταῦθα τὸ νῆ, cum A.V.

ΝΙΑ] Est vox procul dubio spuria, et ex σχοινία, per abjectionem syllabæ primæ, detorta. Solet enim interdum Grammaticus noster miro stupore voces dimidiatas pro integris in serie sua ponere: ut Ἄλα, pro Οὔδαλα, Ἀκῖτιν, pro Δονακῆτιν, Νῖτιν, pro Γυναικωνῖτιν, et alia hujus generis plura. KUST. An Νήϊα? Sic dici possunt funes nautici. HEMST.

ΝΙΒΑ] Confer Nostrum infra v. Νίφα. KUST. Delevi mox ΝΙΒΙΣ: Πόλις Αἰγύπτου, cum A.V.

[c] κρούματα] κρούσματα Photius.

[d] Κροῦμα δέ ἐστι καὶ μ.] Ex Schol. Aristoph. Acharn. 553. Tum delevi ΝΙΓΡΗΤΕΣ: Ἔθνος Λιβυκόν, cum A.V. δὲ om. A.V.

[e] Καὶ ΝΙΓΡΟΣ om. A.

ΝΙΔΑΡΙΟΝ: Παρὰ Πέρσ.] Confer Nostrum supra v. Ἐγκεκορδυλημένος, ubi eadem leguntur. Ceterum, videndum, annon vox νιδάριον corrupta sit ex κιδάριον, quod est diminutivum a κίδαρις. Vide Hesychium v. Κίδαρις. KUST.

ib. ΝΙΔΑΡΙΟΝ—ΚΟΡΔΥΛΗ A. in marg. qui reliqua om.

[f] τῇ κεφάλῃ] τῇ om. B.V. Tum κεφαλὴν V.

[g] ΚΡΩΒΥΛΟΣ] Κρώβυλον B.E. om. V.

ΝΙΔΕΣ] Sic etiam Photius in Lexico ms. At Hesychius νίδες. KUST.

[h] ὀρχείδια] ὀρχί^δδ A. ὀρχί^δ V.E. Mox Σικελοὶ om. V.

ΝΙΖΕ] Deest gl. V.

[i] νίπτει addidi cum A.B.E. et Photio. ῥίπτει V.E. pro ῥύπτει.

ΝΙΚΑΓΟΡΑΣ] Hujus Nicagoræ mentionem facit Philostratus lib. II. de Sophist. in vita Aspasii extrema: et ipse Suidas supra v. Μαΐωρ, et v. Μινουκιανός. Confer etiam Jonsium de Script. Hist. Phil. lib. III. c. 14. KUST. Porphyr. apud Euseb. Præp. X. p. 464. A. HEMST. Pater Minuciani, vid. supra Μινουκιανός. Æqualis Apsinæ vid. supra Μαΐωρ.—Νικαγόραν τὸν Ἑρμῆν ἐπικληθέντα suscepisse Alexandrum M. rejectis Aristotelis libris habet Alexinus in colloquio Alex. cum patre Philippo: Aristocles l. 7. de philosophia ap. Euseb. P. E. XV. 2. REINES.

[k]Βίους ἐλλογίμων, Περὶ Κλεοπάτρας τῆς ἐν Τρωάδι, [l]Πρεσβευτικὸν πρὸς Φίλιππον τὸν Ῥωμαίων βασιλέα.

Νίκανδρος, Ξενοφάνους, Κολοφώνιος· κατὰ δέ τινας, Αἰτωλός· ἅμα γραμματικός τε καὶ ποιητὴς καὶ ἰατρὸς, γεγονὼς κατὰ τὸν νέον Ἄτταλον, ἤγουν τὸν τελευταῖον, [m]τὸν Γαλατονίκην, ὃν Ῥωμαῖοι κατέλυσαν. Ἔγραψε Θηριακὰ, Ἀλεξιφάρμακα, Γεωργικὰ, [n]Ἑτεροιουμένων βιβλία πέντε, Ἰάσεων συναγωγὴν, [o]Προγνωστικὰ δι' ἐπῶν· μεταπέφρασται δὲ ἐκ τῶν Ἱπποκράτους Προγνωστικῶν· Περὶ χρηστηρίων πάντων βιβλία τρία· καὶ ἄλλα πλεῖστα ἐπικῶς.

Νικάνωρ, ὁ Ἑρμείου, Ἀλεξανδρεὺς, [p]γραμματικὸς, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ Καίσαρος, ὅτε καὶ Ἕρμιππος ὁ Βηρύτιος. [q]Περὶ στιγμῆς τῆς παρ' Ὁμήρῳ, καὶ τῆς ἐξ αὐτῶν διαφορᾶς ἐν τῇ διανοίᾳ, Περὶ στιγμῆς τῆς καθόλου, βιβλία ἓξ, Ἐπιτομὴν τούτων, βιβλίον ἓν, Περὶ στιγμῆς τῆς παρὰ Καλλιμάχῳ, Κωμῳδούμενα, Περὶ ναυστάθμου, Περὶ τοῦ ὦναξ, Περὶ στιγμῆς· [r]καὶ ἄλλα.

Νικάνωρ: Τρεῖς γεγόνασι Νικάνορες· ὁ μὲν υἱὸς Βαλάκρου· ἕτερος δὲ, Παρμενίωνος· ἄλλος δὲ [s]Σταγειρίτης τὸ γένος· οὗ καὶ Ὑπερίδης μνημονεύει ἐν τῷ κατὰ [t]Δημοσθένους.

Νικασία: Νησίδιον πλησίον Νάξου.

Νικᾷ τὸν ὀνηλάτην: Πρὸς τὸν μὴ ἀκούοντα νουθετοῦντος, ἀλλ' ἑαυτὸν [u]προϊέμενον εἰς ἀπώλειαν.

Νίκαια: Ὄνομα πόλεως Βιθυνίας· ἐν ᾗ [x]παραρρεῖ καὶ ποταμὸς Φάρνουτις λεγόμενος.

B Νίκαια: Αἰσχίνης ἐν τῷ περὶ τῆς [y]Παραπρεσβείας. Ἔστι δὲ πόλις Λοκρίδος ἐπιθαλαττίδιος.

Νικαίην: [z]Νίκην.

Νίκη: Ἡ τοῦ πολέμου.

Νίκη Ἀθηνᾶ: Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας. Ὅτι δὲ Νίκης Ἀθηνᾶς ξόανον ἄπτερον, ἔχον ἐν μὲν τῇ δεξιᾷ [a]ῥοιὰν, ἐν δὲ τῇ εὐωνύμῳ κράνος, [b]ἐτιμᾶτο παρ' Ἀθηναίοις, δεδήλωκεν Ἡλιόδωρος ὁ περιηγητὴς C ἐν πρώτῳ περὶ Ἀκροπόλεως.

Νικήτας καὶ Νικήτης ὀνόματα κύρια.

Νικήτας: Ὄνομα κύριον.

Νικήτης: Ὄνομα κύριον.

[c]ὍΤΙ Ἡρακλείδης ὁ Λύκιος σοφιστὴς ἔφη· Νικήτης ὁ κεκαθαρμένος ἀγνοήσας ἀκροθίνια πυγμαίων κολοσσῷ [d]ἐφαρμόζειν.

---

k Ἔγραψε Βίους] Ἔγραψε om. A.V.

l Πρεσβευτικὸν] Πρεσβυτικὸν A.

ΝΙΚΑΝΔΡΟΣ] De eo et ejus scriptis vide Vossium in opere de Hist. Gr. KUST.

m τὸν Γαλατονίκην] Vide Valesium ad Excerpta Constant. p. 19. KUST.

n Ἑτεροιουμένων] Sic recte habet unus ms. Paris. At in duobus aliis [sic A.] legitur, ἑταιροιουμένων, voce leviter corrupta. Editt. Mediol. et Ald. [et E.] habent, ἑταιρειουμένων, quod longius a vera lectione recedit. At editt. Basil. et Genev. pejus, ἑταιρουμένων; quod Portus verterat, *De meretricio more viventibus:* haud sane Apolline dextro. Tam falsum enim est, poëma istud Nicandri de eo argumento scriptum fuisse, quam verum est, poëtam in eo egisse de corporibus in alias formas mutatis; ut Ovidius in Metamorphosibus. Hujus rei facile fidem faciat Antoninus Liberalis, qui in Metamorphosibus suis plures fabellas de hominibus transformatis ex Nicandri Ἑτεροιουμένοις narrat. Vide Vossium de Hist. Gr. et Janum Rutgers. Var. Lect. lib. II. c. 18. qui de mendo, quo in prioribus editt. Suidæ locus hic fœdatus est, lectores recte etiam monuerunt. KUST. Vid. Jungerman. ad Polluc. V. 39.

o Προγνωστικὰ δι' ἐπῶν] Aratum ἐν τοῖς ἰατρικοῖς citat Pollux I. p. 89. An Nicandrum nominare voluit? Aratus enim non scripsit ἰατρικά. REINES.

ΝΙΚΑΝΩΡ] De eo vide Vossium in opere de Hist. Gr. KUST.

p γραμματικὸς om. A.

q Ἔγραψε περὶ] Ἔγραψε om. A.V.

r καὶ ἄλλα] Delevi statim Ἐφ' ᾗ πραγματείᾳ σκωπτόμενος πρός τινων Στιγματίας ἐκαλεῖτο· οὐ γὰρ δήπου ὡς δοῦλος οὕτως ἐσκώπτετο, cum A.V. quæ habet E. tantum in margine.

ΝΙΚΑΝΩΡ: Τρεῖς γεγ.] Ex Harpocratione. KUST.

s Σταγειρίτης] Conjunx Pythiadis, filiæ Aristotelis, familiaris Aristotelis, Laërt. V. 1. et Sext. Emp. adv. Mathem. c. 16. REINES.

t Δημοσθένους] Δημοσθένην V.

ΝΙΚΑΣΙΑ] Deest gl. V.

u προϊέμενον] προιέμενος E. Statim delevi ΝΙΚΑΤΟΡΙΣ: Πόλις Συρίας, κτίσμα Σελεύκου τοῦ Νικάτορος, cum A.V. Quæ sumpta sunt ex Steph. Byz.

x καὶ παραρρεῖ] παραρρεῖ καὶ A.E.

y παραπρεσβείας] τῆς παραπρεσβείας A. Phot. Harp. Tum τῆς Λοκρίδος Phot. Harp. Post ἐπιθαλαττίδιος delevi Βοττιαίων D ἄποικος. Αὕτη κληθεῖσα καὶ Ἀντιγόνεια. Παρωνόμασται δὲ Νίκῃ τῇ τοῦ Λυσιμάχου γυναικί. Ἄλλως δὲ ὁμωνυμεῖ, εἴπερ ἐκείνη ἐκαλεῖτο Νίκαια. Ἔστι δὲ καὶ Ἰλλυρὶς Νίκαια, καὶ Ἰνδικὴ, καὶ Κύρνου τῆς νήσου, καὶ Λευκτρικὴ, καὶ Κελτῶν, καὶ Λοκρῶν Ἐπικνημιδίων, καὶ περὶ Θερμοπύλας, καὶ Θρᾴκην. Ἄνδρες ἐξ αὐτῆς πολλοὶ λόγου ἄξιοι. Ἐθνικὸν αὐτῆς Νικαιεὺς, καὶ Νικαεύς. Εἰ δ' ἐστὶ, φασὶ, Νικαῖος, παροξύνεται ἡ ῥηθεῖσα. Νικαία γὰρ, cum A.V. Quæ debentur Stephano Byzant. Kusterus: "Ethnico-"graphus habet ἀγκώρη."

E z Νίκην] νίκην σχοίην V.

ΝΙΚΗ Ἀθηνᾶ] Ex Harpocratione. Minerva autem hæc Victrix eadem erat, quæ et Πολιὰς et Πολιοῦχος dicebatur. Sophocles Philoct. 134. Νίκη τ' Ἀθηνᾶ Πολιὰς, ἣ σώζει μ' ἀεί. Scholiasta: Ἡ Πολιοῦχος Ἀθηνᾶ Νίκη καλεῖται ἐν τῇ Ἀττικῇ. Vide etiam Ulpianum ad Orat. Demosth. contra Timocratem p. 266. Nostrum infra v. Ὑγεία: Harpocrationem v. Ταμίαι, et ibi Valesium. KUST. Vid. Meurs. Att. Lectt. I. 20. REINES.

a ῥοιὰν] ῥοὰν Phot. Harpocr. ms. Pal. qui mox κράτος F pro κράνος.

b ἐτιμᾶτο] ἐτιμᾶτο· ὅτι δ' ἐτιμᾶτο Harpocr.

ΝΙΚΗΤΑΣ—κύρια] Sic A.V. Statim delevi ΝΙΚΗΤΑΣ: Ὄνομα Δωρικόν. Οὕτω καὶ Φιλήτας, καὶ φιλήτης κατὰ Δωριεῖς. Βαρύνεται δὲ ἄμφω τὰ κοινὰ πρὸς διαστολὴν ἐπιθέτων τοῦ, ὁ νικητὴς, καὶ ὁ φιλητὴς, cum A.V.E.

c Ἡρακλείδης ὁ Λύκιος σοφ.] Hæc negligenter admodum excerpta sunt ex Philostrato, apud quem in vita Nicetæ extrema, p. 513. locus hic recte sic legitur: Τὸν δὲ ἄνδρα G τοῦτον (i. e. Νικήτην) Ἡρακλείδης ὁ Λύκιος σοφιστὴς διορθούμενος, ἐπέγραψε Νικήτην τὸν κεκαθαρμένον. Ἠγνόησε δὲ ἀκροθίνια πυγμαῖα κολοσσῷ ἐφαρμόζων. Hanc lectionem in versione secutus sum. Vide etiam supra v. Ἀκροθίνια, et v. Ἡρακλείδης, ubi eadem leguntur: ut et Pearsonius recte observaverat. KUST. Ista sunt e Philostrat. Vit. Soph. I. Nicetes, pater Herodis irenarchi Smyrnæ, qui Polycarpum A. C. 169. comprehensum combussit, Euseb. H. E. IV. 14. Chron. Alex. Ol. 235. Baron. T. II. Ann. e litteris Smyrn. Eccles. ad Ecclesias Ponti de martyrio Polycarpi. H Orator, dictus sacerdos Nicetes, quem Plin. sec. audivit et Scopelianus, vid. Plin. Ep. VI. 6. et Quintil. de Oratoribus c. 15. REINES. Hæc A. in marg. Delevi statim ΝΙΚΗΦΟΡΙΟΝ: Οὕτω φασὶν ἐκαλεῖτο ἡ περὶ Ἔδεσσαν Κωνστάντεια, cum A.V. Sumpta sunt ex Steph. Byz.

d ἐφαρμόζει] ἐφαρμόζειν A.V.

Νικίας, [e]Ἀθηναίων στρατηγός. Οὗτος [f]Κύθηρα τὴν νῆσον εἷλε, καὶ περὶ τῆς Σπάρτης εἰς φόβον κατέστησε Λακεδαιμονίους, ὡς καὶ φρουρὰν αὐτοὺς ἐν τῇ πόλει καταστῆσαι. Εἰρήνην δὲ [g]πεντηκονταέτη ταῖς πόλεσιν ἐπρυτάνευσεν· ἦν γὰρ εἰρηνικὸς, ὡς καὶ [h]δειλὸς εἶναι διὰ τοῦτο νομίζεσθαι. Ἡ δὲ εἰρήνη ἑβδόμῳ ἔτει διαλύεται, λύσαντος αὐτὴν Ἀλκιβιάδου. Στρατεύει δὲ ἐπὶ Σικελίαν σὺν Ἀλκιβιάδῃ, καὶ ἡττηθεὶς, καὶ νόσῳ νεφρίτιδι συσχεθεὶς, ἔγραψε πρὸς Ἀθηναίους, ἢ τὴν οὖσαν μεταπέμψασθαι δύναμιν, ἢ ἑτέραν ἀποστέλλειν. Καὶ [i]ἀπέστειλαν ὑπὸ στρατηγῷ Δημοσθένει, ὃς καὶ αὐτὸς ἡττήθη. Καὶ οἱ μὲν ἔφυγον· οἱ δὲ στρατηγοὶ ἐζωγρήθησαν. [k]Καὶ γὰρ διωχθέντες ἑάλωσαν. Νικίας [l]δὲ καὶ Δημοσθένης αἰχμάλωτοι ἤχθησαν· [m]ἀπέκτειναν δὲ αὐτοὺς οἱ Σικελοί.

Νικόλαος, Μύρων τῆς Λυκίας, ὁ διάπυρος τῶν Χριστιανῶν καὶ ζηλωτὴς [n]καὶ ἱερεὺς, ὁ πολλὴν ἔχων πρὸς τὸν Θεὸν παρρησίαν. [o]Οὗτος οὐκ ἔγραψε μὲν, ἐν ὀνείροις δὲ ἐπιστὰς τῷ βασιλεῖ Κωνσταντίνῳ, καὶ τρεῖς [p]στρατιώτας ἔκ τινος διαβόλου κατακριθέντας τὴν ἐπὶ θανάτῳ ἐρρύσατο, παράκλησιν δι' εὐχῆς παρ' αὐτῶν δεξάμενος. Καὶ ἄλλους δέ τινας στρατιώτας ὁμοίως ἐκ θανάτου ἐξήρπασε· καὶ οὐ παύεται μέχρι τῆς σήμερον τοὺς τὴν πρεσβείαν αὐτοῦ ἐπικαλουμένους ἀπὸ πάσης ἀνάγκης λυτρούμενος.

Νικόλαος Δαμασκηνὸς, γνώριμος [q]Ἡρώδου, τοῦ τῶν Ἰουδαίων βασιλέως, καὶ Αὐγούστου Καίσαρος, φιλόσοφος Περιπατητικὸς, ἢ Πλατωνικός. Ἔγραψεν Ἱστορίαν καθολικὴν [r]ἐν βιβλίοις ὀγδοήκοντα· καὶ τοῦ βίου Καίσαρος ἀγωγήν. Οὕτως δὲ [s]ἠσπάσατο αὐτὸν ὁ Καῖσαρ, ὡς τοὺς ὑπ' ἐκείνου πεμπομένους [t]πλακοῦντας [[u]τῷ Καίσαρι, ἤγουν μελιττούτας,] Νικολάους [x]αὐτὸν καλεῖν. Καὶ διαμένει τοῦτο ἄχρι τῆς σήμερον. Ἔγραψε καὶ περὶ τοῦ ἰδίου βίου, καὶ τῆς ἑαυτοῦ ἀγωγῆς.

[y]Οὗτος [ὁ Νικόλαος ὁ Δαμασκηνὸς] ἐν τῇ ἄλλῃ παιδείᾳ [z]τεθραμμένος, διὰ τὸ καὶ τὸν πατέρα αὐτοῦ περὶ ταῦτα μάλιστα σπουδάσαι, ἐπειδὴ ἀπ' [a]αὐτῆς αὐτῷ ὅ τε πλοῦτος καὶ ἡ δόξα [b]ὑπεγένετο, ἔτι μᾶλλον ηὔξησε ταύτην, ἐρωτά τινα ἀδιήγητον [c]αὐτῆς σχών· ἄλλως τε καὶ φύσεως οὐ φαύλης λαβόμενος· ὥστε, πρὶν γενειᾶν, εὐδόκιμος εἶναι ἐν τῇ πατρίδι, καὶ [d]τῶν ἡλίκων διαφέρειν. Γραμματικῆς τε γὰρ οὐδενὸς [e]χεῖρον ἐπεμεμέλητο, καὶ δι' αὐτῆς, ποιητικῆς πάσης· αὐτός τε τραγῳδίας ἐποίει, καὶ κωμῳδίας εὐδοκίμους· [f]ἔτι δὲ μᾶλλον ὕστερον αὐξηθεὶς, ὥστε καὶ τὴν δύναμιν συναυξῆσαι ῥητορικῆς τε καὶ μουσικῆς καὶ τῆς περὶ τὰ μαθήματα θεωρίας καὶ φιλοσοφίας [g]πάσης. Ζηλωτὴς γὰρ Ἀριστοτέλους γενόμενος, καὶ τὸ ποικίλον τῆς περὶ τὸν ἄνδρα παιδείας ἀγαπήσας, χάριν εἰδέναι πᾶσιν ἔλεγεν ἀεὶ τοῖς μαθήμασι, πολὺ μὲν ἔχουσι τὸ [h]ἐλευθέριον, πολὺ δὲ τὸ χρήσιμον εἰς τὸν βίον, πάντων δὲ μάλιστα τὸ εὐδιάγωγον πρός τε νεότητα καὶ γῆρας. Ἔλεγε δὲ καὶ τὰς Μούσας [i]ἄρα διὰ τοῦτο πολλὰς ὑπὸ τῶν θεολόγων παραδεδόσθαι, ὅτι πολὺ τὸ ποικίλον [k]ἔχει τὰ παιδεύματα, καὶ πρὸς πᾶσαν βίου χρῆσιν οἰκεῖον· καὶ οὔτε τὴν ἐμπειρίαν αὐτῶν, οὔτε τὴν ἀπόλειψιν ὁμοίως ὑπελάμβανεν εἶναι τῇ τῶν βαναύσων τεχνῶν, ἀλλὰ τοὐναντίον ἐπονείδιστον τοῖς μετρίως ζῶσι τήν τε τούτων ἄγνοιαν καὶ τὴν τῶν βαναύσων ἐπιστήμην. Οὗτος μὲν οὖν οὐκ ἔστιν ὅτῳ τῶν παιδευμάτων πρὸς ἀργυρισμὸν ἐχρήσατο, οὐδὲ ἐκαπήλευσεν.

ΝΙΚΙΑΣ] Nicerati filius, Diodor. p. 115. Ol. 89. Diod. XII. p. 116. REINES.

[e] Ἀθηναῖος] Ἀθηναίων A.V.

[f] Κύθηρα] Sic recte habent mss. Paris. At priores editt. male, Κίθηραν. KUST. Κύθειρα A. ὁ Νικίας Κύθηραν V.

[g] ὀκτὼ ἔτη ταῖς] πεντηκονταέτη V. Thucyd. V. 18.

[h] δειλὸς εἶναι] Vid. Aristoph. in eum scomma ap. Plutarch. p. 528. c. 8. et p. 533 et 534. REINES.

[i] ἔπεμψαν] ἀπέστειλαν A.B.V.

[k] καὶ γὰρ] γὰρ om. A.B.V.E.

[l] δὲ καὶ] δὲ om. V.

[m] ἀπέκτειναν δὲ αὐτοὺς οἱ Σικ.] Vide Thucydidem lib. VII. c. penult. KUST. Seqq. ΝΙΚΙΟΥ: Κώμη περὶ Αἴγυπτον. Ταύτης ὁ οἰκήτωρ Νικιώτης, delevi cum A.V. Sumpta sunt ex Steph. Byz.

ΝΙΚΟΛΑΟΣ, Μύρων] Acta S. Nicolai vid. in ms. Barocc. 174. f. 220 b. necnon 234 f. 139.

[n] καὶ ἱερεὺς] καὶ om. A.V.

[o] Οὗτος om. V.

[p] στρατιώτας] Sic habet ms. A. At reliqui mss. et priores editt. στρατηλάτας: quod non placet. KUST. Sic B.V.E.

ΝΙΚΟΛΑΟΣ Δαμασκηνός] De eo vide Vossium de Hist. Gr. p. 177. KUST. Adde Clinton. F. H. III. p. 550.

[q] Ἡρώδου] Ἡρωδίου V.

[r] ἐν βίβλ. Ὀγδοήκοντα] Imo, libris 124. auctore Josepho: vel, 140. secundum Athenæum. Vide Vossium loco laudato. KUST.

[s] ἠσπάζετο] ἠσπάσατο A.B.V.E. ὁ ante Καῖσαρ om. A.E. αὐτὸν om. B.

[t] πλακοῦντας] Alii non de placentis, sed dactylis, sive fructu palmæ idem narrant. Vid. Meurs. Exercit. Crit. part. II. lib. I. c. 12. et eundem in notis ad Hesych. Illustr. p. 168. KUST. Immo palmularum fructus. Vid. Grotii Epp. p. 257. et 278. Νικόλαος δὲ πράξεων μὲν οὐ μεγάλων αὐτουργὸς γέγονε· γνώριμος δ' ἔστι μᾶλλον διὰ τοὺς ὑπὲρ αὐτῶν λόγους. Julian. Ep. ad Themist. p. 489. Simplicius ad Epicteti Enchirid. c. 37. Nic. Damascenum περὶ τῶν ἐν τοῖς πρακτικοῖς καλῶν (de interiore pulchritudine, de officiis) scripsisse dicit. Medicum fuisse dicit Phil. Pi. Post. p. 10. de quo dubito: ecquis enim ejus rei testis? [Cf. Fabric. Bibl. Gr. IX. p. 683. Harl.] Vid. de eo Victorium XXV. 13. qui ejus etiam esse librum de Mundo, Aristoteli inscriptum, docet. Cf. Joseph. XVI. 11. REINES.

[u] τῷ Καίσαρι, ἤγουν μελιττούτας] Hæc verba desunt in optimo ms. A. quæ proinde ut glossema expungenda puto. KUST.

[x] αὐτὸν] αὐτὰς E.

[y] Οὗτος ὁ Νικόλαος ὁ Δαμασκηνὸς——οὐδὲ ἐκαπήλευσεν] Hæc omnia sumpta esse ex Nicolai Damasceni libro, quem ipse scripsit περὶ τοῦ ἰδίου βίου, καὶ τῆς ἑαυτοῦ ἀγωγῆς, verisimiliter conjicit Valesius: quem vide ad Excerpta Historica a se edita, p. 62. 63. KUST. ὁ Νικόλαος om. A.B. ὁ Δαμασκηνὸς om. V.

[z] διατεθραμμένος] τεθραμμένος A.V. Mox μάλιστα om. A.

[a] αὐτῆς] αὐτοῦ V.

[b] ἐπεγένετο] ὑπεγένετο A.B.V.E.

[c] αὐτῆς] ταύτης A.

[d] τῶν ἡλίκων] τὴν ἡλίκων A.V.

[e] χεῖρον ἐπεμεμέλητο] χείρων ἐπεμέλητο V. χ. ἐπεμεμέλειτο M. Mox δι' αὐτὴν B.V.E.

[f] ἔτι δὲ] δὲ om. A.

[g] ἀπάσης] πάσης A. Statim delevi ἐπεμελεῖτο cum A.B.V.E.

[h] ἐλευθέριον] ἐλεύθερον V.

[i] ἄρα διὰ τοῦτο] διὰ τοῦτο ἄρα V.

[k] ἔχει] ἔχειν A.

[l] Ἔφη δὲ Νικόλαος, ὁμοίαν εἶναι τὴν ὅλην παιδείαν ἀποδημίᾳ. Ὡς γὰρ ἐν ταύτῃ [m] προσσυμβαίνει τοῖς ἀποδημοῦσι καὶ μακρὰν [n] ὁδὸν διεξιοῦσιν, ὅπου μὲν ἐγκατάγεσθαί τε καὶ [o] ἐναυλίζεσθαι μόνον, ὅπου δὲ [p] ἐναριστᾶν, ὅπου δὲ πλείους ἐνδημεῖν ἡμέρας, ἐνίους δὲ τόπους ἐκ παρόδου θεωρεῖν, ἐπανελθόντας μέντοι ταῖς ἑαυτῶν ἐνοικεῖν ἑστίαις· οὕτω καὶ διὰ τῆς ὅλης παιδείας διερχομένους δεῖν ἐν οἷς μὲν [q] ἐπιτηδεύμασιν ἐπὶ πλέον ἐνδιατρίβειν, ἐν οἷς δ' ἐπ' ἔλαττον· καὶ τὰ μὲν B ὅλα, τὰ δὲ ἐκ μέρους, τὰ δὲ ἄχρι στοιχειώσεως [r] παραλαμβάνειν, καὶ τὸ ἐκείνων χρήσιμον κατασχόντας ἐπὶ τὴν ὡς ἀληθῶς πατρῴαν ἑστίαν [s] ἀνελθόντας φιλοσοφεῖν.

Νικόλαος, ῥήτωρ, γνώριμος Πλουτάρχου καὶ Πρόκλου. Πλουτάρχου δὲ λέγω, τοῦ ἐπίκλην Νεστορίου. Ἔγραψε Προγυμνάσματα, καὶ Μελέτας ῥητορικὰς, καὶ ἄλλα τινά. C [t] Ἤκμαζεν ἐπὶ Λέοντος βασιλέως τοῦ πρεσβύτου, καὶ ἕως Ζήνωνος καὶ Ἀναστασίου.

Νικόλαος, Μύρων τῆς Λυκίας, ἀδελφὰς [u] Διοσκορίδου γραμματικοῦ, [[x] καὶ Ἱππάρχου,] καὶ Ὑπάτου [y] καὶ Πατρικίου· σοφιστεύσας καὶ αὐτὸς ἐν Κωνσταντινουπόλει, μαθητὴς γεγονὼς [z] Λαχάρους. Ἔγραψε Τέχνην ῥητορικὴν, καὶ Μελέτας.

Νικόμαχος Ἀλεξανδρεὺς, τῆς Τρωϊκῆς, τραγικὸς, D γράψας τραγῳδίας ἕνδεκα, ὧν καὶ αἵδε· [a] Ἀλέξανδρος, [[b] ἢ] Ἐριφύλη, [c] Γηρυόνης, Ἀλετίδης, [d] Εἰλείθυια, Νεοπτόλεμος, Μυσοὶ, [e] Οἰδίπους, Περσὶς, [[f] ἢ] Πολυξένη, A Τριλογία, Μετεκβαίνουσαι, Τυνδάρεως, ἢ Ἀλκμαίων, Τεῦκρος.

Νικόμαχος, Ἀθηναῖος, τραγικός· ὃς παραδόξως Εὐριπίδην καὶ Θέογνιν ἐνίκησε. Τῶν δραμάτων [g] ἐστιν αὐτοῦ, Οἰδίπους.

Νικόμαχος Σταγειρίτης, φιλόσοφος, υἱὸς μὲν Ἀριστοτέλους τοῦ φιλοσόφου, μαθητὴς δὲ [h] Θεοφράστου· ὡς δέ τινες, καὶ παιδικά. Ἔγραψεν [i] Ἠθικῶν βιβλία B ἕξ· καὶ περὶ τῆς Φυσικῆς Ἀκροάσεως τοῦ πατρὸς αὐτοῦ.

Νικόμαχος ἰατρὸς, καὶ αὐτὸς Σταγειρίτης, Μαχάονος τοῦ Ἀσκληπιοῦ υἱός· ἐξ οὗ κατήγετο Νικόμαχος, ὁ πατὴρ Ἀριστοτέλους [k] τοῦ φιλοσόφου, καὶ αὐτὸς ἰατρός. Ἔγραψεν Ἰατρικῶν βιβλία ἕξ· καὶ Φυσικῶν ἕν.

Νικομήδεια: Πόλις. Καὶ [l] Νικομηδὶς ναῦς.

C Νικόπολις, [m] καὶ Νικοπολίτης, ὁ ἀπὸ τῆς αὐτῆς πόλεως.

Νικοσθένης: Ὄνομα κύριον.

Νικόστρατος, [n] Μακεδὼν, ῥήτωρ. [o] Ἐτάχθη δὲ ἐν τοῖς κριθεῖσιν [p] ἐπιδευτέροις δέκα ῥήτορσι· σύγχρονος Ἀριστείδου καὶ Δίωνος τοῦ Χρυσοστόμου· ἦν γὰρ ἐπὶ Μάρκου Ἀντωνίνου τοῦ βασιλέως. Ἔγραψε D [q] Δεκαμυθίαν, Εἰκόνας, Πολυμυθίαν, Θαλαττουργοὺς, καὶ ἄλλα πλεῖστα· καὶ Ἐγκώμια εἴς τε τὸν Μάρκον, καὶ ἄλλους.

Νικόστρατος, κωμικός. Τούτου μέμνηται Ἀθή-

---

[l] Ἔφη δὲ Νικόλαος, ὁμοίαν εἶναι τ.] Hæc, et quæ sequuntur usque ad finem articuli, αὐτολεξεὶ etiam leguntur in Excerptis a Valesio editis, p. 417. 418. unde ea Suidas descripsit. KUST. Immo sumpsit Valesius a Suida. E

[m] συμβαίνει] προσσυμβαίνει A.B.E. edd. ante Kuster.

[n] ὁδὸν διεξιοῦσιν] ὁδὸν om. B.E. Tum ἐξιοῦσιν E.

[o] ἐναυλίζεσθαι] ἐπαυλίζεσθαι A.

[p] ἐναριστᾶν] ἀριστᾶν E.

[q] ἐπιτηδεύμασιν] ἐπιτηδεύματα A.V.

[r] παραλαμβάνειν] περιλαμβάνειν V.

[s] ἀνελθόντας] ἐλθόντας V.

[t] Ἤκμαζε δὲ] ἤκμαζεν A. Eudocia.

ΝΙΚΟΛΑΟΣ] Hujus Nicolai mentio fit apud Marinum in Vita Procli, c. 10. KUST. Vid. Boissonadii notas p. F 87.

[u] Διοσκουρίδου] Διοσκορίδου A. Eudocia.

[x] καὶ Ἱππάρχου] καὶ ὑπάρχου E. et ni fallor B.V. om. A.

[y] Πατρικίου] καὶ Πατρικίου A.B.

[z] Λαχάρους] Λαχάρου V.

ΝΙΚΟΜΑΧΟΣ] De Nicomachis vide Meursium in notis ad Nicomachi Geraseni Harmonices Enchiridion, quod una cum Aristoxeni Elementis Harmonicis, et Alypii Isagoge Musica ab eo editum est Lugd. Batav. 1616. G KUST. Meursii Opp. t. VI. p. 426.

[a] Ἀλέξανδρος] Τάξανδρος A. ταέξανδρος E.

[b] ἢ] Hæc particula deest in ms. A. KUST. et V.

[c] Γυριόνης] Γηρυόνης A.B.V.

[d] Εἰλήθυια] Ελλείθυια A.V.E.

[e] Οἰδίπους] Abundat hoc drama, et pertinet ad Nicom. Athen. REINES.

[f] ἢ Πολυξένη] ἢ om. A.V.

[g] αὐτοῦ ἐστιν] ἐστιν αὐτοῦ A.E.

[h] Θεοφράστου] Νικόμαχος inserit V.

[i] Ἠθικῶν] Ἠθικὰ V.

ΝΙΚΟΜΑΧΟΣ Σταγ.] Vid. Menag. ad Diogen. Laërt. VIII. 88. V. 35. p. 303. Davis. ad Ciceron. de Finibus V. 5. HEMST.

ΝΙΚΟΜΑΧΟΣ ἰατρὸς] Vid. Menag. ad Diog. Laërt. V. 1.

[k] τοῦ φιλ.—ἰατρὸς om. E.

[l] ΝΙΚΟΜΗΔΙΣ] Vid. supra v. Ναῦς. Mox desunt ΝΙΚΟΜΗΔΗΣ: Ὄνομα κύριον. Ζήτει ἐν τῷ περὶ ἈΦΥΗΣ, A.V.

E [m] ὄνομα πόλεως: Ὁ πολίτης Νικοπολίτης] καὶ Νικοπολίτης ὁ ἀπὸ τῆς αὐτῆς πόλεως A.V.

ΝΙΚΟΣΤΡΑΤΟΣ Μακ.] Nicostratus librum scripsit de Musico fratre Rhythmonii, Orphei et Idomeneæ nymphæ Maricæ filio: Auctor fragmenti, quod cum Censorino adhuc editum c. 10. Ea nomina Vossius in ed. Lugd. an. 1650. putat esse commenticia. Menander rhetor lib. II. de Genere Demonstrativo de stilo Nicostrati judicium fecit. Ait autem dictionem Xenoph. Nicostrati, Dion. Chrysost. et Philostrati ejus, qui imagines et heroica F scripsit, ἁπλουστέραν esse et ἀφελεστέραν. Ita leg. pro ἀσφαλεστέραν, ut legit Vossius. Conf. Voss. de Hist. Gr. p. 420. REINES. Meminit Philostrat. de vit. Sophist. II. 32. p. 624, 15. ubi vid. Olear. Schol. Lucian. ex Mark. Cod. ad lib. περὶ ὀρχ. ubi de Lesbonacte p. 943 B. Hujus intelligo τὸ βιβλίον τὸ Νικοστράτειον quod ad se mitti petit Synesius Ep. 128. p. 264 B. Hermogen. περὶ Ἰδ. II. p. 396. 507. Vid. Vales. ad Euagr. Hist. Eccl. p. 450, 30. HEMST.

G [n] Μακεδών] Sic habent mss. Paris. At priores editt. minus recte, Μακεδόνων. KUST.

[o] Ἐτάχθη δὲ ἐν τοῖς κριθεῖσιν ἐπὶ δευτέροις δέκα ῥήτ.] Ex hoc loco constat, duplicem olim fuisse apud Græcos oratorum celebrium decadem, priorem et posteriorem; quod etiam discimus ex Epigrammate Leontii Scholastici, Anthol. lib. III. p. 412. ubi Chiridius vocatur, Εἰκὼν ῥητήρων τῆς προτέρης δεκάδος. Vide ad eum locum Brodæum. KUST. Plura Jacobsius Animadv. Anthol. t. XI. p. 202.

[p] ἐπὶ δευτέροις] ἐπιδευτέροις ut ἐπιδευτέρων supra v. Ἀριστομένης H Meinekius Quæst. Scen. Spec. 2. p. 48. Suidas infra v. Ὅμηρος Ἀνδρομάχου, συνηριθμήθη τοῖς ἑπτὰ, οἳ τὰ δευτερεῖα τῶν τραγικῶν ἔχουσι.

[q] Δεκαμυθίαν, Εἰκόνας, Πολυμυθίαν] Εἰκόνας, Πολυμυθίαν, καὶ Δεκαμυθίαν V.

ΝΙΚΟΣΤΡΑΤΟΣ Κωμικὸς] Ejus meminit Schol. Euripid. Phœn. 1017. REINES. Vid. v. Ταραντινίδιον, ubi frag-

ναιος ἐν [r] β΄. Δειπνοσοφιστῶν. Λέγει δὲ ὅτι δράματα αὐτοῦ ἐστι, [s] Πάνδαρος, [t] ὃς καὶ Ἄντυλλος· [u] ὃς καὶ Φιλεταίρου δοκεῖ εἶναι· καὶ Ἱεροφάντης, καὶ [x] Κλεινή. Ἔτι δὲ Ἄβρα, καὶ Ἡσίοδος, καὶ Διάβολος, καὶ Ἀντερῶσα, καὶ Ἑκάτη, Μάγειρος, [y] Ὦτις, Πλοῦτος, Σύρος, Ἀπελαυνόμενος, Ψευδοστιγματίας, καὶ Τοκιστής. [z] Ταῦτα ἐν παραθήκῃ εὗρον κείμενα.

Νικόφρων, Θήρωνος, Ἀθηναῖος, κωμικὸς, σύγχρονος Ἀριστοφάνους τοῦ κωμικοῦ. Τῶν δραμάτων αὐ- B τοῦ καὶ ταῦτα· Ἐξ ᾅδου ἀνιὼν, [b] Ἀφροδίτης γοναὶ, Πανδώρα, [c] Ἐγχειρογάστορες, Σειρῆνες.

Νικοχάρης, [d] Φιλωνίδου τοῦ κωμικοῦ, Ἀθηναῖος, κωμικὸς, σύγχρονος [e] Ἀριστοφάνους. Τῶν δραμάτων αὐτοῦ, Ἀμυμώνη, Πέλοψ, Γαλάτεια, Ἡρακλῆς γαμῶν, [f] Ἡρακλῆς χορηγὸς, Κρῆτες, Λάκωνες, Λήμνιαι, Κένταυροι, Χειρογάστορες.

C Νικῴεν καὶ νικῴη: [g] Εὐκτικά.

[Νικῶ αἰτιατικῇ· νικῶμαι δὲ γενικῇ.]

Νίκων: Οὗτος [h] πὺξ καὶ πάλην καὶ παγκράτιον καὶ δρόμον καὶ τἄλλα ἐν Ὀλυμπίᾳ, καὶ Νεμέᾳ, καὶ [i] Ἰσθμοῖ, καὶ ἄλλοις ἀγῶσι νικήσας, ἔλαβε στεφάνους, ὥς φασι, χιλίους καὶ τετρακοσίους. Ἀπελθόντος δὲ αὐτοῦ ἐξ ἀνθρώπων, τῶν ἀπεχθανομένων τις [k] ὡς ζῶντι αὐτῷ παρεγένετο ἐπὶ τὴν εἰκόνα αὐτοῦ, καὶ ἐμα- D στίγου αὐτήν· [l] ἐς ὃν πεσοῦσα ἐκείνη, ἠμύνατο τὸν ὑβριστήν. Τοῦ δὲ οἱ παῖδες [m] ἐπεξῄεσαν φόνου ἐπὶ

A τῇ εἰκόνι· καὶ οἱ Θάσιοι καταποντοῦσιν αὐτὴν, κατὰ νόμον Δράκοντος Ἀθηναίου, [n] ὑπερορίζοντος φονεύοντα καὶ τὰ ἄψυχα. Ταύτην δὲ ἡ Πυθία ἔχρησε κακῶς Θασίοις πράττουσιν ἀνενεγκεῖν. [o] Ἀπορούντων δὲ περὶ τῆς ἀναγωγῆς, οἱ ἁλιεῖς τὰ δίκτυα χαλάσαντες ἐπὶ [p] ἰχθῦς, ἀνήνεγκαν τὴν εἰκόνα. [q] Καὶ ἔστησαν αὐτὴν οἱ Θάσιοι ὅθι καὶ πρῶτον ἦν.

Νικτρίς: Ὄνομα τόπου.

B Νίν: [r] Αὐτάς.

[s] Εὐμενίδας ὅ γ' ἐνθάδ' ὢν
εἴποι λεὼς νιν.

[t] Σοφοκλῆς·

Σύ τοι λέγεις [u] νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖ,
τοὔργον, τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.

[x] Καὶ σύ μ' ἐξ ὁδοῦ πόδα
C κρύψον κατ' ἄλσος, τῶνδ' ἕως ἂν ἐκμάθω
τίνας λόγους ἐροῦσι.

Νινετί: Πόλις. Καὶ Νινετίτης, ὁ ἀπὸ τῆς αὐτῆς [y] πόλεως.

Νιόβη: Ὄνομα κύριον.

Νιρεύς: Ὁ καλὸς, καὶ εὔμορφος.

Νίσα: Πόλις. Καὶ Νισαία: Πόλις.

Νισαία: Τῆς Μεγαρίδος νεώριον.

D Νίσαιον: Τόπος Περσίδος, ἔνθα ἵπποι ὤκιστοι γίνονται, [z] Νισαῖοι λεγόμενοι. Οἱ δὲ, ὅτι πεδίον μέγα

mentum ex Nicostrato. Libanius de vita sua p. 17. Photius Lex. v. Ὅρμενα. TOUP.

[r] τρίτῳ] β΄. A.B.V.E. p. 47 E. 65 D.

[s] Πάνδαρος] Athenæus, Πάνδροσος. KUST.

[t] ὃ καὶ] ὃς καὶ A.V.

[u] ὃς καὶ Φιλεταίρου] Iidem Nicostratus et Philetærus. Vid. Schol. Platon. Apolog. p. 331. ed. Bekker.

[x] Κλεινή] Athenæus, Κλίνη, i. e. *lectus*. KUST.

[y] Ὦτις] Ὦτης A. An leg. Πατριῶται? Conf. Athenæus XV. p. 700 B. Nullam fabulæ Ὦτις mentionem facit Athenæus, iis, quas enumerat Suidas, addens Πατριῶται, et Βασιλεῖς.

[z] Ταῦτα—κείμενα] Hæc verba in versione omisit Kusterus. Interpretatur Portus: *Hæc in appositione, i. e. in libri margine apposita reperi.* Ego ἐπέχω. Seqq. Καὶ παροιμία· Ἐγὼ ποιήσω πάντα κατὰ Νικόστρατον. Οὗτος κωμῳδίας ὑποκριτὴς ἦν, δοκῶν κάλλιστα ὑποκρίνεσθαι, delevi cum A. V. male repetita ex Ἐγὼ ποιήσω supra p. 1142 B.

ΝΙΚΟΦΡΩΝ] Scribe Νικοφῶν. Sic enim Comicus hic vocatur a Scholiasta Aristophanis, Polluce, Athenæo, et Etymologici auctore. Vide Meursium in Bibliotheca Attica. KUST. Adde Jungerman. Polluc. VII. 33. Meinek. Quæst. Scen. Spec. 2. p. 50.

[b] Ἀφροδίτης γοναὶ] Fabula hæc laudatur a Schol. Aristoph. Av. 82. 1283. itemque a Polluce. KUST.

[c] Ἐγχειρογάστορες] Imo, Χειρογάστορες. Sic enim fabula hæc appellatur a Polluce, Athenæo, et Etymologici auctore. KUST. Schol. Aristoph. Av. 1550. Νικοφῶν ἐν Χειρογαστόρων γέννᾳ.

ΝΙΚΟΧΑΡΗΣ] Vide Meursium in Bibliotheca Attica. KUST.

[d] Φιλωνίδου] Φιλονίδου V.

[e] Ἀριστοφάνους] τοῦ κωμικοῦ addit V.

[f] Ἡρακλῆς χορηγὸς] Ἡρακλῆς om. V.

[g] Εὐκτικά] εὐκτικὸν V. εὐκτικὸν E.

ΝΙΚΩ] Hæc om. Kusterus. et credo abesse ab A.V. Conf. Abresch. Æschyl. III. p. 209.

ΝΙΚΩΝ: Οὗτος π.] Suidas supina negligentia ad Niconem hic refert, quæ apud Pausaniam lib. VI. p. 364. unde articulus hic depromptus est, de Theagene Thasio narrantur. KUST.

[h] πύκτης ἦν· πὺξ οὖν] Πὺξ A.B.V.

[i] Ἰσθμῷ] Ἰσθμοῖ A.V.M. Ἰσθμοῖ E.

[k] ὡς] Particulam hanc nec Pausanias agnoscit, nec E sensus admittit. KUST.

[l] ἐς ὃν] εἰς ὃ A. ἐς ὃ B.V.E.M.

[m] ἐπεξῄεσαν] ὑπεξῄεσαν A. ἐπεξίεσαν M. Tum φόνον B.E.

[n] ὑπερορίζοντος] ὑπερορίζον τὸν V. Mox φονεύοντας edd. ante Kuster.

[o] Ἀπορούντων δὲ] ἀ. δὲ τῶν ἁλιέων A.V. omissis οἱ ἁλιεῖς post ἀναγωγῆς. Tum παρὰ τῆς ἀγωγῆς V.

[p] ἰχθύων ἄγραν] ἰχθῦς A.V. ἄγραν om. B.E. Tum ἀνήνεγκε A.V.

[q] Καὶ ἔστησαν] καὶ om. A.V. Tum οἱ Θάσιοι om. E.

F Sequentia ΝΙΚΩΝΙΑ: Πόλις ἐν τῷ Πόντῳ, πρὸς ταῖς ἐκβολαῖς τοῦ Ἴστρου, delevi cum A.V. Sunt Stephani Byzant.

[r] Αὐτὸν, αὐτὰς] αὐτὸν om. A.V.

[s] Εὐμενίδας ὅγ' ἐνθ.] Sophocl. Œdip. Colon. 43.

[t] Καὶ Σοφοκλῆς] καὶ om. A.V. Sequens locus est Electr. 624.

[u] νιν] νῦν V. Mox ποτ' εἰς A. pro ποιεῖς.

[x] Καὶ σύ μ' ἐξ ὁδ.] Sophocl. Œdip. Colon. 113. Statim delevi cum A.V., ΝΙΝΑΙΑ: Πόλις Οἰνωτρῶν ἐν τῇ μεσογαίᾳ. Ὁ πολίτης ΝΙΝΑΙΟΣ, ἢ ΝΙΝΑΙΕΥΣ. Sunt e Steph. Byz.

G [y] πόλεως] Delevi ΝΙΝΟΗ: Ἡ ἐν Καρίᾳ Ἀφροδισιὰς, οἰκισθεῖσα ὑπὸ Πελασγῶν Λελέγων· διὸ καὶ ἐκλήθη Λελέγων πόλις. Μετὰ δὲ, Μεγάλη πόλις. Εἶτα ἀπὸ Νίνου, Νινόη. Ἐθνικὸν αὐτῆς Νινοήτης. ΝΙΝΟΣ: Πόλις Ἀσσυρίων αὕτη, ἣν ἔκτισε Νῖνος, ἀνὴρ Σεμιράμιδος, ἐν τῇ Ἀτουρίᾳ. Ἐθνικὸν, Νίνιος. Χρῆσις τούτου παρὰ Ἡροδότῳ ἐν τῷ, Κατὰ τὰς Νινίας καλεομένας πύλας, cum A.V. Sumpta sunt e Steph. Byz.

ΝΙΣΑ] Sic A. Νίσα ὄνομα πόλεως, καὶ Νισαία πόλις V.

ΝΙΣΣΑΙΑ] Νισαία A.V. Inter Μεγαρίδος et νεώριον inserit H V. Νειρεὺς ὁ κόχλος. Νηρεὺς ὁ θαλάσσιος. Delevi autem Νισαία δὲ ἐκαλεῖτο καὶ αὐτὴ ἡ Μεγαρὶς ὅλη, ἀπὸ Νίσου τοῦ Πανδίονος. Ἑλλάνικος· Νισσαῖάν θ' εἷλε, καὶ Νίσον τὸν Πανδίονος, καὶ Μεγαρέα τὸν Ὀγχήστιον. Ἤγουν τὸν ἀπὸ Ὀγχηστοῦ. Ἦν δὲ πόλις Βοιωτίας, cum A.V. Sunt e Steph. Byz.

[z] Νισαῖοι λεγόμενοι] Vide Nostrum supra v. Ἵππος Νισαῖος, et quæ ibi notavimus. KUST. Reinesius citat Strabon.

τῆς [a] Μηδικῆς, τῷ οὔνομά ἐστι Νίσαιον. Τοὺς οὖν δὴ ἵππους τοὺς μεγάλους φέρει τὸ πεδίον τοῦτο. Καὶ Νισαῖος, ὄνομα κύριον. Καὶ ὁ πολίτης, καὶ ὁ ἵππος.

Νίσιβις, Νισίβεως. Ὄνομα πόλεως. Καὶ [b] Νισιβηνὸς ὁ πολίτης.

Νισσόμενος: Ἀναστρεφόμενος. Καὶ νίσσοντο, ἀνεστρέφοντο.

Νῖσος: Ὄνομα κύριον.

Νίσῳ δ' ἔλαχεν ἡ Μεγαρίς.

Νιτάριον καὶ Βιτάριον: Ὑποκοριστικὰ πρὸς γυναῖκας. Νιτάριον, οἷον, νεόττιον, τουτέστι, κοράσιον. Σύμμαχος δέ φησιν, [c] Νίταρος πολὺς ἐπὶ μαλακίᾳ ὀνειδιζόμενος, καὶ [d] Βάτος. Καὶ τὰς μικρὰς καὶ θηλείας Βατύλας [e] ἔλεγον· καὶ Θεοπόμπου δρᾶμα ἐστὶ Βατύλη. Οἱ δέ φασιν, εἴδη φυτῶν. Θέλει οὖν εἰπεῖν, ὅτι ὡς ἄνθη [f] με εἶχεν. Ἀριστοφάνης·

C

[g] Καὶ νὴ Δί', εἰ λυπουμένην γ' αἴσθοιτό με,
[h] νιτάριον ἂν καὶ βάττιον ὑπεκορίζετο.

Νιτάριος: Ὄνομα κύριον.

Νιτέρειον: Ἀκρωτήριον.

Νίτωκρις: Ὄνομα [i] κύριον.

Νιτρία: Τόπος.

Νίτρον:

D

Νιφάδες: Σταγόνες.

Νιφετός: Ἡ [k] κατάλεπτος καταφερομένη χιών.

A Τέσσαρές εἰσι [l] πήξεις τῆς ἐν τῷ ἀέρι ὑδατώδους ὑγρότητος· ὑπὲρ γῆν μὲν ἄνω, ἐπ' ἔλαττον μὲν, χιὼν, ἐπὶ πλέον δὲ, χάλαζα· ἐπὶ γῆς δὲ κάτω, ἐπ' ἔλαττον [m] μὲν, πάχνη, ἐπὶ πλέον δὲ, κρύσταλλος· ὁ δὲ νιφετὸς πῆξις οὐκ ἔστιν, ἀλλὰ μᾶλλον περὶ τὴν ἀλλοίαν χροιὰν ἡ ποιότης αὕτη.

[n] Ἅτε τῆς χώρας τῶν Σκυθῶν θαμὰ [o] νιφετῷ παλυνομένης, καὶ ἀδύνατον ὂν αὐτοῖς ἄνευ κρυμώδους καταστήματος βιοτεύειν.

B Καὶ αὖθις·

[p] Ἐς δέ σ', ἄνασσα,
τοίην χὠ νιφόεις κρυμὸς ὀπωροφορεῖ.

Νίφει: Χιονίζει.

Καὶ [q] ἔπεα νιφάδεσσιν ἐοικότα.

Καὶ νιφόμενος, χιονιζόμενος.

Νιφοστιβεῖς: Δίυγροι.

[r] Καὶ γὰρ τὰ [s] δεινὰ καὶ τὰ καρτερώτατα
τιμαῖς ὑπείκει. Τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει.

Νόημα: [t] Ἐφεύρημα.

[u] Τὸ μὲν νόημα τῆς θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν.

Οὕτω γὰρ οἱ δημαγωγοὶ [x] ἀστεϊζόμενοι ἔλεγον τὰς ἑαυτῶν ἐπινοίας τῆς θεοῦ. Ὅτι ἡ μὲν θεὸς ὑπέβαλεν, ἥρπασα δ' ἐγώ.

Νοήμων: Νοήμονος.

Νοητά: [y] Τὰ μὴ αἰσθητὰ, τὰ ἀόρατα.

Νοθεύει: Ἀπατᾷ, [z] ἀπαλλοτριοῖ.

---

XI. p. 525. Eustath. Il. β'. 558. Isid. Charac. σταθμ. παρθ. et Athen. V. 194. conf. v. Λεονάτος.

[a] Μηδικῆς] Sic A.V.C. Μηδείας E.M. Tum τῷ A.B.V. E.M. non ᾧ, et mox οὔνομα V.E.M.

[b] ὁ πολίτης Νισιβηνός] Καὶ Νισιβηνὸς ὁ πολίτης A. Post Νῖσος delevi cum A.V., ΝΙΣΥΡΟΣ: Νῆσος μία τῶν Κυκλάδων· ἡ καὶ Πορφυρὶς, ἀπὸ τῶν ἐν αὐτῇ πορφυρῶν (πορφυρίων B.E.) Σύγκειται παρὰ τὸ νῶ, τὸ νήχομαι, καὶ τὸ σύρω. Ἐπεσύρη (ἐπισύρη B.E.) γὰρ, φασὶ, Πολυβώτῃ τῷ Γίγαντι μέγιστον τμῆμα (κῶμα E. textu) τῆς Κῶ νήσου, χόλῳ Διὸς, πλήξαντος (πνίξαντος E. πνήξαντος B.) Ποσειδῶνος τριαίνῃ· ἣν Ποσειδῶν ἐπ' αὐτὸν ἀφεὶς, τοῦ μὲν ἥμαρτε, τῆς δὲ Κῶ πολύ τι ἀποτεμὼν τῇ βολῇ τῆς τριαίνης, ἐπικατέστρεψε τῷ Γίγαντι τὸ τμηθὲν, καὶ εἰς νῆσον ἀπετέλεσε. Δοκεῖ δὲ πεπλάσθαι ὁ μῦθος παρὰ τὴν ἐγγύτητα τῆς Νισύρου πρὸς τὴν Κῶ, καὶ τὴν ὡς πρὸς ἐκείνην σμικρότητα. φέρει δὲ ἀγαθὸν οἶνον ἡ Νίσυρος.

NITTAPION καὶ BATTION] Ex Scholiasta Aristoph. Plut. 1012. sed ubi legitur Νιτάριον καὶ Βάτιον, per simplex τ. KUST. Νιτάριον et Βιτάριον A.V.

ib. NITTAPION] An a Niteti, filia Apriæ, regis Ægypti, κάρτα μεγάλῃ δὲ καὶ εὐειδεῖ, cujus consuetudine valde delectatus fuit Cambyses, et ab ea ad inferendum bellum Ægyptiis incitatus Athen. XIII. p. 560. e Ctesia, et Herodot. III. init. Alii dicunt Cyro fuisse missam ab Amaside, et ex ea genitum Cambysen. Cf. Phavorin. REINES.

[c] ὅτι Νίτταρος] νίταρος A.V. ὅτι om. M. Tum πολὺς A.B. V.E.M. pro πολύ.

[d] Βάττιος] βάτος A.B.V.E. qui mox addunt καὶ ante θηλείας cum M.

[e] ἐκάλουν] ἔλεγον A.V.

[f] με εἶχεν] με om. A.V.

[g] καὶ νὴ] καὶ om. A.B.V. Mox λυπουμένη A. Tum αἰσθάνοιτο A.V.

[h] νιττάριον ἂν καὶ βάττιον] νιτάριον καὶ βιτάριον A.V. et ni fallor B.

NITEPEION] Post h. v. delevi cum A., NITIN: Πᾶσαν διοχλεῖσθαι γυναῖκα νῖτιν. Ad quæ sic Kusterus: " Νῖτιν] " Inepte et ridicule Suidas partem vocis pro integra voce " lectori hic obtrudit. Νῖτιν enim est tantum cauda vocis " γυναικωνῖτιν, quæ apud scriptorem, unde sequens ῥῆσις " deprompta est, culpa librariorum divisim sic scripta " erat, γυναῖκα νῖτιν. Hæc res decepit Suidam: qui et " alibi non semel in eundem lapidem impegit, dum vel " voces corruptas pro sanis, vel dimidiatas pro integris " lectori exhibet; ut alibi pluribus probavimus."

[i] γυναικός] κύριον A.E.

E NITPON] Ad h. v. E. habet in marg. Σαπού. Vid. Du Cangium in Σάπων. Tum delevi ΝΙΦΑ ΛΕΥΚΗΝ: Ἀπὸ συγκοπῆς ἡ λέξις. ΝΙΦΑΔΑ γὰρ φαμὲν ἐντελῶς, cum A.V. quæ sumpta sunt ex Etymol. M. Κέκροπος B.E. pro συγκοπῆς. Paulo infra omisi cum A.V., ΝΙΦΑΤΗΣ: Ὄρος Ἀρμενίας. Ταύρου πρυμνώρειαν, εὔσκοπελόν τε Νιφάτην. Et hæc ex Steph. Byz.

[k] κατάλεπτος] κατάλεκτος V. κατὰ λεπτὸν Phot. ed.

[l] πήξεις] τάξεις V. Mox ὑδατώδους πήξεως ὑγρότητος A.V.
F Photius. ὑδατώδους om. E.

[m] μὲν] δὲ V.

[n] Ἅτε τῆς] Ex Menandro. [p. 107. ed. Paris.] Vid. v. Παλυνομένης. TOUP. Mox κρυμνώδους V.

[o] παλυνομένης νιφετῷ] νιφετῷ παλυνομένης A. Menand.

[p] Ἐς δέ σ', ἄνασσ.] Anthol. Pal. VI. 252.

[q] ἔπεα νιφ.] Homerus Il. γ'. 222. KUST.

[r] Καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτ.] Sophocl. Aj. 670. KUST. Mox delevi ΝΙΨΑ: Πόλις Θρᾴκης, παρὰ Ἡροδότῳ, ΝΟΑΙ: Πόλις Σικελίας· ἧς ὁ πολίτης, Νοαῖος, cum A.V. Sunt
G ex Stephano Byz.

[s] δεινὰ] δεινότατα V.

[t] Ἐφεύρημα] ἐφεύρεμα A.B.V.E.

[u] Τὸ μὲν νόημα τῆς Θ.] Hæc leguntur etiam infra v. Τὸ μὲν νόημα. KUST. Ex Aristoph. Eq. 1200. Τὸ δὲ ν. V.

[x] ἀστεϊζόμενοι] ἀστιζόμενοι A.

ΝΟΗΜΩΝ νοήμονος] Νοήμονος A.V.

[y] Τὰ μὴ ὁρατὰ, καὶ ἁπλῶς, τὰ μὴ αἰσθητὰ] τὰ μὴ αἰσθητὰ, τὰ ὁρατὰ A.V. τὰ μὴ ὁρατὰ B. τ. μ. ἀ. τὰ ἀόρατα Photius.

H [z] ἀπαλλοτριοῖ] Delevi statim cum A.V., Ζήτει μαρτυρίαν ἀκριβεστάτην τῆς νοθεύσεως τῶν θείων γραφῶν ἐν τῇ τοῦ μακαρίτου Λογοθέτου μεταφράσει, τῇ εἰς τὸ μαρτύριον τοῦ ἁγίου Λουκιανοῦ. Φησὶ γὰρ οὕτως· " Ὁ θεῖος τοίνυν οὗτος Λουκιανὸς καὶ " τὰς ἱερὰς βίβλους ἰδὼν πολὺ τὸ νόθον εἰσδεξαμένας, τοῦ τε " χρόνου λυμηναμένου πολλὰ τῶν ἐν αὐταῖς, καὶ τῆς συνεχοῦς ἀφ' " ἑτέρων εἰς ἕτερα μεταθέσεως, καὶ μέντοι καί τινων ἀνθρώπων

Νοθεία: Ἡ λαθραία γέννα, ἡ πορνεία.

Νοθεῖα: [a]Τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα οὕτω καλεῖται· ἦν δὲ μέχρι χιλίων δραχμῶν. Οὕτω Λυσίας, καὶ Ἰσαῖος, καὶ [b]Ἀριστοφάνης, καὶ Ὑπερίδης, καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους.

Νόθος: Ὁ [c]ξένος.

Νομάδες: Βοσκόμεναι ἀγέλαι. Καὶ ἔθνη Σκυθικά.

> [d]Νομάδεσι γὰρ ἐν Σκύθαις
> [e]ἀλᾶται Στράτων.

Ἀριστοφάνης. Ἐπὶ τῶν παρενοχλούντων [f]καὶ ἐπιμενόντων. Ἐπειδὴ οἱ Σκύθαι τῷ χειμῶνι διὰ τὸ ἀφόρητον αὐτοῦ ἐφ' ἁμαξῶν τὰ πράγματα βάλλοντες, ἀπαιροῦσιν εἰς ἄλλην χώραν. Ὁ δὲ μὴ ἔχων ἐκεῖσε ἅμαξαν, ἄτιμος παρ' αὐτοῖς κρίνεται. [g]Φησὶν οὖν καὶ οὗτος, ἐνοχλούμενος [h]δὲ τοῦτο φησὶ,

> [i]Νόσον νοσοῦμεν τὴν ἐναντίαν Σάκᾳ.

Ἀριστοφάνης. Ὁ δὲ Σάκας οὗτος τραγῳδίας ἦν ποιητής. Οὕτω δὲ ἐκαλεῖτο διὰ τὸ ξένος εἶναι. Ὁ αὐτὸς Ἀριστοφάνης·

> Ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς εἰσβιάζεται·
> ἡμεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι,
> ἀστοὶ μετ' ἀστῶν, οὐ σοβοῦντος οὐδενὸς,
> ἀνεπτόμεσθ' ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν.

Τουτέστι, παντὶ σθένει.

Νομαδίτης: Ὁ ἰδιώτης βίος.

Νομάδων: Ἀγρίων, βαρβάρων· οἱ λεγόμενοι Ἀμαξοφόρητοι, ἢ [k]Ἀμαξόβιοι.

Νομάρχαι: Οἱ κατὰ τέλη τῆς χώρας ἄρχοντες παρ' Αἰγυπτίοις· οἳ ἦσαν ἐπὶ Πτολεμαίου, [l]τοῦ μετὰ Ἀλέξανδρον τὸν Φιλίππου.

Νομᾶς: Ὄνομα κύριον. Ὁ Ῥωμαίων νομοθέτης.

Νομαί: Μερισμοί.

Νομαία: Ἡ ἐκ τῆς νομῆς. [m]Ἐν Ἐπιγράμμασι·

> Καί σοι ἐπιρρέξει [n]χιμάροιο νομαίης
> αἷμα.

Νομεύς: Ποιμὴν, βοσκός.

Νομή: Ὁρμὴ πυρός.

---

" πονηροτάτων, οἳ τοῦ Ἑλληνισμοῦ προεστήκεσαν, παρατρέψαι τὸν " ἐν αὐταῖς νοῦν πειρασαμένων, καὶ πολὺ τὸ κίβδηλον ἐν ταύταις " σπειράντων· αὐτὸς ἁπάσας ἀναλαβὼν ἐκ τῆς Ἑβραΐδος ἀνενεώ" σατο γλώττης, ἣν καὶ αὐτὴν ἠκριβωκὼς ἐς τὰ μάλιστα ἦν, " πόνον τῇ ἐπανορθώσει πλεῖστον εἰσενεγκάμενος." Vid. supra v. Λουκιανός. Operæ autem pretium putavi integrum Metaphrastæ locum, quem ex cod. ms. perantiquo in bibliotheca Collegii Novi custodito (n. 149.) nuper descripsi, hic apponere. Σαμοσάτα πόλις τῆς Συρίας ἐστίν· Εὐφράτης τῇ πόλει παραρρεῖ· πατρὶς ἡ πόλις Λουκιανῷ. Οὗτος τῶν εὖ γεγονότων ἀνὴρ, ὡς ὁ περὶ αὐτοῦ λόγος διδάξει· γεννήτορες Χριστιανοὶ τῷ ἀνδρί· σπουδὴ τοῖς γεννήτορσι Λουκιανὸν ἐκ πρώτης τριχὸς τῇ θεοσεβείᾳ ῥυθμίζεσθαι, καὶ τελευτήσαντες ἄμφω νέον αὐτὸν καταλείπουσιν, ἔτος που δωδέκατον ἄγοντα· ὁ δὲ μόνην ὥσπερ παράκλησιν ἐπὶ τῇ τῶν γονέων ἀποβολῇ τὸν θεὸν εὑρηκὼς, ἔς τινα θεῖον καταφεύγει ναὸν, πάντα τοῖς πενομένοις τὸν πλοῦτον διανειμάμενος. Καὶ παρὰ τὴν πρώτην ἡλικίαν Μακαρίῳ τινὶ τὴν Ἔδεσαν οἰκοῦντι καὶ τὰς ἱερὰς διερμηνεύοντι βίβλους ἀνδρὶ συγγενόμενος, πᾶν ὅ τι κάλλιστον ἐν ταύταις ὑπῆρχεν ἐν ὀλίγῳ χρόνῳ συνέλεξε· καὶ πρῶτα μὲν τῷ τῆς παλιγγενεσίας λουτρῷ προσελθὼν, δι' ὕδατός τε καὶ πνεύματος ἀναγεννηθεὶς, πρὸς τὸν μοναδικὸν ἀπέκλινε βίον· ἔπειτα δόξαν αὐτῷ οἴνου καὶ ὀψοφαγίας εἰς τέλος ἀπέχεσθαι, εὐθὺς ὥσπερ ἐκ πρώτης γραμμῆς πρὸς ἡδονὰς πάσας τὰς τῆς σαρκὸς ἀπεμάχετο, νηστείαις δὲ τυπῶν ἑαυτὸν εἰς ἔθους ἤγαγε πῆξιν κατὰ τὴν ἐνάτην ὥραν ἅπαξ τῆς ἡμέρας σιτίζεσθαι· ἦσαν δὲ καί τινες αὐτῷ ἡμερῶν περίοδοι, ἐν αἷς καὶ ὅλη τοῦτον ἄσιτον εἶχεν ἡ ἑβδομάς· τόν γε μὴν πλείονα τῆς ζωῆς χρόνον προσευχαῖς καὶ δάκρυσιν ἔνεμεν. Εὐτραπελίας μὲν οὖν τοσοῦτον ἀπεῖχε καὶ γέλωτος, ὅσῳ ταῦτα καὶ γελώτων ἀληθῶς ἔκρινεν ἄξια· τοὐναντίον δὲ τοὺς πενθοῦντας καὶ ζηλοῦν ἔσπευδε, καὶ μακαρισμῶν ἀξίους ἡγεῖτο, τὴν δὲ σιωπὴν ἀσπαζόμενος, καὶ τῇ συνεχῇ (συνεχεῖ) μελέτῃ προσκείμενος ἐπὶ συννοίας ὡρᾶτο ἀεὶ, καὶ κατηφείας πλήρης τοῖς παραβάλλουσιν, εἰ καὶ τῷ πνεύματι διαπαντὸς ἐν ἑαυτῷ ἠγαλλιᾶτο, καὶ ἔχαιρεν· εἰ δέ ποτε καὶ ῥῆμα δόξειεν αὐτῷ προέσθαι τοῦ στόματος, αἱ θεῖαι γραφαὶ τὸ λαλούμενον ἦν· τοσοῦτος γὰρ αὐτῷ θεῖος τούτων ἔρως ἐνέσκηψεν, ὡς μὴ δὲ ὕπνου σχεδὸν ἐθέλειν τῇ περὶ ταύτας διηνεκεῖ μελέτῃ μεταλαμβάνειν· εἴποτε δὲ καὶ τὸ σῶμα τὰ μέτρια διαναπαύσειν ἠβούλετο, οὐκ ἄνευ εὐχῆς ἐκτενοῦς, οὐδὲ ἄνευ θερμῶν δακρύων καὶ γονάτων κλίσεως ὕπνου μετεῖχεν. Ἀλλὰ ταῦτα μὲν πρώτην ἔτι καὶ παιδικὴν ἄγοντι τὴν ἡλικίαν τῷ ἁγίῳ κατώρθωτο· ἐπεὶ δὲ ἤδη ταύτην τε ὑπερέβη, καὶ εἰς νεανίσκους τελεῖν ἤρξατο, ἀστασίαστον μὲν τὴν σάρκα τῷ πνεύματι τῇ ἐνεργείᾳ τοῦ ἁγίου πνεύματος παρεστήσατο· τισὶ δὲ τῶν εἰς βρῶσιν λεπτῶν τὸ σῶμα συνίστη, ὡς ἐφ' ἱκαναῖς ἡμέραις ἄρτῳ μόνῳ κεχρῆσθαι, καὶ μὴ δὲ ἄρτῳ ταῖς πλείοσιν, ἀλλά τινι καὶ τούτου πρὸς τροφὴν λεπτοτέρῳ· ὕδωρ δὲ αὐτῷ ποτὸν ἥδιστον· ἔστι δὲ ὅτε καὶ τῆς τοῦ πυρὸς ἀπείχετο χρήσεως· καὶ οὕτως εἰς ἄπαν τῆς κατ' ἄνθρωπον ἀρετῆς ἀφικόμενος, τῶν ἐφ' ἑαυτοῦ τάχιστα πάντων ὑπῆρξεν ὀνομαστότατος. Τῇ οὖν Ἀντιοχέων ἐκκλησίᾳ φέρων ἑαυτὸν δίδωσι, καὶ εἰς ἱερωσύνην προβὰς, διδασκαλεῖον μέγιστον ἐκεῖ συνεστήσατο τῶν ἁπανταχοῦ σπουδαιοτάτων ὡς αὐτὸν ἀλλαχόθεν ἄλλων ἀφικνουμένων. Ἤσκητο δὲ τὴν ὀξυγραφίαν, καὶ τὸ ἐκεῖθεν αὐτῷ ποριζόμενον ἅμα μὲν ἑαυτῷ πρὸς τροφὴν ἅμα δὲ καὶ τοῖς πένησιν ἐχορήγει· καὶ γὰρ εἰ μὴ πρὶν ἢ τροφῆς οὗτος μεταλάβοι ἕτεροι τοῦ ἀπὸ τῶν αὐτοῦ χειρῶν βίου μετάσχοιεν, ἀδικίαν τὸ πρᾶγμα ἐτίθετο. Οὗτος τοίνυν καὶ τὰς ἱερὰς βίβλους ἰδὼν πολὺ τὸ νόθον εἰσδεξαμένας, τοῦ τε χρόνου λυμηναμένου πολλὰ τῶν ἐν αὐταῖς, καὶ τῆς συνεχοῦς ἀφ' ἑτέρων εἰς ἕτερα μεταθέσεως, καὶ μέντοι καί τινων ἀνθρώπων πονηροτάτων οἳ τοῦ Ἑλληνισμοῦ προεστήκεσαν παρατρέψαι τὸν ἐν αὐταῖς νοῦν πειρασαμένων, καὶ πολὺ τὸ κίβδηλον ἐν ταύταις διασπειράντων, αὐτὸς ἁπάσας ἀναλαβὼν, ἐκ τῆς Ἑβραΐδος ἀνενεώσατο γλώττης, ἣν καὶ αὐτὴν ἠκριβωκὼς ἐς τὰ μάλιστα ἦν, πόνον τῇ ἐπανορθώσει ὅτι πλεῖστον εἰσενεγκάμενος. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν καθαρότητα τῶν θείων δογμάτων τίς ἂν ὑφ' ἑτέρου τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων ὑπὲρ τοῦτον εὕροι φυλαττομένην;

[a] Καὶ τὰ τοῖς] Sed tunc scribitur νοθεῖα, et est plurale neutrum. Vide Harpocrationem, ex quo Suidas. KUST. Νοθεία pro καὶ A.C. Photius: Νοθεῖα: [Νόθια ms.] τὰ τοῖς.

[b] Ἀριστοφάνης] Av. 1655. Supra ἦν δὲ καὶ μέχρι A.

[c] ξένος] ὁ ξένος A.V. Vid. Cuper. Obs. T. I. p. 118. Delevi autem cum iisdem ms. Θεῖόν τι τὸ γνήσιον ἐν τοῖς κατ' ἀνθρώπων (κατὰ τῶν Kuster.) τόκοις. Διόπερ ὁ μὴ τοῦτ' ἔχων, νόθος, οἷα ἐστερημένος τοῦ θείου. Παρὰ τὸ νο στερητικόν. Ἐντεῦθεν δὲ νόθα καὶ τὰ ἁπλῶς ξένα μεταφορικῶς.

[d] Νομάδεσι γὰρ ἐν Σκ.] Aristoph. Av. 942. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

[e] Στράτων ἀλᾶται] ἀλᾶται Στράτων A.V.E.M.

[f] καὶ ἐπιμενόντων] Imo, καὶ μὴ ἐπιμενόντων. KUST.

[g] Φησὶν οὖν καὶ οὗτος, ἐνοχλούμενος δὲ τ.] Hæc, et quæ sequuntur usque ad finem articuli, nihil omnino faciunt ad vocem Νομάδες, nec scio quid somniaverit compilator, cum ea huc afferret. KUST.

[h] δὲ τοῦτο] δὲ om. A. Post Σάκᾳ inserui Ἀριστοφάνης cum A.V.

[i] Νόσον νοσοῦμεν τὴν ἐναντ.] Hic, et tres sequentes senarii, leguntur apud Aristophanem Avibus, sub initium. KUST.

[k] Ἀμαξόβιοι] Statim delevi ΝΟΜΑΝΤΙΑ, ἢ καὶ ΝΟΥΜΑΝΤΙΑ, πόλις Ἰβηρίας παρὰ Ἰόβᾳ. ΝΟΜΒΑ: Πόλις Ἰουδαίας, παρὰ Ἰωσήπῳ ἐν Ἀρχαιολογίᾳ, cum A.V. Utramque gl. habet Steph. Byz.

ΝΟΜΑΡΧΑΙ] Vid. not. ad Hesych.

[l] τοῦ] τὸν A.

ΝΟΜΑΙΑ] Vid. vv. Σμήνη, Ἐπιρρέξει. TOUP.

[m] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 157.

[n] χιμάροιο] χιμάρροιο A.E. χειμάροιο M.

[o] Τὴν νομὴν τοῦ πυρὸς ἐνεργὸν συνέβη γενέσθαι καὶ πρακτικήν.

Νομιζόμενα: Νόμιμα, ἢ ὑπολαμβανόμενα. [p] Ἀριστοφάνης·

Οὐκοῦν τὰ νομιζόμενα [q] σὺ τούτων λαμβάνεις.

Ἐπειδὴ νόμος ἦν, [r] τὰ ὑπολειπόμενα τῆς θυσίας τὸν ἱερέα λαμβάνειν· δέρματα, καὶ [s] κωλαί.

Νομίζουσιν: Ἀντὶ τοῦ, νομίσματι χρῶνται. Καὶ νομίζουσιν, ἀντὶ τοῦ, ἡγοῦνται.

Ἥνπερ μεγίστην τιμὴν παρὰ βασιλέως ἐς ἰδιώτας νομίζουσι.

Νόμιον: Δίκαιον. Καὶ νόμιον μέλος, τὸ ἐν τῇ νομῇ ᾀδόμενον.

Νόμισμα: Δύο σημαίνει· [t] τὸ νόμιμον ἔθος· ὡς [u] Ἀριστοφάνης ἐν Νεφέλαις,

Ἡμῖν νόμισμ᾽ οὐκ ἔστι·

καὶ τὸ [x] κόμμα τοῦ τετυπωμένου χαλκοῦ. Λεπτῷ δὲ νομίσματι ἐχρῶντο οἱ Βυζάντιοι.

Νομιστευομένων: [y] Νομίμως διοικουμένων.

Ἐνέβαλε δὲ [z] χρυσοῦς ἐπισήμους, εἴς τινας δὲ τετράδραχμα, [a] τῶν ἐπιφανῶς νομιστευομένων.

Καὶ αὖθις·

Χαλκοῦ τοῦ ἐν Ἀλεξανδρείᾳ νομιστευομένου τάλαντα τετρακισχίλια.

Νομίτωρος: Ὄνομα κύριον.

Νομογράφοι: Παρὰ Ῥωμαίοις [b] τριακοσιοστῷ πρώτῳ ἐνιαυτῷ μετὰ τὸν συνοικισμὸν τῆς πόλεως, παραλυθείσης τῆς τῶν ὑπάτων ἀρχῆς, δέκα νομογράφοι τὴν τῶν κοινῶν ἐπιτρέπονται προστασίαν· οἳ χρόνον δή τινα πρὸς τὸ λυσιτελὲς καὶ ἡδὺ τῶν [c] πολιτῶν ἐξηγούμενοι, μέτριοί τε ἐδόκουν, καὶ ἄρχειν [d] μάλιστα πάντων ἐπιτήδειοι. Οὗτοι γάρ που καὶ τὰς δέκα δέλτους ἐπιχωρίοις τε καὶ Ἑλληνικοῖς νόμοις ἀναγρά- A ψαντες, ἐς τὰς καλουμένας κύρβεις ἀνέθηκαν. Δευτέρῳ δὲ ἔτει τῆς ἡγεμονίας, βαρύτητος τυραννικῆς αἰτίαν ἀπενεγκάμενοι, διελύθησαν, Ἀππίου μάλιστα τὸ πλῆθος εἰς ἀπέχθειαν τῆς δεκαρχίας κινήσαντος· ὃς [e] Οὐεργινίου τινὸς ἀνδρὸς οὐκ ἀσήμου τὰ πολεμικὰ θυγατέρα φθεῖραι παρθένον ἐπενόει, ἔρωτι γεγονὼς θερμῷ τῆς κόρης κατάσχετος· ἣν ὁ πατὴρ αὐτοχειρὶ διεχρήσατο, δείσας τὴν τοῦ Ἀππίου δυναστείαν, αἰ- B σχῦναι τὴν κορὴν πρὸς βίαν ὡρμημένου. Ἐφ᾽ ᾧ κινηθὲν τὸ στρατιωτικὸν ἅπαν ἀφείλετο τοὺς δέκα τὰ τῆς ἐξουσίας, δίκας τε ἀποτῖσαι τῶν κατὰ τὴν ἀρχὴν πεπλημμελημένων ἠνάγκασε.

Νομοθεσία: Θέσις νόμου.

Νομοθέται: Τοπάλαι Μωϋσῆς· μετέπειτα δὲ ὁ [f] Χριστὸς Ἰησοῦς.

Νομοθέται: Παρ᾽ Ἀθηναίοις πρῶτος ἐγένετο Δρά- C κων, καὶ [g] μετ᾽ αὐτὸν Σόλων, καὶ μετὰ τοῦτον Θαλῆς, καὶ μετὰ τοῦτον [h] Αἰσχύλος.

[Νόμοι κιθαρῳδικοί: Ἀπόλλων, φασὶ, μετὰ λύρας κατέδειξε τοῖς ἀνθρώποις νόμους, καθ᾽ οὓς ζήσονται, πραΰνων τε ἅμα τῷ μέλει τὸ κατ᾽ ἀρχὰς ἐν αὐτοῖς θηριῶδες, καὶ εὐπρόσιτον τῇ τοῦ ῥυθμοῦ ἡδύτητι ποιῶν τὸ παραγγελλόμενον· καὶ [i] ἐκλήθησαν νόμοι κιθαρῳδικοί. Ἐκεῖθεν δὲ σεμνολογικῶς, ὡς καὶ Ἀρι- D στοτέλει δοκεῖ, νόμοι καλοῦνται οἱ μουσικοὶ τρόποι, καθ᾽ οὕς τινας ᾄδομεν.]

Νομοΐστορες: Νομομαθεῖς.

[Νομοθετῷ: Δοτικῇ. Καὶ αἰτιατικῇ·

[k] Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου.]

Νομόν: Νομὴν, βοσκήν.

Νόμος καὶ Ἰαννουάριος ἐπιεικίᾳ καὶ δικαιοσύνῃ

E

[o] Τὴν νομὴν τοῦ πυρὸς ἐνεργ.] Polyb. I. 48. KUST.

[p] Ἀριστοφάνης] Plut. 1186.

[q] σὺ τούτων] σὺ om. A.V. Tum λαμβάνοις A.

[r] τὰ ὑπολειπόμενα τῆς θυσ.] Idem Noster docet supra v. Κωλακρέτης. KUST.

[s] κοιλίας] Leg. Κωλᾶς. Vid. Hemsterh. ad Plut. p. 464. TOUP. κωλαὶ V. κλαὶ A. et sic supra v. Κωλακρέτης.

ΝΟΜΙΖΟΥΣΙΝ] Aristid. II. p. 145. Βυζάντιοι σιδήρῳ νομίζουσι. Polyæn. p. 472. ἐξορμηκέναι νομίσας. Leg. νομίσαι, *exire solitos esse*, vel, *pro more exire*. Philo Jud. II. p. 592. ubi male Mangeius. Menander p. 95. νομίζουσι Χριστιανοί. TOUP. Respici putat Dukerus Thucyd. II. 15. ubi νομίζουσιν interpretatur Schol. κατὰ νόμον ποιοῦσιν.

[t] τὸ νόμιμον ἔθος] Hoc sensu vox νόμισμα capitur in oraculo illo, quod Diogeni Cynico redditum fuit, Παραχάραξον τὸ νόμισμα. Mens enim oraculi illius non erat, ut Diogenes putabat, monetam esse adulterandam, sed consuetudinem sive opinionem vulgi. Vide Nostrum supra v. Γνῶθι σαυτόν: et Menag. ad Laërt. lib. VI. 20. KUST.

[u] Ἀριστοφάνης ἐν Νεφέλαις] Ver. 246. Delevi πρῶτον μὲν γὰρ θεοὶ cum A.B.V.

[x] κόμμα] τύμμα Schol. Aristoph. Qui mox λεπτοῖς δὲ νομίσμασι φαίνονται κεχρῆσθαι Βυζάντιοι.

ΝΟΜΙΣΤΕΥΟΜΕΝΩΝ] Νομιτευομένων A.V. et in exemp.

[y] Νομίμως διοικουμένων] Vel interpretatio hæc falsa est; vel saltem nihil facit ad exempla, quæ sequuntur, quippe in quibus τὸ νομιστεύειν significat, nummos cudere, vel signare. Confer Nostrum supra v. Κατανομιστεύσας. KUST. Rem minus adsecutus est vir doctissimus. Verba νόμος, νόμισμα, νομίζειν, νομιστεύειν, tum de *nummis*, tum de *institutis* usurpantur. Νομιστευόμενος χαλκὸς est *nummus legitimus*, νόμιμος, *et usu receptus*. Angl. *current money*. Etymol. Mag. v. Ὀβελίσκος. Πρὸ τούτου γὰρ ὀβελίσκοις τραχέσιν ἘΝΟΜΙΣΤΕΥΟΝ. *Antea enim obeliscis pro nummis legitime utebatur.* Quare utramque vocis significationem non male complexus est Suidas. Sextus Empiricus adversus Grammaticos I. 10. Ὁ δὲ τοῦτο μὲν μὴ παραδεχόμενος, ἄλλο δέ τι καινὸν χαράσσων ἑαυτῷ, καὶ ΤΟΥΤΟ ΝΟΜΙΣΤΕΥΕΣΘΑΙ θέλων, μάταιος καθέστηκεν. Ita legendus iste locus: ubi vide doctissimum Fabricium. Polybius p. 1097. Ἤδη γὰρ κατὰ τὴν Ἑλλάδα τῆς δωροδοκίας ἐπιπολαζούσης, καὶ τοῦ μηδένα μηδὲν δωρεὰν πράττειν, καὶ τοῦ χαρακτῆρος τούτου ΝΟΜΙΣΤΕΥΟΜΕ- F ΝΟΥ παρ᾽ Αἰτωλοῖς, οὐκ ἐδύναντο πιστεύειν διότι χωρὶς δώρων ἡ τηλικαύτη μεταβολὴ γέγονε τοῦ Τίτου πρὸς τὸν Φίλιππον. TOUP.

[z] χρυσοῦς] χρυσοῦ A.V.

[a] τῶν ἐπιφανῶς] τῶν om. A.B.V.E. edd. ante Kuster.

ΝΟΜΙΤΩΡ] Νομίτωρος A.V.E.

[b] τριακοσιοστῷ] τριακόσιοι. τῷ καὶ A.V. τριακόσιοι τῷ B. edd. vett. τριακόσιοι E. ubi om. πρώτῳ—προστασίαν. Kusterus tacite dedit correctionem Porti.

[c] πολιτῶν] πολιτικῶν V.

G [d] μάλιστα πάντων inserunt A.B.V.

[e] Οὐεργινίου] Οὐερηνίου A.B.E.M.

[f] Χριστὸς] Χριστὸς Ἰησοῦς A.

ΝΟΜΟΘΕΤΑΙ: Παρ᾽ Ἀθην.] Vide de hoc loco Bentleium in Dissert. de Phalaridis Epist. p. 371. 372. KUST. Sed vide contra Bentleium disserentem Wesselingium Præf. ad Petiti Legg. Att. p. ii.

[g] μετ᾽] καὶ μετ᾽ A.B.V. μετὰ τοῦτον ante Θαλῆς om. V.

[h] Αἰσχύλος] Αἰσχῦ A.

ΝΟΜΟΙ] Hoc articulo carent A.V. Similia habet Ety- H mol. M. p. 607.

[i] ἐκλήθησαν] ἐκλήθησαν ἐκεῖνα B.E. Juxta finem τινας om. B.

ΝΟΜΟΘΕΤΩ] Gl. om. A.V.

[k] Νομοθέτησόν με, Κύρ.] Psalm. CXVIII. 33. KUST.

ΝΟΜΟΝ] Damascius apud Suid. v. Ἡγίας. HEMST.

ΝΟΜΟΣ καὶ Ἰαννουάριος ἐπ.] Totum hunc articulum ex

τῶν πολιτῶν ὑπερφέροντες, οἶμαι, καὶ τῶν ἄλλων [l]σχε- A δὸν ἁπάντων ἀνθρώπων τῶν γε νῦν ζώντων, καὶ ἐν πράγμασι πολιτικοῖς ἀναστρεφομένων, ἐπῃνοῦντο καὶ ἠγαπῶντο πρός τε ἀστῶν καὶ ξένων. Τῇ τε γὰρ πατρίδι χρησιμώτατοι γεγόνασι, καὶ δεξιώτατοι πρὸς τοὺς ξένους. Ἑλόμενοι [m]δὲ τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον, ἐλαττοῦσθαι μᾶλλον ᾑροῦντο τὰ οἰκεῖα, ἢ πλέον τι ἔχειν ἀπὸ τῶν ἀλλοτρίων. Κοινὰ μὲν οὖν ταῦτα αὐτοῖς· ἰδίᾳ δὲ ὁ μὲν Νόμος εὐφυέστερος ἦν B καὶ φιλομαθέστερος ἐν λόγοις, τοῖς τε φιλοσοφίας ἀπογεύεσθαι βουλομένοις, καὶ ὅσοι προπαιδεύουσι τοὺς νέους. [n]Ἦν δὲ καὶ [o]κριτικώτατος τῶν καθ' ἡμᾶς ἐλλογίμων ἀνδρῶν, ποιημάτων τε πάντων, καὶ συγγραμμάτων τῆς λογογραφικῆς ἀρετῆς καὶ κακίας. Ὡς γοῦν φάναι τὸ ὅλον, οὔτε Σεβηριανὸν, οὔτε [p]Ἀγάπιον τὸν φιλόσοφον εἴποιμι ἂν γενέσθαι τοιούσδε περὶ λόγων κρίσιν. C Ὁ δὲ Ἰαννουάριος ἐμπειροπράγμων ἦν, καὶ φρόνιμος ἐν τοῖς πολιτικοῖς [pp]ἐπὶ πλέον ἢ ὁ ἀδελφὸς αὐτοῦ Νόμος, ἔτι δὲ σωφρονέστερος, καὶ τἄλλα μᾶλλον τεταγμένος.

Νόμος: Ὁ κιθαρῳδικὸς τρόπος τῆς μελῳδίας, ἁρμονίαν ἔχων [q]τακτὴν, καὶ ῥυθμὸν ὡρισμένον. Ἦσαν δὲ ἑπτὰ οἱ ὑπὸ Τερπάνδρου· ὧν εἷς, [r]ὄρθιος, [s]τετράδιος, ὀξύς. [t]Δωριεῖς δὲ ἐπὶ νομίσματος χρῶνται τῇ D λέξει· καὶ Ῥωμαῖοι [u]παρατρέψαντες, νοῦμμον λέγουσιν. Ἀττικοὶ τὰ διανενεμημένα μέρη τῆς γῆς, [x]ὡς καὶ ἐν Αἰγύπτῳ. Καὶ τὸ [y]δίκαιον ἔγγραφον.

Ὅτι [z]Δαρεῖος εἶχε νόμον, τόν τε Φρύγιον καὶ Λύδιον καὶ Ἰωνικόν.

Νομὸς, καὶ ἡ βοσκὴ, καὶ ὁ τόπος.

Νόμος: Θεσμὸς, συνήθεια. [a] Νόμος [b]παρὰ Σοφοκλεῖ, ἡ φύσις τοῦ γεγεννηκότος, καὶ τὸ ἔθος. Νόμος E καὶ ἡ ἱστορία. Ὁ [c]Ἀπόστολος·

Ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε.

A Ὅτι [d]τὸν νόμον σπουδαῖον δεικνύοιμεν ἂν, εἰ ὁρισαίμεθα αὐτὸν, ὀρθὸν λόγον ἐπὶ σωτηρίᾳ [e]τῶν χρωμένων.

Νόμος: Τρία σημαίνει. Ὁ μὲν γὰρ δίχα γραμμάτων διὰ κτίσεως ἐδόθη τοῖς ἀνθρώποις·

[f]Τὸ γὰρ ἀόρατον τοῦ Θεοῦ [g]ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενον καθορᾶται.

Καὶ πάλιν·

B [h]Ὅταν γὰρ ἔθνη, τὰ μὴ νόμον ἔχοντα, [i]φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ [k]ἔχοντες, [l]ἑαυτοῖς εἰσὶ νόμος.

Καὶ ὁ ἐν [m]γράμμασι διὰ Μωσέως τῶν παραβάντων χάριν [n]παρεσχημένος. Καὶ τρίτος, ὁ διὰ τῆς χάριτος·

[o]Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου [p]τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

[Νόμος Ἰουστινιανοῦ. Ζήτει ἐν τῷ Πρίσκος.]

C Νόμος: Πολυώνυμός ἐστιν ἡ λέξις. [q]Καὶ Νόμος μὲν, ὡς τὴν ἀρίστην πολιτείαν ῥυθμίζων καὶ διατάττων. Μαρτύρια δὲ, ὡς τοὺς ἁμαρτάνοντας διαμαρτυρόμενος, καὶ τῆς παραβάσεως τὴν τιμωρίαν ὑποδεικνύς. Δικαιώματα δὲ, ὡς διδάσκων τὸ δίκαιον, καὶ ἀπαγορεύων τὸ ἄδικον, καὶ τοὺς κατορθοῦντας ἀποφαίνων δικαίους. Ἐντολὴ δὲ, ὡς τὸ πρακτέον ἐντελλόμενος καὶ κελεύων δεσποτικῶς. D Κρίματα δὲ, ὡς [r]τὰς ψήφους ὑποδεικνὺς, καὶ διδάσκων, τίνων μὲν ὁ φυλάττων τεύξεται ἀγαθῶν, τίσι δὲ ὁ παραβαίνων τιμωρίαις παραδοθήσεται.

Νόμος κατὰ τὸν Ἀπόστολον σημαίνει τέσσαρα. Ὁ τοῦ Θεοῦ· περὶ οὗ φησί·

[s]Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ.

Καὶ

[t]Ὁ ἀντιστρατευόμενος.

E Τρίτος, περὶ οὗ φησι·

[u]Τῷ νόμῳ τοῦ νοός μου.

Damascio descriptum esse suspicor, vel potius persuasum habeo. KUST. Ista de Nomo videntur e Damascio, qui vitam Isidori philosophi scripsit, et est apud Phot. c. 242., desumta esse. Vid. infra Ὑπατία. Agapium, Severianum et Nomum jungit idem, fortasse Damascius, et F Nomum quidem suum ἡλικιώτην esse ait. Severianus sub imperat. Martiano, Leone, et Zenone fuerat. REINES.

[l] σχεδὸν ἁπάντων καὶ τῶν ἄλλων] καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων A.B.V.E.

[m] δὲ τὸν ] δὲ om. A.V.

[n] Ἦν δὲ] ἦν δὲ καὶ A.V.E.

[o] κριτικώτατος] Vid. infra in Ὑπατία, κριτικοὺς ἄνδρας ἐπίσταμαι τρεῖς. REINES.

[p] Ἀγάπιον] Hic fuit sub Marino post Proclum. Vid. G supra Ἀγάπιος. REINES.

[pp] ἐπὶ πλέον ἢ ὁ. ἀ. α. N. ἔτι δὲ σ.] ἐπιπλέον καὶ σωφρονέστερος, positis ἢ ὁ ἀδελφὸς αὐτοῦ Νόμος post τεταγμένος V.

[q] τακτὴν] ταύτην V. Photius.

[r] ὄρθιος] Vide supra v. Ἀμφιανακτίζειν, et infra v. Ὄρθιος. KUST. ὄρθριος A.

[s] τετράδιος] τετράοιδος Pollux IV. 65.

[t] Δωριεῖς δὲ ἐπὶ νομίσματος] Vid. Mazochium ad Tab. Heracl. p. 216. sq.

[u] παρατρέψαντες] παραστρέψαντες Photius.

[x] ὡς] ὡς καὶ A.B.V.E. Phot.

[y] ἔγγραφον δίκαιον] δίκαιον ἔγγραφον A.V.

[z] Δαρεῖος εἶχε] Legendum puto Δώριον εἶχεν, quamquam ne sic quidem locus videtur persanatus. HEMST.

[a] ΝΟΜΟΣ δὲ] δὲ om. A.

[b] παρὰ Σοφοκλεῖ] Aj. 548. Ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς Δεῖ πωλοδαμνεῖν. Scholiasta: Νόμους τὴν φύσιν ὠνόμασε καὶ τὸ ἔθος τοῦ γεγεννηκότος. KUST.

[c] Ἀπόστολος] Ad Gal. IV. 21.

[d] τὸν νόμον σπουδ.] Ex Alexandro Aphrod. in Topica F Aristot. KUST.

[e] τῶν χρωμένων] τῶν om. B.E.

ΝΟΜΟΣ: Τρία σημαίνει. Ὁ μὲν γ.] Locum hunc Suidas excerpsit ex Theodoreto ad prooemium Psalmi XVIII. ut Pearsonius recte observaverat. KUST.

[f] Τὸ γὰρ] Rom. I. 20.

[g] ἀπὸ κτίσεως κόσμου om. A.B.V.E. τοῦ Θεοῦ addit V. post ποιήμασι.

[h] Ὅταν γὰρ] Rom. II. 14.

[i] φύσει—ἔχοντες om. B.V. οὗτοι—ἔχοντες om. E.

G [k] ἔχοντες] ἔχοντα A.

[l] ἑαυτοῖς] οὗτοι ἑαυτοῖς A.V.E.

[m] γράμματι] γράμμασι A.B.V.E.

[n] κεχαρισμένος] παρεσχημένος A.B.V.E.

[o] Ὁ γὰρ νόμος] Rom. VIII. 2.

[p] τῆς ἁμαρτίας] τοῦ ἁμαρτλ~ V.

ΝΟΜΟΣ Ἰουστ. om. A.

[q] Καὶ ΝΟΜΟΣ μὲν, ὡς τὴν ἀρ.] Et hæc sumpta sunt ex Theodoreto ad eundem Psalm. V. 8. p. 468. ut itidem H Pearsonius observaverat. Confer etiam Nostrum supra v. Δικαιώματα. KUST.

[r] τὰς ψήφους] Theodoretus loco laudato habet, τὰς θείας ψήφους. KUST.

[s] Συνήδομαι] Rom. VII. 22. Mox φόβῳ B.E. pro νόμῳ.

[t] Ὁ ἀντιστρατευόμενος] Rom. VII. 23.

[u] Τῷ νόμῳ τοῦ νοός μου] Rom. VII. 23. KUST.

Τέταρτος, περὶ οὗ λέγει·

[x] Τῷ νόμῳ τῷ ὄντι ἐν τοῖς μέλεσί μου.

[[y] Ὅτι τοὺς τοῦ Σόλωνος νόμους ἌΞΟΝΑΣ Ἀθηναῖοι [z] ἐκάλεσαν, διὰ τὸ ἐγγραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν. Ἦσαν δὲ τετράγωνοι τὸ σχῆμα· κατὰ δέ τινας, μᾶλλον τρίγωνοι.]

**Νόμος καὶ χώρα**: Διὰ τὸ ἕκαστον ἔθνος ἰδίοις νόμοις χρῆσθαι.

**Νομοφύλακες**: Ἀρχή τις παρὰ Ἀθηναίοις οὕτως ἐκαλεῖτο, διαφέρουσα τῶν θεσμοθετῶν, οἵτινες τὰς ἀρχὰς ἐπηνάγκαζον τοῖς νόμοις χρῆσθαι.

**Νομοφυλακείου θύρα**: Δι' ἧς οἱ κατάδικοι τὴν ἐπὶ θάνατον ἐξάγονται.

**Νόνναι**: Τοῦ μηνός. [a] [Αἱ εὐθὺς μετὰ τὰς καλάνδας, ἤγουν [b] περὶ τὴν πρώτην τῆς νουμηνίας· δευτέρα δηλαδὴ τοῦ μηνός. Μεθ' ἃς νόννας αἱ εἰδοί. Δοκοῦσι δὲ παρ' αὐτὰς γενέσθαι αἱ ἀννόναι, ὡς οἷον αἱ ἀνὰ τὰς νόννας διδόμεναι. Ἰστέον δὲ ὡς ἔστι καὶ Νόννος κύριον, Πανοπολίτης, ἐξ Αἰγύπτου, λογιώτατος· [c] ὁ καὶ τὸν παρθένον [d] Θεολόγον παραφράσας δι' ἐπῶν.]

**Νοσηλεύεσθαι**: [e] Νοσεῖν οὐκ ἐπαχθῶς. Καὶ [ee] **νοσηλεύω**, νοσοῦντα θεραπεύω.

**Νοσηλεία**: Ἀσθένεια. [f] **Νοσήλια** δὲ φάρμακα.

**Νοσοκομεῖον**: Ὁ [g] ξενών.

**Νόσον ἔχειν**: Ἀντὶ τοῦ, φαῦλον ἔθος ἔχειν. Εὐριπίδης Ἀντιόπῃ.

**Νόσος λεγόμενον ἐγκατασκῆψαι**: Πρὸς τὸ σημαινόμενον ἡ σύνταξις· πρᾶγμα [h] δηλονότι. Παρὰ Θουκυδίδῃ.

**Νόσος**: [i] Ὅτι πυρεττόντων ἢ ψυχομένων ἐν ταῖς νόσοις ἑαυτῶν αἰσθανόμεθα, οὐκ αὐτῶν τῶν αἰσθητικῶν νεύρων, ἢ τῶν σαρκῶν τεθερμασμένων, ἀλλὰ τῶν ὑγρῶν, αἵματός τε καὶ πνεύματος. Ἐπεὶ οὖν ἡ αἰσθητικὴ δύναμις πρώτως ἐν σαρξίν ἐστι καὶ νεύροις, εἰκότως τῶν ὑγρῶν δυσκράτως ἐχόντων, πνεύματος λέγω καὶ αἵματος, παρακειμένων τε τοῖς αἰσθητικοῖς μορίοις, τῇ θίξει ἀντιλαμβανόμεθα αὐτῶν, ὥσπερ καὶ τοῦ ἀέρος [k] τεθερμασμένου ἢ κατεψυγμένου· κἂν αὐτῶν δὲ τῶν στερεῶν ἅψηται ὁ πυρετὸς, ἐπειδὴ μὴ ὁμαλῶς [l] θερμαίνεται, ἀλλὰ ἀνωμάλως. Εἰσὶ γάρ τινα μόρια κατὰ φύσιν ἔχοντα, τινὰ δὲ παρὰ φύσιν. [m] Οὐ συμβαίνει τὰ κατὰ φύσιν ἔχοντα ἀντιλαμβάνεσθαι τῶν παρὰ φύσιν [n] διακειμένων· ἀδύνατον γὰρ ὁμαλὴν γενέσθαι τὴν δυσκρασίαν. Οἱ δὲ ἑκτικῷ [o] κατεσχημένοι πυρετῷ, τοῦτο δέ ἐστιν, οἱ τὰ στερεὰ πυρέττοντες, ὁμαλῆς γενομένης ἐν αὐτοῖς τῆς δυσκρασίας [p] δι' ὅλων τῶν στερεῶν, συναίσθησιν οὐδεμίαν τῆς ἐν αὐτοῖς θερμασίας λαμβάνουσι, διὰ τὸ ὁμαλὴν εἶναι δι' ὅλων τῶν μορίων τὴν θερμασίαν, καὶ μὴ εἶναι τὸ μὲν ποιοῦν, τὸ δὲ πάσχον.

**Νοσοποιεῖν**:

**Νοσῶ**: Αἰτιατικῇ.

**Νοστήσας**: Ἐπανελθών.

**Νόστος**: Ἡ οἴκαδε ἐπάνοδος· παρὰ τὸ τῆς πατρίδος ἡδύ. [q] Ἢ ἡ ἀνάδοσις τῆς γεύσεως.

Καὶ οἱ ποιηταὶ δὲ, οἱ τοὺς Νόστους ὑμνήσαντες, ἕπονται τῷ Ὁμήρῳ ἐς [r] ὅσον εἰσὶ δυνατοί.

---

[x] Τῷ νόμῳ τῷ ὄντι ἐν τοῖς μ.] Rom. eod. cap. KUST.

[y] ὍΤΙ τοὺς τοῦ Σόλωνος νόμ.] Vide supra v. Ἄξονες, et v. Κύρβεις. KUST. Desunt seqq. A.

[z] ἐκάλεσαν] ἐκάλουν V. Mox κατὰ δὲ τ. μ. τρίγωνοι om. V.

ΝΟΜΟΣ καὶ χ.] Vid. Zenob. V. 25. HEMST.

ΝΟΜΟΦΥΛΑΚΕΣ: Ἀρχή τις π.] De hoc magistratu Suidas plura habet infra v. Οἱ Νομοφύλακες. KUST.

ΝΟΜΟΦΥΛΑΚΕΙΟΥ] Deest gl. A. Vid. Polluc. VIII. 102. ubi Νομοφυλακίου. Adde Suid. in Χαρώνειος θύρα.

[a] Αἱ εὐθὺς] Sequentibus carent A.V.

[b] περὶ] μετὰ B.E. παρὰ M.

[c] ὁ καὶ τὸν παρθένον Θεολόγον παραφράσας] Hæc paraphrasis Joannis Euangelistæ, carmine heroico conscripta, hodie adhuc exstat. KUST.

[d] Θεολόγον] Ἰωάννην Eudocia.

[e] Νοσεῖν οὐκ ἐπ.] Appian. p. 170. Dio Chrys. p. 550. TOUP.

[ee] ΝΟΣΗΛΕΥΩ—θεραπεύω] νοσηλεύων—θεραπεύων V.

ΝΟΣΗΛΕΙΑ] Vide Rittershus. ad Oppian. p. 192. TOUP.

[f] ΝΟΣΗΛΕΙΑ δὲ] Νοσήλια δὲ A.B.E. Delevi τὰ θεραπευτικὰ post φάρμακα cum A.B.V.

[g] ξενών] Statim delevi, Ἵνα ᾖ τὸ νόσον ἔχειν, ἀντὶ τοῦ πάθος, ἢ ἔθος τι ἔχειν· νοουμένης τῆς νόσου ἀντὶ οὐδετέρου τοῦδε τινός, cum A.B.V.

ΝΟΣΟΣ ΛΕΓΟΜΕΝΟΝ ἘΓΚΑΤ.] Thucydides libro II. c. 47. Καὶ ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι, καὶ περὶ Λῆμνον, &c. Scholiasta ad eum locum: Θηλυκῶς ἡ νόσος. Τὸ δὲ λεγόμενον ὡς πρὸς τὸ νόσημα ὑπήντησεν. Ὅμηρος· Νεφέλη δέ μιν ἀμφιβέβηκε Κυανέη, τὸ μὲν οὔποτε.——Τὸ μὲν οὔποτε ὡς πρὸς τὸ νέφος ὑπήντησεν. Aliam igitur grammaticus hic constructionis ἀκαταλλήλου in citato loco Thucydidis λύσιν affert, ac hoc loco Suidas. KUST. νόσον V.E.M.

[h] δηλονότι] Sic recte mss. Paris. At priores editt. male, δηλοῖ. KUST.

ΝΟΣΟΣ] Νόσον V.

[i] ὍΤΙ πυρεττόντων ἢ ψυχομένων ἐν ταῖς ν.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Philoponi in lib. II. Aristot. de Anima, I. 4. a. KUST.

[k] τοῦ τεθερμασμένου] τοῦ om. A.B.V.E.

[l] θερμαίνεται] θερμαίνηται A.

[m] Οὐ συμβαίνει] οὐ om. A.B.E. τίνα δὲ—ἔχοντα om. V.

[n] διακειμένων] παρακειμένων (διακ superscr.) E.

[o] κατεσχημένοι] κατισχημένοι M.

[p] δι' ὅλων τῶν om. V.

ΝΟΣΤΗΣΑΣ] Post h. v. delevi ΝΟΣΤΕΑ: Κώμη Ἀρκαδίας. Ἔφορος δὲ τὸ ἐθνικὸν Νεστανίους εἰπὼν, δοκεῖ Νεστανίαν αὐτὴν εἰδέναι, cum A.V. Sumpta sunt ex Steph. Byz.

ΝΟΣΤΟΣ] Vide Schol. ad Il. β'. 155. TOUP.

[q] Ἢ ἡ] ἡ om. A.V. sed habet Photius. Post γεύσεως delevi cum A.B.V.E., Δῆλον δὲ, ὅτι οὐχ εἷς εὑρίσκεται, ἀλλὰ πολλοὶ οἱ γράψαντες τὸν Νόστον. B. tamen habet in marg. Φαίνεται ὅτι οὐ μόνον εἷς εὑρισκόμενος ἔγραψε νόστον . . . ἀλλὰ καί τινες ἕτεροι, et E. in marg. δῆλον ὅτι οὐχ εἷς εὑρίσκεται, ἀλλὰ πολλοὶ οἱ γράψαντες τὸν νόστον. Ad πολλοὶ hæc Kusterus: "Veluti Lysimachus, teste Scholiasta Apoll. Rh. "ad lib. I. 558. et Nostro infra v. Σαμαίνη: Anticlides, "teste Athenæo lib. IV. c. 14. p. 157. et plures alii. "Vide Casaubonum ad Athen. lib. IV. c. 14. qui de "Nostorum scriptoribus lectorem plura docet."

[r] ὅσον] ὅσοι A. Sequentem gl., quæ ex parte saltim legitur in Etymol. M. p. 607., delevi cum A.V ΝΟΣΤΟΣ: Παρὰ τῇ συνηθείᾳ ὁ γλυκασμὸς, ἐπὶ τῶν ἐδεσμάτων. Ὡς ἀπὸ τῆς οἴκαδε ἀναστροφῆς καὶ ἀνακομιδῆς· παρὰ τὸ τῆς πατρίδος γλυκύ. Οὐδὲν γὰρ γλύκιον ἧς πατρίδος, καθ' Ὅμηρον. Ἐκ δὲ τοῦ κατὰ τὴν συνήθειαν νόστου, καὶ νόστιμον, τὸ ἡδύ. Καὶ Εὔνοστος, θεός τις, φασὶν, ἐπιμύλιος. Ὁ δὲ ποιητικὸς νόστος παρὰ τὸ νέομαι (νέω B.E.) γίνεται. Οἷον, Νῦν δ' ἐπεὶ οὐ νέομαί γε. Ἤγουν, οὐκ ἐπανέρχομαι. Ἔστι δὲ καὶ ῥῆμα νοστῶ· οὗ σύνθετα, παλινοστῶ, καὶ ἀπονοστῶ.

Νόσφι: Χωρίς.

Νοσφιζόμεθα: Χωριζόμεθα.

Νοσφιζόμενον: Ὑφαιρούμενον, ἰδιοποιούμενον.

Νοτάριος: Ὁ γραμματεύς. Νότα γὰρ, τὰ [s]γράμματα.

Νοτία: Ἡ θάλασσα, καὶ ἡ ὑγρασία.

Νότιον: Χωρίον, προκείμενον τῆς Κολοφωνίων πόλεως. Νότιον δὲ κλῖμα, τὸ πρὸς νότον κείμενον.

Νότιος: Ὑγρός. Καὶ νότιος ἱδρὼς, ὁ ὑγρός.

Νότος: Ὁ ἄνεμος. Καὶ Νοτόθεν, ἀπὸ [t]Νότου.

Νουβυστικόν: Νοῦ πεπληρωμένον.

[u]Γυναῖκα δ' εἶναι πρᾶγμ' ἔφη νουβυστικόν.

Καὶ [x]νουβυστικῶς, συνετῶς.

Νουμᾶς Πομπίλιος: Τοῦτον οἱ Ῥωμαῖοι, καὶ μὴ ἐπιδήμιον ὄντα, [y]προεβάλοντο μετὰ τοὺς μεσοβασιλεῖς, καὶ αὐτῷ πᾶσαν τὴν ἡγεμονίαν ἐκ προβουλεύματος [z]ἔδοσαν. Καὶ τὰ πολιτικὰ ἔθη οὗτος διῳκήσατο· ἐνιαυτόν τε πρῶτος εὕρατο, εἰς δώδεκα μῆνας τὴν ἡλιακὴν κατανείμας περίοδον, χύδην τε καὶ ἀκατανοήτως παντάπασι πρὸ αὐτοῦ παρὰ Ῥωμαίοις φερομένην· ἱερά τε καὶ τεμένη ἱδρύσατο, καὶ τοὺς λεγομένους [a]Ποντίφικας καὶ Φλαμινίους τοῖς ἱερεῦσιν ἐπέστησε· Σαλίους [b]τε τοὺς τὴν ὄρχησιν ἀσκήσαντας· τάς τε Ἑστιάδας παρθένους τοῦ πυρὸς καὶ ὕδατος τὴν [c]ἐπιμέλειαν ἔχειν [d]ἐπέτρεψεν· αἳ τὴν μὲν ἄκραν τιμὴν παρὰ Ῥωμαίοις εἶχον, διὰ βίου δὲ τὴν παρθενίαν ἐφύλαττον· κἂν τις αὐτῶν ἠνδρώθη, κατ-

A εχώννυτο· καὶ διὰ τοῦτο οὐ μύρῳ, οὐκ ἄνθεσιν, οὐχ ἱματίῳ χρῆσθαι συνεχωροῦντο, πλὴν λευκοῦ.

Νουμηνία: Ἡ τοῦ μηνὸς ἀρχή. Ἐν ταῖς νουμηνίαις δὲ οἱ δοῦλοι ἐπωλοῦντο, καὶ οἱ στρατηγοὶ [e]ἐχειροτονοῦντο παρὰ Ἀθηναίοις. Καὶ Ἀριστοφάνης·

Τῇ προτέρᾳ νουμηνίᾳ.

[f]Ἀλείφεσθαί σ' ἀπ' αὐτῶν κἀμὲ ταῖς νουμηνίαις.

Διὰ τὸ ταύτας εἶναι τιμίας τῶν ἡμερῶν.

B Νουμήνιος, Ἀπαμεὺς, ἀπὸ Συρίας, φιλόσοφος Πυθαγόρειος. Οὗτός ἐστιν ὁ τὴν τοῦ Πλάτωνος ἐξελέγξας διάνοιαν, ὡς ἐκ τῶν Μωσαϊκῶν τὰ περὶ Θεοῦ καὶ κόσμου γενέσεως ἀποσυλήσασαν. Καὶ διὰ τοῦτό φησι· "[g]Τί γάρ ἐστι Πλάτων, ἢ Μωσῆς Ἀττικίζων;"

Νουμήνιος, ῥήτωρ. [h]Περὶ τῶν τῆς λέξεως σχημάτων, Ὑποθέσεις τῶν Θουκυδίδου καὶ Δημοσθένους,
C Χρειῶν συναγωγὴν, Ἀδριανῷ παραμυθητικὸν εἰς Ἀντίνοον.

Νουμής: Ὄνομα κύριον.

Νοῦν: Ἀριστοτέλης τὸν νοῦν ἀθάνατον λέγει.

Νοῦν [i]ἔχειν: [k]Πολύβιος·

Νοῦν ἔχειν καὶ τόλμαν δεῖ τοὺς στρατηγοὺς, ἅπερ ἐστὶ κυριώτατα πρὸς τὰς ἐπισφαλεῖς καὶ παραβόλους πράξεις.

D Νουνεχῶς: Πεφροντισμένως.

[l]Νουνεχῶς ἐδόκουν πολιτεύεσθαι πρὸς τοὺς τότε καιρούς.

Νοῦν τὸν ξένον: Ἐπὶ τῶν ὑφορωμένων τινά.

Ὅτι [m]Ἀναξαγόρας ὁ σοφιστὴς Νοῦς ἐπεκαλεῖτο, ἐπειδὴ ὕλην καὶ νοῦν [n]πάντα φρουρεῖν εἶπε.

[s] γράμματα] Statim delevi Ῥωμαϊστὶ ὁ ὑπογραφεύς, cum A.V.

NOTIOΣ] Vid. Schol. ad Aristid. I. p. 96. Hinc νοτισμὸς Damasc. ap. Phot. p. 1048. TOUP.

[t] Νότου] Statim delevi Καὶ NOTON NATΣΩNA, cum A. V. ubi Καύσωνα B.E. ut conj. Portus. Delevi etiam NOTBAI: Ἔθνος Λιβύης παρὰ Νείλῳ, quæ sunt Steph. Byzant.

[u] Γυναῖκα δ' εἶναι] Aristoph. Eccles. 441.

[x] NOTBTΣTIKΩΣ, συνετῶς] Ex Schol. Aristoph. Vesp. 1285. Seqq. NOTKEPINOI: Ἔθνος Ἰταλίας· οὗ μέμνηται καὶ Πολύβιος. NOTKPIA: Πόλις Τυρρηνίας, ἡ καὶ Νακρία, διὰ τοῦ ἄλφα, delevi cum A.V. Sunt ex Steph. Byz.

NOTMAΣ] Vid. Val. Max. I. 3. et Plutarch. in ejus vita. De Numa eludente oraculum, quod hominem immolari debere consuluerat, vid. Jo. Sarisb. Policr. II. 27. p. 140. et Plutarch. in Numa p. 70. REINES. Vide supra in v. Ἀσσάρια. TOUP.

[y] προεβάλλοντο] προεβάλοντο A.B.V.

[z] ἔδωκαν] ἔδοσαν A.B.V.E.

[a] Ποντίφικας] Vid. infr. Ποντίφιξ. REINES.

[b] τε τὴν] τε τοὺς τὴν A.V.

[c] ἐπιμέλειαν] τὴν ἐπιμέλειαν A.V. Cedrenus p. 148.

[d] προέτρεψεν] ἐπέτρεψεν A.B.V. Cedrenus.

NOTMHNIA] Schol. Aristoph. Eq. 43. HEMST.

[e] ἐχειροτονοῦντο] ἐχειρῶντο A.

[f] Ἀλείφεσθαί σ' ἀπ' αὐτ.] Aristoph. Acharn. 998. Ὥστ' ἀλείφεσθαί σ' ἀπ' αὐτῶν, κἀμὲ ταῖς νουμηνίαις. Vide etiam supra v. Ἀλείψας. KUST.

NOTMHNIOΣ Ἀπαμεὺς, ἀπὸ Συρ.] Ex Hesychio Milesio. Varia autem scripsit Numenius; ut, Περὶ τἀγαθοῦ, teste Origene contra Celsum lib. I. p. 13. edit. Cantabr. ubi sic inquit: Ὁ Πυθαγόρειος Νουμήνιος, ὅστις ἐν τῷ πρώτῳ περὶ τἀγαθοῦ λέγων, &c. Ex hoc opere Numenii fragmenta adducit Eusebius lib. XI. Præp. Euang. c. 7. et 8. et lib. XI. c. 10. et 22. Περὶ τῶν παρὰ Πλάτωνι ἀπορρήτων. Eusebius lib. XIII. Præp. Evang. c. 4. in fine: Διασαφεῖ δὲ τὴν διάνοιαν ὁ Νουμήνιος ἐν τῷ περὶ τῶν παρὰ Πλάτωνι ἀπορρήτων, ὧδέ πη λέγων. Sequuntur deinceps ipsa Numenii verba. Περὶ τῆς
E τῶν Ἀκαδημαϊκῶν πρὸς Πλάτωνα διαστάσεως. Eusebius lib. XIV. modo laudati operis, c. 4. Ὁποῖοι δὲ γεγόνασιν οἶδε τὸν τρόπον, λαβὼν ἀνάγνωθι τὰς ὧδε ἐχούσας Νουμηνίου τοῦ Πυθαγορείου φωνὰς, ἃς τέθειται ἐν τῷ πρώτῳ, ὃν ἐπέγραψε, περὶ τῆς τῶν Ἀκαδημαϊκῶν πρὸς Πλάτωνα διαστάσεως. Scripserat etiam περὶ ἀφθαρσίας ψυχῆς, sive, *de Immortalitate animæ*, teste Origene contra Celsum, lib. V. p. 269. edit. Cantabr. Item librum, Ἔποψ inscriptum; ut et περὶ ἀριθμῶν, et περὶ τόπου: quæ tria opera laudantur ab eodem Origene contra Celsum lib. IV. p. 198. Præterea, Numenius quidam lau-
F datur ἐν τῷ Θηριακῷ a Scholiasta Nicandri, p. 30. Absque nomine operis Numenius sæpe laudatur a Porphyrio in vita Plotini, itemque in libello de Antro Nympharum, et alibi. KUST. Vixisse tempore Veri Cæsaris cum Harpocratione probat Barth. ad Æneam p. 97. REINES. qui et nonnulla eorum protulit quæ habet Kusterus.

[g] Τί γάρ ἐστι Πλάτων ἢ Μωσ.] Celebratissimum hoc Numenii apophthegma refert Clem. Alex. lib. I. Strom. p. 251. et ex eo Euseb. lib. IX. Præp. Evang. c. 6. Alii
G quoque scriptores passim ejus meminerunt. KUST.

[h] Ἔγραψε περὶ] ἔγραψε om. A.V.

NOTMHΣ] Pro Νουμᾶς. HEMST.

NOTN: Ἀριστοτέλης τὸν ν.] Vide Menagium ad Laërt. lib. III. 67. KUST.

[i] ἜXEIN] ἔχεις V.

[k] Πολύβιος] Fr. gr. 95.

[l] Νουνεχῶς ἐδόκουν] Polybius lib. III. p. 356. Καὶ γὰρ ἀνδρωδῶς καὶ NOTNEXΩΣ EΔOKOTN ἕκαστα χειρίζειν. Quare nostrum fragmentum Polybio adjudicaverim. TOUP.
H Fr. gr. 96.

NOTN TON ΞENON] In Vaticana Proverb. Appendice legitur, Νοῦ τὸν ξένον: quod magis placet. KUST.

[m] Ἀναξαγόρας ὁ σοφ.] Vide supra h. v. KUST. Desunt hæc A.

[n] πάντα] πάντων V. πάντων φρουρὸν v. Ἀναξαγόρας.

Νοῦς: Ὅτι ὁ νοῦς πάντων ἔχει τοὺς λόγους ἐν ἑαυτῷ· ἀλλὰ τῶν μὲν πρὸ αὐτοῦ, εἰκονικῶς· τῶν δὲ μετ' αὐτὸν, παραδειγματικῶς.

[[o]Ἀρθεὶς νόον, γίνωσκε γῆν ναίειν ξένην.]

[p]Ὅτι Πυθαγόρας τὴν τοῦ ἀνθρώπου ψυχὴν [q]διαιρεῖσθαι ἔφη εἰς γ'· νοῦν, φρένας, καὶ θυμόν. Καὶ νοῦν μὲν καὶ θυμὸν εἶναι καὶ ἐν τοῖς ἄλλοις ζώοις· φρένας δὲ μόνον ἐν ἀνθρώπῳ. Εἶναι δὲ τὴν ἀρχὴν τῆς ψυχῆς ἀπὸ καρδίας μέχρι ἐγκεφάλου. Καὶ τὸ μὲν [r]ἐν καρδίᾳ μέρος αὐτῆς ὑπάρχειν θυμόν· φρένας δὲ καὶ νοῦν, τὰ [s]ἐν τῷ ἐγκεφάλῳ.

[t]Ὅτι τῶν διανοουμένων τὰ μὲν κατὰ περίπτωσιν ἐνοήθη· τὰ δὲ, καθ' ὁμοιότητα· τὰ δὲ, κατὰ ἀναλογίαν· τὰ δὲ, κατὰ μετάθεσιν· [u]τὰ δὲ, κατὰ σύνθεσιν· τὰ δὲ, κατ' ἐναντίωσιν. Καὶ κατὰ περίπτωσιν μὲν, τὰ αἰσθητά· καθ' ὁμοιότητα δὲ, τὰ ἀπό τινος παρακειμένου, ὡς Σωκράτης ἀπὸ τῆς εἰκόνος· κατ' ἀναλογίαν δὲ, αὐξητικῶς μὲν, ὁ Τιτυὸς, καὶ ὁ Κύκλωψ, μειωτικῶς δὲ, ὡς ὁ πυγμαῖος· καὶ τὸ κέντρον δὲ τῆς γῆς, κατ' ἀναλογίαν ἐνοήθη ἀπὸ τῶν μικροτέρων σφαιρῶν· κατὰ μετάθεσιν δὲ, οἷον οἱ ὀφθαλμοὶ ἐπὶ τοῦ στήθους· κατὰ σύνθεσιν δὲ, ἱπποκένταυρος· καὶ κατ' ἐναντίωσιν, θάνατος. Νοεῖται δὲ καὶ κατὰ μετάβασίν τινα, ὡς τὰ [x]λεκτὰ, καὶ ὁ τόπος. Φυσικῶς δὲ νοεῖται [y]δίκαιόν τι καὶ ἀγαθόν· καὶ κατὰ στέρησιν, οἷον [z]ἄχειρ.

[a]Ὅτι τοῦ νοῦ ἔργον ἐστὶν, [b]ἁπλαῖς προσβολαῖς, καὶ κρεῖττον ἢ κατὰ ἀπόδειξιν, ἐπιβάλλειν τοῖς πράγμασιν. Ὥσπερ ἡ αἴσθησις [c]προσβαλοῦσα τυχὸν τῷ λευκῷ, ἢ τῷδε τῷ σχήματι, κρεῖττον ἢ κατὰ ἀπόδειξιν αὐτοῦ τὴν γνῶσιν ἔσχεν· οὐ γὰρ δεῖται πρὸς [d]ταύτην συλλογισμοῦ. Ἡ δέ γε τοῦ νοῦ ἐνέργεια ἐκείνοις παραγίνεται, οἷς εἰς ἄκρον καθάρσεως καὶ ἐπιστήμης γέγονεν ἀφικέσθαι, καὶ διὰ τῶν καθαρτικῶν ἀρετῶν ἀφαντάστως καὶ δίχα αἰσθήσεως ἐνεργεῖν συνειθισμένοις. Ἔστι γὰρ ὁ νοῦς, [e]οἷον ἕξις τῆς ψυχῆς τελειοτάτη. Καὶ γίνεται τοίνυν ὁ μὲν νοῦς περὶ τὰ A νοητά· ἡ δὲ διάνοια, περὶ τὰ διανοητά· ἡ δὲ δόξα, περὶ τὰ δοξαστά. Τούτων δὲ τῶν δυνάμεων [f]πρώτην μὲν ἔχει τάξιν ὁ νοῦς· μέσην δὲ, ἡ διάνοια· ἐσχάτην δὲ, ἡ δόξα. Ἡ δὲ διάνοια προσῳκείωται τῇ ἡμετέρᾳ ψυχῇ, ἐπειδὴ καὶ [g]αὐτὴ τὴν μέσην ἐν τῷ παντὶ τάξιν [h]ἔχει, καὶ διὰ τῆς διανοίας ἀνάγεται [i]ἡ ἡμετέρα ψυχὴ ἐπὶ τὴν τῶν νοητῶν θεωρίαν, ἥτις ἐστὶ τελειότης τῆς ψυχῆς. Ἐπειδὴ γὰρ σύντροφος καὶ σύμφυλός B ἐστι τοῖς αἰσθητοῖς ἡ ψυχὴ ἡ ἡμετέρα, ἀδυνατεῖ διὰ τὸν συνεθισμὸν τῶν αἰσθήσεων ἐπὶ τὴν θεωρίαν τῶν νοητῶν καὶ ἀΰλων [k]ἀνάγειν ἑαυτὴν, ἀλλὰ νομίζει κἀκεῖνα σώματα εἶναι, καὶ μεγέθη ἔχειν· καὶ ὅσα ἐπὶ τῶν αἰσθητῶν, κἀκείνων φαντάζεται. Καὶ Πλάτων ἐν [l]Φαίδωνι· "Τοῦτό ἐστι τὸ χαλεπώτατον τῶν ἐν ἡμῖν, "ὅτι ὅταν σχολὴν ἀπὸ τῶν περιολκῶν τοῦ σώματος "μικρὸν [m]ἄγωμεν, καὶ θελήσωμεν τῇ θεωρίᾳ τῶν C "θείων σχολάσαι, παρεμπίπτουσα ἡ φαντασία θόρυ"βον ἡμῖν κινεῖ, ὑπονοεῖν διδοῦσα, ὅτι σῶμά ἐστι τὸ "θεῖον, καὶ μέγεθος ἔχει καὶ σχῆμα, καὶ οὐκ ἐᾷ ἡμᾶς "ἀσωμάτως καὶ ἀσχηματίστως περὶ Θεοῦ ἐννοεῖν. "Καὶ διὰ τοῦτο δεῖ τὴν ψυχὴν ὁδεύουσαν ἐπὶ τὴν "ἑαυτῆς τελειότητα, πρῶτον ἐνεργῆσαι κατὰ διάνοιαν, "[n]ἥτις ἔχει περὶ τὰ μέσα τῶν πραγμάτων· οἷά ἐστι D "τὰ διανοητὰ, ἥ τε ψυχὴ ἡ ἡμετέρα, καὶ ἡ περὶ αὐ"τῆς θεωρία· ἔτι δὲ καὶ [o]τὰ μαθηματικά."

Νοῦς οὐκ ἔνι Κενταύροισι: Παροιμία ἐπὶ τῶν ἀδυνάτων καὶ [oo]ἀνοήτων ταττομένη. Καὶ ἄλλως·

[p]Νοῦς οὐκ ἔνι ταῖς κόμαις
ὑμῶν, ὅτε μ' οὐ φρονεῖν
νομίζετ', ἐγὼ δ' ἑκὼν
ταῦτ' ἠλιθιάζω.

E Νώ: Ἀντὶ τοῦ, [q]αὐτόν. [r]Ἀριστοφάνης Πλούτῳ·

Βλέψαι ποιῆσαι νώ.

Ἀντὶ τοῦ, αὐτόν. Ἢ, ἀντὶ τοῦ, δεῖ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι.

Νωγαλέον:

Νωδός: Ὁ μὴ ἔχων ὀδόντας.

[o] Ἀρθεὶς νόον, γίν.] Versus hic oneirocriticus, qui ex Astrampsycho sumptus est, deest in ms. A. KUST. et V.

[p] Ὁ Πυθαγόρας τὴν τοῦ ἀνθρ.——ἐν τῷ ἐγκεφάλῳ] Hæc F sunt verba Laërtii in vita Pythagoræ, segm. 30. KUST.

[q] διαιρεῖσθαι] διῃρῆσθαι B.V.

[r] ἐν καρδίᾳ] ἐγκάρδιον V.

[s] ἐν τῷ] ἐν om. A.

[t] ὍΤΙ τῶν διανοουμένων τὰ μὲν κ.——οἷον ἄχειρ] Hæc omnia leguntur apud Laërtium in Zenone Citt. segm. 52. 53. ut Pearsonius etiam observaverat. KUST.

[u] τὰ δὲ κατὰ σύνθεσιν om. Kusterus.

[x] λεκτὰ] λεπτὰ V.

[y] δίκαιόν] καὶ ὂν A.B.V.E. edd. ante Kuster.

[z] ἄχειρ] ἄχειρος A.V.

[a] ὍΤΙ νοῦ ἔργον ἐστὶν, ἁπλαῖς προσβολαῖς, καὶ κρ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Philoponi in lib. I. Aristot. de Anima, p. 1. et 2. ut itidem Pearsonius monuit. KUST. τοῦ νοῦ A.B.V.E.

[b] ἁπλαῖς] ἁπλῶς B.

[c] προβαλοῦσα] προσβαλοῦσα B.E. προσβάλλουσα Philop. Mox τυχεῖν V. et deinde ἧττον δὲ τῷ σχήματι καί.

[d] ταύτην] ταῦτα Philop.

[e] οἷον ἕξις] Sic recte mss. Paris. itemque Philoponus loco laudato. At priores edit. male, μίξις. KUST.

[f] πρώτην μὲν] πρώτην μὲν γὰρ V. τὴν ante τάξιν om. A.B. V. Philop.

[g] αὐτὴ] αὐτὴν V.

[h] ἔχει] ἔχειν A.

[i] ἡ ἡμετέρα] ὡς ἡμετέρα A.B.V.E.

[k] ἀνάγειν] ἄγειν A.B.V.E. Tum αὐτὴν V.

[l] Φαίδωνι] P.

[m] ἄγωμεν] ἀγάγωμεν Philop. Mox ἡμᾶς et καὶ ἀσχηματίστως om. V. qui infra νοεῖν.

[n] ἥτις] ἥτις ἔχει A.V. πῶς Philop. pro περί.

[o] περὶ τὰ μαθ.] περὶ om. A.B.V.E. Philop.

ΝΟΥΣ] Hesych. v. Νοῦς. Vid. Suid. v. Τῶν δυνατῶν. TOUP.

G [oo] ἀνοήτων] τῶν ἀνοήτων V. Mox καὶ ἄλλως om. A.

[p] Νοῦς οὐκ ἔνι ταῖς κόμ.] Aristoph. Equit. 1118. κώμαις B.E.M.

[q] αὐτὸν] αὐτὸς A.B.E. hic et infra. Mox Πλούτῳ addunt A.V. Statim delevi ΝΩ: Ῥῆμα. Οὗ αἱ κινήσεις χρησταί. ΝΩ, τὸ σωρεύω· ἐξ οὗ ΝΗΣΑΙ, τὸ σωρεῦσαι. Καὶ ΝΗΔΥΣ, εἰς ἣν αἱ τροφαὶ σωρεύονται. ΝΩ, τὸ κολυμβῶ· ἐξ οὗ καὶ ΝΑΥΣ, καὶ ΝΗΣΣΑ, καὶ ΝΗΣΟΣ, ἡ πᾶν μέρος αὐτῆς ἐκ ὑγρῷ ἔχουσα. ΝΩ, τὸ ῥέω, οὗ ὁ μέλλων νάσω· ὅθεν καὶ ΝΑΡΟΝ φασι, τὸ ὑγρὸν, καὶ ΝΗΡΕΥΣ. Καὶ τέταρτον ΝΩ, τὸ κλώθω· οὗ παράγωγον, τὸ H ΝΗΘΩ, καὶ τὸ ΝΗΜΑ, cum A.V. et post Νωγαλέον iidem omittunt: Καὶ χρῆσις αὐτοῦ ἐν τοῖς τοῦ Ἀθηναίου. [II. p. 47.] Παρ' ᾧ καὶ ΝΩΓΑΛΕΥΕΙΝ ῥῆμα· ἐξ οὗ τὸ ΝΩΓΑΛΕΥΜΑ. Δοκεῖ δὲ τὰ τοιαῦτα, ἐν οἷς καὶ τὰ ΝΩΓΑΛΑ, σκεύασμά τι δηλοῦν χρηστὸν εἰς ἑστίασιν.

[r] Ἀριστοφάνης] Plut. 401.

ΝΩΔΟΣ] Aristoph. Plut. 266. Ach. 715.

A Νώδυνον: Ἀνώδυνον.

Νῶε: Ὄνομα [s] κύριον.

[Νωθέστερος: Βραδύτερος.

Νωθείας: Βραδυτῆτος.]

Νωθής: Βραδὺς, [t] ἀκίνητος, ἄλογος.

Νωθρεία: Καὶ νωθρὸς, ὁ ἀσθενής.

[u] Νωθρότερος ὑπάρχων τοῦ τῆς βασιλείας προσχήματος τῇ φύσει.

B Νωθρότης: Ἡ βραδυτής.

Νῶϊ, νωΐτερος:

Νῶιν: Ἡμῖν. [x] Ἀριστοφάνης·

> Μείζω μὲν οὐδὲν, προσφορωτέραν δὲ (νῶιν.)
> [y] Ἔφασκε νῶιν [z] φράσειν τὸν Τηρέα.
> [a] Κράτιστον οὖν νῶιν ἀποθανεῖν ἀνδρικώτατα.
> [b] Βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν·
> ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος.

C Περὶ Θεμιστοκλέους οὖν [c] Σοφοκλῆς φησιν·

> Ἐμοὶ δὲ λῷστον αἷμα ταύρειον πιεῖν.

Νῶϊν: Τουτέστιν, ἡμῖν. Δεικτικῶς.

Νωΐτερον: Ἡμέτερον.

Νῶκαρ: Ὁ δυσκίνητος.

Νωλεμέως: Ἀδιαλείπτως.

Νῶμα: Ὄνομα χώρας.

Νωμῆσαι: Κινῆσαι, [d] μερίσαι.

D Νώμησις: Ἡ κίνησις.

Νωμίστωρ: Ὄνομα κύριον.

Νωμῶν: Κρίνων, ἐξετάζων. [e] Σοφοκλῆς·

> Ὦ πάντα νωμῶν Τειρεσία, [f] διδακτά τε,
> ἄρρητά τ', οὐράνιά τε, καὶ χθονοστιβῆ.

Νωνακρίνη: Λέγεται ἡ Καλλιστώ.



A Νωνᾶς: Ὄνομα κύριον.

Νώνυμος: Ἀνώνυμος, ἄδοξος.

> [g] Οὐδέ τις ἔσται
> τῆς λυρικῆς Σαπφοῦς νώνυμος ἠέλιος.

Νῶι πείθου: Παροιμία, ὁμοία τῷ, Θεῷ [[h] πείθου, ἢ] ἕπου.

Νώρα: Ὄνομα χώρας.

Νώρβα: Ὄνομα χώρας.

B Νωρβανός: Ὄνομα κύριον.

Νωρικία: Ὄνομα χωρίου. [[i] Καὶ Νωρικοὶ, ἔθνος. Ζήτει ἐν τῷ Βηρούνιον.]

Νώροψ: Ὁ [k] λαμπρός.

Νωσάμενος: Νοήσας, γνούς. [l] Παρὰ Καλλιμάχῳ.

Νῶσαι: Εἰς νοῦν λαβεῖν.

Νῶτα θαλάσσης: Ἡ ἐπιφάνεια τῆς θαλάσσης.

C Νωτάρης: Ὁ ἐπὶ νώτου αἴρων καὶ βαστάζων.

Νωτιαία θρίξ: Ἡ τῶν μεταφρένων.

Νωτίζω: Τὰ νῶτα μεταστρέφω. Καὶ [m] νωτίσαι, ἀπελάσαι. Ἀπὸ μεταφορᾶς τῶν τὰ νῶτα διδόντων ἐν ταῖς φυγαῖς.

Νωτοπλῆγα: Μαστιγίαν, τὸν εἰς τὰ νῶτα τὰς πληγὰς λαμβάνοντα. Φερεκράτης Κραπατάλοις·

> Καὶ νωτοπλῆγα μὴ ταχέως διακονεῖν.

D Νῶτος: Ἡ [n] ψόα τοῦ ἀνθρώπου.

Τὸ δὴ λεγόμενον τὸ [o] πλῆθος τῶν Ἀβάρων εἰς τὰ νῶτα περισύρεσθαι.

Νωτοφόρος: Ὁ ἐπὶ νώτου βαστάζων.

Νωχελῆ: Βραδέα.

Νωχελὴς, βραδὺς, [p] ὁμαλὸς, ἄχρηστος.

---

[s] κύριον] Statim delevi Παρὰ τὸ ΝΩ, τὸ κολυμβῶ, cum A. Addit mox V. Νοθεία: ἡ κλεψιγαμία.

ΝΩΘΕΣΤΕΡΟΣ] Gl. om. A. Deest in eodem gl. seq. βραδυτῆτος usque ad τοῦ τῆς om. E.

[t] ἀκίνητος] δυσκίνητος Phot.

[u] Νωθρότερος] Hæc forte Polybii esse opinatur Wesseling. Diod. Sic. T. II. p. 625, 44.

ΝΩΙΝ] Ἡμῖν addunt A.B.V.E. vid. Timæus p. 186. c. n. Ruhnkenii. Mox νῶιν om. A.B.E.M.

[x] Ἀριστοφάνης] Av. 124.

[y] Ἔφασκε νῶιν φρ.] Aristoph. Av. 15.

[z] φράσειν] φράσσειν A.

[a] Κράτιστον οὖν νῶιν ἀποθ.] Aristoph. Equit. 80. Κράτιστον οὖν νῷν ἀποθανεῖν. Ἀλλὰ σκόπει, Ὅπως ἂν ἀποθάνωμεν ἀνδρικώτατα. Πῶς δῆτα; πῶς γένοιτ' ἂν ἀνδρικώτατα; Βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν· ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος. KUST. κράτιστον οὖν νῷν om. A.V.

[b] Βέλτιστον] βέλτιον A.

[c] Σοφοκλῆς] Ægei fr. 2.

ΝΩΙΤΕΡΟΝ] Il. ό. 39.

ΝΩΚΑΡ] Athenæus p. 133. f. νωκαρῶδες. TOUP. Vid. not. ad Hesych. Statim delevi ΝΩΛΑ: Πόλις Αὐσόνων παρὰ Ἑκαταίῳ. Πολύβιος δὲ Νώλην αὐτήν φησιν. Οἱ πολῖται, Νώλιοι, καὶ Νωλανοί, cum A.V. quæ sumpta sunt ex Steph. Byz.

ΝΩΛΕΜΩΣ καὶ ΝΩΛΕΜΕΩΣ] Νωλεμέως A.V. Quibus mox desunt ΝΩΜΕΝΤΟΣ: Πόλις οὐ πόρρω Ῥώμης. Οἱ πολῖται, Νωμεντῖνοι.

[d] μερίσαι] καὶ μερίσαι A.B.

[e] Σοφοκλῆς] Œdip. Tyran. 300.

[f] διδακτά τε] Σοφοκλῆς A. cui deest Σοφοκλῆς supra. vv. om. B.V.E.

ΝΩΝΑΚΡΙΝΗ] Νώνα A. Νώνα. κρήνη B.E. Νωνακρήνη M. Seq. gl. ΝΩΝΑΚΡΙΣ: Πόλις Ἀρκαδίας, ἡ περὶ Ἦλιν. Ὁ πολίτης, Νωνακρίτης, καὶ Νωνακριάτης, καὶ Νωνακριεύς, delevi cum V. Est ex Steph. Byz.

[g] Οὐδέ τις ἔσται τῆς λυρ.] Anthol. Pal. VII. 17. Deest exemplum A.

[h] ΠΕΙΘΟΥ, ἢ om. A. Tum delevi cum A.V. ΝΩΝΥΜΝΑ: Πόλις Σικελίας παρὰ Φιλίστῳ. Ex Steph. Byz. sumpta est gl.

ΝΩΡΒΑ] Νώρβια V.

[i] Καὶ ΝΩΡΙΚΟΙ etc. om. A.V.

[k] λαμπρός] Seqq. Οἱ μὲν ἐτυμολόγοι παρὰ τὴν στέρησιν τοῦ ὁρᾶν. Ἀμαυροῖ γὰρ, φασὶ, τὴν ὄψιν τὰ πάνυ λαμπρὰ, καὶ διαχεῖ, ὥστε ΝΩΡΟΨ ΧΑΛΚΟΣ, ὁ μὴ ἐῶν ὁρᾶν εἰς αὐτόν. Ἐπαφρόδιτος δὲ, ἑωρακὼς (εὑρηκὼς Hemsterhusius) Νώρακον πόλιν Παννονίας, ἧς ὁ πολίτης Νωράκιος, γίνεσθαι ἱστορεῖ ἐν Παννονίᾳ σίδηρον, ὃς ἀκονηθεὶς, λαμπρότατός ἐστιν. Ὅθεν καὶ ΝΩΡΟΠΑ φασὶν εἰρῆσθαι ΧΑΛΚΟΝ, ὡς εἴ τις εἴποι, Νωράκιον, delevi cum A.V. Ad v. Ἐπαφρόδιτος notavit Kusterus: "Ex Stephano Byzantio, v. Νωράκος. Huc spectat locus ille Clementis Alexandr. Strom. lib. I. p. 225. Νώροπες, (ἔθνος ἐστὶ Παιονικὸν, νῦν δὲ Νωρικοὶ καλοῦνται) κατειργάσαντο χαλκὸν, καὶ σίδηρον ἐκάθηραν."

ΝΩΣΑΜΕΝΟΣ] Confer Nostrum supra v. Νενώμεθα. KUST.

[l] Παρὰ Καλλιμάχῳ om. A. Vid. not. ad Hesych.

ΝΩΤΑ ΘΑΛΑΣΣΗΣ] Ex Scholiasta Homeri ad Il. β'. 159. KUST.

ΝΩΤΑΡΗΣ] Scheffer. de R. V. II. 2. p. 28. HEMST.

ΝΩΤΙΑΙΑ] mss. Paris. [sic A.B.V.] habent νωταία: sed minus recte. KUST.

[m] ΝΩΤΙΣΑΙ: Ἀπελάσαι. Ἀπὸ μεταφ.] Ex Schol. Sophocl. ad Œdip. Tyran. 193.

[n] ψόα] ψοία V.

[o] πλῆθος] τὸ πλῆθος A.B.V. Mox βαρβάρων V. pro Ἀβάρων.

ΝΩΤΟΦΟΡΟΣ] Vid. Πλημμελεῖν. HEMST.

ΝΩΧΕΛΗ] Vid. Eurip. Orest. ibique Schol. v. 788. ed. Matthiæ.

[p] ὁμαλὸς] ὁ μιλλὸς Bos Obs. Crit. p. 175. probante Toupio. Vid. not. ad Hesych.

Νωχελία: Ἀργία.

Νοιδίων: Διανοημάτων. Παρήγαγε δὲ ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ ΝΟΊ τὸ ΝΟΊΔΙΟΝ ὑποκοριστικόν. Τινὲς δὲ [q]οὕτως, ὀνειδισμῶν καὶ λοιδοριῶν ἀπὸ τοῦ οἴνου καὶ τῆς μέθης. Ἀριστοφάνης·

Ἐγὼ δὲ πάντα καταπάσω
βουλευματίων, γνωμιδίων, [r]νοιδίων.

Νύκτα: Τὰς συμφορὰς [s]πολλάκις ΝΎΚΤΑΣ ἡ Γραφὴ καλεῖ· ἐπειδὴ οἱ ἐν συμφοραῖς περιπίπτοντες, ἐν σκό- B τει διάγειν νομίζουσι.

Νύκτα δασείην: Τὴν χειμερινήν φασι.

Νυκταλός: Ὁ νύκτα φιλῶν. Περὶ Διογένους τοῦ Κυνός φησίν·

[t]Οὐδὲ γὰρ ἦν τις νυκταλὸς καὶ ὑπνηλός.

Νυκτερίδος αἶνος: Αἰνιγματωδῶς δηλοῖ περὶ νυκτερίδος. [u]Ὑπερέκκειται ἐν τοῖς μετὰ ταῦτα.

C Νυκτερινοὶ κύνες: Οἱ λύκοι.

[[x]Ἡ νυκτερὶς μόνη τῶν πτητικῶν ζώων καὶ γάλα ἔχει ἐν μαστοῖς, καὶ θηλάζει εὐθέως τὸ γεννώμενον. Καὶ ὁ Χαιρεφῶν Νυκτερὶς ἐκαλεῖτο. Καὶ ζήτει ἐν τῷ Διοΐσειν.]

Νυκτερίωνος:

Νυκτίβιος: Ὁ ἐν νυκτὶ ὡς [y]ἐν ἡμέρᾳ διάγων.

Νυκτὶ θοῇ ἀτάλαντος: Ὅμηρος τὰ φοβερὰ D νυκτὶ ὁμοιοῖ. Καὶ ἀλλαχοῦ·

[z]Ὁ δ' ἤϊε νυκτὶ ἐοικώς.

Νυκτικόραξ: Εἶδος ὀρνέου ἐρημικοῦ, ὃ τὰς οἰκουμένας φεῦγον τῶν οἰκιῶν, ταῖς ἐρήμοις [a]καὶ καταλε- A λυμέναις προστρέχει. Τὰ γὰρ οἰκόπεδα ἐρείπια φασίν. Οὕτω καὶ τὸ στρουθίον δειλὸν ὄρνεον ὄν, ὑπὸ ἀγωνίας ἐλαύνει τὸν ὕπνον.

Νυκτιδόχοι: Λησταί. [b]Καὶ Νυκτοπεριπλάνητος, παρὰ Ἀριστοφάνει.

Νύκτωρ: Διὰ τῆς νυκτός.

Νύμφα: Νύμφη. Ἰωνικῶς. Ὡς [c]τόλμα, τόλμη.

[Νυμφαγωγῷ: Δοτικῇ.]

B Νύμφαι: Σκώληκες, οἱ ἐν τοῖς τῶν [d]μελισσῶν [e]κυττάροις, ὅταν ἤδη πτεροποιεῖν ἄρξωνται. Οἱ δ' ἁπλῶς τοὺς πτερωτοὺς σκώληκας, Σάμιοι. Καὶ τὸ ἀνὰ μέσον τῶν γυναικείων αἰδοίων νύμφην καλοῦσι. Καὶ τῶν ῥόδων αἱ κάλυκες αἱ [g]μεμυκυῖαι, νύμφαι. Καὶ αἱ νεόγαμοι κόραι, νύμφαι. Καὶ αἱ Μοῦσαι δὲ ὑπὸ Λυδῶν νύμφαι. [h]Ὅτι δὲ πάντων τῶν καρπῶν αἱ ἐκφύσεις οὕτω, δῆλον. [i]Περὶ δὲ τῶν θεῶν [k]Διονυσίῳ πᾶσα C ἡ ἱστορία συνῆκται ἐν τριάκοντα καὶ τρισὶ βιβλίοις.

Νυμφαῖον: Νυμφῶν ἱερόν.

Νύμφαιον: Ἐν τῷ Πόντῳ ἐστὶ τὸ Νύμφαιον. Καὶ φησὶ Κρατερὸς ἐν ἐννάτῳ τῶν ψηφισμάτων, ὅτι Ἀθηναίοις ἐτέλει [l]τάλαντον.

Νυμφεῖος οἶκος: Ἐν ᾧ αἱ νύμφαι εἰσί.

Νύμφιος κόσμος, κτητικῶς, ὡς Τύριος, Λύδιος, D Φρύγιος.

[m]ἤματι δ' ᾧ νύμφειος ἀνήπτετο λαμπάδι παστὰς,
τούτῳ πυρκαϊῆς οὐ θαλάμων ἔτυχες.

Νυμφεύτρια: Ἡ συμπεμπομένη ὑπὸ τῶν γονέων τῇ νύμφῃ. [n]Καὶ ἡ νεόγαμος δὲ, καὶ ἡ γαμετὴ

ΝΩΧΕΛΙΑ] Jamblichus Vit. Pythag. c. 14. p. 51. ed. Kuster. καὶ τῆς νωχελίας αὐτοὺς ἀπήλλασσε. Citavit Toupius. Hom. Il. τ'. 411.

ΝΟΙΔΙΩΝ: Διανοημάτων. Παρήγ.] Ex Schol. Aristoph. Equit. 100.

q οὕτως om. Schol. posito κακῶς post μέθης.

r καὶ νοιδίων] καὶ om. A.B.V.E.M. Statim delevi, Κάλλιον καθ' ὑποκορισμὸν ΝΟΙΔΙΩΝ εἰπεῖν· εἶτα συνῃρημένως, ΝΟΙΔΙΩΝ. Οὕτω καὶ ἐκ τοῦ ΠΡΟΧΟΟΣ γίνεται ΠΡΟΧΟΙΔΙΟΝ, καὶ ἐκ τοῦ ΒΟΥΣ, βοὸς, ΒΟΙΔΙΟΝ, cum A.V.

s πολλάκις ΝΥΚΤΑΣ] νύκτας om. A. Theodoretus ad Ps. III. 6. Νύκτα τὰς συμφορὰς πολλάκις ἡ θεία καλεῖ γραφή· ἐπειδὴ ὡς ἐν σκότει διάγειν νομίζουσιν οἱ τοῖς ἄγαν ἀνιαροῖς περιπίπτοντες.

t Οὐδὲ γὰρ ἦν τις νυκτ.] Hæc sunt verba Diogenis Laërtii in Diogene Cynico, s. 77. ut et Pearsonius monuit. KUST. Mendum esse in Diogene, et reponendum νυσταλὸς suspicatur Rossius Comm. Laërt. p. 98. Debebat saltim νυσταλέος.

ΝΥΚΤΕΡΙΔΟΣ ΑΙΝΟΣ] Ænigma hoc habes supra v. Αἶνος: quem locum confer. KUST.

u Ὑπερέκκειται ἐν τοῖς μετὰ ταῦτα] Hæc litura sananda sunt, utpote inepta, et nullum sensum habentia. Non enim infra, sed supra, ut diximus, nimirum v. Αἶνος, ænigma de vespertilione, cujus hic obscure mentio fit, a Suida refertur. Quare scribi potius debebat, κεῖται ἐν τοῖς πρὸ τούτων. KUST.

ib. Ὑπερέκκειται] L. ὑπὲρ ἧς κεῖται. TOUP. ὅπερ ἔκκειται Photius.

x Ἡ νυκτερὶς] Hæc om. A. Habet V. infra in Νυκτίβιος.

y ἐν ἡμέρᾳ] ἐν om. A.V. Sed habet Photius.

ΝΥΚΤΙ ΘΟΗΙ ἈΤΑΛΑΝΤΟΣ] Homerus Il. μ'. 463. KUST.

z Ὁ δ' ἤϊε νυκτὶ ἐοικώς] Il. α'. 47. KUST.

ΝΥΚΤΙΚΟΡΑΞ] Ad Ps. CI. 7. ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ, sic Theodoretus: ὁ νυκτικόραξ τὰς οἰκουμένας φεύγων τῶν οἰκιῶν, ταῖς ἐρήμοις καὶ καταλελειμμέναις προστρέχει· τὰ γὰρ οἰκόπεδα ἐρείπια ὁ Σύμμαχος εἴρηκεν· οὕτω καὶ τὸ ἄλλο ὀρνέων ταῖς ἐρήμοις ἐνδιαιτᾶται. Vid. Schleusner. Lex. V. T. Mox φεύγων M. C. pr.

a καὶ καταλ.] καὶ om. A. καὶ κατ. om. C.

b Καὶ ΝΥΚΤΙ ΠΕΡΙΠΛΑΝΗΣ, παρὰ Ἀριστοφάνει] Vox excidit. Scribendum sine dubio, Καὶ Νυκτοπεριπλάνητος, νυκτὶ περιπλανής. Locus Aristophanis, ad quem respexit Suidas, exstat in Acharn. 263. Φάλης ἑταῖρε Βακχείου, Σύγκωμε, ΝΥΚΤΟΠΕΡΙΠΛΑΝΗΤΕ, μοιχὲ, παιδεραστά. TOUP. Scripsi Νυκτοπεριπλάνητος cum A.B.V. Νυκτοπεριπλάνητες E.

c τόλμα, τόλμη] τόλμη, τόλμα A.V.

ΝΥΜΦΑΓΩΓΩ] Om. A.V.

ΝΥΜΦΑΙ] Confer Hesychium h. v. KUST.

d μελιττῶν] μελισσῶν A. Photius.

e κυττάροις] κυπάρροις A. κυτταρίοις E. Photius.

f Σάμιοι δὲ] Σαμίοι καὶ A.B.V.E. Photius.

g μεμυκυῖαι] μεμακυῖαι A. qui mox om. καὶ αἱ νεογ.— νύμφαι.

h Ὅτι δὲ καὶ] καὶ om. A.B.V.E. Photius.

i Περὶ δὲ τῶν θεῶν Διονυσίῳ πᾶσα ἡ ἱστ.] Hæc nihil ad rem faciunt. KUST. Hæc omnino ad rem facere, atque adeo nequaquam pro inutili adsumento esse rejicienda docuit H. Valesius ad Socrat. Hist. Eccl. III. p. 204, 2. HEMST.

k Διονυσίῳ] Διονύσου Photius. Mox ἡ ante ἱστορία om. A. B. Phot.

ΝΥΜΦΑΙΟΝ] Nymphæum Romæ in septemzodio, Amm. Marc. XV. 7. REINES. Vid. Νακώλεια. HEMST.

ΝΥΜΦΑΙΟΝ: Ἐν τῷ Πόντῳ ἐστὶ τὸ Νύμφ.] Ex Harpocratione. KUST.

l τάλαντον] Statim delevi cum A.V., ΝΥΜΦΑΙΠΙΔΑΚΑ: Ἐν Ἐπιγράμμασι· Παναγέλην νυμφαιπίδακα, Βάκχε γάνος. Ζήτει ἐν τῷ ΓΑΝΟΣ.

ΝΥΜΦΕΙΟΣ] Deest gl. V. Seqq. Νύμφιος δὲ, omisso δὲ sejunxi cum A. et Photio. Κόσμος om. Photius.

m Νηματια] ἡματίαι ᾧ νύμφιος A. ἤματι δ' ᾧ νυμφεῖος Anthol. Pal. VII. 188. Et sic manifesto in Suida reponendum.

ΝΥΜΦΕΥΤΡΙΑ] Aristoph. Ach. 1055.

n Καὶ ἡ ν.] Hæc loco suo sunt mota, inserique debent

καὶ [o] πρεσβυτέρα, Πηνελόπη, καὶ ἡ Ἑλένη. Παρὰ A Ἀθηναίοις καὶ ἡ τοῦ Διὸς μήτηρ, καὶ ἡ [p] θεά, ἡ ἐπὶ τῶν ὑδάτων.

**Νύμφη**: Πηγή. Καὶ ἡ [q] νεόγαμος γυνή. Αἰλιανός·

> Μῆνις δὲ ἐδόκει καὶ Νυμφῶν δι' ἀπορίαν ναμάτων.

**Νύμφην** δὲ καλοῦσι καὶ τὸ ἀνὰ μέσον τῶν γυναικείων αἰδοίων, [ὡς προεγράφη.]

**Νυμφικὰ λουτρά**: Τὰ εἰς γάμους ἐκ τῆς ἀγορᾶς ἀπὸ κρήνης λαμβανόμενα.

**Νυμφῖος**: Ὄνομα ποταμοῦ. [r] Πισίδης·

> Καὶ τὸν μέγιστον ἐκπεράσας Νυμφίον,
> ὅστις [s] Τίγρητος ταῖς ῥοαῖς ἐπιρρέων,
> ἀποστερεῖται τοῦ καλεῖσθαι Νυμφίος.

**Νυμφίου βίον**: Παροιμία.

> [t] Ὑμεῖς μὲν ἄρα ζῆτε νυμφίου βίον.

Οἱ γὰρ γαμοῦντες ἐστέφοντο σισύμβροις καὶ φυτοῖς τισι πρὸς τὰς τῶν γάμων ἡμέρας.

**Νύμφις**, Νύμφιδος, Ξεναγόρου, Ἡρακλεώτης ἐκ Πόντου, ἱστορικός. Περὶ Ἀλεξάνδρου καὶ τῶν διαδόχων καὶ ἐπιγόνων βιβλία κδʹ, [u] Περὶ Ἡρακλείας βιβλία ιγʹ· ἔχει δὲ μέχρι τῆς καθαιρέσεως τῶν τυράννων τὰ [x] μετὰ τοὺς ἐπιγόνους, καὶ μέχρι τοῦ D [y] τρίτου Πτολεμαίου.

**Νυμφοστολῆσαι**: Νύμφην κοσμῆσαι.

**Νυμφοστόλος**: Νυμφαγωγός.

**Νυμφῶνος**: Τοῦ κοιτῶνος.

**Νῦν**: Χρονικὸν ἐπίρρημα.

> [z] Νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ,
> καὶ λῆμα θούριον [a] φορεῖν, καὶ λόγους ἀφύκτους,
> ὅτοισι τόνδ' ὑπερβαλῇ· ποικίλος γὰρ ἀνήρ,
> κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζων.

**Κάλων**: [b] Σχοινίον. Τροπικῶς δὲ ὡς ἐπὶ τοῦ ἱστοῦ λέγει, δεῖ τὰ ἄρμενα πάντα κινεῖν ὑπὲρ τοῦ [c] περιγενέσθαι αὐτοῦ.

**Νῦν δή**: Ἀρτίως, ἢ μικρὸν ἔμπροσθεν. Πλάτων [d] Νόμοις·

> Ἢ νῦν δὴ ὀλίγον ἔμπροσθεν τούτοις περιτυχόντες τοῖς λόγοις, B οὕτω ταῦτ' ἐτίθεμεν· νῦν δὲ ἐπιλελήσμεθα.

Καὶ [e] Εὐριπίδης ἐν Ἱππολύτῳ·

> Νῦν δὴ μὲν ὄρος βᾶσ', ἐπὶ θήρας
> [f] πόθον ἐστέλλου· νῦν δὲ ψαμάθοισιν
> ἀκυμάντοις.

Καὶ ἐν Μελεάγρῳ·

> Ὁρᾷς σὺ νῦν δή μ' ὡς ἐπράϋνας [g] τύχην.

Μάγνης δὲ ἐν [h] Πυτακίδῃ·

> C Εἰπέ μοι· νῦν [i] δὴ μὲν ὤμνυς μὴ γεγονέναι, νῦν δὲ φῄς.

Ἐν δὲ τοῖς Νόμοις [k] διαλελυμένον εἴρηκε, τὸ μὲν νῦν ἐπὶ τοῦ παρόντος χρόνου, τὸ δὲ δὴ ἐπὶ συνδέσμου.

> Ὃς δὴ πάντων τῶν πολέμων χαλεπώτατος, ὡς φαμὲν ἡμεῖς νῦν δή.

**Νῦν εὐπλόηκα, ὅτε νεναυάγηκα**: Ἐπὶ τῶν παρ' ἐλπίδα εὐτυχησάντων. Ζήνων γὰρ ὁ [l] Κιτιεύς, καταλιπὼν τοὺς πρὶν διδασκάλους, καὶ Κράτητος τοῦ φιλοσόφου φοιτητὴς γενόμενος, τοῦτο εἴρηκε, ναυαγίῳ περιπεσών, καὶ εἰπών, [m] Εὖ γε ποιεῖ ἡ τύχη προσελαύνουσα ἡμᾶς φιλοσοφίᾳ, οὕτω τραπῆναι πρὸς φιλοσοφίαν.

**Νῦν εἰς χώραν ἦλθον**: Ἐπὶ τῶν πρώτον μὲν οὐκ ἀνεχομένων ἐλθεῖν, ὅποι δεῖ· ὕστερον δὲ αὐτομάτως παραγενομένων.

**Νῦν ἦλθον εἰς χορόν· νῦν τ' ἔπαρδες**:

---

sequenti articulo post πηγή. Res liquida, si conferas Hesych. in Νύμφη. HEMST.

[o] πρεσβυτέρα] καὶ πρεσβυτέρα V. Photius.

[p] θεὸς] θεὰ A.V. Photius.

[q] νεόγαμος] ἡ νεόγαμος A.B.V. Photius. Mox δὲ post Αἰλιανὸς om. A. Tum Μῆνις δὲ A.B.V.E. non Μῆνίς τε. In fine ὡς προεγράφη om. A.V.

ΝΥΜΦΙΚΑ ΛΟΥΤΡΑ] Confer omnino Nostrum supra v. Λουτροφόρος. KUST. Vid. notata ad Hesych.

ΝΥΜΦΙΟΣ] Vid. Vales. ad Ammian. Marcellin. XVIII. F 9. HEMST. REINES.

[r] Πισίδης] Fr. Foggin. 124.

[s] Τίγρητος] Τίγριδος A.

[t] Ὑμεῖς μὲν ἄρα ζῆτε νυμφίου β.] Aristoph. Av. 161. Post h. gl. delevi ΝΥΜΦΙΟΣ ΟΙΚΟΣ: Ἐν ᾧ αἱ νύμφαι εἰσὶν, cum A.B.V.E.

ΝΥΜΦΙΣ] Chion in Ep. ad Matridem patrem Nymphin Clearchi Heracl. tyranni συγγενῆ adpellat. Mittitur ab Heracliensibus legatus, et quidem princeps inter alios G ad Galatas regnum Mithridatis regis Cappadocum divexantes, Memnon Hist. Eccl. c. 25. ap. Photium c. 224. p. 723. Ad hunc scripsit sua περὶ θαυμασίων Philo Heracleota, quem sub Philone Alex. memorat auctor II. 10. p. 132. Huc pertinet Porphyr. lib. de Styge ap. Stob. Ecl. Phys. c. 40. p. 130. Vid. et p. 318. item p. 416. et 439. Herodorus erat recentior Nymphi. Volat. XIII. inter scriptores rerum Alex. M. eum nominat. Νύμφις μὲν γάρ φησιν ἱστορεῖν Ἀκαρίωνα, leg. Εὐφορίωνα. Schol. Apoll. Rhod. II. 168. p. 172. Natal. Com. Mythol. II. 1. Samium ad- H pellat. Vid. Schol. Apoll. Rhod. II. 652. 674. 731. 754. 780. 789. 817. 856. IV. 247. Voss. de Hist. Gr. p. 84. REINES.

[u] Περὶ Ἡρακλείας] Operis hujus mentionem faciunt Enarrator Apoll. Rh. ad lib. II. 652. 731. 754. 817. et ab lib. IV. 247. Stephanus Byzantius v. Ὕπιος, et v. Φρίξος. E Athenæus lib. XII. p. 549. et lib. XIII. p. 619. Plutarchus libro De virtutibus mulierum, p. 248. Confer Voss. De Histor. Gr. KUST.

[x] μετὰ τοὺς] κατὰ τοὺς Clintonus, quem vide F. H. ad a. 247.

[y] τρίτου Πτολεμαίου] τριπτολεμαίου A.

ΝΥΜΦΩΝΟΣ] Matth. IX. 15. οἱ υἱοὶ τοῦ νυμφῶνος. ERNESTI.

[z] Νῦν δεῖ σε πάντα δὴ κ.] Ex Aristoph. Equit. 753.

[a] φρονεῖν] φορεῖν A.B.E. Tum λόχους B. λόφους E.

[b] Σχοινίον] σχοινίων E.

[c] περιγενέσθαι] γενέσθαι A.B.V.E.

ΝΥΝ ΔΗ] Vid. Ruhnken. ad Tim. p. 186.

[d] Νόμων] νόμοις V. et sic Photius, omisso Πλάτων. Tum ἢ, non ἡ, legendum, et cum verbis Platonis conjungendum, quæ sumpta sunt ex Legg. III. p. 683 E., monuit Dobræus in Photii indice.

[e] Εὐριπίδης ἐν Ἱππολύτῳ] Vers. 233. 234. et 235. ut Portus monuit. Ibi autem ultima sic leguntur: Νῦν δ' αὖ ψαμάθοισιν Ἐπ' ἀκυμάντοις πώλων ἔρασαι. KUST.

[f] πόθον] πόθεν A. Photii ms. πόθι vel ποθῖ B.V.E. Mox ψαμμάθοισιν B.E.

[g] τύχην] τύχη V.

[h] Πιτακίδι] Leg. Πιθακνίδι. HEMST. Πυτακίδηι A. Photius. Πυτακίδι V. Πυτακίσκι B.E.

[i] μὲν δὴ] δὴ μὲν B.V.E. Photius.

[k] διαλελυμένως] διαλελυμένον A.V. Photius.

ΝΥΝ ΕΥΠΛΟΗΚΑ, ὍΤΕ ΝΕΝ.] Idem Zenonis apophthegma refert Laërtius in vita Zenonis Citt. segm. 5. ad quem locum vide Menagium. KUST.

[l] Κιττιεὺς] Κιτιεὺς A.V.

[m] Εὖγε] Εὖ V. Tum ποιεῖν A.E.

ΝΥΝ ἮΛΘΟΝ] Hæc om. A. Hesychius: Νῦν τ' ἦλθες —ἔπραδες.

ΝΥΝΜΕΝΊ: Ἀντὶ τοῦ, [n]νῦν μέν. Πολλαχοῦ δὲ A οὕτω χρῆται Ἀριστοφάνης.

ΝΥΝῚ ΔῈ ὭΣ ΤΎΠΩΙ ΠΡΌΣ ΣΕ ΓΡΆΦΩ: Ἀντὶ τοῦ, ὁλοσχερῶς.

ΝῦΝ ΠᾶΣ ΚΊΝΔΥΝΟΣ ἜΝΘΑΔ' ἈΝΕῖΤΑΙ ΣΟΦΊΑΣ, ἯΣ ΠΈΡΙ ΤΟῖΣ ἘΜΟῖΣ ΦΊΛΟΙΣ ἘΣΤῚΝ ἈΓῺΝ ΜΈΓΙΣΤΟΣ:

ΝῦΝ ὈΣΠΡΊΩΝ ἊΜΗΤΟΣ: Ἐπὶ τῶν καθ' ὥραν ἕκαστα πράττειν ὀφειλόντων.

ΝῦΝ ΣΩΘΕΊΗΝ, ἽΝ' ἮΙ ΜΟΙ ΔΊΔΑΓΜΑ ΤΟῦΤΟ ΤΟῦ B ΛΟΙΠΟῦ ΧΡΌΝΟΥ: Παρὰ τὸν μῦθον εἴρηται τοῦτο τῆς μανθανούσης χελώνης ἵπτασθαι παρὰ τοῦ ἀετοῦ, καὶ πεσούσης.

ΝῦΝ ΤΟῦΤ' ἘΚΕῖΝ' ἭΚΕΙ ΤῸ ΔΆΤΙΔΟΣ ΜΈΛΟΣ: Ἐπὶ τῶν χαρμοσυνῶν. Ὁ γὰρ Δᾶτις σατράπης Περσῶν, ὃς εὐδοκιμήσας κατὰ τὸν πόλεμον, ἑλληνίζειν βουλόμενος, εἶπεν, Ἥδομαι, καὶ εὐφραίνομαι, καὶ χαίρομαι· καὶ ἐβαρβάρισε. C

ΝΎΞ: Εὐφρόνη, καὶ ἡ σκοτία.

ΝΎΞ ἐστι σκιὰ γῆς· ἀλλ' οὐχ ἡ τυχοῦσα, ἀλλ' ἡ γινομένη παρὰ τὴν τοῦ ἡλίου αἰτίαν, [o]τοῦ εἶναι αὐτὸν ἐν τῷ ὑπὸ γῆν, ὡς πρὸς τούτους παρ' οἷς ἐστιν ἡ νύξ, ἡμισφαιρίῳ. Ὥσπερ οὐχ ὁ ὑφ' ὁποιασοῦν ἡδονῆς κρατούμενος, ἀκρατής· ἀλλ' ὁ ὑπό τινος.

ΝΥΞ ὙΓΡΆ: Χαλεπὴ, [p]φησί. D

ΝΥΡΊΖΕΙ: Ξύει, νύσσει.

ΝΎΡΩΝ: Νύττων.

ΝΎΣΣΑ: Καμπτὴρ, τέρμα, βαθμίς.

ΝΥΣΉΪΟΝ: Ὄρος Διονύσου.

ΝΎΣΙΑ: Ὀρχήματος εἶδος. Τῶν γὰρ ὀρχήσεων ἡ μὲν [q]Βερεκυντιακὴ λέγεται· ἡ δὲ, Κρητική· ἡ δὲ, [r]Παρική. [s]Νύσια οὖν, τὰ Βερεκύντια· [t]Νυσιὰς γάρ ἐστιν ἡ Βερεκυντιακή. Κνώσσια δὲ, [u]Κρητική· [x]ἐν Μυσίᾳ [y]γὰρ καὶ Κνωσσῷ [z]ἐπιμελὴς ἡ ὄρχησις. Νύσια δὲ, τὰ ἐν τῇ Νύσῃ γινόμενα. Ἔστι δὲ αὕτη Διονύσου ἱερά. [a]Καὶ τὰ Κνώσσια ὡσαύτως. ἌΛΛΩΣ. Τῶν ὀρχήσεων αἱ μὲν εἰσὶ Διονυσιακαὶ, αἱ δὲ, [b]Κορυβαντιακαὶ, αἱ ἐνόπλιοι. Νύσιαι δὲ, αἱ Διονυσιακαί· Κνώσσιαι δὲ, αἱ Κορυβαντιακαί. Κνωσσὸς γὰρ πόλις Κρήτης. Ἐν τῇ Κρήτῃ δὲ ὑπὸ τῶν Κορυβάντων ἐτράφη ὁ Ζεύς.

ΝΎΧΙΟΣ: Νυκτερινός.

ΝΎΧΟΣ: Νύξ.

## Ξ Α

ΞΑΝᾶΝ: Πονεῖν τοὺς καρποὺς τὰς γυναῖκας [c]τῶν χειρῶν, διὰ συνεχῆ τῶν ἐρίων ἐργασίαν.

ΞΑΝΉΣΕΙ: Κοπιάσει.

ΞΑΝΘΉΝ: Πυρροειδῆ.

ΞΑΝΘΊΖΕΤΕ: Οἷον τῷ μέλιτι [d]χρωΐζετε, ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε. Ἡ γὰρ καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν ἐστιν, ἵνα πυρρὰ ᾖ.

ΞΑΝΘΊΖΕΣΘΑΙ: Κοσμεῖσθαι τὰς τρίχας.

ΞΑΝΘΙΚΌΣ: Ὄνομα μηνὸς [e]παρὰ Μακεδόσιν. Ὁ D Ἀπρίλλιος.

ΞΆΝΘΙΟΝ: [f]Ἐπίσκοπον.

ΞΆΝΘΙΟΣ: Ὄνομα κύριον. Ἦν δὲ Βοιωτὸς, καὶ μονομαχῶν ἀνῃρέθη ὑπὸ Μελάνθου Ἀθηναίου. Ζήτει ἐν τῷ ἈΠΑΤΟΎΡΙΑ.

ΞΆΝΘΟΣ, Κανδαύλου, Λυδὸς ἐκ Σάρδεων, ἱστορικὸς, γεγονὼς ἐπὶ τῆς ἁλώσεως Σάρδεων. Λυδιακὰ, βιβλία δ'. [g]Ἐν δὲ τῷ β'. τούτων ἱστορεῖ, ὡς πρῶτος

E

[n] νῦν μὲν] νυνὶ μὲν A.B.V. Sumpta hæc ex Schol. Aristoph. Av. 448.

ΝΥΝ ΠΑΣ ΚΙΝΔΥΝΟΣ] Hæc sunt Aristophanis in Nub. 952. TOUP. ὁ κίνδυνος A.B.V.E. Mox φιλοσόφοις A. pro φίλοις.

ΝΥΝ ΣΩΘΕΙΗΝ] Hæc in choliambos redigere frustra conatur Schneiderus Fab. Æsop. p. 207. νῦν γε σωθείην, Ἵν' ᾖ μοι χρόνου δίδαγμα τοῦτο τοῦ λοιποῦ. Si choliambi sunt, longe faciliori mutatione dispone, Νῦν δὲ σωθείην, Δίδαγμ' F ἵν' ᾖ μοι τοῦτο τοῦ χρόνου λοιποῦ.

ΝΥΝ ΤΟΥΤ' ἘΚΕΙΝ' ἭΚΕΙ ΤΟ ΔΑΤ.] Aristoph. Pac. 288. Νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος, Ὅς δεφόμενος πότ' ᾖδε τῆς μεσημβρίας, Ὡς ἥδομαι, καὶ τέρπομαι, καὶ χαίρομαι. KUST.

[o] τοῦ εἶναι] τῷ εἶναι V.

[p] φησὶ] Statim delevi cum A., ΝΥΞΑΙ: ὍΤΙ ΒΑΛΕΙΝ, τὸ πέμψαι πόρρωθεν. ΟΥΤΑΣΑΙ δὲ, καὶ ΝΥΞΑΙ, καὶ ΤΥΨΑΙ, τὸ ἐκ χειρὸς τρῶσαι, quæ leguntur supra v. Βαλεῖν.

ΝΥΣΙΑ: Ὀρχήματος εἶδος. Τῶν γ.] Ex Schol. Sophocl. G Aj. 699. KUST.

[q] Βερεκυνθιακὴ] Βερεκυντιακὴ A.V.E. et sic in seqq. Mox ἡ δὲ Κρητικὴ om. A.

[r] Παρικὴ] Scholiasta Sophoclis habet πυρρική. Sed utrumque mendosum est. Scribi enim debet, Πυρρίχη. Pyrrichen enim genus saltationis fuisse, ex veteribus scriptoribus notissimum est. KUST. Παρρικὴ A.V. ἢ καὶ π. Sch.

[s] Νύσια οὖν, τὰ Βερεκύνθια] Scribe, Νύσια οὖν, τὰ Βερεκυν- H θιακά. Apud Scholiastam Sophoclis fœminino genere legitur, Νύσιαι οὖν, αἱ Βερεκυνθιακαί: sed minus recte. Nam apud ipsum Sophoclem est Νύσσια ὀρχήματα, genere neutro. KUST.

[t] Νυσιὰς γάρ ἐστιν ἡ Βερεκ.] Scholiasta Sophoclis habet: Νυσίας γάρ ἐστιν ἡ Βερέκυνθος. Sic etiam apud Suidam scribendum est. KUST.

[u] Κρητικὰ] Κρητικὴ A. Schol. ἡ Κρητικὴ V.

[x] Ἐν Μυσίᾳ] Scribe ἐν Νυσίᾳ, ut apud Scholiastam Sophoclis. KUST.

[y] γὰρ] δὲ V.

[z] ἐπιμελῶς] ἐπιμελὴς A.V.

[a] Καὶ τὰ Κνώσσια ὡσαύτως] καὶ συνᾴδει τῷ Κνώσσια· καὶ ἡ Κνωσὸς γὰρ Διονύσου. Schol.

[b] Κορυβαντικαὶ] Κορυβαντιακαὶ A.V.E. et sic mox. Tum αἱ δὲ ἐνοπλ. V.

[c] τοὺς τῶν] τοὺς om. A.B.E. Photius.

ΞΑΝΘΟΝ] Ξανθήν A.B.V.E. Photius.

ΞΑΝΘΙΖΕΤΕ: Οἷον, τῷ μέλιτι χρ.] Ex Schol. Aristoph. ad Acharn. 1046. sed ubi pro χρωΐζετε legitur χρίετε. KUST.

[d] χρωΐζετε] χωρίζετε V. χρωτίζετε edd. ante Kuster.

ΞΑΝΘΙΖΕΣΘΕ: Κοσμεῖσθε] Ξανθίζεσθαι: κοσμεῖσθαι A. V.

[e] παρὰ Μακεδόσιν· ὁ Ἀπρίλλιος] ὁ Ἀπρίλλιος παρὰ Μακεδόσιν V. Deest gl. A. Vid. Sturz. de Dial. Maced. p. 49.

[f] Ἐπίσκοπον] ἐπικοπτόν Photius.

ΞΑΝΘΙΟΣ] Deest artic. A. Μοναχῶν V. pro μονομαχῶν. Tum ζήτει etc. om. V.

ΞΑΝΘΟΣ] De hoc vide Vossium in opere de Hist. Gr. et præcipue Meursium ad Hesych. Miles. p. 173. 174. KUST. Artemon Cassandreus ἐν τῷ περὶ συναγωγῆς (Voss. de Hist. Gr. IV. c. 5.) βιβλίων ait Dionysium Scythobrachionem, de quo supra, in Διονύσιος Μιτυληναῖος, τὰς εἰς Ξάνθον τὸν Λυδὸν ἀναφερομένας ἱστορίας scripsisse, nescius etiam Ephorum Xanthi meminisse, ὡς παλαιοτέρου τινὸς καὶ Ἡροδότῳ τὰς ἀφορμὰς δεδωκότος, Athen. XII. p. 515. REINES. qui addit, Menippum, qui de Lydis scripsit, Xanthum redegisse in epitomen, Diog. Laërt. VI. 8.

[g] Ἐν δὲ τῷ β'. τούτων ἱστορεῖ, ὡς πρ.—ἀεὶ νεαζούσαις] Hæc

Γύγης ὁ Λυδῶν βασιλεὺς γυναῖκας εὐνούχισεν, ὅπως A αὐταῖς χρῷτο ἀεὶ νεαζούσαις. Οὗτος [h]ἱστορεῖ ὁ Ξάνθος, Ἀλκιμόν τινα βασιλεῦσαι τῆς [i]ἐκεῖσε χώρας, εὐσεβέστατον καὶ πρᾳότατον [k]ἄνδρα· καὶ ἐπ' αὐτοῦ γενέσθαι εἰρήνην βαθεῖαν, καὶ πλοῦτον πολύν· ἀδεῶς δὲ καὶ ἀνεπιβουλεύτως ζῆν ἕκαστον. Εἶτα ἐπειδὴ ἑπτὰ ἔτη ἦν τῷ Ἀλκίμῳ, [l]προελθόντας τοὺς Λυδοὺς παγγενεί [m]τε καὶ πανδημεὶ προσεύξασθαι, καὶ αἰτῆσαι τῷ Ἀλκίμῳ τοιαῦτα ἔτη δοθῆναι ἐς τὸ Λυδῶν B ἀγαθόν· ὃ καὶ γέγονε· καὶ ἐν εὐποτμίᾳ τε καὶ εὐδαιμονίᾳ πολλῇ διῆγον.

Ξάνθος: Ὁ ποταμός. Ξανθὸς δὲ, ὁ πυρρός.

Ξανθότερος: Καὶ ξανθότατος.

Ξάνθοισιν: Ὀρνέοις.

Ξάνιον: Κτένιον, ὃ φοροῦσιν αἱ γυναῖκες [n]ἐν τοῖς [o]ἀναδήμασιν, οἷς κόσμος χρυσοῦς ἐπὶ κεφαλῆς.

[s] προσῄεσαν] προσίασιν E.

[t] ἐπισκόπων διαβόητος] διαβόητος ἐπίσκοπος E.

[u] Γρηγόριος] Vid. Euseb. H. E. VII. 14.

[x] Οὓς—ἐπτοημένους] οἷς—ἐπτοημένοις A.B.E.

[y] εἰς ἔρωτα] αὐτοῖς ἐνθεὶς ἔρωτα Euseb.

[z] συγγενόμενοι] συγγινόμενοι B.E. Mox ἀπενεγκάτο A.

[a] Τῷ δὲ Ὠριγένει κατὰ τ.—εἰς τὸν πάντα πεποίηται προφήτην] Euseb. lib. VI. c. 32. Confer Huetium Origenianorum lib. III. c. 2, 2. KUST.

[b] Ἐζεκιὴλ πέντε καὶ εἴκοσι βιβλία συντέτακται] Ἰεζεκιὴλ συνετάττετο A. Euseb. συνετάττετο item B.E. Infra οὓς μόνους M.

[c] Τὸ δὲ εἰς τὸ κατὰ Ἰωάνν.—κατὰ τὴν Ἀλεξάνδρου βασιλείαν] Euseb. lib. VI. c. 24. Ibi autem initium hujus loci rectius sic legitur, ἐν μὲν τῷ ἕκτῳ τῶν εἰς τὸ κατὰ Ἰωάννην ἐξηγητικῶν σημαίνει, τὰ πρότερα πέντε, &c. KUST.

[d] Δώδεκα δὲ τῶν εἰς τ.—περὶ Ἀρχῶν] Hic Eusebius plura habet: ex quo proinde Suidas supplendus est. KUST.

[e] τὰ περὶ Ἀρχῶν] Vide Huetium Origenian. lib. III. 3, 2.

[f] Τὸν μέντοι πρῶτον—ἐν ἀρχῇ] Euseb. lib. VI. c. 25.

G [g] τοῦ τῆς] τοῦ om. A.B. ante τῶν ἱερῶν ponit Euseb. qui mox γράφων pro λέγων.

[h] Βαρησιθ] Βαρησὶθ A.B.E. βρησὶθ Euseb.

[i] Ἔζησε δὲ] Conf. Euseb. VII. 1. Βαλουσιανοῦ M.

[ii] Ὠριγένης Λεωνίδ.] Quæ Suidas in hoc articulo de Origene tradit, totidem pene verbis leguntur etiam apud Cedrenum, p. 252. et seqq. KUST. Leguntur hæc in A. sub finem voluminis.

[k] Ἀμβρόσιος] Ἀμβρόσιος, ἀνὴρ ἐπίσημος καὶ φιλόλογος ἐκ τοῦ

H Οὐαλεντίνου αἱρέσεως. Theod. Metoch. Hist. Rom. p. 94 a. Ejus temeritatem, quia, quod secreto ipse scripserat, vulgaverit, accusat Origenes in Ep. ad Fabianum Rom. Episc. Hieronymus in Apol. ad Pammachium. REINES.

[l] αὐτῷ] αὐτοῦ B.E.

[m] Ὅς ἐν τῇ παιδικῇ ἡλικίᾳ τὸ τ.] Vide Euseb. lib. VI. c. 2. KUST.

γραφῆς βούλημα πυνθανόμενος, βαθύτερον [n]ἠρεύνα. Τοῦτον ἐπέπληττεν ὁ πατὴρ, μηδὲν ὑπὲρ ἡλικίαν [o]ζητεῖν περαιτέρω. [p]Νύκτωρ δὲ ἐπιστὰς, καὶ ἰδὼν τὰ στέρνα ὡς θείου πνεύματος ἔνδοθεν αὐτοῖς ἀφιερωμένου, κατεφίλει, καὶ τῆς εὐτεκνίας ἑαυτὸν ἐμακάριζεν. Ἁγνείαν δὲ καὶ ἐγκράτειαν τοσαύτην ἤσκησεν ἐκ νέου τοῦ σώματος, ὡς ὀβολοῖς τέσσαρσι καὶ μόνοις πρὸς διατροφὴν ἑκάστης ἡμέρας [q]ἀρκούμενος. Καὶ μέντοι καὶ [r]πολλοῖς ἔτεσι τοῦτο ποιῶν διετέλει· καὶ ἐπ' ἐδάφους καὶ ψιάθου καθεύδων, καὶ ὀλίγον καιρὸν τῆς νυκτὸς ἀναπαυόμενος, τὸν πλείονα εἰς τὴν ἱερὰν μελέτην τῶν ἱερῶν λογίων διήνυε. [s]Καὶ ἐν τούτοις ἐπεκτεινόμενος, ἐπί τε ἀγρυπνίᾳ καὶ ἀσιτίᾳ καὶ γυμνότητι ἑαυτὸν ὑπωπιάζων, [t]τοσοῦτον κατεδάμασε τὴν ἀκμὴν τοῦ σώματος, ὡς ὁρᾶσθαι παντελῶς αὐτὸν ἀπεσκληκέναι. Οἴνου γὰρ καὶ ἐλαίου καὶ τῶν λοιπῶν ἀπεχόμενος, ἀνατροπὴν τοῦ θώρακος μεγίστην ὑπέμεινεν. Ἔνθεν γέ τοι διαβόητος γενόμενος, ὡς διαπρέπων ἔργῳ καὶ λόγῳ, καὶ πολλοὺς Ἕλληνας τὴν εἰδωλομανίαν βδελύττεσθαι πείσας, μαρτυρίου στέφανον ἀναδήσασθαι παρεσκεύασε. Πολλῆς οὖν φήμης περὶ αὐτὸν τρεχούσης, καὶ πολλῶν μακρόθεν πρὸς αὐτὸν συρρεόντων, οὐ μόνον Ἕλληνας καὶ φιλοσόφους καὶ αἱρετικοὺς ἐλλογίμους πρὸς τὴν εὐσέβειαν εἵλκυσεν, [u]ἀλλὰ καὶ τοὺς ὄντας Χριστιανοὺς μᾶλλον στοιχειώσας ἐπεβεβαίωσεν. Ὃν ὁ προλεχθεὶς Ἀμβρόσιος ἱκετεύσας πολλὰ, καὶ παραβιασάμενος ἐν Καισαρείᾳ, καὶ ταχυγράφους αὐτῷ παραστήσας ἑπτὰ, πλείους δὲ καλλιγράφους, ἑρμηνεῦσαι τὰς θείας [x]γραφὰς αὐτὸν πεποίηκε. Καὶ ὁ μὲν τὴν [y]δέουσαν χρείαν παρεῖχεν· ὁ δὲ ἐπὶ σχολῆς γενόμενος ὑπηγόρευε τοῖς ταχυγράφοις, καὶ οἱ βιβλιογράφοι σὺν γυναιξὶν ἔγραφον [z]ἐπὶ τὸ καλλιγραφεῖν ἐξησκημέναις. [a]Πᾶσαν δὲ θείαν γραφὴν ἡρμήνευσεν ἐπὶ ἔτη ιη'. Λέγεται δὲ [b]ὅτι ἑξακισχιλίας βίβλους συνέταξε, τοσοῦτον γὰρ ζῆλον ἐς τὴν ἐξήγησιν τῶν θείων λογίων ὁ Ἀμβρόσιος ἐπεδείξατο, ὥστε τὴν πολλὴν αὐτοῦ σπουδὴν Ὠριγένης μαρτυρῶν, γράφει πρός τινα λέγων· "Ὁ ἱερὸς [c]Θεοῦ καὶ γνησίως ἀνακείμενος, "Ἀμβρόσιος, [d]πολλὰ προσηγόρευσεν· ὅς τις νομίζων "με [e]φίλον εἶναι, καὶ πάνυ διψᾶν τοῦ θείου, ἤλεγξε "τῇ ἰδίᾳ φιλοπονίᾳ τῷ πρὸς τὰ μαθήματα ἔρωτι. "Ὅθεν ἐπὶ τοσοῦτόν με παρελήλυθεν, ὥστε κινδυ"νεύειν ἀπαυδᾶν πρὸς τὰς αὐτοῦ προτάσεις. Οὔτε "γὰρ δειπνῆσαι ἐστὶν ὅτι μὴ ἀντιβάλλοντα, οὔτε "δειπνήσαντα ἔξεστι περιπατῆσαι, καὶ διαναπαῦσαι "τὸ σωμάτιον· ἀλλὰ καὶ ἐν τοῖς καιροῖς ἐκείνοις φι"λολογεῖν καὶ ἀκριβοῦν τὰ ἀντίγραφα ἀναγκαζόμεθα. "Οὔτε μὴν ὅλην ἐπὶ θεραπείᾳ τοῦ σώματος τὴν νύκτα "ἔξεστιν ἡμῖν κοιμᾶσθαι, [f]ἐπὶ πολὺ ταῖς φιλολογίαις "παρατείνοντα. Ἐῶ δὲ λέγειν καὶ τὰ ἕωθεν μέχρις "ἐννάτης καὶ δεκάτης ὥρας. Πάντες γὰρ οἱ θέλοντες "φιλοπονεῖν, τοὺς καιροὺς [g]ἐκείνους τῇ ἐξετάσει τῶν "θείων λογίων καὶ ταῖς ἀναγνώσεσιν ἀνατιθέασι." Πᾶσαν τοίνυν ἡρμήνευσε τὴν θείαν γραφήν. Κατὰ γὰρ τοὺς χρόνους ἐκείνους ἐν Ἰεριχοῖ ἔν τινι πίθῳ [h]περιτυχὼν τῇ Παλαιᾷ, εὐφυῶς μάλα καὶ ἐπιστημόνως ταύτην κατεσκεύασεν. Ἀλλ' οὐκ εἰς τέλος ἄσβεστον αὐτοῦ τὸ κλέος διέμεινε. Συμβεβήκει γὰρ αὐτῷ τὸ τῆς πολυπειρίας δραστήριον πτῶμα ἐξαίσιον· καὶ μέντοι σκάνδαλον πολλοῖς, καὶ ἀπωλείας [i]πρόξενος γέγονε. Βουλόμενος γὰρ τῶν θείων γραφῶν μηδὲν ἐᾶσαι ἀνερμήνευτον, εἰς ἐπαγωγὴν ἑαυτὸν περιέβαλεν ἁμαρτίας, καὶ θανάσιμα ἐξηγήσατο ῥήματα. Ἐξ αὐτοῦ γὰρ καὶ Ἄρειος τὰς ἀφορμὰς εἴληφε, καὶ οἱ καθεξῆς [k]ἀνόμοιοί τε, καὶ ἀνόσιοι, καὶ οἱ λοιποὶ πάντες. Φάσκει γὰρ οὗτος τολμήσας κατὰ τὴν ἀρχὴν, ὅτι ὁ μονογενὴς υἱὸς ὁρᾶν τὸν Πατέρα οὐ δύναται· οὔτε τὸ Πνεῦμα τὸ ἅγιον τὸν Υἱόν· οὔτε οἱ Ἄγγελοι τὸ Πνεῦμα· οὔτε οἱ ἄνθρωποι τοὺς Ἀγγέλους. Καὶ ἐκ τῆς οὐσίας τοῦ πατρὸς οὐ θέλει εἶναι τὸν Υἱὸν, ἀλλὰ κτίσμα, καὶ κατὰ χάριν υἱὸν λέγεσθαι. Τὴν δὲ ἀνθρωπίνην ψυχὴν προϋπάρχειν· καὶ τὰ ἑξῆς τῶν βλασφημιῶν αὐτοῦ. Πολλὴν γοῦν πεποίηκε σύνταξιν εἰς ἑκάστην γραφήν. Καὶ ὅσα μὲν ἐν προσομιλίαις καὶ διὰ προοιμίων ἐς ἤθη τε καὶ ἐς φύσεις ζώων καὶ ἀλόγων εἴρηται, [l]μέσος φερόμενος πολλάκις χαρίεντα διηγήματα γράφει· ὅσα δὲ περὶ πίστεως ἐδογμάτισε, τῶν πάντων ἀτοπώτερος εὑρίσκεται. Ἔδοξε δὲ αὐτῷ καὶ ἀσκητικὸν βίον ἐπανῃρῆσθαι τοιοῦτον, ὡς καὶ τὸν θώρακα αὐτοῦ, φασὶ, δι' ὑπερβολὴν ἀσιτίας τε καὶ σκληραγωγίας ἀνατραπῆναι. Ἐπινενόηκε δὲ καὶ κατὰ τὸ σωμάτιον [[m]τί· καὶ] οἱ μὲν, [n]ὅτι νεῦρον ἀποτετμηκέναι, διὰ τὸ

[n] ἠρεύνα om. A.B.

[o] ζητεῖν περαιτέρω] περαιτέρω ζητεῖν A.B.

[p] Νύκτωρ δὲ ἐπιστ.] Eusebius loco laudato: Ἐπιστάντα δὲ ἤδη πολλάκις καθεύδοντι τῷ παιδὶ, γυμνῶσαι μὲν αὐτοῦ τὰ στέρνα φασὶν, ὥσπερ δὴ θείου πνεύματος ἔνδον ἐν αὐτοῖς ἀφιερωμένου, φιλῆσαί τε σεβασμίως, καὶ τῆς εὐτεκνίας μακάριον ἑαυτὸν ἡγήσασθαι. KUST.

[q] ἀρκούμενος] Cedrenus rectius, ἀρκεῖσθαι. KUST.

[r] πολλοῖς] ἐν πολλοῖς B.E.

[s] Καὶ ἐκ τούτου ἐπεκτεινάμενος] Cedrenus rectius, ἐν τούτοις ἐπεκτεινόμενος. KUST. Sic A. ἐπεκτεινόμενος B.E.

[t] τοσοῦτο] τοσοῦτον A.

[u] ἀλλὰ καὶ] καὶ om. A.

[x] αὐτὸν] γραφὰς] γραφὰς αὐτὸν A.

[y] δέουσαν χρείαν π.] Per 18 annos. Theod. Metoch. Hist. Rom. p. 94 b. REINES.

[z] ἐπὶ τὸ] ἐπὶ τῷ A.E.

[a] Πᾶσαν δὲ] πᾶσάν τε A.B.E.

[b] ὅτι στὰς βίβλους συνετάξατο] Wolfius et Portus: *Fertur* stans *libros composuisse*. Inepte. Pro στὰς enim scribendum est ς. quæ est nota numeri 6000. Tot enim libros Origenes scripsisse credebatur: ut vel ex Cedreno patet, qui expresse ait, λέγεται δὲ, ὅτι ἑξακισχιλίας βίβλους συνέταξε. Ceterum, locum hunc Suidæ sic, ut diximus, emendandum esse, Pearsonius etiam ad oram Suidæ sui notaverat. KUST. ἑξακισχιλίας—συνέταξε A. et fere B.E. ςʹ M.

[c] θεοῦ] θεῷ B.E.

[d] πολλὰ προσηγόρευσεν] Cedrenus, πολλά προσαγορεύει σέ: KUST.

[e] φίλον] Cedrenus rectius, φιλοπόνον. KUST.

[f] ἐπὶ πολὺ ταῖς φιλολ.] Cedrenus, ἐπὶ πολὺ τῆς ἑσπέρας τῆς φιλολογίας παρατεινούσης: quod magis placet. KUST.

[g] ἐκείνους] τούτους A.

[h] περιτυχὼν τὴν Παλαιάν] Imo, περιτυχὼν τῇ Παλαιᾷ, casu dativo. Ceterum, locum hunc pleniorem exhibet Cedrenus, quem confer. KUST. τῇ παλαιᾷ E.

[i] πρόξενον] πρόξενος A.B.E. Cedr.

[k] ἀνόμοιοι] Vid. Metoch. l. d. REINES.

[l] μέσος] μέσως A. Mox ἀτοπώτερος A. Cedr. non ἀτοπώτερα.

[m] τί· καὶ om. A.B.E. τι om. edd. ante Kuster.

[n] ὅτι νεῦρον ἀποτετμ.] Scribe, ὅτι νεῦρον ἀποτέτμηκε. KUST.

μὴ ἡδονῇ παρενοχλεῖσθαι· οἱ δὲ, φάρμακον ἐπιθεῖναι τοῖς μορίοις εἶπον, καὶ ἀποξηρᾶναι· ἄλλοι δὲ ἄλλα εἰς αὐτὸν ἀναφέρουσιν. Οὗτος πολλὰ λέγεται πεπονθέναι ὑπὲρ τοῦ Χριστοῦ, λόγιος ὢν σφόδρα, καὶ ἐν τῇ ἐκκλησίᾳ ἀνατεθραμμένος· φθόνῳ δὲ διαβληθεὶς πρὸς τοὺς τῆς ἐξουσίας ἄρχοντας, κακομηχανίᾳ διαβολικῆς ἐπινοίας [o]εἰς αἰσχρότητα ἄνδρα φασὶν ἐπινοηθῆναι παρὰ τῶν τῆς κακίας ἐργατῶν· [p]Αἰθίοπα γὰρ αὐτῷ παρεσκεύασαν εἰς παράχρησιν τοῦ σώματος αὐτοῦ. Ὁ δὲ μὴ φέρων τὴν τοσαύτην βδελυρὰν ἐπίνοιαν, ἔρρηξε φωνὴν, ἀμφοτέρων προτεθέντων αὐτῷ πραγμάτων, καὶ καθωμολόγησε θῦσαι. Καὶ βαλόντες ἐπὶ τὰς χεῖρας αὐτοῦ λιβανωτὸν, εἰς τὴν τοῦ βωμοῦ πυρὰν [q]καθῆκε. Καὶ οὕτω τοῦ μαρτυρίου [r]ὑπὸ τῶν κρινάντων ἀπεβλήθη, καὶ τῆς ἐκκλησίας ἐξεώσθη. [s]Τὴν δὲ Ἀλεξάνδρειαν καταλιπὼν διὰ [t]τὸν ὄνειδον, τὴν Ἰουδαίαν κατέλαβεν. Ἀνελθὼν δὲ εἰς Ἱεροσόλυμα, ὡς [u]ἐξηγητὴς καὶ λόγιος προετρέπετο ὑπὸ τοῦ ἱερατείου ἐπὶ τῆς ἐκκλησίας εἰπεῖν· [x]πρεσβύτερος γὰρ προϋπῆρχε. Καὶ πολλὰ καταναγκασθεὶς ὑπὸ τῶν ἱερέων, ἀναστὰς, καὶ τοῦτο μόνον τὸ ῥητὸν εἰπών· "Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ "Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ "ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;" [y]πτύξας τὸ βιβλίον, ἐκάθισε μετὰ κλαυθμοῦ [z]δακρύων, πάντων ὁμοῦ συγκλαιόντων αὐτῷ. Εἰσὶ δὲ καὶ ἄλλα πολλὰ λεγόμενά τε καὶ ᾀδόμενα, διὰ τὸ πλῆθος τῆς γνώσεως αὐτοῦ καὶ συντάξεως τῶν βιβλίων. Ὅθεν καὶ Συντακτικὸς ὠνομάσθη, διὰ τὸ πεποιηκέναι πολλὰ βιβλία· μὴ ἀκούων, ὡς ἔοικε, τοῦ [a]Σολομῶντος, λέγοντος· "Υἱὲ, φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλὰ, "καὶ μὴ σπεῦδε ἐπὶ στόματί σου, καὶ καρδία σου "μὴ ταχυνάτω τοῦ ἐξενεγκεῖν λόγον ἀπὸ προσώπου "τοῦ Θεοῦ· [b]ὅτι ὁ Θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ "ἐπὶ τῆς γῆς κάτω. Διὰ τοῦτο ἔστωσαν οἱ λόγοι "σου ὀλίγοι· εἰσὶ γὰρ λόγοι πολλοὶ πληθύνοντες "[c]ματαιότητος. Καὶ μὴ γίνου δίκαιος πολύ· ἔστι "γὰρ δίκαιος ἀπολλύμενος ἐν [d]δικαιώματι αὐτοῦ. "Καὶ μὴ σοφίζου περισσὰ, [e]μήποτε ἀσεβήσῃς." Ταῦτα πάντα παρωσάμενος [f]ἐσφάλη τοῦ πρέποντος.

Ὡριέων ἄποικον ὄντα:

Ὡρικῶς: Νεωτερικῶς, [g]εὐπρεπῶς, ἢ κατὰ καιρόν. [h]Ἀριστοφάνης Πλούτῳ·

> Ὦ μειρακίσκη, πυνθάνῃ γὰρ ὡρικῶς.

Προσπαίζουσι δὲ τῇ πρεσβύτιδι οἱ γέροντες, διὰ τὸ τεθρυμμένον τοῦ ὡραϊσμοῦ· Καὶ ὡρικὴν, ἀντὶ τοῦ ἀκμαίαν. Ὥρα γὰρ, καὶ ἡ ἀκμή. Καὶ ὡραῖος, ὁ ἀκμαῖος. Κοινὰ δὲ τὰ τοιαῦτα ὀνόματα. [k]Ἀριστοφάνης·

> Εὑρόνθ' ὡρικὴν [l]ὑληφόρον,
> μέσην λαβόντ' ἄραντα, κατα-
> βαλόντα, καταγιγαρτᾶν.

Τουτέστιν, ἐν τοῖς γιγάρτοις σποδεῖν.

Ὥριμον: [m]Εὔκαιρον.

Ὡρῖνος: Ὄνομα κύριον.

Ὡρίων, Θηβαῖος, τῆς Αἰγύπτου. Συναγωγὴν γνωμῶν, ἤγουν Ἀνθολόγιον, πρὸς Εὐδοκίαν τὴν [n]βασιλίδα γυναῖκα Θεοδοσίου τοῦ μικροῦ, βιβλία γ'.

Ὡρίων, Ἀλεξανδρεὺς, γραμματικός. Ἀνθολόγιον, Ἀττικῶν λέξεων συναγωγὴν, Περὶ ἐτυμολογίας, Ἐγκώμιον Ἀδριανοῦ τοῦ Καίσαρος.

Ὡρίως: Ἐπίρρημα.

> Ὡρίως ἔχουσι θέσεως.

Κατὰ καιρόν.

Ὥριστος: Ἀντὶ τοῦ [o]ὁ ἄριστος.

Ὡρκωμότηκεν:

Ὤρκυπτεν: Ὑπερέκυπτεν ἐπαιρόμενος

Ὤρκυπτον: Ἔβλεπον μετεωριζόμενοι.

Ὧρμα: Διεγείρετο.

Ὡρμενος: Διεγερθείς.

Ὥρμησαν: Ὁρμῇ ἐχρήσαντο, [p]οὐχὶ ᾤχοντο.

Ὡρογραφία:

Ὡρολόγιον: Τὸ τὰς ὥρας μετροῦν.

Ὡροκομεῖον:

[o] εἰς αἰσχρότητα ἄνδρ.] Locus hic salebrosus est, et procul dubio corruptus vel mutilus. KUST. Cedrenus: εἰς αἰσχρότερον ἄνδρα φασὶν ἐπινοηθῆναι παρὰ τῶν τῆς κακίας ἐργατῶν τοῦτον ὑποβαλεῖν. Αἰθίοπα γάρ. Infra in v. Παραχρᾶται: Σοὶ δὲ κακομηχανίᾳ εἰς αἰσχρότατον ἄνδρα ἐπενοήθη. Αἰθίοπα γάρ.

[p] Αἰθίοπα δ'] Αἰθίοπα γὰρ A.B.E.M.

[q] καθῆκαν] Scribe, καθῆκε, numero singulari, ut habet Cedrenus. Refertur enim ad Origenem. KUST. καθῆκε A.

[r] ὑπὸ] ἀπὸ A.B.E.M.

[s] Τὴν δὲ] καὶ τὴν A.

[t] τὸν ὄνειδον] τὸ ὄνειδος Cedren.

[u] ἐξηγητὴς] ὡς ἐξηγητὴς A. Cedr. Mox ἀπὸ A.B.E. pr. M. Cedr. pro ὑπό.

[x] Πρεσβύτης] Cedrenus rectius, πρεσβύτερος, i. e. *Presbyter*. KUST. Sic A.

[y] καὶ πτύξας] καὶ om. A.B. Cedr.

[z] δακρύων] καὶ δακρύων Cedr.

[a] Σολομῶντος] Σολομῶνος A.

[b] ὁ γὰρ Θεὸς] ὅτι ὁ Θεὸς A.

[c] ματαιότητα] ματαιότητος Cedr.

[d] τῷ δικαιώματι] τῷ om. A.B.E.

[e] μήτε] μήποτε A.

[f] ἐσφάλη] παρεσφάλη A.

[g] ἢ εὐπρεπῶς] ἢ om. A. Mox καὶ ante κατὰ om. A.E.

[h] Ἀριστοφάνης Πλούτῳ] Ver. 964.

[i] Προσπαίζουσι δὲ] προσπέζουσι A. Mox ὡρακισμοῦ B.E.

[k] Ἀριστοφάνης] Acharn. 271. unde Suidas emendandus est. KUST. Mox εὗρον A.

[l] ὑλοφόρον] ὑληφόρον A. Tum καταβαλόντα A. pro καταλαβόντα. Mox τουτέστιν om. A.B.E. In fine σπευδεῖν B.E.

[m] Εὔκαιρον] ἔγκαιρον (εὔ) E.

ὩΡΙΩΝ] Orionis Grammatici sæpe meminit Etymologus. Et Orionis Thebani nominatim mentionem facit, v. Ἄνθος. KUST.

[n] βασιλέως] βασιλίδα A.E.

ὩΡΙΩΝ Ἀλ.] Marini Procl. p. 16. TOUP. Addit Reinesius Cœl. Rhodig. Ant. Lect. XXVIII. 15. Orionis Epicurei meminit Laërt. p. 513.

ὩΡΙΩΣ] Leg. Ὡραίως. VALCK.

ὭΡΙΣΤΟΣ] Il. λ'. 288. al.

[o] ὁ ἄριστος] ἀόριστος B.E. ὁ om. A.

ὯΡΜΑ] Hanc et seq. gl. addit A.

[p] οὐχὶ ᾤχ.] Forte ἢ καὶ ᾤχ. TOUP.

ὩΡΟΚΟΜΕΙΟΝ] Est vox suspecta. Forte corrupte hoc dictum est pro ὀρεωκομεῖον, i. e. *locus, ubi muli curantur; vel, mulorum stabulum:* quod et Portus suspicabatur. KUST. Leg. Ὡρολογεῖον. Vide Etymol. Mag. TOUP. Lege Ὡρονομεῖον, quod est *Horologium*, sic dictum, quia horas habet distributas, ab ὡρονομέω, de quo vide lexica. Series literarum satis etiam indicat ita leg. nam præcessit Ὡρολόγιον, sequitur Ὧρος. BOS.

A Ὦρος, Ἀλεξανδρεὺς, γραμματικὸς, παιδεύσας ἐν Κωνσταντίνου πόλει. Ἔγραψε Περὶ διχρόνων, [q]Ὅπως τὰ Ἐθνικὰ λεκτέον, Λύσεις προτάσεων τῶν Ἡρωδιανοῦ, Πίνακα τῶν ἑαυτοῦ, Περὶ ἐγκλιτικῶν μορίων, [r]Ὀρθογραφίαν κατὰ στοιχεῖον, Περὶ τῆς ει διφθόγγου, Ὀρθογραφίαν περὶ τῆς αι διφθόγγου κατὰ Φρυνίχου κατὰ στοιχεῖον, [s]Ἀνθολόγιον, Περὶ γνωμῶν.

B Ὧρος: Ὁ ἐνιαυτός. [t]Καὶ ὄνομα κύριον.

Ὡροσκόπος: Ἀστρίτης σκοπεύων τὴν ὥραν. Καὶ ὡροσκοπεῖον.

Ὠρωπία: Χώρα.

[[u]Ὁ δὲ Δημοσθένης ἐπεθύμησε ῥητορικῆς, Καλλίστρατον θεασάμενος τὸν ῥήτορα ὑπὲρ Ὠρωπίων λέγοντα.]

C Ὠρωπός: [x]Τόπος. [Ἐκ τοῦ Ὧρος, (ὃ σημαίνει ὄνομα κύριον,) καὶ τοῦ ὢψ, ὠπὸς, τοῦ σημαίνοντος τὸν ὀφθαλμὸν, γίνεται Ὠρωπός. Ἐν αὐτῷ γὰρ τῷ τόπῳ οἱ τοῦ Ὥρου ὦπες ἀπεβλήθησαν.]

[Ὤρωρεν: Ἀντὶ τοῦ ἤγειρεν, ἐτάραξεν.]

Ὠρυγή: Βοή. Ἐκ τοῦ ὠρύω.

Ὠρύεται: Ὑλακτεῖ.

Ὠρυόμην: Καὶ ὠρυόμενος. [[y]Καὶ ὠρύω, τὸ ὠρύομαι.]

D Ὤρυσσον: Καὶ ὁ μετ' ὀλίγον [z]μέλλων, ὀρύξομαι.

Ὤρυχα, καὶ [a]ὀρώρυχα. Ὠρύχειν δὲ, καὶ ὠρωρύχειν, ὑπερσυντέλικος.

Ὠρχιπέδησας: Τῶν ὄρχεων ἧψω αἰσχρῶς.

Ὡς: Λίαν. [b]Παρμενίδῃ·

Θαυμασίως ὡς δυσανάπειστον.

Σοφοκλῆς·

Θαυμαστὰ γὰρ τὸ τόξον ὡς ὀλισθάνει.

[c]λβ δὲ σημαίνει τὸ ὡς τοῦτο.

Ὡς ἀγαθὰ σταλήβδην ἅπαντά σοι φέρω: Ἐπὶ τῶν πολλὰ ἐπαγγελλομένων ἀγαθά.

Ὡσαννά: [cc]Τὸ δόξα σημαίνει. [[d]Καὶ γὰρ ἄλλος Εὐαγγελιστὴς λέγει·

Εἰρήνη τῷ υἱῷ Δαβίδ.

Καὶ ὁ ἕτερος·

Δόξα τῷ υἱῷ Δαβίδ.

Ὥστε τὸ ὡσαννὰ δόξαν σημαίνει. [e]Παρά τισι δὲ, Σῶσον δή. Οὐκ ὀρθῶς.]

Ὡς ἂν ὑπὲρ τηλικούτων: Ἀντὶ τοῦ, ἕνεκεν τούτων.

Ἀντιλαμβανομένης τῆς γυναικὸς, καὶ βοώσης, ὡς ἂν [f]ὑπὲρ τηλικούτων.

Ὡς ἀπόλοιτο, κἂν ἴσαι [g]γένωνται: Αἱ ψῆφοι δηλονότι. [h]Ὑπερβολικῶς δὲ εἴρηται. Ὅταν γὰρ ἴσαι αἱ ψῆφοι γένωνται, ἀπολύεται ὁ κατηγορούμενος.

Ὤσατο ἑαυτόν: Κατέβαλεν ἀπὸ τοῦ ἵππου. [i]Ἀππιανός·

Οὐ μὴν ἔφθασε τρῶσαι, συναρπασάντων αὐτὸν τῶν [k]ὑπασπιστῶν.

Ἢ παρενέβαλεν εἰς κίνδυνον ἑαυτόν.

Ὡσαύτως: Παραπλησίως, ὁμοίως.



ὯΡΟΣ] Hujus Ori crebra fit mentio apud Etymologum, et alios Grammaticos. KUST.

q ὅπως τὰ Ἐθνικὰ λ.] Hoc opus intelligit Stephanus Byzantius, qui v. Νικίου κώμη Orum ἐν πρώτῳ Ἐθνικῶν laudat. Item Etymologus, qui v. Δίνδυμον eundem ἐν τῷ περὶ Ἐθνικῶν citat. KUST.

r Ὀρθογραφίαν] Laudant hoc opus Scholiastes Homeri ad Il. β'. 461. et Stephanus Byzantius v. Ταίναρος. KUST.

s Ἀνθολόγιον περὶ γν.] Malim, Ἀνθολόγιον γνωμῶν. Vel, Ἀνθολόγιον, ἢ περὶ γνωμῶν. KUST. Ἀνθολόγιον, Περὶ γν. TOUP.

t Καὶ ὄνομα κύριον om. A.

u Ὁ δὲ Δημοσθένης] Deest exemplum A. Excerptum est ex ipso Suida v. Δημοσθένης p. 922 B.

x Τόπος] πό A. in quo om. seqq.

ὨΡΩΡΕΝ] Ὤροφεν E. in quo, ut in B. om. seqq. Deest gl. A.

y Καὶ ὨΡΥΩ] Seqq. om. A.

z μέλλων] μέλλων τούτου E. Mox ὠρύξομαι A.B.

a ὨΡΩΡΥΧΑ] ὀρώρυχα A.B.M.

ὨΡΧΙΠΕΔΗΣΑΣ: Τῶν ὄρχ.] Ex enarratore comici ad Av. 142. KUST.

b Παρμενίδης] Παρμενίδῃ A. Sc. Platonis p. 135 A. Quem locum indicavit Porsonus *Tracts* p. 287. Mox δυσανάπιστον A.

c λβ' δὲ] Hæc addunt A.B.E. Vid. Etymol. M. p. 824, 14.

ὩΣ ἈΓΑΘΑ ΣΤΑΛ.] Aristoph. Plut. 646. Deest gl. A.

cc Δόξαν] τὸ δόξα A. δόξα E.

d Καὶ γὰρ ἄλλος Εὐαγγελιστὴς] In prioribus respicit loca Lucæ XIX. 38. et Matth. XXI. 9. unde rectius ita scriberetur; καὶ γὰρ ἄλλος εὐαγγελιστὴς λέγει, Εἰρήνη καὶ δόξα· καὶ ὁ ἕτερος· Ὡσαννὰ τῷ υἱῷ Δαβίδ· ὥστε τὸ Ὡσαννὰ δόξαν (καὶ εἰρήνην) σημαίνει. Alioqui minus cohæret Suidæ locus. Nulla enim est sequela: *Evangelistarum alter* εἰρήνη *dixit, alter* δόξα, *ergo Hosanna est* δόξα. Sed recte inferas, *alter habet* εἰρήνη καὶ δόξα, *alter* ὡσαννὰ in eadem acclamatione: *ergo Hosanna* idem valet quod εἰρήνη et δόξα, quia permutantur, scil. hac in historia, non etymi virtute. Conf. Observat. nostras ad Luc. Evang. II. 14. qui hymnus est quasi Angelorum *Hosanna*, ut ita loquar. Quod addit noster in fine, *a quibusdam minus recte exponi* σῶσον δὴ, Hebraicæ linguæ ignorantiam prodit. Recte enim sic redditur a LXX Ps. CXVIII. 25. ALBERT. Desunt

E hæc A.

e Παρά τισι δὲ, Σωσ.] Apud LXX Interpr. Psalm. CXVII. 25. KUST.

f ὑπὲρ τηλικούτων] *Matre retinente, et filiarum jam maturarum causa vociferante.* TOUP.

ὩΣ ἈΠΟΛΟΙΤΟ, ΚΑΝ ἼΣΑΙ Γ.] Aristoph. in Ran. 696. Ὡς ἀπολεῖται, Κἂν ἴσαι γένωνται. Scholiastes ad illum locum: Κἂν ἴσαι γένωνται: Αἱ ψῆφοι δηλονότι, αἱ λευκαὶ καὶ αἱ μέλαιναι. Ὑπερβολικῶς δὲ εἶπεν, ὅταν γὰρ ἴσαι γένωνται αἱ ψῆφοι, ἀπολύεται ὁ κατηγορούμενος. Hinc Suidas sua de-

F prompsit. Confer Nostrum supra v. Ἴσαι ψῆφοι: ubi eadem leguntur. KUST.

g ΓΙΝΩΝΤΑΙ] γένωνται A. ἴσοι E.

h Ὑπερβολικῶς] ὑπερβολικῶς δὲ A. Mox γίνωνται B.E.

ὩΣΑΤΟ ἙΑΥΤΟΝ: Κατέβαλεν ἀπὸ τοῦ ἵππου. Ἀππιανός· Οὐ μὴν ἔφθασε τρῶσαι, συναρπασάντων αὐτὸν ὑπασπιστῶν, ἢ παρενέβαλεν εἰς κίνδυνον ἑαυτόν] In hoc articulo multa sunt, quæ minus satisfaciant. Primum, interpretamentum non convenit. Deinde nihil quidquam prodest exemplum

G allatum. Illa denique ἢ παρενέβαλεν &c. aliquanto corrupta sunt, et nihil attinent ad Appianum. Quid multa? Vel quovis pignore contenderim, ita hunc locum ab auctore fuisse profectum: Ὤσατο ἑαυτόν: Ἀππιανός· Ὤσατο ἑαυτὸν ΚΑΙ κατέβαλεν ἀπὸ τοῦ ἵππου, οὐ μὴν ἔφθασε τρῶσαι, συναρπασάντων αὐτὸν ὑπασπιστῶν. *In medios se conjecit, et de equo eum deturbavit, interficere autem non potuit, quod satellites eum statim exciperent.* Ita recte se habet pulcherrima ῥῆσις, parente suo neutiquam indigna. Quæ sequuntur ita scribenda sunt: Ἢ παρενέβαλεν εἰς κίνδυνον ἑαυτόν. Sunt autem non nisi explanatio τοῦ, Ὤσατο ἑαυ-

H τὸν, a Suida pro more adjecta. TOUP. ἢ παρενέβαλεν A. B.E. Vid. Appian. ed. Schweigh. t. III. p. 15.

i Ἀππιανός] Sic. mss. Paris. At priores editt. Αἰλιανός: quod corruptum existimo. Ceterum, exemplum sequens nihil faciet ad hunc locum, nisi post Ἀππιανὸς repetas verba illa, articulo huic præfixa, ὤσατο ἑαυτόν. KUST.

k ὑπασπιστῶν] τῶν ὑπ. A.B.E.M.

Ὠς γ᾽ ἐμοὶ κριτῇ: Ἀντὶ τοῦ, ὡς ἐμοὶ χρῆσθαι κριτῇ. Σοφοκλῆς· A

Ἔρεβος φαεννότατον, [l]ὡς ἐμοί.

[l]Παρέλκει τὸ ὡς· ἐμοὶ κριτῇ.

Ὡς δεῖ: [m]Ὡς δέον γενέσθαι.

Ὡς δή σφιν: Ὡς δὴ [n]αὐτοῖς.

Ὡς ἐκ τῶν παρόντων: Ἐξ ἀνάγκης.

[o]Ἡ δὲ ὡς ἐπύθετο, ὡς ἐκ τῶν παρόντων [p]αἵρεσιν ἑκάστῃ δόντος θανάτου, ὡς ἔνι μάλιστα, ἀλύπου τε καὶ κούφου, τὸ διάδημα, ὅπερ οὖν ἐπὶ τῆς κεφαλῆς εἶχε σύμβολον δὴ καὶ μαρτύριον ἀρχῆς, περισπάσασα, εἶτα μέντοι τῷ τραχήλῳ περιβάλλει πρὸς τὴν [q]χρείαν τὴν παροῦσαν βρόχον ἀποφήνασα. B

Ὡς ἔνι: [r]Ὡς ἐγχωρεῖ, ὡς ἔστι.

Δυσχερῶς αὐτοὺς ἐπιδιδόντων ὡς ἔνι μάλιστα εἰς τὴν χρείαν ταύτην.

Ὡς ἔνι μάλιστα: Ἀντὶ τοῦ λίαν.

Οἱ δὲ τὰς μὲν ἀρχὰς ἐπτοήθησαν, ὡς ἔνι μάλιστα· μετὰ δὲ ταῦτα τοῦ [s]στρατηγοῦ δόντος παράγγελμα, πάντες ἐβοήθουν. C

Καὶ αὖθις·

Ὅπως καταγωγαὶ [t]ὡς ἔνι ἀσφαλέσταται ἔσονται.

Ὡς ἐπίπαν: Ὡς ἐπιπολύ. Λέγεται δὲ τοῦτο, καὶ [u]ὡς πλήθει. Δίων ὁ συγγραφεὺς πολλαχοῦ κέχρηται τῇ λέξει, καὶ ἐν Ῥωμαϊκῶν ιζ´·

Πέφυκε γὰρ καὶ ἄλλως, ὡς πλήθει, τὸ μὲν εὐτυχοῦν θρασύνεσθαι, τὸ δὲ κακοπραγοῦν, μετριάζειν· κἀκ τούτου τὸ μὲν δεδιὸς σωφρονεῖν, τὸ δὲ θαρσοῦν, ἀκολασταίνειν. Ἐπὶ πλέον δ᾽ ἐν ἐκείνῳ τοῦτ᾽ ἐφωράθη. D

Καὶ ἐν τρισκαιδεκάτῳ·

[x]Καίτοι πέφυκεν, ὡς πλήθει, τὸ μὲν βέβαιον ἐκ βραδυτῆτος, τὸ δ᾽ ὀξύρροπον ἐκ τάχους διανοίας ὑπάρχειν.

A Ὡς ἔπος εἰπεῖν: Τοῦτο σχηματίζεται παρὰ τοῖς παλαιοῖς, καὶ ὡς εἰπεῖν ἔπος· καὶ, ὡς ἔπος φάναι· καὶ, ὡς [y]φάναι ἔπος. Ἔτι δὲ καὶ διὰ μιᾶς λέξεως ἐκφωνεῖται, οἷον, ὡς φάναι, καὶ, ὡς εἰπεῖν. Σημαίνει δὲ πάντα τὸ αὐτό.

Ὡς ἔπος εἰπεῖν: Ὡς φαίνεται, καὶ ὡς [z]ἐν λόγῳ εἰπεῖν. [[a]Ἀλλαχοῦ δὲ λέγει [b]Ἀριστοτέλης, ὡς τύπῳ περιλαβεῖν. Τοῦτο δὲ εἴρηκεν, ὅτι μὴ ἔστιν ἀκρι-
B βῶς ἀφορίσαντα εἰπεῖν, τὰς μὲν τῶν προτάσεων πρὸς αἵρεσιν καὶ φυγὴν συντεινούσας, ἠθικάς· τὰς δὲ πρὸς ἀλήθειαν καὶ γνῶσιν, φυσικάς.]

Ὡς τύπῳ εἰπεῖν: Ἀντὶ τοῦ, ὡς κοινότερον καὶ καθόλου εἰπεῖν.

Ὡς ἐς πᾶν ἀπορίας ἀφικέσθαι: Παντελῶς ἀπορῆσαι.

Ὡς ἔοικεν: Ὡς φαίνεται, ὡς [c]δεῖ, ὡς γίνεται.

C Ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην:

Ὠσηέ: Ὁ προφήτης.

Ὠσθείς: Καὶ ὤσθην.

Ὡς καλὸν, ὦ Πόσειδον, τὸ στῖφος αὐτῶν, Καὶ πυκνὸν, καὶ γοργὸν, ὥσπερ μᾶζα καὶ πανδαισία: Ὅταν γὰρ εἰς κοινὸν ἑστιῶνται, ἑκάστου φέροντος ἑαυτῷ δεῖπνον, πυκνὰ πάντα φαίνεται, πῆ μὲν τὰ
D προσφάγια φερόντων, πῆ δὲ αὐτῶν ἑστιωμένων.

Ὠσμένῳ: Ὠθισμένῳ, πεσόντι.

Ὡς οὐκ ἀρκέσοι, τὸ [d]μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν: Περὶ τοῦ Τεύκρου. Ὡς οὐκ ἐπαρκέσοι ἑαυτῷ μὴ λιθόλευστος γενέσθαι· ὡς οὐ [e]κωλύσει ἑαυτὸν καταλιθωθῆναι.

Ὡς οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος: [f]Ὥσ-

E

ὩΣ Γ᾽ ἘΜΟΙ ΚΡΙΤΗΙ: Ἀντὶ τοῦ, ὡς ἐμοὶ χρῆσθαι κριτῇ. Σοφοκλῆς· Ἔρεβος φαεννότατον, ὡς ἐμοὶ κριτῇ. Παρέλκει τὸ ὡς] Hæc neutiquam sana sunt. Editio Mediolan. ita exhibet: Σοφοκλῆς· Ἔρεβος φαεννότατον ὡς ἐμοί. Παρέλκει τὸ ὡς ἐμοὶ κριτῇ. Locus utrobique luxatus est, quem ita nullo negotio ex more atque consuetudine nostri grammatici in integrum restitueris: Σοφοκλῆς· Ἔρεβος φαεννότατον ὡς ἐμοί. Ὡς ἐμοὶ κριτῇ, ἢ παρέλκει τὸ ὡς. Bina interpretamenta hic subjicit Suidas. Quod et fecit Scholiastes ad Sophoclem, quem respexit Noster. Respexit autem F ad Sophocl. Aj. 394. Ἰὼ σκότος, ἐμὸν φάος, Ἔρεβος ὦ φαεννότατον, ὡς ἐμοί. Ita scribendus iste locus, cum auctoritate Suidæ et Scholiastæ, tum fide edit. Aldin. et mss. Bodl.; nam lectio vulgata futilissima est: recte autem, ὡς ἐμοί. Ita locutus est Sophocles, Antig. 1279. Κρέων γὰρ ἦν ζηλωτὸς, ὩΣ ἘΜΟΙ ποτε. Huc facit Lexic. Bibl. Coisl. p. 469. ὩΣ ἘΜΟΙ. Σοφοκλῆς ἐν Ἀντιγόνῃ κατελλείψας εἶπεν τοῦ, ἐμοὶ δοκεῖ, ἢ ἐμοὶ κριτῇ, ἤ τινος τοιούτου. Ita legendum. Ceterum hæc locutio occurrit apud Ælian. Var. Hist. II. G 41. Κλειὼ, φασὶ, δεινοτάτη πιεῖν ἦν, καὶ ἐκράτει πάντων, αἴσχιστόν γε τοῦτο φερομένη τὸ νικητήριον, ὩΣ ΓΕ ἘΜΟΙ ΚΡΙΤΗΙ. Atque huc Suidæ nota referenda est. TOUP.

[l] ὡς ἐμοὶ κριτῇ] κριτῇ om. A.E. qui addunt ἐμοὶ κριτῇ mox post ὡς. Scholiastes Sophoclis: ὡς ἐμοὶ] Τουτέστιν, ὡς ἐμοὶ φαεινότερον τοῦ ἡλίου. Ὡς ἐμοὶ χρῆσθαι κριτῇ (Eurip. Alc. 800.) ἢ παρέλκει τὸ ὡς.

[m] Ὡς δέον] ὡς om. A.

ὩΣ ΔΗ ΣΦΙΝ] Vid. Il. α´. 110. αὐτὸς A. pro αὐτοῖς.

[n] αὐτοῖς] αὐτὸς A.

[o] Ἡ δὲ ὡς ἐπ.] Cum hoc loco conferendus est Noster infra v. Ταραντινίδιον. KUST. Hæc ad Monimam Milesiam pertinent Mithridatis uxorem, ut ex Plutarcho liquet in Lucull. p. 503 A.B. HEMST. Similiter fere Toupius. Fragmentum videtur esse Æliani.

[p] αἵρεσιν ἑκάστῃ δ.] Locum hunc ex mss. Paris. emendavi. Ante enim minus recte legebatur, αἵρεσιν ἑκάστου δόντος θανάτου, ὡς ἔνι μάλιστα, ἄλυπόν τε καὶ κοῦφον. KUST.

[q] παροῦσαν χρείαν] χρείαν τὴν παροῦσαν A.E.

[r] Ὡς χωρεῖ] Ms. A. Ὡς ἐγχωρεῖ. KUST.

[s] στρατηγοῦ] στρατοῦ A.B.E.

[t] τε ὡς] τε om. A.

ὩΣ ἘΠΙΠΑΝ] Deest gl. A. Sed habet Lex. Seg.

[u] ὩΣ ΠΛΗΘΕΙ] De hac phrasi vide omnino Paul. Leopard. Emend. lib. IV. 19. KUST.

F [x] Καί τοι πέφυκεν] Vid. Excerpta Vaticana Maii p. 187.

[y] ΦΑΝΑΙ] ὡς φάναι A.B.E. Lex. Seg. et Schol. Platon. p. 46. unde hæc sumpta.

[z] ἐν λόγῳ] ὡς ἐν λ. A. Conf. Schol. Platon. pp. 46. 147.

[a] Ἀλλαχοῦ δὲ] Desunt seqq. A.

[b] Ἀριστοτέλης] Vid. Topic. I. c. 12. p. 282, 27. Alexand. Aphrodis. in eund. p. 51.

ὩΣ ΤΥΠΩΙ] Post Ὡστικῶς in A. Conf. Toupium ad Longin. c. 12.

G [c] δεῖ] δὴ A. δοκεῖ Timæus.

ὩΣ ἩΔΕΩΣ ΦΑΓ.] Aristoph. Vesp. 1358.

ὨΣΘΕΙΣ] Vid. Boissonad. ad Eunap. p. 358.

ὩΣ ΚΑΛΟΝ, ὮΩ ΠΟΣ.] Aristoph. Pac. 563. Ὦ Πόσειδον, ὡς καλὸν τὸ στῖφος αὐτῶν φαίνεται, &c. KUST.

ὨΣΜΕΝΩΙ] Deest gl. A.

ὩΣ ΟΥΚ ἈΡΚ.] Sophocl. Aj. 727.

[d] ΜΗ ΟΥ] μ᾽ οὐ A.

[e] κωλύσει] κωλύσοι E.

ὩΣ ΟΥΧ ὙΠΑΡΧ.] Senarium hunc tanquam Aristarchi H tragici citat Athenæus lib. XIII. p. 612. Zenobius vero eum ex Menandri Olynthia sumptum refert. Confer Nostrum infra v. Ὑπάρχων, et Gatakerum in Miscell. Posthum. c. 12. KUST.

[f] Ὥσπερ] Om. A. qui ὥσπερ bis habet in principio sequentis gl.

*περ παροιμία.* Ὁ *στίχος δέ ἐστι* Χαιρήμονος *ἐκ* Θερσίτου.

Ὥσπερ κογχύλην διελεῖν: Παροιμία *ἐπὶ τῶν σφόδρα εὐτελῶν.*

Ὦ ΣΠΕΡΜΑΓΟΡΑΙΟΛΕΚΙΘΟΛΑΧΑΝΟΠΩΛΙΔΕΣ·
Ὦ ΣΚΟΡΟΔΟΠΑΝΔΟΚΕΥΤΡΙΑΡΤΟΠΩΛΙΔΕΣ·
ΟΥΚ [g] ἘΞΕΛΚΕΤ'; ΟΥ ΠΑΙΗΣΕΤ'; ΟΥΚ ἈΡΗΞΕΤΕ;
ΟΥ ΛΟΙΔΟΡΗΣΕΤ'; ΟΥΚ ἈΝΑΙΣΧΥΝΤΗΣΕΤΕ;
ΠΑΥΕΣΘ', ἘΠΑΝΑΧΩΡΕΙΤΕ· ΜΗ ΣΚΥΛΕΥΕΤΕ:

[h] Ὦ *σπερμαγ. καὶ τὰ ἑξῆς.* Ὠὰ *γὰρ ἐπώλουν, καὶ λάχανα, καὶ ὄσπρια.*

[Ὡς Πυθώδ' ἰέναι βουλόμενοι, Βοιωτοὺς δίοδον αἰτούμεθα: *Φασὶ μεταξὺ τῆς* Πυθοῦς *καὶ τῆς* Ἀττικῆς *εἶναι τὴν* Βοιωτίαν· *καὶ οὐχ οἷόν τε εἶναι* Ἀθηναίους *εἰς* Πυθὼ *ἀπελθεῖν, εἰ μὴ παρέλθωσι* Βοιωτίαν. Ὅταν *δὲ καὶ στράτευμα διάγῃ, δίοδον ᾔτουν.* Τοῦτο *οὖν φησιν* Ἀριστοφάνης·

*[i] Ὥσπερ ἡμεῖς δίοδον αἰτοῦμεν τοὺς Βοιωτούς·*
*οὕτως ὅταν θύσωσιν οἱ ἄνθρωποι τοῖς θεοῖς,*
*ἢν μὴ φέρωσι φόρον ἡμῖν οἱ θεοί,*
*διὰ τῆς πόλεως τῆς ἀλλοτρίας, καὶ τοῦ χάους,*
*τῶν μηρίων τὴν κνίσσαν οὐ διαφρήσετε.*

Ἀντὶ *τοῦ, οὐ διαφορήσετε, οὐ διαπέμψεσθε.*

Ὥστ' ἐγὼ μὲν ἠλέησα, κἀπομορξάμην, ἰδὼν ἄνδρα πρεσβύτην ὑπ' ἀνδρὸς τοξότου κυκώμενον: Ἀντὶ *τοῦ ἔκλαυσα· ἀπὸ τοῦ παρακολουθοῦντος.* Παρέπεται *γὰρ τοῖς δακρύουσιν ἀπομάττεσθαι.* Τοξότου *δὲ, ὑπηρέτου δημοσίου, ἐπόπτου καλουμένου.*]

Ὥστεια: [k] Πόλις.

Ὡς τὴν ἐν Ἄργει ἀσπίδα καθελών: Ἐπὶ *τῶν μεγαλοφρόνων.* Οἱ *μὲν ἱερὰν φασιν ἐν* Ἄργει *εἶναι ἀσπίδα, [l] καλουμένην ὀχυρὰν, καὶ [m] δυσκάθεκτον· οἱ δὲ λόχον φασὶν εἶναι ἐν* Ἄργει *τῶν πάνυ ἀκμαζόντων νεανίσκων, ὃν* Ἀσπίδα *καλεῖσθαι.*

Ὠστία: Ἄγκος [n] Μάρκιος, [o] *βασιλεύσας* Ῥωμαίων, *πρὸς τοῖς λοιποῖς καὶ πρὸς ταῖς ἐκβολαῖς τοῦ* Τιβέριδος *ποταμοῦ ἐτείχισε τόπον,* [p] *καὶ ἐπ' αὐτῆς τῆς ῥαχίας ἀνίστησι πόλιν, ἣν* Ὠστίαν *ἀπὸ τῆς θέσεως προσηγόρευσεν· ὡς ἂν εἴποιεν* Ἕλληνες, *θύραν· ἑκκαίδεκά που σημείοις ἀφεστῶσαν* [q] *τῆς* Ῥώμης *οἶμαι.* Καὶ ὠστιάριος *δὲ διὰ τοῦ ω' μεγάλου* [r] *παρὰ τὸ ὠθεῖν.* [s] Ὀστία *δὲ, ἡ θύρα παρὰ* Ῥωμαίοις, *καὶ* ὀστιάριος, *τὸ ἀξίωμα, διὰ τοῦ ο' μικροῦ.* Μὴ Ἑλληνικῶς *δὲ ἐτυμολογείσθω.*

[Ὠστίας: Οἱ Ῥωμαῖοι ὠστίας *τὰς θύρας φασίν.* Κατὰ Ἑλληνικὴν *δὲ ἐτυμολογίαν γράφομεν διὰ τοῦ ω' μεγάλου, παρὰ τὸ ἐξωθεῖν τὸν ἐπερχόμενον.* Ἔνθεν *καὶ* ὠστιάριος, *ὁ κρατῶν τὰς θύρας, καὶ ὠθίζων τοὺς εἰσιέναι βουλομένους.* [t] Ἀριστοφάνης *ἐν* Πλούτῳ·

*Δεινὸν γὰρ, εἰ τριωβόλου μὲν οὕνεκα*
*ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τῇ 'κκλησίᾳ.*

[u] Καὶ *ἐν* Ἀχαρνεῦσιν·

*Οἶδ' ὠστιοῦνται, πῶς δοκεῖς, περὶ τοῦ πρώτου ξύλου.*

Ἀντὶ *τοῦ διωσθήσονται περὶ τῆς προεδρείας, ὡς ξυλίνων οὐσῶν τῶν καθεδρῶν· ὅτι δὲ καὶ ἐκ λίθων, παντί που δῆλον.* Ἀπὸ *ἐνεστῶτος δὲ γίνεται τοῦ ὠστίζω.* Ὁ *δὲ λόγος ὡς πρός τινά ἐστι λεγόμενος.* Καὶ [x] Ὅμηρος·

*Φαίης κἀκμῆτας καὶ ἀτειρέας.*

Καὶ,

*[y] Ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις.*]

Ὠστιζομένη: Στενοχωρουμένη.

Ὠστικῶς: Τὸ *μετὰ βίας καὶ ὠθισμοῦ*

*[z] Μηδὲ ὠστικῶς καὶ μετὰ βίας πρὸς θάνατον ἔχειν.*

Ὡς τὸ εἰκός:

*Ἡ τε παῖδα ἐόντα ἱερῷ λόγῳ ἠγάπα τε, ὡς τὸ εἰκός.*

Διάφορα *δὲ σημαίνει· πρέπον, ἀκόλουθον, εὔλογον· καὶ ἀντὶ τοῦ τάχα.*

---

Ὦ ΣΠΕΡΜΑΓΟΡΑΙΟΛ.] Quinque hi senarii leguntur apud Aristophanem Lysistr. 458. In versu tertio *τὸ ἐξελήσετε* corruptum est: pro quo apud Aristophanem hodie legitur, *ἐξέλκετε.* Sed nec hanc lectionem metrum admittit. Quare ex cod. ms. Lysistratæ Aristophanis rescribendum est, *Οὐχ ἕλξετ', οὐ παιήσετε,* &c. Sic enim versus stabit. KUST.

[g] *ἐξελήσετ'*] *ἐξέλκετ'* A. *ἐξελήκετ'* B.E. Mox *οὐ λοιδορήσετ' οὐκ ἀρήξετε* A.

[h] *Ὦ σπερμαγ.*] *ὥσπερ μάγος* A. *ὦ σπερμαγόραι* E. Statim delevi cum A., ὩΣΠΕΡ ΟΙ ΝΙΚΗΦΟΡΟΙ ΠΕΡΙΑΓΕΙΡΟΜΕΝΟΙ: *Ἔθος καὶ τοῦτο. Φασὶ γὰρ τοὺς νικῶντας τῶν ἀθλητῶν ἆθλα μὲν μὴ λαμβάνειν, περιϊόντας δὲ ὅτι τις βούλεται.* Vid. infra v. *Περιαγειρόμενοι.*

ὩΣ ΠΥΘΩΔ' ἸΕΝΑΙ ΒΟΥΛΟΜΕΝΟΙ, ΒΟΙΩΤ.] Schol. Aristoph. Av. 189. KUST. *Πυθάδ'* E. Hunc et seq. articulum om. A.

[i] *Ὥσπερ ἡμεῖς δίοδον αἰτ.*] Scribendum est, ut apud Aristophanem: *Εἶθ' ὥσπερ ἡμεῖς, ἢν ἰέναι βουλώμεθα Πυθῶδε, Βοιωτοὺς δίοδον αἰτούμεθα.* Et mox: *Ἢν μὴ φόρον φέρωσιν ὑμῖν οἱ Θεοί.* KUST.

ὩΣΤ' ἘΓΩ ΜΕΝ ἨΛ.] Aristoph. Acharn. 706.

[k] *Ὄνομα πόλεως*] *πό* A. Tum delevi ὩΣΤΕΓΑΝΟΙ: *Ἐθνικὸν,* cum A.B.E. pro quo Holstenius ad Steph. Byz. reposuit *Ὠστειανοί.*

ὩΣ ΤΗΝ ἘΝ ἌΡΓ.] Eadem habet Zenobius: nisi quod post *καθελὼν* addat *σεμνύνεται.* Vide omnino Meursium in Græc. Fer. v. *Ἡραία,* qui locum hunc egregie illustrat. KUST.

[l] *καλουμένην*] Zenobius, *καθελουμένην*: quod proxime ad veram lectionem accedit. Scribendum enim est, *καθηλευμένην,* vel *καθηλωμένην,* i. e. *clavis affixam:* ut jam ante monuit Meursius loco laudato. KUST.

[m] *δυσκάθεκτον*] Zenobius rectius, *δυσκαθαίρετον.* KUST.

[n] *Μάρκιος*] *Μάρκος* B.E.M.

[o] *βασιλεὺς*] *βασιλεύσας* A.B.E.

[p] *καὶ ἐπ'*] *καὶ* om. A.

[q] *τῆς Ῥώμης· οἶμαι δὲ διὰ τοῦ ω' μεγάλου*] *δὲ διὰ τοῦ ω̄ μεγάλου* posui cum A. post *ὠστιάριος.*

[r] *παρὰ τὸ ὠθεῖν*] Est etymologia plane inepta: quam ipse Suidas paulo post damnat. KUST.

[s] ὈΣΤΙΑ *δὲ*] *δὲ* om. A. Delevi cum A. *διὰ τοῦ ο̄ μικροῦ ὅθεν* post *Ῥωμαίοις,* et *ἐξ αὐτῆς* post *ὀστιάριος.*

ὨΣΤΙΑΣ] Deest hic articulus A. Mox *Ἑλληνικὴν—μεγάλου* om. B.

[t] *Ἀριστοφάνης ἐν Πλούτῳ*] Ver. 329. Vide etiam infra v. *Τριώβολον.* KUST.

[u] *Καὶ ἐν Ἀχαρν.*] Ver. 24. ubi sic legitur: *Ἥκοντες, εἶτα δ' ὠστιοῦνται, (πῶς δοκεῖς;) Ἐλθόντες ἀλλήλοισι, περὶ πρώτου ξύλου.* KUST.

[x] *Ὅμηρος*] Il. ό. 697. KUST.

[y] *Ἔνθ' οὐκ ἂν βρ.*] Homerus Il. δ'. 223. KUST.

ὨΣΤΙΖΟΜΕΝΗ] Aristoph. Lys. 330.

[z] *Μηδὲ ὠστικῶς καὶ μετὰ β.*] Marcus Antoninus lib. IX. §. 3. *Τοῦτο μὲν οὖν κατὰ ἄνθρωπόν ἐστι λελογισμένου, μὴ ὁλοσχερῶς, μηδὲ ὠστικῶς, μηδὲ ὑπερηφάνως πρὸς τὸν θάνατον ἔχειν.* Hinc Suidæ locus depromptus est, ut Pearsonius recte observaverat. KUST.

ʽΩς τύπωι εἰπεῖν: Ἀντὶ τοῦ, ὡς κοινότερον, καὶ A καθόλου εἰπεῖν.

ʽΩς οἷόν τε: ʽΩς δυνατόν.

ʽΩς φάσαν ἡ πληθύς: [a]Παρ' ʽΟμήρῳ. Πρὸς τὸ νοητὸν ἀπήντηκε· τῷ γὰρ ἔννοιαν ἔχοντι πλήθους ὀνόματι πληθυντικὸν ῥῆμα συνέζευξε. Καὶ,

[b]Ἀγρόμενοι πᾶς δῆμος.

ʽΩς σφόδρα: Οἷον, θαυμαστῶς, καὶ ὑπερφυῶς.

Ὤσφροντο: Ὠσφραίνοντο. Ἀντὶ τοῦ ᾔσθοντο. B Διὰ οἴνου γάρ εἰσιν αἱ σπονδαί. Δι' αἰσθήσεως δὲ ἡ αἴσθησις [c]τῇ ἀναφορᾷ τοῦ οἴνου.

Ὠσχοφόρια: Σκιράδος Ἀθηνᾶς ἑορτή. Ὦσκαι [d]γὰρ, καὶ ὦσχαι, τὰ μετὰ τῶν βοτρύων κλήματα.

Ὠσχοφόρος: Δύο ἦσαν [e]τῶν γένει καὶ πλούτῳ προεχόντων. [f]ʽΗ δὲ ὤσχη κλῆμά ἐστι, βότρυας ἐξηρτημένους ἔχον. Ταύτην δ' ἔνιοι ὀρεσχάδα καλοῦσιν. C

Ὦτα κατεαγότα:

[g]Ἤδη γὰρ ἐνίοις τῶν τὰ ὦτα κατεαγότων καὶ διεφθαρμένων τὰς διανοίας εἰς κωμῳδίαν ἐτράπη καὶ γέλωτα πολὺν τὰ τῆς φιλοσοφίας ἀπόρρητα.

[h]Δαμάσκιός φησι, διὰ τὸ τινὰς ἐκφερομυθεῖν τὰ τῆς φιλοσοφίας ἀπόρρητα.

Ὠτακουστεῖν: Γενικῇ. Τὰ κρύφια μανθάνειν D ἐθέλειν διά τινων. Καὶ [i]ὠτακουστής.

Ὦ τὰν, ὦ οὗτος, [k]ὦ φίλε, ὦ τάλαν, καὶ ὦ μέλε: Ταῦτα παρὰ τοῖς νεωτέροις ὑπὸ μόνων λέγεται γυναικῶν· παρὰ δὲ τοῖς παλαιοῖς, καὶ ὑπ' ἀνδρῶν. Πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ ὦ τάν· ὡς παρὰ Κτησιφῶντι. Οἱ γὰρ Ἀττικοὶ τὴν πρώτην συλλαβὴν περισπῶσι, τὴν δὲ δευτέραν βραχύνουσι· καὶ βέλτιον· ἀδύνατον γὰρ εὑρεθῆναι μίαν λέξιν δύο E ἔχουσαν περισπωμένας. Δίδυμος δὲ τὸ πλῆρες εἶναι φησὶν, ὦ ἐτάν· ἀγνοῶν, ὡς ἄρα τοῦ ἔτης ἡ κλητικὴ ἐστιν ἔτα, καὶ Δωρικῶς, ἔταν. [l]Ἀριστοφάνης·

[m]Τοῦτο μὲν ἔασον, ὦ τάν.

Οὐ σοι γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου.

Τὰ περὶ δημοκρατίας καὶ ἰσότητος, φησὶν, ἔασον. Ἐμὸν δέ ἐστι μᾶλλον ἐμπεριπατῆσαι περὶ τούτου, οὐ σόν.

B Ὦ τάν: Οὐ πρὸς ἕνα μόνον τὸ ὦ τὰν, ἀλλὰ καὶ πρὸς δύο. Ἀριστοφάνης Πλούτῳ·

Ὦ τὰν, ἀπαλλάχθητον ἀπ' ἐμοῦ.

Καὶ Κρατῖνος·

Ἀρά γε, ὦ τὰν, ἐθελήσετον;

Ὠτειλή: Τραῦμα.

Ὧι τὸ ἱερὸν πῦρ οὐκ ἔξεστι φυσῆσαι: [n]Τίμαιον ἐν λη' ἱστορεῖν, ὡς οἱ περὶ [o]Δημοκλείδην κατὰ C Δημοχάρους εἶπον, ὅτι μόνῳ αὐτῷ πάντων Ἀθηναίων οὐκ ἔξεστι τὸ ἱερὸν πῦρ φυσῆσαι, ὡς μὴ καθαρεύοντι τοῖς ἄνω μέρεσιν. Δοῦρις δὲ ἐν τῇ ι' [p]Πυθέαν κατὰ Δημοσθένους τὸ ὅμοιον εἰπεῖν.

Ὠτόεις: ʽΟ ἔχων ὠτία. Καὶ κλίνεται ὠτόεντος. Καὶ ὠτίον.

Ὠτοκάταξις: Τὰ ὦτα τεθλασμένος ἐν παλαίστρᾳ. D

Ὠτοθλαδίας:

[q]Ὠτοθλαδίας τε καὶ ἐμπινὴς ὤν· ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος.

Ὦτος: Ὄρνεον, ὅπερ ἐπαινούμενον καὶ ἀντορχούμενον, ὥσπερ ὁ νυκτικόραξ, ἁλίσκεται. Διόπερ καὶ τοὺς χαύνους καὶ κενοδόξους οὕτω καλοῦσιν.

ʽΩττός: ʽΟ αὐτός.

Ὤφελεν: Εὐκτικόν. [r]Ἔστι δὲ καὶ ὤφελον.

ʽΩΣ ΤΥΠΩΙ] Vid. supra p. 2796 B.

ʽΩΣ ΟΙΟΝ ΤΕ] Ex Timæo p. 281.

ʽΩΣ ΦΑΣΑΝ] Deest gl. A. Eadem fere sunt in Schol. Ven. ad Il. β'. 278.

[a] Παρ' ʽΟμήρῳ] Il. β'. 278. KUST.

[b] Ἀγρόμενοι π. δ.] Homerus Il. υ'. 166. KUST.

ὭΣΦΡΟΝΤΟ: Ὤσφρ.] Ex Schol. Aristoph. Acharn. 178. KUST. ὤσφρωντο A.

[c] τῇ ἀναφορᾷ] Lege, τῆς ἀναφορᾶς, ut habet Scholiastes Aristophanis. KUST.

[d] δὲ] γὰρ A.B.E.

ὨΣΧΟΦΟΡΟΣ: Δύο ἦσ.] Hæc leguntur etiam supra v. Ὀσχοφόροι.

[e] τῶν γένει] τῷ γένει A.B. Mox περιεχόντων A.E.

[f] ʽΗ δὲ ὤσχη] Sic recte ms. A. Ante vero male legebatur, οἱ δὲ ὦσχοι. KUST.

[g] Ἤδη γὰρ ἐνίοις τ.] Hæc αὐτολεξεὶ etiam leguntur apud G Photium in Excerptis ex Damascio, p. 1045. itemque apud Nostrum v. Κατεαγότων, et v. Τὰ ὦτα. KUST.

[h] Δαμάσκιος] Seqq. om. B.E.

[i] ὠτακούστης] Aristid. I. p. 62. Polyb. p. 1031. TOUP.

Ὦ ΤΑΝ] Confer Etymologum v. Ὦ τᾶν, et Nostrum supra, v. Ὦ μέλεε. KUST. Dedi mox μέλε pro μέλεε. Vid. p. 2774 H.

[k] Ὦ ΦΙΛΕ om. A.B. ὦ ἑταῖρε Schol. Platon. p. 6. unde sumptus est locus. Vid. Timæus c. n. Ruhnkenii p. 281.

[l] Ἀριστοφάνης] In Ran. 983. H

[m] Τουτὶ] τοῦτο A.E.M.

Ὦ ΤΑΝ: Οὐ πρὸς ἕνα μ.] Hæc leguntur etiam apud Scholiastam Aristoph. Plut. 66. KUST. Deest gl. A.

ὨΤΕΙΛΗ: Τραῦμα] Vox Homerica. Bœotorum esse propriam scribit Etymologus: Ὠτειλή: Παρὰ τὴν οὐτήσω μέλλοντα, οὐτηλὴ καὶ ὠτειλὴ Βοιωτικῶς. Vestigia tamen ejus reperisse videor apud Euripid. Suppl. 945. Πικραὶ γὰρ ὄψεις χ' ἅμα τῷ τέλει νεκρῶν. Locus, si quis alius, deploratus; in quo tum emendando tum explicando frustra se exercuerunt viri eruditissimi. Audacter repono: Πικρὰ γὰρ ὄψις ΑΙΜΑ ΚὨΤΕΙΛΑΙ νεκρῶν. *Sanguis et vulnera mortuorum visu sunt acerba.* Quod elegans, et antiqui coloris est. Homer. Il. ρ'. 86. Ἔρρει δ' ΑΙΜΑ κατ' οὐταμένην ὨF ΤΕΙΛΗΝ. Ad Euripidem respexit Hesychius: Ὠτειλαὶ, τραύματα. TOUP.

Ὧι ΤΟ ʽΙΕΡΟΝ ΠΥΡ ΦΥΣ.] Cum toto hoc loco confer omnino ea, quæ Noster habet supra v. Δημοχάρης. KUST. Vales. ad notas Maussaci Harpocr. p. 295. HEMST.

[n] Τιμαῖος—ἱστοριῶν] Τιμαῖον—ἱστορεῖν A.E. Τίμαιον quoque M.

[o] Δημοκλείδην] Vid. Ruhnken. ad Rutil. Lup. p. 8.

[p] Πυθέαν] Πυθίαν B.E.

ὨΤΟΚΟΤΑΞΙΣ] Vid. not. ad Hesych.

[q] Ὠτοθλαδίας τε καὶ ἐμποινὴς] Laërtius in Lycone, lib. V. 67. Ἀλλὰ καὶ γυμναστικώτατος ἐγένετο, καὶ εὐέκτης τὸ σῶμα, τήν τε πᾶσαν σχέσιν ἀθλητικὴν ἐπιφαίνων, ὠτοθλαδίας τε καὶ ἐμπινὴς ὢν, καθά φησιν Ἀντίγονος ὁ Καρύστιος. Hinc Suidæ verba deprompta sunt. Nota autem pro ἐμποινὴς, ut Suidas habet, apud Laërtium legi ἐμπινής: quam lectionem, ut meliorem, in versione secuti sumus. Portus vocem ἐμποινὴς verterat, *pœnarum plenus:* sed nullo sensu. Confer etiam Salmasium ad Tertull. de Pall. p. 233. KUST. ὠτοθλασσίας B. ὠτοθλασίας E. Mox ἐμπεινὴς A. Hinc ἐμπινὴς restitui.

ὮΤΟΣ, ὄρνεον, ὅπερ ἐπ.] Vide Aristot. Hist. Anim. lib. VIII. c. 12. et Athen. lib. IX. p. 390. itemque Nostrum supra v. Κοβαλία. KUST. Vales. ad notas Maussaci Harpocr. p. 299. HEMST.

[r] ἐστι] ἐστι δὲ A.

[s]Ὤφελε πρότερον αἰθέρα δῦναι
μέγαν, ἢ τὸν πολύκοινον [t]ᾅδην
κεῖνος ἀνὴρ, ὃς [u]στυγερῶν
ἔδειξ' ὅπλων Ἕλλησι κοινὸν Ἄρη.

Τουτέστιν, ὤφελε πρότερον ἀφανὴς γενέσθαι ἐκεῖνος ὁ ἀνὴρ, ὁ πρῶτος εἰσενεγκὼν εἰς Ἕλληνας πολεμιστήρια ὅπλα.

Ὠφελείας: Χρείας, τὴν διαρπαγὴν τῶν λαφύρων. B

[x]Ὁ δὲ Πόπλιος εἰσελθὼν εἰς [y]τὴν πόλιν, ἐκέλευσε κτείνειν ἅπαντα τὸν παρατυχόντα, καὶ μηδενὸς φείδεσθαι, μηδὲ πρὸς τὰς [z]ὠφελείας ὁρμᾶν, μέχρις ἂν ἀποδοθῇ τὸ σύνθημα.

Ἐν δὲ Ἐπιγράμμασι διὰ τοῦ ί.

[a]Ὧδε νέμοις ἠέρος ὠφελίην.

Διὰ τὸ μέτρον.

Ὠφέλιμον πρᾶγμα: Ὅτι τοιοῦτον, ὥστε εὐλόγως αὐτὸ αἱρεῖσθαι πρὸς αὔξησιν καὶ προσθήκην. C Ὀφέλλω γὰρ, τὸ αὐξάνω. [b]Ξενοφῶν·

Ἐπεὶ δὲ οὐδὲν ὠφέλιμον ἔλεγον, κατεσφάγησαν.

Ὠφελιμώτερος:

Ὠφελίων, κωμικός. Μέμνηται αὐτοῦ καὶ Ἀθηναῖος ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν Δειπνοσοφιστῶν. [c]Φησὶ δὲ τῶν δραμάτων αὐτοῦ εἶναι ταῦτα· Δευκαλίωνα, Κάλλαισχρον, Κένταυρον, Σατύρους, Μούσας, D Μονοτρόπους.

Ὦφειν: Ἀντὶ τοῦ εἶδον.

Ὄφιν ὤφειν [d]ὀδωδότα.

Ὦ ἐφήμερε: Ὦ ἄνθρωπε. Οὕτω παρεισάγει [e]Ἀριστοφάνης ἐν Νεφέλαις τὸν Σωκράτην λέγοντα [[f]πρὸς Στρεψιάδην. Ἤγουν,] ὦ θνητὲ, ὦ ἄνθρωπε, ὦ τὰ ἐφήμερα φρονῶν. Τοῦτο δὲ λέγει, ὡς αὐτὸς λοιπὸν τὰ τῶν θεῶν φρονῶν, καὶ [g]ὑπερηφανῶν τὰ τῶν ἀνθρώπων, E

A διὰ τὸ φροντίζειν περὶ μετεώρων. Ἢ ὅτι ἐλέγετο ὁ Σωκράτης Σειληνῷ παρεμφερὴς εἶναι· σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. Περιέθηκεν οὖν αὐτῷ φωνὴν [h]τὴν τοῦ παρὰ Πινδάρῳ Σειληνοῦ. Ὁ γάρ τοι Πίνδαρος διαλεγόμενον παράγων τὸν Σειληνὸν [i]τῷ Ὀλύμπῳ, τοιούτους αὐτῷ περιέθηκε λόγους·

Ὦ τάλας, ἐφήμερε, νήπιε, [k]βάζεις χρήματά μοι διακομπεύων.

Ἅμα δὲ καὶ ὡς [l]ὑπερηφανοῦντος λοιπὸν τοῦ Σωκράτους B τὰ ἀνθρώπινα, καὶ ἐν θεοῖς ὄντος αὐτοῦ, διότι μετεωρολέσχης ἦν, οὕτω τὸ ἐφήμερον [m]ἐποίησεν αὐτὸν λέγοντα.

Ὠφθαλμισμένους: [n]Ὠφθαλμισμένους ἄνθραξι καὶ ἠλέκτροις εἶχον τοὺς πόδας αἱ κλίναι τῶν ἀρχαίων.

Ὦφθον: Ἀντὶ τοῦ ὤφθησαν.

Ὦ φθόρε: Ὦ ὄλεθρε.

C [o]Ἄπαγ' ἐς μακαρίαν ἐκποδὼν, ὦ φθόρε.

Ὤφλησα: Ἐχρεώστησα.

Ὦ φῶς κακοῖσι τοῖς [p]ἐμοῖσιν ἥκες· καὶ τὸν φίλον ἀπόδειξον δεομένῳ τῆς σῆς δεξιᾶς. Γενοῦ τὴν τελευταίαν χρείαν Μιθριδάτης ἄλλος ἐμοί: Ταῦτά φησι Μιθριδάτης πιὼν φάρμακον, καὶ δυσθανατῶν.

D Ὤιχετο: Ἀπήει, ἐπορεύετο.

Ὁ δὲ τὴν Πελοπόννησον καταλιπὼν, εἰς Αἰτωλίαν ᾤχετο ἀπιών.

Ὤιχετο ἀπιών:

Ἐπαγγειλάμενος δὲ πάλιν ἐπανήξειν, ᾤχετο ἀπιών.

Ἀντὶ τοῦ, ἐς τοὐπίσω [q]ἀπεχώρησε. Συνήθης ὁ πλεονασμὸς τοῖς Ἀττικοῖς.

Ὦχος, φιλόσοφος παρὰ Φοίνιξι. Ζάμολξις παρὰ Θραξίν· Ἄτλας παρὰ Λίβυσιν.

Ὦχος: Ὄνομα κύριον.

[s] ὄφελε πρότερον αἰθ.] Sophocl. Aj. 1192. ὤφελε A.B.E.

[t] ᾅδαν] ᾅδην A.B.E.

[u] στυγερῶν ἔδειξ'—Ἕλλασι—Ἄρην] στυγερὸν ἔδειξεν—Ἕλλησι—Ἄρη A. et fere M. ubi ἄρην. ὃς στυγερῶν—ὁ ἀνὴρ om. E.

[x] Ὁ δὲ Πόπλιος εἰσελθ.] Ex Polybii lib. X. c. 15. KUST.

[y] τὴν πόλιν] τὴν om. B.E.M.

[z] ὠφελείας] ὠφελείαν A.

[a] ὧδε νέμοις] Anthol. Pal. VI. 187.

[b] Ξενοφῶν] Anab. IV. 1, 23. ubi ἔλεγεν, κατεσφάγη.

[c] Φησὶ δὲ τῶν δραμάτων] Quam vere et fideliter hæc in commentarios suos retulerit Suidas, docti viderint. Addo tamen septimam Ophelionis fabulam, ΙΑΛΕΜΟΝ, cujus meminit Athenæus, lib. III. p. 106. Καὶ Ὠφελίων ἐν Ἰαλέμῳ· Ὠρχοῦντο δ', ὡς καρῖδες ἀνθράκων ἔπι Πηδῶσι κυρταί. Recte autem Suidas, ΚΑΛΛΑΙΣΧΡΟΝ. *Callæschrus* est nomen viri. Fabulam istam laudat Athenæus, lib. III. p. 106. Deinde lego, Σατύρους, Μούσας, ΜΟΝΟΤΡΟΠΟΝ, *the Hermit.* Quo titulo fabulam scripsit Phrynichus, comicus. Suidas: Φρύνιχος, Ἀθηναῖος, κωμικός. Δράματα δὲ αὐτοῦ ἐστι ταῦτα· ΜΟΝΟΤΡΟΠΟΣ, Μοῦσαι, Σάτυροι. TOUP.

[d] ὠδωδότα] ὀδωδότα A.

Ὦ ἘΦΗΜΕΡΕ: Ὦ ἄνθρ.] Ex Schol. Aristoph. Nub. 223.

[e] λέγοντα Ἀριστοφάνης] λέγοντα A. ponit post Σωκράτην.

[f] πρὸς Στρεψιάδην ἤγουν om. A.B. προσάγει M. pro παρεισάγει.

[g] ὑπερηφανῶν] Scholiastes Aristophanis rectius, ὑπερφρονῶν. KUST.

[h] τὴν περὶ τοῦ παρὰ Πινδάρῳ] παρὰ τοῦ Πινδάρου A.E. sed περὶ τοῦ suprasc. in E.

[i] τῷ Ὀλύμπῳ] Schol. Ὀλυμπίῳ. Utrumque vero Suidæ Ὀλύμπῳ et Scholiastæ Ὀλυμπίῳ videtur mendo laborare, et legi debere Ὀλυμπίχῳ: fuit enim Olympichus Pindari discipulus, qui haud dubie intelligendus. Nimirum Pindarus ita induxit Silenum alloquentem Olympichum, qui erat ipsius discipulus: Ὦ τάλας ἐφήμερε. Ceterum simili modo ut refert Plutarchus Cons. Ap. p. 115. Silenus a Mida interrogatus, immo adactus ad dicendum, quidnam foret optimum hominibus, respondit, Δαίμονος ἐπιπόνου καὶ F τύχης χαλεπῆς ἐφήμερον σπέρμα, τί με βιάζεσθε λέγειν, ἃ ὑμῖν ἄρειον μὴ γνῶναι &c. adeo ut videatur Sileno proprium fuisse insignire hominem ἐφημέρου vocabulo. BOS. Male vir doctissimus. Agitur de Olympo tibicine. Vid. Fragm. Pindari CLII. ibique Herman.

[k] βάζεις χρήματά μοι διακ.] Scholiastes Aristophanis, βαδίζεις χρήματά μοι διαπομπεύων. KUST.

[l] ὑπερηφανοῦντος] Rectius, ὑπερφρονοῦντος. KUST.

[m] παρεισάγει] ἐποίησεν A.B. Schol. Statim delevi ὨΦΘΙΣ: Ὄνομα πόλεως. ὈΦΘΕΙΣ δὲ ο' μικρὸν, καὶ δίφθογγον, cum A.B.E.

G [n] Ὠφθαλμισμένους ἄνθραξι καὶ ἠλ.] Ex Schol. Aristoph. Equit. 529. sed ubi pro ὠφθαλμισμένους rectius legitur ἠσφαλισμένους. Confer etiam Nostrum supra v. Ἤλεκτρα. KUST. Locus elegantissimus. Notandum autem verbum ὀφθαλμίζειν, quod rarissimum est. Latinis *oculare*, sive, *inoculare*. Apuleius Metam. VI. *Bullis te multis aureis* inoculatum, *veluti stellis sidereis relucentem, quotidie saginabo*. Confer Casaubon. ad Aristophanis Equites. Nam Kusterus hic egregie hallucinatus est, et nubem H pro Junone amplexus est. TOUP.

[o] Ἄπαγ' ἐς] Aristophanis Equit. 1148. TOUP.

[p] ἘΜΟΙΣΙΝ ἭΚΕΣ] ἐμοῖς ἧκε A.

ὬΙΧΕΤΟ ἈΠΙΩΝ] Deest gl. A.

[q] ἀπεχώρησε] ἀνεχώρησε B.

ὮΧΟΣ, φιλόσοφος π.] Hæc sumpta sunt ex Laërtii Procemio. KUST.

[r]Ὦχος τὸν Ἆπιν ἀποκτείνας, ἐβούλετο αὐτὸν τοῖς μαγείροις A
παραβαλεῖν, ἵνα αὐτὸν κρεουργήσωσι καὶ παρασκευάσωσιν ἐπὶ δεῖπνον.

Ὤιχου, καταλιποῦσ' ὡσπερεὶ προκείμενον,
Μόνον οὐ [s]στεφανώσασ', οὐδ' ἐπιθεῖσα λήκυθον:
Εἰώθασι γὰρ ἐπὶ τῶν νεκρῶν τοῦτο ποιεῖν.

[Ὤχρωμα:]

Ὠχραίνεται:

Ὠχριῶσα: Οὐ παρὰ τὸ [t]φοβουμένη τὸ ὠχριῶσα, B
ἀλλ' ἴσον τῷ ἀσθενοῦσα. Ἀπὸ μεταφορᾶς τῶν νοσούντων. Οὕτω γὰρ εἶπεν·

Ἡ πόλις ὠχριῶσα, καὶ φόβῳ καθημένη.

Ὦχρος: Ὠχρίασις. Ἐν Ἐπιγράμμασι·

[u]Ὡς εἶδον Μελίτην, ὦχρός μ' ἕλεν.

Ὤψ: Ὠπός. Τὸ πρόσωπον. Διὰ τοῦ ω' μεγάλου. [[x]Ὄψ δὲ, ὀπὸς, ἡ φωνὴ, διὰ τοῦ ο' μικροῦ.] C

Ὦψα: Ἀντὶ τοῦ εἶδον.

Ὠψίκασιν: Ἐβράδυναν. [[y]Ὀψίζω γὰρ, τὸ θέμα.]

Ὠψίσθη: Ὀψὲ καὶ βραδέως [z]ἦλθε, νυκτὶ κατεσχέθη.

[a]Ὁ δὲ ὠψίσθη ποτὲ ἄκων, καὶ κατέμεινεν ἐν τῷ Πειραιεῖ.

[b]Αἰλιανός φησιν ἐν τῷ Περὶ θείων ἐναργειῶν.

Ὠψοπόνος: Ὁ περὶ τὰ ὄψα ἀσχολούμενος· ὁ μάγειρος. D



[c]Ὠψοπόνος Σπινθὴρ Ἑρμῇ τάδε σύμβολα τέχνης A
θήκατο, δουλοσύνας ἄχθος ἀπωσάμενος.

Ὠψωνηκότες: Ὀψωνήσαντες.

## Π Α.

Παγανοί: Ἀστράτευτοι.

Συνέθεον δὲ γύναιά τε, καὶ οἱ ἐν [d]στρατείᾳ, καὶ παγανοί. B

Παγάς: Δημοσθένης ἐν Φιλιππικοῖς. Ἐπίνειόν ἐστι [e]Φεραίων.

Πάγας: Δίκτυα, παγίδας.

[ee]Καὶ τοῦτο δήπου τὸ τοῦ Αἰσχύλου, [f]τοῖς ἑαυτοῦ πτεροῖς περιπεσὼν, καὶ [g]ἐνσχεθεὶς ταῖς πάγαις ἃς ἄλλοις [h]ὑφῆκε, τὰ ἐκ τοῦ νόμου δικαίως ἔπαθε.

[i]Τεύχων ὡς ἑτέρῳ τις, ἑῷ κακὸν ἤπατι τεύχει.

C Παγασαί: Πόλις.

Παγασιτικὸς κόλπος:

Πάγγαιον: Ὄνομα [k]ὄρους.

Παγῆναι: Πηγῆναι.

Παγκάλης: Πάνυ καλῆς. [l]Πάγκαλος δέ.

Παγκρατιασταῖς: Ἀθληταῖς, [m]πύκταις, τοῖς χερσὶ καὶ ποσὶ πυκτομαχοῦσιν.

Παγκράτιον: Πυγμὴ, [n]ἀγὼν, ἄθλησις.

D Παγκράτιος, σοφιστής. Εἰς τὴν Μινουκιανοῦ τέχνην ὑπόμνημα.

---

[r] Ὦχος τὸν Ἆπιν] Vid. Λαβαῖς. HEMST. Conf. Ælian. N. A. X. 28. Deest hic articulus A.

ὬΙΧΟΥ ΚΑΤΑΛ.] Aristoph. Eccles. 533.

[s] ΣΤΕΦΑΝΩΣΑΣ'] στεφανώσουσ' B.E.M.

ὮΧΡΩΜΑ] Ὤχωκα E. deest v. A.B.

ὨΧΡΙΩΣΑ: Οὐ παρὰ τ.] Aristoph. Pac. 641. Ἡ πόλις γὰρ ὠχριῶσα κἀν φόβῳ καθημένη. KUST.

[t] φοβουμένη] φοβουμ̔ A.

[u] Ὡς εἶδον] Anthol. Pal. V. 242.

[x] ὌΨ] hæc om. A.

[y] ὈΨΙΖΩ] Et hæc om. A.

[z] ἦλθε] ἧκε B.

[a] Ὁ δὲ ὠψίσθη π.] Fragmentum hoc Æliani de Diopithe intelligendum est, ut discimus ex ipso Suida supra v. Γοργὼν, et v. Διοπείθης. KUST.

[b] Αἰλιανὸς] Seqq. om. A.

[c] Ὠψοπόνος Σπ.] Anthol. Pal. VI. 306.

ΠΑΓΑΝΟΙ] Plura de hac voce vide apud Dufrenium in Glossario Græco. KUST.

[d] στρατείᾳ] στρατίᾳ C.

ΠΑΓΑΣ] Imo Παγασαί. Vide Harpocrationem, ex quo Suidas. KUST. Παγασαὶ Photius.

[e] Φεραίων] Φεραῖον A.B.C.M.

[ee] Καὶ τοῦτο δήπου] Depromptum est hoc fragmentum ex Æliano, opinor, cujus libros De providentia sæpius G laudat Suidas. TOUP.

[f] τοῖς ἑαυτοῦ πτεροῖς περιπ.] De hoc proverbio vide nos supra ad v. Οὐχ ὑπ' ἄλλων. KUST.

[g] ἐνσχεθεὶς] ἐνσχεσθεὶς C.

[h] ὑφῆκε] Gatakerus in Adversar. Posthum. cap. 12. p. 539. legendum censet, ὕφηνε, i. e. *contexuit*, ad quam emendationem confirmandam adducit illud Theodoreti Dialog. cap. 24. ἑάλως, οἷς ὕφηνας, ἄρκυσι. *Captus es eis, quos ipse contexueras, retibus.* Sane τὸ ὕφηνε melius loco H huic quadrare mihi videtur, quam ὑφῆκε, et ideo emendationem viri doctissimi probo. KUST. Fallitur uterque. Neque enim hic agitur de eo qui texerit, sed de eo qui tetenderit. Notum proverbium: *Rete non tenditur accipitri, neque milvio.* Verbum autem ὑφεῖναι solenne est in hoc negotio. Auctor ἀνώνυμος apud Suidam v. Ποδάγρα. Τάφρους ὤρυξε, καὶ ποδάγρας ὙΦΗΚΕΝ ὡς θηρίοις τοῖς πολεμίοις. Ceterum hic locus, quod utrumque virum doctissimum fefellit, ita totidem verbis legitur apud Scholiastam ad Æschyl. Agamemn. 831. ex quo deprompsit Suidas. E Athenæus XI. 12. p. 494. Καὶ ταῦτα οὐχ' ὑπ' ἄλλων, ἀλλὰ τοῖς σαυτοῦ πτεροῖς, κατὰ τὸν θαυμάσιον Αἰσχύλον, ἁλίσκῃ, ἀπροσδιονύσους λύσεις πραγματευόμενος. Ad quem locum vide Dalechampium. Ita Aristoph. Av. 808. Ταυτὶ μὲν ᾐκάσμεσθα, κατὰ τὸν Αἰσχύλον· Τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς. Ubi Schol. Ἐκεῖνος γὰρ Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν· Ὡς δ' ἐστὶ μύθων τῶν Λιβυστικῶν λόγος· Πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν, Εἰπεῖν ἰδόντα μηχανὴν πτερώματος· Τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς Ἁλισκόμεθα. Huc respexit Heliodorus Æthiopic. lib. II. p. 120. Ἀλλὰ τὸ F χαλεπώτατον, ΤΟΙΣ ἘΜΟΙΣ, τὸ τοῦ λόγου, κατ' ἐμοῦ κέχρηται ΠΤΕΡΟΙΣ. TOUP.

[i] Τεύχων ὡς ἑτέρῳ τις, ἑῷ κακ.] Secundum Eustath. ad Il. ε'. p. 522. sententiæ hujus auctor fuit Hesiodus: post quem eadem usum fuisse dicit Callimachum. Ait enim: Τὸ δὲ, οἷ τ' αὐτῷ, ἀρχὴ γέγονε γνωμικοῦ, πρῶτα μὲν Ἡσιόδῳ, εἶτα δὲ Καλλιμάχῳ, τοῦ εἰπόντος, ὡς ὁ τεύχων ἑτέρῳ κακὸν, ἑῷ ἤπατι τεύχει. Sed versus iste non tam est Hesiodi, quam expressus ex Ἔργων 265. Οἷ τ' αὐτῷ κακὰ τεύχει ἀνὴρ, ἄλλῳ κακὰ τεύχων. Hunc enim locum in animo habuisse G puto scriptores, qui sententiæ ante dictæ auctorem faciunt Hesiodum. Ceterum, versu a Suida hic citato usus est Lucilius Anthol. lib. II. c. 25. eundemque absque auctoris nomine citat Ælianus Var. Hist. lib. VIII. c. 9. (ad quem locum vide Perizonium) et Pausan. lib. II. c. 9. KUST.

ΠΑΓΑΣΑΙ om. C.

[k] ὄρους] ὀρνέου C.

[l] ΠΑΓΚΑΛΟΣ δὲ om. A.C. Phot. Ante h. gl. Παγίδι: H edd. vett. Πηγίδι B.E. sine exp.

[m] πύκταις, τοῖς χ.] πύκταις· οἱ ταῖς χ. legit P. Faber Agon. III. 21. p. 603. ita exigente, inquit, loci sententia. Non animadvertebat vir egregius πυκτομαχοῦσι dativum esse pluralem. HEMST. ταῖς χερσὶ B.E.C. Ceterum hæc om. Photius.

[n] ἀγὼν, πάλη] πάλη om. A.C. Phot.

Παγκράτιος: Τούτου φέρονται Ὀψαρτυτικὰ, καθ' A ἑκάστην [o]τροπήν. [p]Ἤκμαζεν ἐπὶ τῶν χρόνων Λέοντος τοῦ πρεσβύτου, καὶ ἕως Ζήνωνος.

Πάγκοινος λίμνη: Ἡ τοῦ ᾅδου.

> [q]Ἀλλ' οὔτοι [r]τόν γ' ἐξ ἀΐδα
> [s]παγκοίνου λίμνας ἀν-
> στάσεις, οὔτε γόοις, οὔτε λιταῖσιν.

Παγκοίνου, εἰς ἣν ἅπαντας ἀφικέσθαι δεῖ. Ὁ δὲ νοῦς· Οὔτε ὀδυρομένη, οὔτε παρακαλοῦσα τοὺς θεοὺς, B τοῦτον ἀναστήσεις. Ὁμηρικῶς·

> [t]Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

Καὶ Αἰσχύλος·

> Μόνος [u]θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ.
> [x]Οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος.

Πάγον εὐτειχῆ: Ἐν ὄρει [y]τετειχισμένον.

Πάγοι: Αἱ ἐξοχαὶ τῶν [z]ὀρῶν καὶ τῶν πετρῶν.

> [a]Αὔλια, καὶ Νυμφῶν ἱερὸς πάγος, αἵ θ' ὑπὸ πέτρῃ C
> πίδακες, ἥ θ' ὕδασιν γειτονέουσα πίτυς.

Παγχενῖτις: Ὄνομα χώρας.

Πάγχυ: Παντελῶς.

Πάδος: Ὄνομα ποταμοῦ, τοῦ παρ' Ἕλλησιν Ἠριδανοῦ ὀνομαζομένου.

Πάθας: [b]Πάθη, ξυμφοράς.

Ὁ δὲ ἐπῆγε τήν τε ἀποστέρησιν [c]τῶν χρημάτων, καὶ τὴν D καταδίκην, καὶ μέντοι καὶ τὰς προτέρας αὐτοῦ τὰς ἀδίκους πάθας.

Πάθας θηλυκῶς. [d]Σοφοκλῆς·

> Καὶ τὰς μὲν ἔνδον οὐκ ἔχω [e]λέγειν πάθας.

Πάθαι: Αἱ συμφοραί. Οἰδίπους·

> [f]Στέργειν γὰρ αἱ πάθαι [g]με, χὠ χρόνος ξυνὼν
> [h]μακρὸς διδάσκει, καὶ τὸ γενναῖον, τρίτον.

Στέργειν τὰ δυστυχήματα ὁ πολὺς [i]ἐποίησε χρόνος, καὶ τὸ τῶν συμφορῶν πλῆθος, καὶ τὸ τῆς ἀνδρείας πλεονέκτημα.

Πάθη: Ἡ κάκωσις.

Ἀκόλουθον σφίσι πάθην ἐπηρτημένην [k]ὁρῶντα, ἣν λαθεῖν ἀδύνατον.

B Καὶ αὖθις·

[l]Καὶ ἄλλας μυρίας [m]εἴποιμι ἂν δίκης ἀμελουμένης ἀκόλουθα πάθας.

Πάθη: Θηλυκὸν, τὸ πάθος.

Οἷαι γὰρ αἱ πάθαι τῆς ψυχῆς κατὰ τὴν θέαν, τοιαύτας καὶ τὰς ἀποβάσεις εἶναι ἀνάγκη.

Πάθη δύο: Πόνος, καὶ ἡδονή. Καὶ ἡ μὲν ἡδονὴ, [n]λεία κίνησις· ὁ δὲ πόνος, τραχεῖα κίνησις. Καὶ ἡ C μὲν ἡδονὴ, εὐδοκητὴ πᾶσι ζώοις· ὁ δὲ πόνος, ἀποκρουστικός.

Παθηζίτης: Ὄνομα κύριον.

Πάθος λέξεως ὁμωνυμία· ὡς κύων. Μεταφορά· ὡς τιθηνὸς ἡ γῆ. Κατάχρησις ἐντεῦθεν, καὶ ἡ ἀσάφεια.

Πάθος: Ὅτι [o]τὸ τοῦ [p]πάθους ὄνομα διχῶς λέ- D γεται· ἢ γὰρ τὸ εἰς φθορὰν ἄγον, ἢ εἰς τελείωσιν. Λέγεται γὰρ πάσχειν τὸ ξύλον [q]ὑπὸ τοῦ πυρὸς, ὡς εἰς φθορὰν ἀγόμενον, [r]λέγεται δὲ πάσχειν καὶ τὰς αἰσθήσεις ὑπὸ τῶν αἰσθητῶν, ἀντὶ τοῦ [s]τελειοῦσθαι, καὶ ἐκ δυνάμεως εἰς [t]ἐνέργειαν ἄγεσθαι.

Ὅτι ἐκ τῶν παθῶν τοῦ σώματος διαβαίνει τι πρὸς

---

[o] τροπὴν] Leg. τροφήν. Pancratius s. Pancrates Arcas E versibus heroicis scripsit ἁλιευτικὰ, Athen. I. 13. ἔργα θαλάσσια VII. 283. vocat. REINES.

[p] Ἤκμαζεν] ἤκμαζον B.E.

ΠΑΓΚΟΙΝΟΣ: Ἡ ΛΙΜΝΗ] ἡ om. A.E.C.

[q] Ἀλλ' οὔτοι τόν γ' ἐξ ἀΐδ.] Sophocl. Electr. 138. ut Portus monuit. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST. ἀΐδου M. et mox λίμνης.

[r] τόν γ'] γ' om. E. Mox ἀνστάσεις A.C. ἀνστήσεις E.M. pro ἀναστάσεις. Sed C. in marg. ἀναστήσεις. Deinde γόοις—λιταῖσιν A.B.E.C.M. non γόοισιν—λιταῖς. F

[s] παγκοίνου] παγκοίναν C.

[t] Οὐ γάρ τις πρ.] Est versus Homericus Il. ω'. 524. KUST. οὐ γάρ τι C.

[u] θεῶν γὰρ] θεῶν γε A.B.E.C.M.

[x] Οὐ δέχεται] μόνος οὐ δέχεται Schol. Hunc locum a præcedente sejungi debere intellexit Kusterus, qui in versione, *Et alius de morte inquit, Nemini gratiam aliquam ab ea sperare licet.* Ante quem Portus, *De eadem morte alius quidam dicit, Non admittit dulcis partem spei.*

ΠΑΓΟΝ ΕΥΤΕΙΧΗ] Euripid. Androm. 1010. Ὦ Φοῖβ' ὁ G πυργώσας τὸν ἐν Ἰλίῳ Εὐτειχῆ πάγον.

[y] τετειχισμένον] τετειχισμένην A.C. Photius.

ΠΑΓΟΙ: Αἱ ἐξοχαὶ τῶν ὀρ.] Hinc Athenis Ἄρειος πάγος dicebatur collis, vel rupes Martis; et in Elide Κρόνιος πάγος, rupes Saturnia, cujus meminit Pindarus Olymp. Od. X. Vulgus interpretum Latinorum τὸ πάγος plerumque reddit *pagus*, vel *vicus*: omnino male. Aliud enim prorsus significat πάγος apud Græcos, et *pagus* apud Latinos; nec voces illæ quicquam commune habent, præter H sonum. Vide Holstenium ad Stephanum v. Ἄρειος πάγος. KUST. Odyss. ε'. 405. Bibl. Coisl. p. 462. TOUP.

[z] ὀρῶν καὶ τῶν πετρῶν] πετρῶν καὶ τῶν ὀρῶν C.

[a] Αὔλια, καὶ Νυμφῶν ἱερ.] Anthol. Pal. VI. 334.

ΠΑΓΧΥ] Πάγχυ βαιὸς, ὁ παντελῶς μικρὸς A. in marg.

[b] Πάθη] πάθος E.

[c] τῶν] τὴν C.

Παραβαλέσθαι: Τὸ [x]ἐξαπατῆσαι. [y]Θουκυδίδης α'. Οὕτως καὶ [z]Ὅμηρος·

Παραβλήδην ἀγορεύων.

Παραβαλέσθαι: Τὸ παύσασθαι, καὶ ἀπαλλαγῆναι. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων.

Παραβαλέσθαι:

[a]Ὁ δὲ Ἰούδας δραστήριος ὤν, ἔκρινεν ὑπὲρ τῆς τἀδελφοῦ σωτηρίας παραβαλέσθαι.

[b]Ἤγουν, τολμηρῶς ἐπέρχεσθαι. Καὶ παραβαλλόμενος, ἀντὶ τοῦ, ἀδεῶς [c]ἐρχόμενος.

[d]Ὁ δὲ παραβαλλόμενος, καὶ διαβαίνων πρὸς τὸν Δορύμαχον πλεονάκις.

Παραβάλλεσθαι: Πρὸς κίνδυνον ῥίπτειν ἑαυτόν.

Λοιπὸν ἦν παραβάλλεσθαι, καὶ τολμᾷν.

Καὶ αὖθις·

[e]Ὁ δὲ πρὸς τῷ παραβάλλεσθαι καὶ διακινδυνεύειν ὅλος καὶ πᾶς ἦν.

Καὶ Παραβαλλόμενος πλεονάκις: [f]Θαρραλέως ὁρμῶν.

Παραβαλεῖν: Ἀντὶ τοῦ παραδοῦναι.

[g]Ὁ δὲ ὁρᾷ τὴν [h]Μιλησίαν, καὶ ἐρᾷ αὐτῆς, καὶ πέμπει [i]πείσων πεντακισχιλίους καὶ μυρίους αὐτῇ χρυσοῦς, καὶ εἰ πλέον ἐδεῖτο, ἔφατο δώσειν· ἡ δὲ οὐ προσεῖτο τὴν δόσιν, [k]ἑταιρικὸν φάσκουσα εἶναι μίσθωμα τὸ ἑαυτὴν παραβαλεῖν ἀνδρὶ ἀγνῶτι, καὶ ὥσπερ ὤνιον τὸ κάλλος ἀποδόσθαι.

Παραβάλλειν: Τὸ ἀπέρχεσθαι.

Παραβάλλειν εἰς Σικελίαν πρὸς τὸν τύραννον.

Καὶ αὖθις·

Αἰσχύνασαι τὴν λατρείαν τὴν περὶ [l]τὴν θεὸν, καὶ ἑαυτὰς [m]ὁμιλίᾳ ἀνδρῶν παραβαλοῦσαι, ἐκολάσθησαν κατὰ τὸν νόμον.



A Ἀντὶ τοῦ, μίξασαι.

Παραβαλεῖς: Παραθήσεις, ὁμοιώσεις, ἐπιφοιτήσεις.

Παραβαλλόμενον:

Οὐ γὰρ ἦν πρὸς τὴν Θρᾳκῶν χιόνα παραβαλλόμενον χαρίζεσθαι δάπιδας.

[n]Καὶ παραβαλλόμενος, ἐξομοιούμενος.

Τὰ πρῶτα παραβαλλόμενος τοῖς ἀρίστοις τῶν βασιλέων.

B Παραβαλών: Πλησίον [o]συστήσας, συνοδεύσας.

Ὁ δὲ παραβαλὼν τὸν ἑαυτοῦ ἵππον τῷ Παρθουσίρου ἵππῳ, μηκέτι τὸ πέρα σπουδῇ ἐλαύνειν ἐκέλευεν.

Καὶ παραβάλλω. Αἰτιατικῇ.

Παραβαλών: [p]Χαλάσας. [q]Ἀριστοφάνης·

Ὥσπερ παλαιστὴς παραβαλὼν τοὺς γομφίους.

Ὥσπερ καὶ τὸ χαλάσαι κώπην λέγουσι παραβαλεῖν.

Παραβάλοιτο: Ἀντὶ τοῦ [r]παραπέμψαιτο. Αἰσχίνης κατὰ Κτησιφῶντος.

C Παράβασις: Τοῦτο λέγεται παράβασις, ἅπερ [s]ἔλεγον ἐπιστρέφοντες [t]οἱ χορευταὶ πρὸς τοὺς θεωμένους. Ἔστι δὲ ὁ τρόπος, ὅταν καταλιπὼν τὰ ἑξῆς τοῦ δράματος ὁ ποιητὴς συμβουλεύῃ τοῖς θεωμένοις, ἢ ἄλλο τι [u]λέγῃ ἐκτὸς τῆς ὑποθέσεως. Παράβασις δὲ λέγεται, ἐπειδὴ ἀπήρτηται τῆς ἄλλης ὑποθέσεως· ἢ ἐπεὶ παραβαίνει ὁ χορὸς τὸν τόπον. Ἑστᾶσι μὲν γὰρ
D [x]κατὰ στοῖχον οἱ πρὸς τὴν ὀρχήστραν [y]ἀποβλέποντες· ὅταν δὲ παραβῶσιν, ἐφεξῆς ἑστῶτες, καὶ πρὸς τὸ θέατρον ἀποβλέποντες, τὸν λόγον [z]ποιοῦνται· εἶτα διελθόντες τὴν καλουμένην παράβασιν, ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. Δῆλον δὲ ποιοῦσιν αὐτοὶ οἱ ποιηταὶ, τὸ στρέφεσθαι σημαίνοντες, καὶ τὸ παραβαίνειν. Πλάτων ὁ κωμικὸς ἐν τῷ [a]Παιδαρίῳ·

E [b]Εἰ μὲν μὴ λίαν, . . . . ἄνδρες, ἠναγκαζόμην
στρέψαι δεῦρ', οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδ' ἐπῶν.

ΠΑΠΤΡΟΣ] Hanc gl. habet A. in marg.

[t] Λαμπάδα κηροχ.] Anthol. Pal. VI. 249.

[u] τυφήρεα] τυφήρη B.E. Mox σφιγγομένη B.E.

[x] ἐξαπατῆσαι] ἐξαπατᾶσθαι E.

[y] Θουκυδίδης] Vid. Duker. ad I. 133.

[z] Ὅμηρος] Il. γ'. 6.

F [a] Ὁ δὲ Ἰούδας] Hæc sunt verba Josephi Antiq. Jud. lib. II. 8. p. 85. TOUP. σωτηρίας om. E.

[b] Ἤγουν om. A.B. Mox παραβαλόμενος B. et in ex.

[c] ἐπερχόμενος] ἐρχόμενος A.E. edd. ante Kuster. Mox Δωρίμαχον A.B.

[d] Ὁ δὲ παραβαλλόμενος καὶ διαβ.] Hæc sunt verba Polybii lib. IV. 57. ut Jacobus Gronovius recte observavit. Apud Polybium autem pro παραβαλλόμενος nunc legitur προβαλλόμενος: sed cui lectioni alteram præferendam esse judicat modo laudatus Jac. Gronovius; me quidem non dissentiente. KUST.

G [e] Ὁ δὲ πρὸς τῷ παραβ.] Et hæc sunt verba Polybii [III. 94.] quæ leguntur etiam supra v. Ὅλος καὶ πᾶς. KUST. Ubi πρὸς τὸ π.

[f] Θαρραλέως] θαῤῥαλέως A.

[g] Ὁ δὲ ὁρᾷ τὴν Μελησίαν, καὶ ἐρ.] Fragmentum hoc ex Æliano depromptum esse, discimus ex ipso Suida supra v. Μίσθωμα, et infra v. Προσέσθαι, ubi pars eclogæ hujus legitur, et scriptori illi assignatur. KUST.

H [h] Μελησίαν] Scribe Μιλησίαν. Vide Plutarch. in Lucullo p. 503. Suid. vv. Ἀγνῶτας, Καταπτυστὸν, Ταραντινίδιον. TOUP.

[i] πείσων] Leg. πειρῶν. VALCK. Plutarchus l. c. τοῦ βασιλέως πειρῶντος αὐτὴν, καὶ μυρίους πεντακισχιλίους χρυσοῦς προσπέμψαντος.

[k] καὶ ἑταιρικὸν] καὶ om. A.B. Mox ἑαυτὴν om. A.

[l] τὴν θεὸν] τῶν θεῶν E.

[m] ὁμιλίαις] ὁμιλίᾳ A.B.E. ἀντὶ τοῦ μίξασαι habent A. edd. ante Kuster. statim post παραβαλοῦσαι.

[n] Καὶ om. A. qui statim in marg. Παραβάλλω: Αἰτιατικῇ. omissis his infra. Mox τῷ βασιλεῖ C.

[o] στήσας, συνοδεύσας] συστήσας, συνοδεύων A.C. Mox Πάρθω σύρου ἵππου C.

[p] Χαλάσας] σχάσας E.

[q] Ἀριστοφάνης] Pac. 34. Mox ὡς M.

ΠΑΡΑΒΑΛΟΙΤΟ: Ἀντὶ τοῦ παρ.] Ex Harpocrat. KUST.

[r] παραπέμψαιτο] Sic habet ms. A. itemque Harpocratio. [et Phot.] At priores editt. [et B.E.C.] mutile, πέμψαιτο. KUST.

ΠΑΡΑΒΑΣΙΣ: Τοῦτο λέγεται παράβασις, ἅπερ ἔλ.] Enarrator Comici ad Pac. 733. rem eandem his verbis exponit: Νῦν παραβάσει κέχρηται ὁ χορὸς, μηδὲν περὶ τοῦ προκειμένου λέγων, ἢ τὸν ποιητὴν ἐπαινῶν. Παράβασιν δὲ τοῦτο ἐκάλουν, ἀπὸ τοῦ παραβαίνειν τὸν χορὸν ἀπὸ τῆς νενομισμένης στάσεως εἰς τὴν καταντικρὺ τοῦ θεάτρου ὄψιν, ὁπότε ἐβούλετο ὁ ποιητὴς διαλεχθῆναί τι ἔξω τῆς ὑποθέσεως, ἄνευ τῶν ὑποκριτῶν πρὸς τὸ θέατρον διὰ τοῦ χοροῦ. Ἐστρέφετο δὲ ὁ χορὸς, καὶ ἐγίνοντο στίχοι δ'. εἶτα διελθόντες, &c. Reliqua enim, ut apud Suidam. KUST.

[s] ἔλεγον ἐπιστρέφοντες ὁ χορός] Legerim, ἔλεγεν ἐπιστρέφων ὁ χορός. KUST.

[t] ὁ χορὸς] οἱ χ° A. unde reponendum οἱ χορευταί.

[u] τῆς ὑποθέσεως λέγῃ] λέγῃ (λέγει τι A.) τῆς ὑποθέσεως A. B.E. λέγῃ τι τ. ὑ. C.

[x] κατὰ στοιχεῖον] Lege, κατὰ στίχον. KUST. στοῖχον A.B. στίχον C.

[y] προσβλέποντες] ἀποβλέποντες A.

[z] ἐποιοῦντο] ποιοῦνται A.B.E. ποιῶνται C. Mox αὐτὸ τὸ στρέφεσθαι οἱ ποιηταὶ C.

[a] Παιδαρίῳ] τῷ Παιδαρίῳ A.B.E.

[b] Εἰ μὲν μὴ λίαν, ἄνδρες, ἠναγκ.] Locum hunc sic distin-

A ῎Αμφω σημήνας, καὶ τὸ στρέφεσθαι, καὶ τὸ παραβαίνειν. Καὶ [c]Πισίδης·

Τὸν παραβάτην [d]συμβαλὼν [e]πλασμῷ ξένῳ,
πρὸ τῆς μάχης ἀφῆκας εἰς ἀντιστάτην.

Παραβαίνω:

Μή τι παραβαίνειν ἔδοξε τῶν κοινῶν;

Παραβεβᾶσθαι τὰς σπονδάς: Τὸ παθητικὸν τοῦ παραβεβηκέναι. Πάνυ ἀκολούθως Θουκυδίδης.

B Παραβέβλησαι: Παραβόλως κέχρησαι.

Καὶ παραβέβλησαι τῷ βίῳ διὰ τὴν πρὸς ἐμὲ εὔνοιαν, οὐδεμιᾶς ἀνάγκης σοι [f]προκειμένης.

Παραβιάζω: Αἰτιατικῇ.

Παραβιβάζεσθαι: Παραβαίνεσθαι.

Παραβλέπουσα θατέρῳ: Μὴ ἀτενίζουσα, φησὶν, ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέπουσα.

Παραβλήδην: Ἀπατητικῶς, παραλογιστικῶς.

C Παραβληθησόμενος: Συγκριθησόμενος, ὁμοιωθησόμενος.

Παραβλῶπες: Παρορῶντες, διεστραμμένας ἔχοντες τὰς ὄψεις. [g]῞Ομηρος·

[h]Χωλαί τε, ῥυσσαί τε, παραβλῶπές τ' ὀφθαλμώ.

Παραβλύσας: Παραβαλὼν, ἀποπτύσας.

[i]Εἴποτε ἡττηθεὶς οἴνου, καὶ παραβλύσας τὸ περιττὸν, εἶτα ὕπνου μέτοχος γένοιτο.

D Παραβολή: Λόγος αἰνιγματώδης καὶ κεκρυμμένος, πρὸς ὠφέλειαν φέρων.

Παραβολή: Διήγημα.

[k]Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου.

Ἀντὶ τοῦ, ἐν διηγήσει ἀρχαίων λόγων. Καὶ ἡ ὁμοίωσις, καὶ τὸ λάλημα, καὶ ὑπόδειγμα.

[l]῎Εθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι.

Παραβολή: Πραγμάτων ὁμοίωσις.

Παράβολος: [m]Ἀριστοφάνης Σφηξί·

Πονηρὸς εἶ πόρρω τέχνης, καὶ παράβολος.

Ἀντὶ τοῦ, οὐ γνήσιος· [n]Ἰώσηπος περὶ τῆς ἐγγαστριμύθου·

Ταύτην αἰτοῦμαι [o]τὴν χάριν ἀντὶ τῆς παραβόλου μαντείας.

Παραβόλως: [p]Πολύβιος·

Μετὰ δὲ ταῦτα πρὸς ἡλίκην δυναστείαν παραβόλως ἀντοφθαλμήσας.

Παραβολώτερος: Ἀνόητος.

Παραβραβεύοντα: Διακρίνοντα, διορίζοντα.

[q]Ἀποκλίνοντα τὸ Περσικὸν διὰ τὸν παραβραβεύοντα φάραγγα.

Ἀρσενικὸν ὁ φάραγξ.

Παραβύουσα: Παρακαλύπτουσα.

Παράβυστον: [r]Παρακεκρυμμένον, λάθρα γινόμενον.

Παράβυστον: Οὕτως ἐκαλεῖτό τι τῶν παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ [s]ἐδίκαζον οἱ ἕνδεκα. Ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωματίοις καὶ κλίνη παράβυστος, ἧς μέμνηται καὶ Ὑπερίδης ἐν τῷ κατὰ [t]Πατροκλέους. Λέγεσθαι δ' ἔοικε ταῦτα κατὰ μετα-

guendum et in versus redigendum esse me monuit Bentleius: Εἰ μὲν μὴ λίαν (deest hic anapæstus) ἄνδρες, ἠναγκαζόμην Στρέψαι δεῦρ', οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδ' ἐπῶν. Simili metro usus est Aristophanes in parabasi Nubium, cujus initium tale est, ῏Ω θεώμενοι, κατερῶ πρός γ' ὑμᾶς ἐλευθέρως Τἀληθῆ, νὴ τὸν Διόνυσον τὸν ἐκθρέψαντά με. Vide Hephæstionem p. 57. ubi plura hujusmodi citat ex Eupolide et Cratino, a quo, tanquam inventore, metrum hoc Κρατίνειον vocatur. KUST.

[c] Πισίδης] De Exped. Heracl. Acroas. II. 284.

[d] συμβαλὼν] παραβαλὼν B.E. τὴν παράβασιν συμβαλὼν C. καὶ τὸν π. βαλὼν Pisid. et mox ἀντιστάδην.

[e] πλασμῷ] Portus suspicabatur, legendum esse πλαστῷ: quam conjecturam, utpote de loco, de cujus sensu nihil certi statui potest, in medio relinquo. KUST.

F ΠΑΡΑΒΑΙΝΩ] γενικῇ addunt B.E. et in fine καὶ αἰτιατικῇ. Gl. om. A. qui in marg. Παραβαίνω γενικῇ καὶ αἰτιατικῇ.

ΠΑΡΑΒΕΒΑΣΘΑΙ] Suidas in hac voce corruptus est, quod jam vidit Dukerus. Eum puto levi opera restitui posse, si legamus οὐ πάνυ ἀκολούθως, seu quod malim πάνυ ἀνακολούθως: *valde irregulariter*. Nam quia a παραβεβηκέναι analogice παραβεβῆσθαι dicendum erat, hoc Suidas seu quisquis alius observare operæ pretium duxit, licet, quod sciam, nunquam aliter loquantur Græci. ABRESCH. Observ. Misc. III. p. 148. Dixerat Dukerus ad Thucyd. I. 123. se non intelligere quæ sit sententia verborum Suidæ. Eadem habet Photius. πάνυ ἀκόλουθον C. sine Θουκυδίδης.

G [f] προσκειμένης] προκειμένης A.B.C. Supra λόγῳ C. pro βίῳ.

ζι

ΠΑΡΑΒΙΒΑΖΕΣΘΑΙ] παραβιβάσθαι A.

ΠΑΡΑΒΛΕΠΟΥΣΑ ΘΑΤΕΡΩΙ] Aristoph. Eccles. 494. Ἐλθοῦσα πρὸς τὸ τειχίον παραβλέπουσα θατέρῳ. Hunc locum Suidas hic repetere voluit. KUST.

H ΠΑΡΑΒΛΗΔΗΝ: Ἀπατ.] Usus est hac voce Homerus Il. δ'. 6. ubi vide Scholiastam. Eustathius ad Odyss. α'. p. 1406. 22, 23. Καὶ παραβλήδην παρ' Ὁμήρῳ ἀντὶ τοῦ συγκριτικῶς, ὡς οἱ πλείους φασί· κατὰ δὲ τὸν Σουΐδαν, ἀντὶ τοῦ ἀπατητικῶς, παραλογιστικῶς. Ad hunc ipsum locum Suidæ respexit. KUST.

ΠΑΡΑΒΛΩΠΕΣ] Vid. Σοβαρός. HEMST.

[g] ῞Ομηρος addidi cum A.

[h] Χωλαί τε, ῥυσσαί τε, παρ.] Est versus Homericus Il. ι'. 499. KUST. ῥυσαί A. Mox τ' ὀφθαλμῶν A. τὼ 'φθαλμὼ M.

[i] Εἴποτε] Hæc Æliano tribuit Valckenærius.

E ΠΑΡΑΒΟΛΗ: Λόγος] Ex Ps. LXXVII. 2. ubi Theodoretus: παραβολὴν ἐκάλεσε τὴν τοιαύτην διήγησιν, αἰνιγματώδη οὖσαν, καὶ κεκρυμμένην τὴν ὠφέλειαν προσφέρουσαν. ERNEST.

ΠΑΡΑΒΟΛΗ: Διήγημα] Ita 2 Paral. VII. 20. δώσω τὸν οἶκον τοῦτον εἰς παραβολὴν καὶ εἰς διήγημα ἐν πᾶσι τοῖς ἔθνεσι. et Sapient. V. 3. Verba illa ἀνοίξω etc. iterum sunt e Ps. LXXVII. 2. quorum sententia parallela hæc est, φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς, quæ Theodoretus explicat, ἀρχαῖα προβλήματα. ERNEST.

[k] Ἀνοίξω ἐν παραβολαῖς τὸ στ.] Psalm. LXXVII. KUST.

[l] ῎Εθου ἡμᾶς εἰς παραβ.] Psalm. XLIII. KUST.

[m] Ἀριστοφάνης] Vesp. 192. locum om. C.

[n] Ἰώσηπος] Antiq. Jud. lib. VII. c. 15. p. 205. KUST. VI. 14, 3.

[o] τὴν χάριν] τὴν om. A.B.E.C.

[p] Πολύβιος] Lib. II. c. 24. sed ubi legitur ἀντοφθαλμήσας, per η, uti etiam hic apud Suidam scribendum est. KUST. ἀντοφθαλμήσας B.E.C. ἀντοφθαλ^μ A. ταῦτα τὰ C.

ΠΑΡΑΒΟΛΩΤΕΡΟΣ] Polyb. p. 82. TOUP.

ΠΑΡΑΒΡΑΒΕΥΟΝΤΑ] Isidor. Pelus. III. Ep. 119. Παραβραβεῦσαι τὴν ἀλήθειαν ἐγχειρήσαντες, qui veritatem adulterare tentassent. REINES.

[q] Ἀποκλίνοντα τὸ Περσικὸν διὰ τὸν παραβρ.] Locus hic emendandus et supplendus est ex Theophyl. Simocatta, apud quem lib. II. c. 8. sic legitur: Τὸ δὲ Ῥωμαϊκὸν τῆς τάφρου ἐξαλλάττεσθαι κατωρέγετο, συμπλοκῆς ἐφέμενον, τοῦ δὲ Περσικοῦ τὴν ἐπιφορὰν ἀποκλίνοντος διὰ τὴν παραβραβεύουσαν φάραγγα, τέως ἀνακωχὴν ὁ φόνος ἐλάμβανε. Vide etiam infra v. Φάραγξ, ubi locus hic repetitur. KUST.

[r] Παρακεκαλυμμένον] παρακεκρυμμένον A.B.E. Photius.

ΠΑΡΑΒΥΣΤΟΝ: Οὕτως ἐκαλ.] Ex Harpocratione. Confer Meurs. Attic. Lect. lib. II. c. 9. KUST. Vid. Hemsterhus. Lucian. Necyom. c. 17. Meier. Hist. Jur. Attic. p. 43. n. 125.

[s] ἐδικάζοντο] ἐδίκαζον A. Photius, Harpocr.

[t] Πατροκλέους] Ante Προκλέους. Em. J. Meursius L. A. I. 18. HEMST. Προκλέους E. Πατροκλέους diserte C.

φορὰν, ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τουτέστι, [u]παραπληρωμάτων.

Παραγάγηις: Παρηγορήσῃς.

[x]Μηκέτι παραγάγῃς, ἵν' οὐ πάρεστιν ἐλπίδων ἔτι κοινοτόκων [y]εὐπατριδᾶν ἀρωγοί.

Παραγγελία:

([z]Ὅση σπουδὴ καὶ) παραγγελία περὶ τουτονὶ τὸν ἀγῶνα γέγονε.

Καὶ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ Κτησιφῶντος·

Τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ [a]τὴν παράταξιν ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνταί τινες.

Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἀποφάσει·

Καὶ τὰς ἰδίας παραγγελίας γεγενημένας καὶ τὰς δεήσεις.

Παράγγελμα: Προτροπὴ, [b]προκάταρξις.

[c]Κρότος τε ἀθρόος οὐκ ἐκ [d]παραγγέλματος, ἀλλ' ἐκ τοῦ αὐτοκελεύστου τῆς προθυμίας τῶν θεωμένων.

Παραγγέλλοντα: Δεχόμενον τὴν ἀρχήν.

Ὁ δὲ Φάβιος λαβὼν τὴν ἀρχὴν, Πόπλιον ἀποδείκνυσιν ὕπατον, οὐδ' αὐτὸν [e]παραγγέλλοντα τὴν ἀρχήν.

Παραγγέλλοντας:

Οἱ δὲ Ἀρειανοὶ ὄντες, προφάσει τοῦ δόγματος, ἀφικόμενοι ἐν Καρχηδόνι, [f]περὶ τοὺς εἰς ἱερωσύνην παραγγέλλοντας ὅπως ὁ [g]Γεζέριχος παρασκευῆς ἔχει καὶ γνώμης, [h]μαθεῖν.

Ἀντὶ τοῦ, τελοῦντας. Καὶ [i]Ξενοφῶν·

Ὁ δὲ καταφεύγει ἐς τὸ αὐτοῦ στράτευμα, καὶ εὐθὺς παραγγέλλει εἰς τὰ ὅπλα.

Καὶ αὖθις·

Στρατιὰν ὡς πλείστην εἰς τὸν πόλεμον παραγγέλλων.

Ἀντὶ τοῦ, καταλέγων.

Παραγγέλλων: [k]Ἀντὶ τοῦ, [l]συνδιερχόμενος, συνδιατρίβων, συναναστρεφόμενος.

Ὁ δὲ παραγγέλλων ποτὲ μὲν τοῖς, ποτὲ δὲ τοῖς, ἥρπαζε μετ' αὐτῶν, καὶ διεδύετο.

Ἡ παραγγέλλων, ἀντὶ τοῦ ἀπροόπτως ἐρχόμενος.

Παράγγελσις:

Αἱ γὰρ παραγγέλσεις οὐ [m]καθ' ἓν, ὡς πρότερον, ἀλλὰ διτταὶ ἐγένοντο.

Παράγεσθαι: Μεταπείθεσθαι. [n]Θουκυδίδης·

Κελεύει αὐτοὺς μὴ λόγοις [o]μόνον παράγεσθαι, ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας, οἵτινες ἀπαγγελοῦσι.

Παραγγείλας:

Ὁ δὲ ἀνεχώρησεν, οὐδὲ τὸ ἀνακλητικὸν παραγγείλας.

Ἀντὶ τοῦ, σημήνας. Καὶ αὖθις·

[p]Πολίσματα ἐκτόπια τὸ παντελὲς ὑπάρχοντα τῶν γραφομένων καὶ παραγγελλομένων.

Παραγκωνίσας: Ἀποστρέψας, ἐκ τῶν ἀγκώνων δήσας.

Παραγνούς: Παρανοήσας.

Παραγωγαῖς: Ἐξαπάταις.

[q]Σοφίσμασι δὲ καὶ παραγωγαῖς ἀεί τε καὶ καθημέραν ἡμᾶς ἐκκρούοντες, κύριοι τῶν ἡμετέρων ἐκ τοῦ παραλόγου γεγένηνται.

Παραγωγὴ λέγεται, ὅταν ἡ φάλαγξ πορεύηται, ἐκ τῶν εὐωνύμων τοὺς ἡγεμόνας ἔχουσα, ἢ ἐκ τῶν δεξιῶν. Κἂν μὲν ἐκ τῶν εὐωνύμων ἔχῃ τοὺς ἡγεμόνας, εὐώνυμος παραγωγὴ λέγεται· ἐὰν δὲ ἐκ τῶν δεξιῶν, δεξιὰ παραγωγή. Εἴτε δὲ ἡ πορεία ἐν ἐπαγωγῇ γίνεται, εἴτε ἐν παραγωγῇ, ἐν μονοπλεύρῳ, [r]ἢ διπλεύρῳ, ἢ τριπλεύρῳ, ἢ τετραπλεύρῳ τάγματι βαδιεῖ. Μονοπλεύρῳ μὲν, ὅταν μοναχόθεν φοβηθῇ· διπλεύρῳ δὲ, ὅταν διχόθεν· τριπλεύρῳ δὲ, ὅταν τριχόθεν· τετραπλεύρῳ δὲ, ὅταν πανταχόθεν οἱ πολέμιοι ἐπιτίθεσθαι ὑφορῶνται.

Παραγραμματίζων: Ὅπερ [s]παρὰ ῥῆμα λέγεται.

[t]Τίμων [u]οὑτωσὶ παραγραμματίζων αὐτὸν, ὡς ἀνέπλασε Πλάτων πεπλασμένα [x]θαύματα.

---

[u] παραπληρωμάτων] πληρωμάτων A.

ΠΑΡΑΓΑΓΗΙΣ Pausan. 218. TOUP.

[x] Μηκέτι παραγ.] Sophocl. Electr. 855. μηκέτ' οὐ C.

[y] εὐπατριδᾶν] εὐπατριδῶν A.C.

ΠΑΡΑΓΓΕΛΙΑ] Ex Harpocratione. KUST. Plutarch. Paul. Æmil. p. 259. χάριτας καὶ παραγγελίας. TOUP.

[z] Ὅση σπουδὴ καὶ παραγγ. περὶ τουτ. τὸν ἀγ. γέγονε] Hæc sunt verba Demosthenis initio orationis περὶ τῆς παραπρεσβ. unde sensus hujus loci supplendus est. KUST. ὅση σπουδὴ καὶ om. A.B.E.C. Phot.

[a] τὴν παράταξιν] τὴν om. A.B.E.C.

[b] προκάταρξις] κάταρξις A.

[c] Κρότος τε ἀθρόος οὐκ ἐκ τοῦ παραγγ.] Fragmentum hoc assignatur Arriano supra v. Αὐτοκέλευστος. KUST.

[d] τοῦ παραγγέλματος] τοῦ om. A.B.E.C.

[e] παραγγέλλοντα τὴν ἀρχ.] De hac phrasi vide Valesium ad Euagr. lib. II. c. 1. KUST.

ΠΑΡΑΓΓΕΛΛΟΝΤΑΣ] Omnia ab h. v. usque ad Παρακαταβολὴ desunt in A. qui habet in marg. Παραδειγματίζω: αἰτιατικῇ. Παραδιδάσκω: αἰτιατικῇ. Παραδίδωμι: δοτικῇ. Παραδραμῶ: αἰτιατικῇ. Παραδυναστεύω: δοτικῇ.

[f] περὶ] παρὰ B.E.C.M. Supra ἀφικομένους C.

[g] Γεζέριχος] Ex Prisco historico, forsan. Vid. Vales. ad Euagr. p. 308. TOUP. ὁ om. C. qui mox ἔχειν.

[h] μαθεῖν] Deest verbum ἔμελλον, vel simile quid. KUST.

[i] Ξενοφῶν] Anab. I. 5, 13.

[k] Ἀντὶ τοῦ, συνδιερχόμενος, συναναστρ.] Pessime. Nihil enim hæc interpretatio cum verbo παραγγέλλων commune habet. Quare nugis et deliriis grammaticorum hæc per me accenseas licet. KUST.

[l] συνδιερχόμενος] συνερχόμενος C. συνδιατρίβων addunt B.C.M.

[m] καθ' ἓν] καθ' ἑνὸς B.E. Mox ἐγίνοντο C.

ΠΑΡΑΓΕΣΘΑΙ] Josephus Vita sua p. 4. ubi pro παραγενόμενος l. παραγόμενος. Schol. Thucyd. ἀπατᾶσθαι. Theophil. ad Autol. p. 234. γνῶναι τὸ ἀληθὲς καὶ μὴ παράγεσθαι, ubi vulg. ante Fellum παραγενέσθαι, quod male defendit Wolfius. TOUP.

[n] Θουκυδίδης] Lib. I. c. 91. ubi sic legitur: Κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι, ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας, οἵτινες χρηστοὶ, καὶ πιστῶς ἀναγγελοῦσι. Sic etiam apud Suidam scribendum est. KUST.

[o] μόνοις] μόνον B.E. μόνον λόγοις C. Gl. seq. οἱ δὲ ἀνεχώρησαν παρακλητικὸν C.

[p] Πολίσματα] πολισμάτια B.

ΠΑΡΑΓΚΩΝΙΣΑΣ] Agathias p. 100. Heliodor. p. 319. Euagrius p. 250. TOUP.

ΠΑΡΑΓΝΟΥΣ] Xenophon p. 711. TOUP.

[q] Σοφίσμασι δὲ καὶ] Hoc fragmentum descripsit Suidas ex Procopio in Gothicis lib. III. p. 280. Huc facit Herodotus VI. 62. Ἀναγκαζόμενος μέντοι τῷ τε ὅρκῳ, καὶ ΤΗΣ ἈΠΑΤΗΣ ΤΗΙ ΠΑΡΑΓΩΓΗΙ. TOUP.

ΠΑΡΑΓΩΓΗ λέγ.] Cum toto hoc loco confer Ælianum in Tactic. c. 37. KUST. Montfaucon. Bibl. Coisl. p. 512.

[r] ἢ διπλεύρῳ om. B.E.C.M. Mox φοβηθῇ C. pro φοβῇ.

[s] παρήχημα] παράρημα B. παράχρημα E. Vulgatam lectionem mendosam esse sensit H. Steph. Thes. L. G. I. p. 875 A. Vulg. habet C.

[t] Τίμων οὑτωσὶ παραγράμματ.] Hæc sumpta sunt ex Laërtio, apud quem in Platone, segm. 26. rectius sic legitur: Ἀλλὰ καὶ Τίμων οὑτωσὶ παραγραμματίζων αὐτὸν (φησίν·) Ὡς ἀνέπλασε Πλάτων, πεπλασμένα θαύματα εἰδώς. Eundem versum Timonis adducit etiam Athenæus lib. XI. [p. 505 E.] qui pro ἀνέπλασε habet ἀνέπλαττε: quæ lectio sono lite-

Οἷόν ἐστι, παυσάμενος Παυσανίας· καὶ, Σαμία μία ναῦς.

Παραγραμματισμός: Ὅταν γράμμα ἀντὶ γράμματος τεθῇ· οἷον ἀντὶ τοῦ, μυρσίνη, βυρσίνη· β ἀντὶ τοῦ μ'· [y]ὡς Ἀριστοφάνης ἀντὶ τοῦ μ' τῷ β' ἐχρήσατο. Δέον γὰρ εἰπεῖν μυρσίνη, βυρσίνη εἴρηκε· ταῖς γὰρ μυρσίναις ἀποσοβοῦσι τὰς μυίας. Ὁ δὲ ἔπαιξε διὰ τὸν βυρσοδέψην. Καὶ μυρσίνῃ ἐστεφανοῦντο οἱ στρατηγοί. [z]Ἢ ὡς ὅταν λέγῃ, [a]ἐν Κλωπιδῶν, ἀντὶ B τοῦ, Κεκροπιδῶν, λ' ἀντὶ τοῦ ρ'.

[Παραγράπτους καὶ παρεγγράπτους: Νόθους, ξένους.]

Παραγράφεται: Ἐξουθενεῖ, παραιτεῖται, ἀποβάλλεται. Καὶ ἐν συνθέσει, Ἀπαράγραφον.

Ὡς μάρτυς ἔχεις τὸ ἀπαράγραφον.

Περὶ Ἰακώβου τοῦ ἀδελφοθέου.

Παραγραφή: Ὅταν λέγῃ τις ὅτι [b]τὸ πρᾶγμα, C περὶ οὗ τὸ ἔγκλημά ἐστιν, [c]εἰσήχθη πρότερον εἰς δικαστήριον, καὶ [d]γεγένηται περὶ αὐτοῦ γνῶσις, καὶ διὰ τοῦτό φησι, μὴ δεῖν ἔτι περὶ αὐτοῦ συνίστασθαι κρίσιν· μάλιστα δὲ τοὺς νόμους [e]ἀναγινώσκειν τοῖς δικασταῖς, οἳ πλεονάκις δικάζεσθαι περὶ τῶν αὐτῶν οὐ συγχωροῦσι. Λέγει δὲ περὶ αὐτοῦ τοῦ πράγματος, ἅμα τοῖς δικασταῖς παραδεικνὺς, ὡς οἱ πάλαι δικάσαντες, καὶ δικαίως καὶ κατὰ τοὺς νόμους ψηφίσαντες. D Καὶ τοῦτό ἐστι παραγραφή. Καὶ ἐπ' ἐκείνῃ τῇ δίκῃ, περὶ ἧς οὐδὲν ὥρισται παρὰ τοῖς νόμοις, οὐδὲ ἔνεστιν αὐτὴν ὁ εἰσάξων, ὥσπερ καὶ τὰς ἄλλας δίκας. Τῶν γὰρ ἄλλων δικῶν προστέτακται ἑκάστῳ τῶν ἐν ταῖς ἀρχαῖς εἰσάγειν τινά. Παραγράφεσθαι οὖν ἐφεῖται καὶ τοῖς τοσοῦτόν τι ἐγκαλουμένοις, περὶ οὗ οὐ νενομοθέτηται.

E Παραγραφή: Οὐ μόνον ἐπὶ τοῦ κοινοῦ καὶ γνωρίμου τίθεται [f]παρὰ τοῖς ῥήτορσιν, ἀλλ' ἰδίως [g]Ἰσο- A κράτης παραγραφῆς εἶπεν, ἀντὶ τοῦ, [h]ἀπὸ τῆς γραφῆς. Καὶ ἔστι τὸ λεγόμενον [i]παρ' αὐτῷ, ἀφ' οὗ [k]παρέγραψα· τοῦτο δ' ἂν εἴη, ἀφ' οὗ παρεθέμην. Ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους, "οὐδὲ μέχρι "παραγραφῆς" φησίν· ἀντὶ τοῦ, [l]οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνου καὶ παραγεγραμμένου, ὅπερ ἐστὶν περιγεγραμμένου.

Παραγράφω: Αἰτιατικῇ.

B Παράδειγμα: Εἰκὼν, ἢ χαρακτὴρ, ἔννοιαν ἔχων αἰσθητοῦ πράγματος. Ἰστέον δὲ, ὅτι ἄλλο παράδειγμα, καὶ ἄλλο παραβολή. Παράδειγμα μὲν γάρ ἐστιν, ὅταν ἀντιπαραθῇ τις ὅμοιον ὁμοίῳ· οἷον [m]λογικῷ λογικόν. Παραβολὴ δὲ, ὅταν ἀνόμοιον ἀνομοίῳ· οἷον ἀλόγῳ λογικὸν, ἢ ἔμπαλιν. [n]Ἢ παράδειγμά ἐστι λόγος ἀπὸ τῶν [o]καθέκαστα ἐπὶ τὰ καθόλου. Ἢ δεῖξις πιστουμένη τὸ μερικὸν διὰ μερικοῦ ὁμοίου.

C Παράδειγμα: [p]Τὸ παράδειγμα τῆς ἐπαγωγῆς ἄλλο. Ἡ μὲν γὰρ ἐπαγωγὴ ἐκ τῶν καθέκαστά ἐστιν ἐπὶ [q]τὰ καθόλου ὁδός. Παράδειγμα δὲ γίνεται, τὸ ὅμοιον, καὶ γνωριμώτερον τοῦ ὁμοίου, καὶ ἧττον γνωρίμου. Διὸ ἐπαγωγὴ μὲν δι' ἑνὸς οὐ γίνεται· τὸ δὲ παράδειγμα ἀρκεῖ καὶ δι' ἑνὸς εἶναι. Καὶ ἔστιν ἡ μὲν ἐπαγωγὴ τῷ διαλεκτικῷ οἰκειοτέρα· τὸ δὲ παράδειγμα, τῷ ῥήτορι. D Κέχρηται μέντοι καὶ ὁ διαλεκτικὸς παραδείγμασιν ὑπὲρ σαφηνείας τοῦ λεγομένου, εἰ μὴ εἴη γνώριμον· ὡς τὸ διὰ τῆς ὁμοιότητος πυνθάνεσθαι. Παραδειγματικὸν γὰρ τὸ οὕτως ἐρωτῆσαι. Ἆρά γε τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη, ὥσπερ καὶ ἡ αἴσθησις; Παραδείγματος δὲ καὶ παραβολῆς διαφορὰ, ὅτι τὸ μὲν παράδειγμα δοκεῖ γεγονός τι εἰς δεῖξίν τινος παρατίθεσθαι μηδέπω γεγονότος, καὶ διὰ τοῦτο E ἀδήλου. Ἡ δὲ παραβολὴ εἰκών ἐστιν, ὁμοιότητα πρός τι γεγονὸς σημαίνουσα.

[r]Ἰστέον ὅτι τὰ παραδείγματα οὐ κατὰ πάντα λαμ-

rarum ad vocem Πλάτων propius accedit, et proinde præferenda est. KUST.

[u] οὑτωσί] οὑτοσὶ E.C.

[x] ὀνόματα] θύματα B.E.C. θαύματα Laërtius. Nonnulli Athenæi codd. θύματα.

[y] ὡς Ἀριστοφάνης] Equit. 57. Κοὐκ ἐᾷ τὸν δεσπότην Ἄλλον F θεραπεύειν, ἀλλὰ βυρσίνην ἔχων. Scholiasta ad eum locum: Ἀλλὰ βυρσίνην ἔχων: Ῥυτῆρα, ἱμάντα. Ἔπαιξε δὲ παρὰ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα, ἐναλλαγὴν στοιχείου ἐργασάμενος. Ἔδει γὰρ εἰπεῖν, μυρρίνην ἔχων ἀποσοβεῖ τὰς μυίας. Ταύτῃ γὰρ ἐστεφανοῦντο οἱ στρατηγοί. Ultima sunt mutila, quæ sic recte suppleveris, ταύτῃ γὰρ ἀπεσόβουν τὰς μυίας· καὶ τῇ αὐτῇ ἐστεφανοῦντο &c. Sic enim scribendum esse et ex sensu et boc loco Suidæ manifestum est. KUST.

[z] Ἢ ὡς ὅταν λέγῃ, ἐν Κλοπιδ.] Hæc referenda sunt ad locum illum Aristophanis in eadem fabula 79. Τὼ χεῖρ' ἐκ G Αἰτωλοῖς, ὁ νοῦς δ' ἐν Κλωπιδῶν. Scholiasta: Τὸ δ' ἐν Κλωπιδῶν, ἐναλλαγὴ πάλιν στοιχείου τοῦ ρ εἰς τὸ λ. Κρωπίδαι γὰρ δῆμος τῆς Λεοντίδος φυλῆς. Ἔπαιξεν οὖν παρὰ τὸ κλέπτειν. Hinc Suidam emendabis. KUST.

[a] ἐν Κλοπιδῶν] ἐγκλωπιδῶν B. ἐν Κλωπιδῶν E. ἐγκλωπίδαι C.

ΠΑΡΑΓΡΑΠΤΟΥΣ, καὶ ΠΑΡΕΓΓΡ.] Confer Nostrum supra v. Ἀπεψηφίσατο, et v. Διαψήφισις. KUST.

ΠΑΡΑΓΡΑΠΤΟΥΣ] Hinc μαρτυρίαν ἀπαράγραπτον apud Diodor. Sic. p. 83. Ita enim legend. cum Rhodoman. H cujus glossa est ἀνύθευτον. TOUP. Deest gl. B.E. Vid. infra v. Παρέγγραπτον.

[b] τὸ πρᾶγμα] ὅτι τὸ πρ. Photius. ὅτι περὶ οὗ τὸ πρ. C.

[c] ὅπερ εἰσήχθη] ὅπερ om. B.E. Photius.

[d] γεγένηται] γένηται Photius. Omnia post γνῶσις C. ponit sub fin. gl. seq.

[e] ἀναγινώσκειν] ἀναγινώσκει Photius.

ΠΑΡΑΓΡΑΦΗ: Οὐ μόνον ἐπὶ τοῦ κ.] Ex Harpocratione. KUST. Diodor. Excerpt. p. 573. ὥσπερ ἀπὸ παραγραφῆς τῶν ἰδίων πράξεων, i. e. *a tempore quo facinora ista injusta fecerint.* Isocrates de Permut. p. 490. TOUP.

[f] παρὰ] ἐπὶ E. παρ' αὐτοῦ C.

[g] Ἰσοκράτης] P. 322 A. ed. H. Steph. ἀρξάμενος ἀπὸ τῆς παραγραφῆς.

[h] ἀπὸ τῆς γραφῆς] ἀπογραφῆς Photius. Post γραφῆς inserit Harpocr. ἧς μέχρι νῦν παράγραφον καλοῦμεν.

[i] παρ' αὐτῷ] παρ' αὐτοῦ B.E.M. Photius. Desunt hæ voces Harpocrat.

[k] παρέγραψα] ἀντέγραψαν Photius. παρέγραψαν C.

[l] οὐδὲ μέχρι τινὸς ὡρισμένου· καὶ παραγεγραμμένου, ὅπερ ἐστιν ὡρισμένον] Harpocratio rectius: Οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνου καὶ παραγεγραμμένου· ὅ ἐστι, περιγεγραμμένου. Sic etiam habet Photius in Lexico inedito. KUST. Et sic B.E. nisi quod habent παραγεγραμμένου. Παραγεγραφότος ὅ. ἐ. γεγραμμένον C.

[m] λογικὸν λογικῷ] λογικῷ λογικὸν E. Photius.

[n] Ἢ παράδειγμα] Sequentibus caret Photius. Supra ἀντιπαρατιθῇ C.

[o] καθέκαστα] τὰ καθέκαστα A.

[p] Τὸ παράδειγμα τῆς ἐπαγωγ.—ὁμοιότητα πρός τι γεγονὸς σημαίνουσα] Hæc omnia descripta sunt ex Alexandro Aphrod. in lib. VIII. Topic. p. 254. KUST.

[q] τὸ καθόλου] τὰ καθόλου B.E.

[r] Ἰστέον, ὅτι τὰ παραδείγματα οὐ κατὰ πάντα λαμβ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Isidori Pelusiotæ, lib. III. Epist. 267. KUST.

προαιρέσεως, ἧς ἔχει πρὸς τοὺς πεπιστευκότας αὐτῷ καὶ τοὺς ἀπειθοῦντας, ἐπολιόρκει.

Καὶ αὖθις·

Μηδ' εἶναι παράθεσιν τοῦ βελτίονος.

Παράθεσις καὶ ἡ [l]παραγγελία παρὰ τοῖς Πατράσι. Φησὶ γὰρ,

[m]Ἔλαβον παράθεσιν.

Παραθήγειν: Ἀκονᾶν, παροξύνειν. [n]Παραθήξονται: Παρακονήσονται.

Ἦν δὲ Τύλλος [o]Ἀττίδος, ὁ τὰς ὀργὰς αὐτοῖς παραθήξας, ἔχων περὶ αὐτὸν [p]ἑταιρείαν οὐκ ὀλίγην.

Παραθρατόντες: Ταλαιπωροῦντες, ἀδυνατοῦντες.

Παραθρήσειας: Παρίδῃς.

Παρίημι: Συγχωρῶ.

Εἴ τις ἐπελθὼν [q]ὑμῶν εἰς τὴν παρεμβολὴν τολμήσει, παρίημι λέγειν ἐς τὴν πατρίδα.

C Παρακαλεῖν: Τὸ καλεῖν, ἢ τὸ προτρέπεσθαι, ἄκυρον γὰρ τὸ δέεσθαι.

[Παρακαλῶ: Ὅτι τὸ καλῶ καὶ παρακαλῶ ἔλευσιν ἔχει, καὶ αἰτιατικῇ συντάσσεται.]

Παρακαρησός: Ὄνομα ποταμοῦ.

Παρακαταβολή: [r]Πρόσθεσις τοῦ δεκάτου μέρους τοῦ τιμήματος. [s]Εἴρηκεν ὁ δανειστὴς πρὸς Στρεψιάδην·

D

[t]Καὶ τοῦτ' ἴσθ', ὅτι
θήσω πρυτανεῖ', ἢ μηκέτι ζώην ἐγώ.

Ἀντὶ τοῦ, γραφὴν κατὰ σοῦ θήσομαι· ἐν γὰρ τῷ πρυτανείῳ ἐτίθεσαν τὰς τῶν δικῶν γραφάς. Λέγει ὁ Στρεψιάδης·

Προσαποβαλεῖς ἄρ' αὐτὰ πρὸς ταῖς δώδεκα.

Ἀπολεῖς, φησὶ, καὶ τὰ ἐπὶ τῇ γραφῇ ἀναλώματα, μάτην αὐτὰ ποιήσας, διὰ τὸ περιέσεσθαί σου τὸν υἱόν μου, λέγοντα τὸν ἀδικώτερον λόγον. Ὅ ἐστι τὸ δέ-

A κατον τοῦ τιμήματος τῆς δίκης, ὅπερ καλεῖται συνωνύμως παρακαταβολή.

Παρακαταβολὴ καὶ παρακαταβάλλειν: [u]Οἱ ἀμφισβητοῦντες χρημάτων τινῶν δεδημευμένων πρὸς τὴν πόλιν, καὶ οἱ [x]περὶ κλήρων ἢ ἐπικλήρων πρὸς ἰδιώτας ἀντιδικοῦντες, ἀργύριόν τι κατετίθεσαν, καὶ [y]τούτου ἐχρῆν αὐτοὺς στέρεσθαι, εἰ τὴν δίκην ἡττηθεῖεν. Ἐπὶ μὲν οὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβη-
B τήσεων δῆλόν ἐστιν, ὅτι τὸ πέμπτον μέρος τοῦ ἀμφισβητουμένου κατετίθετο. [z]Δημοσθένης μέντοι ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ περὶ ἰδίας τινὸς δίκης φησί·

Καὶ μετὰ ταῦτα προσκαλεῖται μέν με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολάς.

Παρακαταθήκη: Ἐνέχυρον.

Παρακατεῖχον: Ἐχρονοτρίβουν.

Οἱ δὲ δολίως τοῖς πρέσβεσι προσενεγκάμενοι, [a]παρακατεῖχον ὡς συνάξοντες τὸν δῆμον.

Παρακεκινδυνευμένον: Ἀντὶ τοῦ, ὑψηλὸν, ἢ βλάσφημον. [b]Ἀριστοφάνης·

[c]Γόνιμον δὲ ποιητὴν [d]ἂν οὐχ εὕροις ἔτι.

(Τουτέστι, φυσικόν τινα, καὶ οὐ βεβιασμένον, ἢ γεννητικόν.)

Ὅστις φθέγξεται
τοιουτονί τι παρακεκινδυνευμένον,
αἰθέρα, Διὸς [e]δωμάτιον, ἢ χρόνου πόδα,
ἢ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν,
γλῶτταν δ' ἐπιορκήσασαν [f]ἰδίᾳ τῆς φρενός.

Τουτέστιν ἄνευ τῆς φρενός. [g]Εὐριπίδης·

Ὄμνυμι δ' ἱερὸν αἰθέρ', οἴκησιν Διός.

[h]Ἀλεξάνδρου δὲ,

καὶ χρόνου πρόβαινε πούς.

E Καὶ ἐξ Ἱππολύτου·

---

[l] παραγγελία] ἐπαγγελία V.

[m] Ἔλαβον π.] Hebr. XI. 39. TOUP. Ibi ἐκομίσαντο τὴν ἐπαγγελίαν.

[n] ΠΑΡΑΘΗΞΟΝΤΑΙ] Seqq. om. A.

[o] Ἀττίδος] Ἄττιος. Locus est Dionys. Halic. A. R. VIII. p. 506, 32. 466, 1. HEMST. Inepte interpres, *Tullus Attidis filius.* Intelligendus hic *Attius Tullus*, de F quo Dionysius Halicarn. Antiq. Rom. lib. VIII. p. 506. cujus verba adponam: Ἦν δὲ Τύλλος Ἄττιος, ὁ τὰς ὀργὰς αὐτῷ (lege, αὐτῶν, vel cum Suida αὐτοῖς) παραθήξας, ἔχων περὶ αὐτὸν ἑταιρίαν ἐξ ἁπάσης πόλεως οὐκ ὀλίγην. *Erat autem Attius Tullus, non paucis stipatus sodalibus, qui eorum iras acuerat.* Hinc Suidas emendandus est. TOUP.

[p] ἑταιρίαν] ἑταιρείαν B.V.

ΠΑΡΑΘΡΑΤΟΝΤΕΣ] Habet A. infra. Post Παρακατεῖχον V. Tum Παράκρης: ὀλίγον B.E.

G ΠΑΡΑΘΡΗΣΗΙΣ] παραθρήσειας A.V. Photius. παραθρήσας E.

ΠΑΡΙΗΜΙ] Iteratur hæc gl. post Παριέναι. Post h. gl. A. habet Πάππος Ἀλεξ.

[q] ὑμῶν] ἡμῖν V. ἡμῶν B.E.

ΠΑΡΑΚΑΛΕΙΝ] Ex Schol. Thucydid. I. 68.

ΠΑΡΑΚΑΛΩ] Hæc A. in marg. om. V. Tum τὸ ante καλῶ ex B. τὸ παρακαλῶ καὶ παραινῶ E.

ΠΑΡΑΚΑΡΗΣΟΣ] A. in marg. Tum Παράκαρις: ὀλίγου V. corrupte pro Παράκρης: ὀλίγον.

[r] Πρόσθεσις] Photius in Lexico inedito rectius habet πρόθεσις. KUST. Deest gl. A. Πρόθεσις item Timæus p. 205.

[s] Εἴρηκεν] εἰρηκὼς V.

[t] Καίτοι γ' οἶσθ', ὅτι θήσω σοι πρ.] Aristoph. Nub. 1257. Καίτοι γ' ἴσθ', ὅτι Θήσω πρυτανεῖ', ἢ μηκέτι ζώην ἐγώ. Sic etiam apud Suidam scribendum est. KUST. καὶ τοῦτ' ἴσθ' B.V. omisso σοι post θήσω.

ΠΑΡΑΚΑΤΑΒΟΛΗ καὶ ΠΑΡΑΚΑΤΑΒΑΛΛΕΙΝ] Glossæ alterius initium feci cum A.V.E. et Photio. De re vid. Meier. Hist. Jur. Att. p. 223. Matthiæ Misc. Phil. T. I. p. 260.

[u] Οἱ ἀμφισβητοῦντες χρημάτων τ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sumpta sunt ex Harpocratione; ad quem vide Maussacum. Confer etiam Petitum de Leg. Att. p. 393. KUST.

[x] περὶ κλήρων ἢ ἐπὶ κλήρων] περὶ κλῆρον ἢ ἐπὶ κλῆρον Photius.

[y] τούτου] τοῦτο A.V. Photius, Harpocr. ms. Pal. Mox στρέφεσθαι Photius.

[z] Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγρ.] Pag. 629. ubi pro ἂν εἵλετο rectius legitur ἀνείλετο. KUST. p. 978, 19. ἀνείλετο Phot. Harpocr.

[a] παρακατεῖχον] Verte, *retinuerunt, detinuerunt eos.* Conf. Lex. Polyb. in Παρακατέχειν. SCWEIGH.

[b] Ἀριστοφάνης] Ran. 96.

[c] Γόνιμον—γεννητικὸν om. V.

[d] ἂν οὐχ] οὐκ ἂν A.E.M. ἢ addunt A.B.E. ante γεννητικόν.

[e] δωμάτιον] σωμάτιον E.

[f] ἰδίᾳ] ἄνευ A. ἰδίᾳ ἢ ἄνευ B.E.M. Statim τουτέστιν ἄνευ τῆς φρενὸς om. A.B.E.M.

[g] Εὐριπίδης] Apud Aristoph. Thesmoph. 297. Euri- H pides inter alia hæc loquens introducitur: Ὄμνυμι τοίνυν αἰθέρ', οἴκησιν Διός. Huc Suidas respexisse videtur. KUST. Εὐριπίδου ἐκ Μελανίππης. Schol. ms. Rav.

[h] Ἀλεξάνδρου δὲ καὶ χρ.] Scribe, Ἐξ Ἀλεξάνδρας Εὐριπίδου. Καὶ χρόνου &c. Sic enim recte legitur apud Enarratorem Comici loco laudato. KUST. ἐξ Ἀλεξάνδρου Schol. ms. Rav.

Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

[Παρακεκλημένοι: Παραμυθηθέντες.]

Παρακεκομμένος: Μαινόμενος, ἐξεστηκὼς, παράφρων.

Παρακεκομμένα:

[i]Κἀμοὶ γάρ ἐστιν ἀμπέλια παρακεκομμένα.

Ἀντὶ τοῦ, μηδὲν ἐντελὲς ἔχοντα. Ἀπὸ μεταφορᾶς τῶν ἀδοκίμων νομισμάτων, ἅπερ παράτυπα [k]λέγεται, καὶ παρακεκομμένα. Καὶ νῦν δὲ εἰώθασι λέγειν παραχαράκτας, τοὺς παρακόπτοντας. Ὅθεν καὶ παράσημος ῥήτωρ.

[l]Ἀνδράρια μοχθηρὰ, παρακεκομμένα,
ἄτιμα, καὶ παράσημα, καὶ παράξενα.

Παρακελεύεται: Δοτικῇ. Προτρέπεται, διεγείρει.

Παρακερδαίνω σου.

Παρακεχόρδηκεν, οἷον παρημάρτηκε, λέγουσιν Ἀττικοί. Καὶ παράχορδον.

Παρακείμενα: [m]Τὰ νῦν.

[n]Ἱκανὰ κακὰ τὰ παρακείμενα.

Παρακινοῦντα: [o]Ἐξιστάμενον.

Οὐχ οὕτω παρακεκινηκότες καὶ διεφθαρμένοι τὴν γνώμην, ἀλλὰ διὰ τὴν ὑπεροχὴν τῶν κακῶν [p]ἐς ἰοῦ τὸν Εὐτρόπιον ἀνατιθέμενοι.

Εὐνάπιός φησι περὶ Εὐτροπίου τοῦ εὐνούχου.

[[q]Καίτοι παρακινηθεὶς τοῦ προσήκοντος.]

Παράκλησις: Ἀντὶ τοῦ προτροπή. Ἰσοκράτης [r]Παραινέσεσι·

Διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες.

Λυκοῦργος δὲ ἀντὶ τῆς δεήσεως ἐχρήσατο, λέγων·

Ὑμᾶς οἶμαι τοῦτο ποιήσειν καὶ χωρὶς τῆς ἐμῆς παρακλήσεως.

Παρακλιδόν:

Παρακλίνασαι: Παρανοίξασαι.

A [s]Ἡ μὲν ἀνακλῖναι πυκινὸν νέφος, ἠδ' ἐπιθεῖναι.

[t]Ἀριστοφάνης·

Καὶ γὰρ ἐκεῖναι παρακλίνασαι
τῆς αὐλείας παρακύπτουσι.
Κἄν τις προσέχῃ τὸν νοῦν αὐταῖς,
ἀναχωροῦσι·
κᾆτ', ἢν ἀπίῃ, παρακύπτουσι.

Παρακοᾶν: Παρανοεῖν, καὶ παραφρονεῖν. Κοᾶν
B γὰρ, καὶ κονᾶν, τὸ φρονεῖν.

Παρακονᾶν: Τὸ ἐν τῷ φιλεῖν διατρίβειν.

Παρακοπὴ φρενῶν: Ἡ [u]φρενιτίασις.

Παρακόψας: Τὸν νοῦν [x]παρατραπείς.

[y]Ἐτελεύτησε δὲ, ἄκρατον πολὺν ἐμφορηθεὶς, καὶ παρακόψας, ἤδη γεγονὼς ἔτος πέμπτον καὶ ἑβδομηκοστόν.

Παρὰ κωφὸν ἀποπαρδεῖν: Πρόδηλος τῆς παροιμίας ἡ αἰτία· οὐ γὰρ ἀκούει ὁ κωφός. Ἐπὶ τῶν
C ἀναισθήτων δὲ λέγεται.

[Παράκρης: Ὀλίγον.]

Παρακροτοῦντες: [z]Παραθαρσύνοντες, παρορμῶντες.

Παρακρούεται: Ἀντὶ τοῦ ἐξαπατᾷ. Μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς [a]ἱστάντας τι, ἢ μετροῦντας, κρούειν τὰ μέτρα καὶ διασείειν, ἕνεκα τοῦ πλεονεκτεῖν.

D Παρακρουσάμενος: Ἐξαπατήσας, [b]παραπείσας.

Παῖδας τῶν εὐγενεστάτων οἴκων παρακρουσάμενος, ἐξήγαγεν ἐκ τῆς πόλεως.

Παρακρούσασθαι: Ἀνατρέψαι.

Ὁ δὲ, ὅσα διημφισβητήθη, οἷος ἐγένετο παρακρούσασθαι.

Παράκρουσιν: Ἐξαπάτην, ἐμπαιγμόν.

[c]Ἄπιστοί τε γὰρ δόξαντες εἶναι οἱ Σαυνῖται, καὶ πρὸς τὰς συμφορὰς ἐς παράκρουσιν τοῦ ἀεὶ κρατοῦντος σφῶν σπένδεσθαι, οὐχ
E ὅσον οὐχ [d]εὕροντό τι συμβατικὸν, ἀλλὰ καὶ ἄσπονδον σφίσι τὸν πόλεμον παρεσκεύασαν.

ΠΑΡΑΚΕΚΛΗΜΕΝΟΙ] Gl. om. A.V.

ΠΑΡΑΚΕΚΟΜΜΕΝΑ] Sejunxi a præced. cum A.

[i] Κἀμοὶ γάρ ἐστιν ἀμπ.] Aristoph. Acharn. 511. Ἐμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα. Sic etiam apud Suidam scribendum est. KUST.

[k] λέγεται] λέγει A.

[l] Ἀνδράρια μοχθ.] Et hi duo senarii leguntur apud Aristophanem loco modo laudato. KUST.

ΠΑΡΑΚΕΧΟΡΔΗΚΕΝ] Malim παρακεχόρδικεν, per ι, ut habet Hesychius. Aristophanes Eccles. 295. Μηδὲν παραχορδιῇς, ὧν δεῖ σ' ἀποδεῖξαι. Scholiasta ad eum locum: Παραχορδιῇς: Παρὰ ῥυθμὸν ποιήσεις, μηδὲν παραφθέγξῃ. KUST. Similia Portus.

[m] Τὰ νῦν. Ἱκανὰ κακ.] Sic locum hunc auctoritate optimi codicis ms. A. interstinxi. In prioribus enim editt. τελεία στιγμὴ post νῦν male omissa est. KUST.

[n] Ἱκανὰ] Aristoph. Lys. 1046. docente Abreschio.

ΠΑΡΑΚΙΝΟΥΝΤΑ] Vid. in Παράθερμος. HEMST.

[o] Ἐξιστάμενον] ἐξιστάμενα Photius.

[p] εἰς Ἰουλιανὸν τὸν Εὐτροπίου] Interpres: *In Julianum Eutropii filium.* Hæc sana esse nequeunt; et aliud quid subesse monstrat A. in quo legimus ἐς ἰοῦ τὸν Εὐτρόπιον. Et hoc reposui, compendium scripturæ aliis enodandum relinquens. Εἰς ἰουλιανὸν τῶν Εὐτροπίου C.

[q] Καίτοι] Hoc fr. Eunapio tribuit Boissonadius n. 36. omisso superiore, quod vix dubitandum est ad Eunapium pertinere. Nam Suidæ verba Εὐνάπιος—εὐνούχου, ad præcedentia, non ad sequentia referenda sunt. Adde quod Καί τοι—προσήκοντος ab optimis mss. A.V. absunt.

ΠΑΡΑΚΛΗΣΙΣ: Ἀντὶ τοῦ προτροπή. Ἰσοκρ.] Ex Harpocratione. KUST.

[r] Παραινέσεσι] Παραίνεσιν A.V. Παραινέσεσι Phot. Vulg. voc. om. Locus est Or. ad Demonic. p. 3 A. Mox ἀντὶ τοῦ δεήσ. M.

ΠΑΡΑΚΛΙΔΟΝ] Est vox Homerica Od. δ'. 348. KUST.

[s] Ἡ μὲν ἀνακλῖναι πυκ.] Est versus Homericus Il. ε'. 751. KUST.

[t] Ἀριστοφάνης] In Pac. 981. KUST.

F ΠΑΡΑΚΟΑΝ] Κοᾶν in Κοάλεμος, κονᾶν nusquam extat. HEMST.

ΠΑΡΑΚΟΝΑΝ: Τὸ ἐν τῷ φιλ.] Rectius et plenius Hesychius: Παρακονᾶν: Τὸ ἐν τῷ ἀσπάζεσθαι παρατρίβειν τὸ γένειον καὶ τὰς παρειάς. Hanc lectionem in versione secutus sum. KUST.

ib. Ab ἀκονᾶν. HEMST.

ΠΑΡΑΚΟΠΗ] Josephus B. J. I. 25, 4. παρακοπὴν δὲ φρενῶν καὶ μανίαν ὀδυρόμενος.

G [u] φρενιτίασις] An leg. φρενῖτις? VALCK.

[x] παρατραπεὶς] τραπεὶς A.V.

[y] Ἐτελεύτησε δὲ, ἄκρατον πολὺν ἐμφ.] Hæc sunt verba Laërtii in Arcesilao, circa finem, ut Pearsonius recte observaverat. KUST.

ΠΑΡΑΚΡΗΣ] Deest h. gl. A.B.V.E. Vid. supra p. 2851 F.G.

ΠΑΡΑΚΡΟΤΟΥΝΤΕΣ] Vid. Παρεκρότουν. HEMST.

[z] Παραθαρσύνοντες] Παραθράσυνοντες E.

ΠΑΡΑΚΡΟΥΕΤΑΙ: Ἀντὶ τοῦ ἐξαπ.] Ex Harpocratione.
H Confer Ammonium v. Παρακέκρουσται. KUST.

[a] ἱστᾶντας] ἱστῶντας B.E.M.

[b] παραπείσας] πείσας V.

[c] Ἄπιστοι] Depromptus est hic locus ex Dion. Cass. Legat. p. 374. ed. Ursin. quod et vidit Reimar. [t. I. p. 59.] TOUP.

[d] εὗρον] εὕροντό A.B.M. εὕροντό τε συμ. E. Mox παρεσκεύασε V.

Παρακοίτης: Ὁ ἀνήρ. Παράκοιτις δὲ, ἡ γυνή.

[Παρακωχή: Παρὰ [e]Θουκυδίδῃ, παροχή· ὡς ἡ ἀνακωχὴ, καὶ διακωχή.]

Παράλλαξον: Πάρελθε.

Ἡ γὰρ κατὰ μικρὸν παράλλαξις πᾶσαν ποιεῖ φύσιν ὑπερφέρειν τὰς μεταβολὰς, ὡς ἐπὶ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ.

Παραλλάττουσιν: Ἀντὶ τοῦ [f]παρέρχονται.

Παραλλάττουσι δὲ ἀλλήλους τῷ διαστήματι τῶν ὁδῶν ψευσθέντες ὅ τε Προκόπιος καὶ Οὐάλης ὁ βασιλεύς.

Παραλλήλων: Ὁμοίων, ἀκολούθων, ἐγγὺς ἀλλήλων, ἐξίσου.

[g]Καὶ παράλληλον ὀρύξαντες τῷ δοκοῦντι πεσεῖσθαι τείχει, συνῆψαν ὑπὸ γῆν τοῖς ἐναντίοις.

Ἀντὶ τοῦ, ἐξίσου.

Παραλογίζομαί σε.

Παραλογισμός: Ἀπάτη λογισμοῦ.

Παραλογιστής: Ἀπατεών.

Παράλογον λέγουσιν ἀρσενικῶς, οἵ τ' ἄλλοι, καὶ μάλιστα [h]Θουκυδίδης, τὸ παράδοξον, καὶ ὃ οὐκ ἄν τις προσδοκήσειεν· οἷον, [i]τοῦ πολέμου τὸν παράλογον. Καὶ, ὅτι ἐγένετο πολὺς ὁ παράλογος. [k]Προκόπιος·

Οἱ μὲν ἄλλοι τοῦ πλήθους ἐκλογιζόμενοι τὸν παράλογον, ἔδοξε μανιώδης εἶναι αὐτοῦ ἡ ἔννοια.

[l]Καὶ αὖθις·

Τοῖς δὲ Ῥωμαίοις [m]θάρσος καὶ ἀπιστία πρὸς τὰ [n]γενόμενα παρέστη πλείων, ἢ τοῖς τὰ παράλογα ὀνείρατα ὁρῶσι.

Παράλογος: [o]Θουκυδίδης·

Οἱ δὲ Ἀθηναῖοι ἐν παντὶ [p]ἤδη ἀθυμίας ἦσαν, καὶ ὁ παράλογος αὐτοῖς μέγας ἦν· πολὺ δὲ μείζων ἔτι τῆς [q]στρατιᾶς ὁ μετάμελος.

[r]Καὶ αὖθις·

[s]Οἱ δὲ σοφίσμασι καὶ παραγωγαῖς ἐκκρούοντες ἡμᾶς ἀεί τε καὶ καθημέραν, κύριοι τῶν ἡμετέρων ἐκ τοῦ παραλόγου γεγένηνται.

Παραλόγως: Ἀνελπίστως, παρὰ προσδοκίαν.

Οὐδέ τις ἦν, ὃς οὐκ ἠθέλησε τὸ μὴ οὐ θεατὴς γενέσθαι παραλόγου οὕτως εἰς μέγεθος παρασκευῆς.

Ἀντὶ τοῦ, παραδόξου.

Πάραλος: Ναῦς ἱερὰ, θεωρίς· ἦν δὲ καὶ ἑτέρα Σαλαμινία ναῦς. [t]Τευθὶς δὲ πάραλος, ἡ παραθαλασσία, ἢ ἡ παρὰ [u]τοὺς ἅλας κειμένη.

Πάραλος, ἢ Σαλαμινία: Αὗται ἱεραὶ [x]τριήρεις δημόσιαι, ἐπὶ τὰς τῆς πόλεως χρείας πεμπόμεναι, καὶ ταχυναυτοῦσαι· καὶ ἦσαν ὡς ἂν ὑπηρέτιδες ταχεῖαι οὖσαι, ἡ μὲν ὑπηρετοῦσα εἰς τὰ θεωρικὰ, ἡ δὲ εἰς τὰ δημόσια. Καὶ αὖθις·

Οἱ δὲ Ἀθηναῖοι πέμπουσι τὴν Πάραλον, καλοῦντες αὐτὸν ἐπὶ κρίσιν.

Τουτέστι, [y]τὸν Ἀλκιβιάδην.

Πάραλος: Δημοσθένης Φιλιππικοῖς. Μία τῶν παρ' Ἀθηναίοις πρὸς τὰς δημοσίας χρείας [z]διαπεμπομένων τριήρων, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα. Πάραλοι δ' ἐκαλοῦντο οἱ ἐπιβεβηκότες αὐτῆς, οἳ καὶ διὰ ταύτην τὴν ὑπηρεσίαν τέσσαράς τε ὀβολοὺς ἐλάμβανον, καὶ τὸ πλεῖστον τοῦ ἐνιαυτοῦ [a]οἴκοι τε ἔμενον, καὶ ἄλλα τινὰ ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως.

Πάραλοι: Οἵ τε ἐν τῇ [b]νηῒ τῇ παράλῳ πλέοντες, καὶ οἱ τὴν παράλιον τῆς Ἀττικῆς κατοικοῦντες· ὥσπερ [c]ἕτεροι Πεδιάσιοι, καὶ Διάκριοι. [d]Πάραλος δὲ τριήρης ἱερὰ καλεῖται, ἥτις [e]διηνεκῶς ταῖς ἐπειγούσαις χρείαις ὑπηρέτει. Ὁπότε δὲ ἐκ τῆς ἀλλοδαπῆς μεταπέμψασθαι στρατηγὸν [f]ἐβούλοντο, ὥσπερ Ἀλκι-

[e] Θουκυδίδῃ] VI. 85. ubi vid. Wass. De seqq. ἀνακωχὴ, διακωχὴ vid. Pierson. ad Mœr. p. 86. Ceterum deest hæc gl. A. Vid. infra post Παροκλάζων.

[f] παρέρχονται] Sic recte habet ms. Paris. A. At priores editt. [et B.E.] male, παραδέχονται. KUST.

ΠΑΡΑΛΛΗΛΩΝ] Photius: Παράλληλον: ὅμοιον, ἀκόλουθον, ἐ. ἀ. ἐ.

[g] Ἐκ παραλλήλου] Καὶ παράλληλον A.B.V.E. Sed παραλλήλου A. in marg.

ΠΑΡΑΛΟΓΙΣΤΗΣ] Artemidor. p. 235. TOUP.

ΠΑΡΑΛΟΓΟΝ] H. gl. habet V. in marg. Eadem fere habet Schol. Luciani Abdicat. c. 6.

[h] Θουκυδίδης] Lib. I. c. 77. et lib. II. c. 85. et alibi. KUST. Vid. Wass. et Duker. ad priorem locum.

[i] τοῦ πολέμου τὸν παρ.] Sensus hujus loci supplendus est ex Thucydide, qui loco laudato sic habet: Τοῦ δὲ πολέμου τὸν παράλογον, ὅσος ἐστι, πρὶν ἐν αὐτῷ γενέσθαι, προδιάγνωτε. KUST.

[k] Προκόπιος] De Bello Vandal. lib. II. c. 13. sed ubi sic legitur: Πᾶσι μὲν οὖν τὸ τοῦ πλήθους ἐκλογιζομένοις παράλογον, ἔδοξε μανιώδης, &c. Sic etiam apud Suidam scribendum est. KUST.

[l] Καὶ αὖθις] Seqq. om. V. usque ad Θουκυδίδης in gl. prox.

[m] θάρσος] Sensus potius requirere videtur, ut scribatur θάμβος. KUST.

[n] γενόμενα] γινόμενα A. Tum πάρεστι E. et πλείω A.

ΠΑΡΑΛΟΓΟΣ] ὁ παράλογος A.

[o] Θουκυδίδης] Lib. VII. (55.) ut Portus monuit. KUST.

[p] ἤδη] δὴ B.E.

[q] στρατιᾶς] Lege, στρατείας. KUST.

[r] Καὶ αὖθις] Perierunt seqq. V.

[s] Οἱ δὲ σοφίσμασι καὶ παραγ.] Idem fragmentum legitur etiam supra v. Παραγωγαῖς. KUST.

ΠΑΡΑΛΟΓΩΣ] Παραλόγους B.E. Tum τὸ ἀνέλπιστον A.V. B. m. s. ἀνελπίστους E. Mox τοῦ παραλόγου E.

ΠΑΡΑΛΟΣ: Ναῦς ἱερ.] Schol. Aristoph. Av. 147. Δύο εἰσὶ νῆες ὑπηρέτιδες παρὰ τοῖς Ἀθηναίοις, ἡ Πάραλος, καὶ ἡ Σαλαμινία· ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐκκαλουμένους εἰς κρίσιν ἦγεν· ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγεν· τουτέστι τὰ εἰς θυσίαν πεμπόμενα. Confer Nostrum supra v. Ἄπειρος, et v. Ἱερὰ τριήρης: itemque Ulpianum in orat. Demosth. contra Midiam, p. 216. et Sam. Petitum Miscell. lib. III. c. 5. KUST. Addit Reinesius vv. Δηλιὰς et Χελιδόνας.

[t] ΤΕΥΘΙΣ δὲ ΠΑΡΑΛΟΣ, ἡ παραθ.] Aristoph. Acharn. 1155. Ὃν γ' ἔτ' ἐπίδοιμι τευθίδος Δεόμενον· ἡ δ' ὠπτημένη Σίζουσα πάραλος ἐπὶ τραπέζῃ κειμένη. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

[u] τοὺς ἅλας] Sic Schol. τὰς ἅλας A.B.E. τὰς ἄλλας C.M.

ΠΑΡΑΛΟΣ καὶ] Πάραλος ἢ A.V. Παρ. ἡ B.E. Priora hujus gl. habet Schol. Aristoph. Av. 1204.

[x] τριηρεῖς] ἱεραὶ τριηρεῖς A.B.E. ἢ ἱεραὶ τρ. V.

[y] τὸν om. A. Ceterum plerique narrant, v. c. Thucydides, Diodorus Siculus, Plutarchus, ad Alcibiadem arcessendum missam fuisse Salaminiam, non Paralum. Vide v. Σαλαμινία.

ΠΑΡΑΛΟΣ: Δημοσθένης Φιλιππ.] Ex Harpocratione. KUST.

[z] διαπεμπομένων] παραπεμπομένων A.

[a] οἴκοι τε] οἰκεταὶ E.

[b] παράλῳ νηῒ] νηῒ τῇ παράλῳ A.B.V.E. Photius. νηὶ παράλῳ νηὶ M.

[c] ἕτεροι] καὶ ἕτεροι V.

[d] ΠΑΡΑΛΟΣ] Cum præcedente gl. junxi cum A. et Photio. Pro πάραλος A. præbet παράλογος.

[e] συνεχῶς] διηνεκῶς A.B.V.E. Phot.

[f] ἐβούλοντο] ἠβούλοντο V. Phot.

βιάδην ἀπὸ Σικελίας, τῇ Παράλῳ ἐχρῶντο. [g]Λέγεται δὲ ἡ αὐτὴ καὶ Σαλαμινία. [h]Ὕστερον [i]δὲ ἄλλαι δύο προσεγένοντο αὐταῖς, Ἀντιγονίς τε, καὶ Δημητριάς.

Παράλων: [k]Διῄρητο εἰς τέσσαρας μοίρας πάλαι ἡ Ἀττική. Πανδίων γὰρ διαδεξάμενος Κέκροπα, προσκτησάμενος δὲ καὶ τὴν Μεγαρίδα, ἔνειμε τὴν χώραν τοῖς παισὶν εἰς τέσσαρας μοίρας· Αἰγεῖ μὲν, τὴν παρὰ [l]τὸ ἄστυ μέχρι Πυθίου· Πάλλαντι δὲ, τὴν Παραλίαν· Λύκῳ δὲ, τὴν Διακρίαν· [m]Νίσῳ δὲ, τὴν Μεγαρίδα. Ἀριστοφάνης·

Ἀλλ' οὐδὲ Παράλων οὐδεμία γυνὴ πάρα.

Παραλοῦμαι: Παροιμιακῶς. [n]Εἰώθεισαν γὰρ πρότερον ἐν τοῖς βαλανείοις οἱ πλούσιοι παραλούειν τοὺς πένητας. Ἀριστοφάνης Ἀναγύρῳ·

[o]Ἀλλὰ πάντας χρὴ παραλοῦσθαι, καὶ τοὺς σπόγγους ἐᾶν.

[p]Οἷον συνεισιέναι τοῖς πλουσίοις, ὥστε μηδὲ σπόγγους φέρειν, ἀλλὰ τοῖς ἐκείνων χρῆσθαι.

Παραλυπῶ: Αἰτιατικῇ.

Παραλύσας: [q]Ἀντὶ τοῦ, διαδεξάμενος.

Παραλύσας αὐτὸν τῆς ἀρχῆς.

Παραλῦσαι: Ἀφελέσθαι.

Βουλόμενος ἀναπαῦσαι, καὶ κόπου παραλῦσαι τοὺς ἰδίους στρατιώτας.

Καὶ αὖθις [r]Σιμόκατος·

Οἱ δὲ τῶν ὅπλων παραλυθέντες, οὐκ εἶχον ὅ τι χρήσονται τοῖς θυμοῖς.

Παραμέλω: Γενικῇ.

Παραμείψας: Παραλλάξας.

Παραμπυκίζεται: [s]Παραπλέκεται τὰς τρίχας.

Παραμυθῆσαι: Αἰτιατικῇ. Συμβουλεῦσαι. Καὶ

A παραμυθήσασθαι, ὡσαύτως.

Παρανάλωμα:

[t]Ὁ Μακρῖνος ὁ βασιλεὺς τρυφῇ καὶ ἐκδεδιῃτημένῳ βίῳ τὰ καθ' ἑαυτὸν παραδοὺς, παρανάλωμα τῆς τρυφῆς ἐποιεῖτο τοὺς [u]φόνους οὐδὲν ἠδικηκότων ἀνθρώπων.

Τουτέστι, προσόψημα.

Παράνοια:

B [x]Πότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω;

Οἷον, [y]πρὸς τὸν πατέρα δικάσομαι, καὶ δείξας αὐτὸν μαινόμενον, οὕτω τὴν μανίαν παύσω, εἰς τὸ δικαστήριον ἀγαγών.

Παράπαν: Καθόλου, παντελῶς.

[z]Καὶ μάλιστα παρορμηθῆναι φήσας πρὸς τὴν ἐπιβολὴν τῆς πραγματείας, διὰ τὸ μηδέποτε τὴν Εὐρώπην ἐνηνοχέναι τοιοῦτον ἄνδρα [a]παράπαν, οἷον τὸν Ἀμύντου Φίλιππον.

C Παραπαίων: Παραφρονῶν, ληρῶν.

Ἀγνοῶν καὶ παραπαίων ὁλοσχερῶς.

[Παραπέμπω: Αἰτιατικῇ.

Παραπέμπει πλωτῆρας σὺν εὐθυμίᾳ.

Καὶ κατὰ [b]περιποίησιν, δοτικῇ.

Μᾶλλον δὲ κόσμον παραπέμπουσι τὸν ἐνεστῶτα τῷ μέλλοντι.]

Παραπεπληγμένα: Μανικά.

[c]Ὅσ' ἂν πράξωσιν, ὥσπερ μεθυόντων ἐστὶ παραπεπληγμένα.

D Παραπεπτωκώς: Ἀντὶ τοῦ ὑποπεπτωκώς. Δημοσθένης ἐν τῷ [d]κατὰ Στεφάνου.

Παραπέταλοι: Πετάλοις ἐσκεπασμέναι.

Αἱ δὲ τριήρεις ἦσαν κόσμῳ [e]διαπρεπεῖς, ἀργύρῳ τε τὰ ἔμβολα καὶ χρυσῷ τὰς πρύμνας παραπέταλοι.

Παραπέτασμα: Παρακάλυμμα, παράπλωμα· τὸ λεγόμενον βῆλον.

E

g Λέγεται δὲ ἡ αὐτὴ καὶ Σαλαμ.] Male. Fuerunt enim naves diversæ: quas et ipse Suidas paulo ante recte distinxit. KUST.

h Ὕστερον δὲ καὶ ἄλλαι δύο προσεγ.] Aliter Ulpianus ad Orat. Demosth. contra Midiam p. 216. qui tres triremes duabus prioribus additas esse refert, nimirum Antigonidem, Ptolemaidem, et Ammoniadem. En ejus verba: Ἦσαν δὲ τὸ μὲν πρῶτον ἱεραὶ δύο τριήρεις, ἥτε Σαλαμινία, ἣν καὶ Δηλίαν ἐκάλουν· καὶ ἡ Πάραλος. Ὕστερον δὲ καὶ ἄλλαι τρεῖς F ἐγένοντο, Ἀντιγονὶς, καὶ Πτολεμαὶς, καὶ Ἀμμωνιάς· ἐπειδὴ τῷ Ἄμμωνι δι' αὐτῆς τὰς θυσίας ἔπεμπον. KUST.

i δὲ καὶ] καὶ om. A.E. Phot.

k Διῄρητο εἰς τέσσαρας] Ex Schol. Aristoph. Lysistr. 58. KUST. Mox δεξάμενος M.

l τῷ Ἄστει] τὸ ἄστυ A.V. Schol.

m Νίσῳ] Μενίσῳ V. νέσω M.

ΠΑΡΑΛΟΥΜΑΙ] Vid. Παραδύομαι. HEMST.

n Εἰώθεσαν] εἰώθεισαν A. Photius.

o Ἀλλὰ πάντας χρὴ παρ.] Est versus trochaicus, sed cui deest syllaba. KUST. Minime. Versus est Eupolideus polyschematistus.

p Οἷον om. Photius. Mox ἀλλὰ καὶ V.

ΠΑΡΑΛΥΣΑΣ] Ex Thucydide. Vid. v. Παρέλυσαν. TOUP.

q Ἀντὶ τοῦ διαδεξάμενος] Inepte. Nam παραλύσας τῆς ἀρχῆς non significat, qui alicui successit, sed, qui successorem alicui misit, ut Latini loqui solent; sive, qui magistratu aliquem movit. Res est plana. KUST.

r Σιμόκατος] Σιμοκρατ A. Σιμοκράτης V.

ΠΑΡΑΜΠΥΚΙΖΕΤΑΙ] Aristoph. Lysistr. 1319.

s Παραπλέκεται] παραπλέκει B.E.

ΠΑΡΑΝΑΛΩΜΑ] Simocat. 73. 126. Joseph. B. J. p. 272 et 287. Vide Wesseling. ad Diodor. T. I. p. 642. Plutarch. I. p. 234. παρανάλωσε τῷ πρὸς τὴν πατρίδα θυμῷ. Agathias p. 56. Demades p. 178. Procop. p. 332. TOUP. Conf. Schol. ad Gregor. Stelit. II. p. 112.

t Ὁ Μακρῖνος ὁ βασιλεὺς τρυφῇ καὶ ἐκδ.] Hæc sunt verba Joannis Antiocheni, non quidem de Macrino, sed Carino imperatore, quæ leguntur in Collectaneis Constantini imperatoris a Valesio editis, p. 834. unde ea Suidas sumpsit. Vide etiam supra v. Καρῖνος, ubi hic ipse locus legitur. KUST.

u φόνους] τοὺς φόνους A.V.

x Πότερον παρανοίας αὐτὸν εἰσαγ.] Aristoph. Nub. 843.

F y πρὸς τὴν] πρὸς om. A.

z Καὶ μάλιστα παρορμηθῆναι φ.] Hæc sunt verba Polybii, quæ leguntur in Collectaneis Constant. imperat. a Valesio editis p. 21. unde ea Suidas deprompsit. KUST.

a τοπαράπαν] παράπαν A.V. Excerpt.

ΠΑΡΑΠΑΙΩΝ: Παραφρονῶν. Ληρῶν. Ἀγνοῶν. Καὶ παραπαίων ὁλοσχέρως] Hæc male distincta sunt. Scribendum, Παραπαίων: παραφρονῶν, ληρῶν. Ἀγνοῶν καὶ παραπαίων ὁλοσχέρως. Polybius, lib. IV. p. 416. Ἀγνοοῦντες καὶ πολὺ G παραπαίοντες τοῦ δέοντος. Idem in Excerptis Valesii p. 1422. Ἀγνοεῖν μοι δοκεῖ καὶ πολὺ παραπαίειν τῆς ἀληθείας. Idem in Excerpt. Legat. p. 1133. Περὶ δὲ τῶν ἄλλων ἈΓΝΟΕΙΝ αὐτὸν ἔφη καὶ ΠΑΡΑΠΑΙΕΙΝ ΟΛΟΣΧΕΡΩΣ τοῦ σφετέρου συμφέροντος. Ad hunc locum sine dubio respexit Suidas. TOUP. Recte distinguit M.

ΠΑΡΑΠΕΜΠΩ] Gl. habet A. in marg. om. V.

b περιποίησιν] Ita tacite Kusterus, Portum secutus. Antea παραποίησιν.

c Ὅσ' ἂν πράξωσιν ὥσπ.] Aristoph. Eccles. 137. Τὰ γοῦν βουλεύματα Αὐτῶν, ὅσ' ἂν πράξωσιν ἐνθυμουμένοις, Ὥσπερ μεθυ- H όντων ἐστὶ παραπεπληγμένα. KUST.

ΠΑΡΑΠΕΠΤΩΚΩΣ: Ἀντὶ τοῦ ὑποπεπτ.] Ex Harpocratione. KUST. Παραπεπτωκὸς—ὑποπεπτωκὸς M.

d περὶ στεφάνου] κατὰ στεφάνου A. Phot. κατὰ στέφ V. Vid. Demosth. p. 1127, 2.

e διαπρεπεῖς] διαπρεπεῖ A.B.V.E.

A Παράπηγμα: Κανών. [f]Καὶ εἶδός τι ὀργάνου ἀστρονομικοῦ.

[g]Εἰ δὲ ἰδιωτικὸν παράπηγμα ἀψικάρδιον ἐθέλεις πρὸς [h]τὸν θάνατον, εἴπω.

Παραπικρασμός: Ἡ ἐν ἐρήμῳ πολλάκις γενομένη ἀντιλογία τῶν Ἰσραηλιτῶν.

Παραπλαγιάσας: Πλασάμενος.

Παραπλῆγας πέτρας: Παραλίας, πλησσομένας B ὑπὸ τῆς θαλάσσης.

Παραπλῆκτῳ: Τῇ μανικῇ. [i]Σοφοκλῆς.

Παραπλήκτῳ
[k]χερὶ συγκατακτάς.

Καὶ Αἰλιανός·

[l]Ὁ δὲ οὐκ ἠνέσχετο παραληρεῖν αὐτὸν, ἀλλὰ τὴν τῶν λόγων παραπλῆγα λύτταν κατεσίγασε· καὶ τῶν Διοσκούρων ἑνὸς τὸ ξίφος διῃρμένον τε καὶ [m]ἐπανεστὸς, καὶ πληγεὶς καιρίως ἐξέγρετο.

Παραπλήξ: Μαινόμενος, παράφρων. [n]Ἀριστο- C φάνης Πλούτῳ·

Ἦν δ' [o]εἰς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχω,
πόρναισι καὶ κύβοισι παραβεβλημένος.

Ὁ ἄφρων. Ἀπὸ τῶν κρουμάτων τῶν [p]διαπεπτωκότων τοῦ ἐναρμονίου λυρισμοῦ. Ἢ ὁ μωρός. Ἀληθῶς γὰρ ἡ ἀσωτία [q]πεπληγμένη ἐστὶ διάνοια. Καὶ αὖθις·

[r]Παραπλῆγι ἐοικότα ἐνθένδε ἀπαλλαγῆναι.

D Παραπληξία: Μανία.

Παραπόδας: Ἐπίρρημα. Εὐθέως· ἢ ἐγγύς· ἢ πλησίον.

[s]Μετὰ ταῦτα παραπόδας ἀκρατέστατον μὲν αὐτὸν δείκνυσι πρὸς γυναῖκας.

Καὶ αὖθις·

[t]Παραπόδας [u]οὐ συμμαχικῶς, ἀλλὰ δεσποτικῶς χρῶνται.

A Παραποδίζειν: Ἐμποδὼν γίνεσθαι. [x]Πολύβιος·

Βατώδεις ὄντας τοὺς τόπους [y]ἐμπλέκεσθαι τοῖς ἐφάμμασι, καὶ παραποδίζειν τὴν τῶν ὅπλων χρείαν.

Παραπολύ: Παντελῶς. Θουκυδίδης ἐν α'.

Καὶ ἐνίκησαν οἱ Κερκυραῖοι παραπολύ.

Παραπολύ: Ἐπίρρημα. Ἀντὶ τοῦ, πάνυ, παντελῶς. Δέξιππος·

Παραπολὺ ἀπελείποντο [z]τοῦ πείθεσθαι τοῖς εἰσηγουμένοις ἡσυ- B χίαν αἱρεῖσθαι.

[a]Ἀριστοφάνης Πλούτῳ·

Δεινότατον ἔργον παραπολύ.

Ἀντὶ τοῦ, πάνυ πολύ.

Παραπρεσβεία: Τὸ ἔξω [b]τι τῶν προστεταγμένων διαπράξασθαι.

Ὁ δὲ βασιλεὺς ἐχαλέπαινεν οἷα εἰκὸς, καὶ παραπρεσβείας ἐκρίνετο Ἰωάννης, ἅτε οὐ πρὸς τὸ συνοῖσον τῇ πολιτείᾳ διαπραξάμενος.

C Καὶ αὖθις·

Οὗτος τὸν ἐμὸν ἀδελφὸν ἀπειλεῖ παραπρεσβείας αἱρήσειν [c]καὶ διώξεσθαι.

Παραρρεῖ: Δοτικῇ.

Παρὰ προσδοκίαν: Τουτέστι, μετὰ μόχθου.

Παραρρητοῖς: Παρηγορικοῖς λόγοις, [d]παραμυθήμασιν, ὑποθήκαις· οἱ δὲ, συμβούλοις.

Παραρρύματα: Δέρεις, σκεπάσματα.

D Παραρρυῶμεν: Παραπέσωμεν.

Παρασάγγης: Εἶδος μέτρου Περσικοῦ, [e]ὅ ἐστι τριάκοντα στάδια. [f]Ξενοφῶν·

Ὁ δὲ Κῦρος, ὁσόσον, ἔφη, ἄπεστι τὸ στράτευμα; οἱ δὲ, ὡς δύο παρασάγγας εἶπον.

Παράσειρος: Ὁ ἀκόλουθος ἵππος.

Παρασημαίνει: [g]Δηλοῖ, χαράττει.

E

[f] Καὶ εἶδός τι ὀργάνου ἀστρον.] Vide Turnebum Adversar. lib. XI. c. 3. KUST. Salmas. ad Diodor. Sic. p. 8. TOUP.

[g] Εἰ δὲ ἰδιωτικὸν παράπ.] Hæc sunt verba Marci Antonini lib. IX. c. 3. ut Pearsonius recte observaverat. Vide etiam Nostrum supra v. Ἀψικάρδιον, ubi idem fragmentum legitur. KUST.

[h] τὸν θάνατον] τὴν θάλατταν E. suprasc. tamen τὸν θάνατον.

F ΠΑΡΑΠΙΚΡΑΣΜΟΣ] Voce hac usus est auctor Epistolæ ad Hebræos III. 8. ad quem locum Suidas respexit. KUST. Non ad auctorem Epist. ad Hebræos III. 8. ut opinabatur temere Kusterus, sed ad Ps. XCIV. 9. respexit glossator. Nam explicatio ejus vocis est Theodoreti ad hunc locum. ERNEST.

ΠΑΡΑΠΛΑΓΙΑΣΑΣ: Πλάσας. Πλασ.] Hesychius: Παραπλαγιάσας: Πλαγιασάμενος. Sic etiam apud Suidam scripserim. KUST. Delevi πλάσας cum A.B.E.V. et Photio.

G ΠΑΡΑΠΛΗΓΑΣ] Conf. Od. ε'. 418.

ΠΑΡΑΠΛΗΚΤΩΙ] Sejunxi a præced. cum A.

[i] Σοφοκλῆς] Aj. 229.

[k] χερὶ] χειρὶ A.

[l] Ὁ δὲ οὐκ ἠνέσχετο παραλ.] Locus hic auctior legitur supra v. Ἐπίκουρος. KUST.

[m] ἐπανεστὸς] ἐπανεστῶς A. ἐπανεστὼς V.

ΠΑΡΑΠΛΗΞ] Vid. Τυμβογέροντες. HEMST.

[n] Ἀριστοφάνης Πλούτῳ] Ver. 242.

[o] ὡς] εἰς A.V.

H [p] διαπεπτωκότων] τῶν διαπεπτωκότων A.B.V.E.

[q] πεπληγμένη] παραπεπληγμένη Schol. Aristoph.

[r] Παραπλῆγι ἐοικότα ἐνθ.] Fragmentum hoc legitur apud Procopium Histor. Arc. c. 12. KUST.

ΠΑΡΑΠΛΗΞΙΑ] Theodorit. Eccl. Hist. p. 168. TOUP.

[s] Μετὰ ταῦτα παραπόδας ἀκρ.] Hæc sunt verba Polybii apud Constantinum imperatorem in Collectaneis a Valesio editis, p. 21. unde sensus hujus loci supplendus est. KUST.

[t] Παραπόδας οὐ συμμ.] Et hæc sunt verba Polybii, ut discimus ex ipso Suida supra v. Καθικόμενοι, ubi fragmentum hoc auctius legitur. KUST.

[u] οὐ] οὐδὲ E.

[x] Πολύβιος] Lib. II. c. 28. Confer Nostrum supra v. Ἔφαμμα, ubi locus hic auctior legitur. KUST.

[y] ἐμπλέκεσθαι] ἐφέλκεσθαι A.

ΠΑΡΑΠΟΛΥ] Ἐπίρρημα addit A. Thucydidis locus est I. 29.

ΠΑΡΑΠΟΛΥ: Ἐπίρρημα] Hanc gl. om. A.

[z] τοῦ πείθεσθαι] τοῦ om. B.E. ἀπέλιπον τὸ π. V. ἐλείποντο E. pro ἀπελείποντο. Mox ἡγουμένοις V.

[a] Ἀριστοφάνης Πλούτῳ] Ver. 445.

[b] τι τῶν προστεταγμένων] τῶν προστεταγμένων τὶ V.

[c] καὶ διώξεσθαι] βαδίζεσθαι V.

ΠΑΡΑΡΡΗΤΟΙΣ] Voce hac usus est Homerus Il. ν'. 726. ad quem locum Suidas respexit. KUST.

[d] παραμυθήμασιν] παραμυθήσασιν B.E.

ΠΑΡΑΡΡΥΜΑΤΑ] Confer Hesych. v. Παράρυμα. KUST. Xenoph. Hist. Gr. p. 445. [I. 6, 19.] qui et p. 456. παραβλήματα vocat. KUST. Conf. Exod. XXXV. 10. Schleusner. Lex. V. T. Ceterum Παραρύμματα A.V. Photius. Παραθρύμματα E.

ΠΑΡΑΡΡΥΩΜΕΝ: Παραπ.] Hebr. II. 1. Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μήποτε παραρρυῶμεν. Huc Suidas respexit. KUST. Παραρυῶμεν V. Photius.

ΠΑΡΑΣΑΓΓΗΣ] Παρασσάγγης V. et in exemp.

[e] ὅσπερ] ὃ A.V. Phot. ὃς B.E.

[f] Ξενοφῶν] Cyrop. VI. 3, 10. Mox ἔφην A.

ΠΑΡΑΣΕΙΡΟΣ] Vide nos supra ad v. Ζύγιοι. KUST.

[g] Δηλοῖ, χαρ.] Imo, παραδηλοῖ, παραχαράττει: ut recte habet Hesychius. KUST.

Παράσημος: Ἀδόκιμος. [h]Καὶ παράσημον, τὸ A σεσημασμένον, καὶ ὕποπτον.

Καὶ παράσημον ἦν τὸ λεγόμενον, καὶ φυγὴν ἐδόκει δηλοῦν.

Παράσημος ῥήτωρ: [i]Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομισμάτων, ἃ καλοῦσι παράσημα· [k]ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινι, ὃ τὴν φαυλότητα δηλοῖ· ἐπειδὴ παρατετύπωται καὶ παρακεχάρακται.

Παρράσιος: Ὅτι μὲν ζωγράφος οὗτος δῆλον. Φασὶ δὲ αὐτὸν υἱὸν εἶναι καὶ μαθητὴν Εὐήνορος, [l]Ἐφέσιον δὲ τὸ γένος.

Παράσιτος: Κόλαξ, τραπεζολοιχὸς, [m]κοσσοτράπεζος. [n]Βελονοπώλης.] Οὗτος δανειστὴς ἦν, παράσιτος Παμφίλου τοῦ δημαγωγοῦ.

Παρασκευάζω: Αἰτιατικῇ.

Παρασκευή:

[o]Ὁ δὲ ἐπεκλήθη κριτικὸς γραμματικὸς, οἷα γραμματικὴν ἔχων παρασκευήν.

Περὶ Ἑκαταίου φησί.

Παρασκήνια: Ἔοικε παρασκήνια καλεῖσθαι ὁ [p]παρὰ τὴν σκηνὴν ἀποδεδειγμένος τόπος ταῖς εἰς τὸν ἀγῶνα παρασκευαῖς. Ὁ δὲ Δίδυμος τὰς ἑκατέρωθεν τῆς ὀρχήστρας εἰσόδους οὕτως φησὶ καλεῖσθαι.

Παρασπιστής: Παρεστὼς ὁπλίτης.

Παρασπονδήσας: Παραβὰς τὰς σπονδάς.

Παρασπονδοῦμαι: Παραβαίνομαι.

Παρασταδόν: Παραστατικῶς, κατὰ τρόπον, κατὰ τὸ δέον.

Παράστασις: Στάσις [q]παρά τινος ἄτιμος. Γίνεται δὲ ἐπὶ τῶν χρεωφειλετῶν.

Παράστασις: Ὁρμὴ, προθυμία.

[r]Καὶ παράστασις ψυχῆς πρὸς ἐλευθερίαν ἐνέπεσε τοῖς πλήθεσι. Διὸ πρὸς ἀλλήλους ἐδεινοπάθουν.

B Καὶ παράστημα ψυχῆς.

[s]Οἱ δὲ Ῥωμαῖοι [t]δι' ἀλκὴν σώματος, καὶ παράστημα ψυχῆς, ὀλίγου δεῖν τῆς οἰκουμένης ἐκράτησαν.

Παράστασις: Τοὔνομα πολὺ παρὰ τοῖς ῥήτορσιν. Ἔστι δὲ δραχμὴ [u]καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας. Μένανδρος Μισογύνῃ·

Ἕλκει δὲ [x]γραμματίδιον
ἐκεῖσε δίθυρον, καὶ παράστασις μία
C δραχμή.

Ἀριστοτέλης δὲ ἐν Ἀθηναίων Πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων, φησίν·

[y]Εἰσὶ δὲ γραφαὶ πρὸς αὐτοὺς, ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, (ἄν τις δῶρα δοὺς [z]ἀποφύγῃ τὴν ξενίαν,) καὶ [a]ψευδεγγραφῆς, καὶ ψευδοκλησίας, καὶ βουλεύσεως, καὶ [b]γραφίου, καὶ μοιχείας.

D Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς περὶ Νομοθεσίας, τοὺς διαιτητὰς φησὶ [c]λαχεῖν τὰς δραχμὰς, μίαν μὲν [d]ὑπὸ τῆς λήξεως, ἣν παράστασιν ἐκάλουν· ἑτέραν δὲ, καθ' ὑπωμοσίαν ἑκάστην.

[h] Καὶ ΠΑΡΑΣΗΜΟΝ] Theophylact. Simocatt. II. 15. ABRESCH.

ΠΑΡΑΣΗΜΟΣ ῬΗΤΩΡ: Δημ.] Ex Harpocratione. KUST.

[i] Δημοσθένης] P. 307, 26.

[k] Ἤτοι ὅτι] οἱ τοιοῦτοι χαράττεται Phot.

ΠΑΡΡΑΣΙΟΣ] Παράσιος A.B.V.E.M. Photius, Harpocr. ms. Pal.

[l] Ἐφέσιον δὲ] δὲ om. A.

ΠΑΡΑΣΙΤΟΣ] Apud Rom. ii dicebantur septemviri epulones. Vid. Petit. Comm. LL. Att. p. 87. παρασίτων ὄνομα πάλαι ἦν σεμνὸν καὶ ἱερόν. REINES.

[m] Κοσσοτράπεζος] Sic fortasse dictus est parasitus, quod ad mensam alapis se cædi patiatur. Κόσσος enim est *alapa*, teste Suida h. v. Sed de voce hac, ut obscura et insolita, nihil certi statuo. KUST. Emendabat Trillerus ad Hesychium, Κνισσοτράπεζος. Neuter recte. Scribendum sine dubio, Παράσιτος. ΚΥΣΟΤΡΑΠΕΖΟΣ. Idem τραπεζολοιχὸς et κυσοτράπεζος. Quæ vox elegans. Petronius Arbiter c. 64. *Miramur nos, et pariter credimus;* OSCULATIQUE MENSAM *rogamus nocturnas, ut suis se teneant, dum redimus a cœna.* Vide Albertum ad Hesych. v. Παράσιτος. Longus in Pastoral. lib. IV. p. 161. edit. Junger. Οἴχεταί σοι Γνάθων, ἔφη, δέσποτα, ὁ μέχρι νῦν ΜΟΝΗΣ ΤΡΑΠΕΖΗΣ ἘΡΩΝ. TOUP. Κοσσοτράπεζος Photius et Hesychius. Kusterianam interpretationem commendat Bastius Ep. Cr. p. 181. n.

[n] ΒΕΛΟΝΟΠΩΛΗΣ: Οὗτος δαν.] Ex Schol. Aristoph. Plut. 174. KUST.

[o] Ὁ δὲ ἐπεκλήθη κριτ.] Hæc leguntur etiam supra v. Ἑκαταῖος. KUST.

ΠΑΡΑΣΚΗΝΙΑ: Ἔοικε παρασκ.] Ex Harpocratione. KUST.

[p] παρὰ] περὶ V.

ΠΑΡΑΣΤΑΣΙΣ: Στάσις παρά τινος ἄτ.] Etymologus: Παρέστησαν. Ἐπειδὴ οἱ ἡττώμενοι παρίστανται τοῖς νενικηκόσιν, ὡς δοῦλοι δεσπόταις. Hæc Suidam illustrant. KUST. Ex Timæo, ubi mox παρά τινα cum Photio. Photius item γίνεται δὲ καί.

[q] Παρά τινος] Scribe, παρά τινι, i. e. *juxta aliquem.* KUST.

[r] Καὶ παράστασις] Ex Diodor. Sic. Exc. Legat. t. II. p. 629. Vid. supra p. 1482 B.

[s] Οἱ δὲ Ῥωμαῖοι] Hæc sunt verba Josephi Bell. Jud. II. 20. p. 209. TOUP. Οἱ δὲ Ῥωμ.—ψυχῆς om. A.

E [t] δι' ἀλκὴν σώματος καὶ παράστημα ψυχῆς] Eadem phrasi usus est Josephus lib. II. de Bello Jud. p. 815. ubi ait: Ἄξιος μὲν ἐλέους ὁ νεανίας δι' ἀλκὴν σώματος, καὶ ψυχῆς παράστημα. Hinc suspicor et fragmentum hoc eidem scriptori tribuendum esse, præsertim cum observaverim, eum voce παράστημα pro fortitudine vel audacia sæpe uti solere. KUST.

ΠΑΡΑΣΤΑΣΙΣ: Τοὔνομα πολὺ παρ.] Ex Harpocratione. Confer Etymologum v. Παρακατάστασις, et Petitum de Leg. Att. p. 175. KUST. Hanc gl. habent A.V. in F marg. τοὔνομα πολὺ et mox ἔστι δὲ om. A.

[u] καταβαλλομένη] καὶ παραβαλλομένη Harpocr. ms. Pal.

[x] γραμματίδιον] Id est libellus, in quo actor et nomen suum et causam, ob quam reo actionem intentaturus esset, scribebat: qui libellus reo postea tradebatur. Vide Suidam supra v. Ἀντωμοσία, et infra v. Παραστησόμεθα. Hic libellus a Menandro vocatur δίθυρος, i. e. ex duabus tabellis, vel duobus foliis constans; quem vocabulo notiori et magis communi δίπτυχον dicere possis. Hesychius: Διθύροις: Διπτύχοις. Δίθυρον: Γραμματίδιον δίπτυχον. G Idem alibi: Θυρίς: Ὀπὴ μικρά. Θυρίδας Ἀττικοὶ τὰς τῶν γραμμάτων πτυχάς. Καὶ δίθυρον λέγουσιν· οὐ τρίθυρον, ἀλλὰ τρίπτυχον. Egregie et docte. KUST.

[y] Εἰσὶ δὲ γραφαὶ πρὸς αὐτοὺς ὧν παρ.] Confer omnino cum hoc loco Suidam supra v. Ἡγεμονία δικαστηρίου. KUST.

[z] ἀποφύγῃ] ἀποφύγοι Photius.

[a] ψευδεγγραφῆς] Sic rectius ms. Paris. B. et Harpocratio, quam priores editt. in quibus legitur ψευδογραφεῖς. Vide Nostrum infra v. Ψευδεγγραφή. KUST. Ψευδεγγραφεῖς B.V. Tum ψευδοκλητίας B.E.M.

H [b] γραφίου] ἀγραφίου Harpocr. ed. . . . φίου ms. Pal. et Phot. ms.

[c] λαχεῖν] λαμβάνειν Photius, Harpocr.

[d] ὑπὸ τῆς λήξεως] Harpocratio habet ἀπὸ τῆς λήξεως. At ego scripserim potius, ὑπὲρ τῆς λήξεως. KUST. ἀπὸ Photius: ἐπὶ mallet Hemsterhusius. Mox κατὰ ὑπωμοσίαν M.

Παραστάται: Οἱ ὁμόζυγοι τῶν λόχων πρωτοστάται, καὶ ἐπιστάται· διὰ τὸ παρ' ἀλλήλοις ἵστασθαι. Παραστατεῖν, τὸ συμμαχεῖν. [e] Ἀριστοφάνης Πλούτῳ.

"Ωσθ'
ἡμῖν θεοὺς [f] παραστατεῖν
καίπερ γυναιξὶν οὔσαις.

[g] Καὶ παραστάτης. [h] Ἀρριανός·

Πρόσταγμα σφίσιν ἦν, ὅπως τις ἐκνηξάμενος σταίη, ἐν τῷ ὕδατι προσμένειν τὸν παραστάτην οἱ ἐσόμενον.

[i] Καὶ Εὐνάπιος·

Πολὺ διεστῶτας ἀλλήλων χωρεῖν ἐκέλευεν, ὅπως μὴ δουποίη τὰ ὅπλα, μήτε τῷ παραστάτῃ θλιβόμενα, μήτε τῷ φέροντι διὰ τὸν [k] συνωθισμὸν περικτυπούμενα.

[l] Καὶ παραστατικώτερον τὸν κίνδυνον ὑπέμειναν.

Καὶ λαβόντες παράστασιν εἰς τοὺς οἰχομένους γενναίως ἀποθανεῖν.

Ἀντὶ τοῦ, ὁρμὴν, τόλμαν. Καὶ αὖθις·

[m] Διελέχθη παραστατικῶς ἅμα καὶ παρρησιαζόμενος.

[n] Καὶ ἐπίρρημα, παραστατικῶς.

Ὁ δὲ ἔγραφε πικρῶς καὶ παραστατικῶς, ἀλάστορας ἀποκαλῶν καὶ παλαμναίους διὰ τῆς ἐπιστολῆς.

Παρασταυροῦντες: Ὀρθὰ ξύλα πηγνύντες.

[o] Οἱ δὲ παρασταυροῦντες ξύλα τῇ καταβάσει, καὶ τὸ μέσον ἄλλοις ἐπικαρσίοις στεριφοποιοῦντες, καὶ φορμοὺς ἐπιβάλλοντες ὕλης, ἐμάλθαξαν τὸ πάνυ πρανὲς καὶ ὀλισθηρόν.

Παραστησάμενος: Παραλαβὼν, ἑλὼν, καταστρεA ψάμενος.

Παραστήσομαι ἐναντίον σοῦ: Ἐνώπιόν σου στήσομαι.

[p] Τὸ πρωῒ παραστήσομαί σοι.

Τοῦτο δὲ ἁρμόδιον [q] λέγειν τοῖς κατ' Ἠλίαν βεβιωκόσι, καὶ παθῶν [r] ὑπερανεστηκόσι.

Παραστησώμεθα αὐτὸν εἰς κρίσιν: [s] Πολιτείας ὀγδόῳ. Ἀντὶ τοῦ, καταστήσωμεν αὐτὸν εἰς κρίσιν.
B Τὸ μὲν γὰρ ἔγκλημα ἀντωμοσία καλεῖται· ὁ δὲ ἐγκαλῶν, [t] γράψας εἰς πινακίδιον καὶ τὸ ὄνομα καὶ [u] τὸ ἐπίσημον, μεθ' ὑπηρέτου τῷ ἐγκαλουμένῳ ἐπιδίδωσι.

Παραστιχίς:

[x] Ἡρακλείδης ὁ Ποντικὸς [y] εἴς τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο [z] μαρτυρίοις, ὡς Σοφοκλέους. Αἰσθόμενος δὲ ὁ Διονύσιος, ἐμήνυσεν αὐτῷ τὸ γεγονός. Τοῦ δὲ ἀρνουμένου καὶ ἀπιστοῦντος,
C ἐπέστειλεν ἰδεῖν τὴν [a] παραστιχίδα· καὶ εἶχε, παγκάλως.

Παραστορῶ: Ἐκτενῶ. Ἀπὸ τῶν βυρσῶν.

[b] Ἐγώ σε, νὴ τὸν Ἡρακλέα, παραστορῶ.

Παραστρῶ: Αἰτιατικῇ.

Παρὰ σφᾶς [c] ὅσον οὐκ ἐσπλεῖν: Παρὰ Θουκυδίδῃ. Ἀντὶ τοῦ σχεδὸν, ὡς τὸ μονονουχί.

Παρὰ σφῆισι: Παρ' αὐταῖς. Παρὰ σφίσι δὲ,
D διὰ τοῦ ἰ, παρ' αὐτοῖς.

Παρασχεδόν: Παραυτίκα.

Παρασχηματίζειν:

---

ΠΑΡΑΣΤΑΤΑΙ] Procop. p. 348. TOUP. Παραστάται—ἵστασθαι leguntur in Tactico Montfauc. Bibl. Coisl. p. 506.

Καὶ ΠΑΡΑΣΤΑΤΕΙΝ] Delevi καὶ et sejunxi a præced. cum A.

[e] Ἀριστοφάνης Πλούτῳ] Imo Thesmoph. 376. KUST. Hæc verba om. E.

[f] συμπαραστατεῖν] παραστατεῖν A.B.V.

[g] Καὶ ΠΑΡΑΣΤΑΤΗΣ usque ad fin. gl. om. A.

[h] Ἀρριανός] De Rebus Indicis, p. 556. KUST.

[i] Καὶ Εὐνάπιος usque ad fin. om. V. Eunap. fr. 23.

[k] συνωθισμὸν] συνθισμὸν B.E.

[l] καὶ παραστ.] Verba sunt Diodori Sic. XX. c. 11. p. 738 C. HEMST. TOUP.

[m] Διελέχθη] Ex Diodori Exc. Leg. T. II. p. 627. monente Wesselingio. TOUP.

[n] Καὶ ἐπίρρημα] Seqq. habet A. in marg. Addit V. καὶ παράστασις, ὁρμὴ, τόλμα.

[o] Οἱ δὲ παρασταυροῦντες] Fragmentum hoc legitur etiam supra v. Ἐμάλθαξαν. KUST. τῇ παρακαταβάσει M.

[p] Τὸ πρωῒ παραστήσομαί σοι] Hæc sunt verba Davidis Psalm. V. 5. secundum versionem τῶν LXX. Theodoretus ad illum locum: Οὐ παντὸς δέ ἐστι λέγειν τῷ τῶν ὅλων Θεῷ, Παραστήσομαί σοι, καὶ ἐπόψει με· ἀλλὰ τῶν κατὰ τὸν μέγαν Ἠλίαν διὰ τὴν ἀπὸ τῆς πολιτείας παρρησίαν λέγειν θαρρούντων, Ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον. Hinc Suidas sua hausit, quamvis verba et sententiam nonnihil immutaverit. KUST.

[q] λέγειν] λέγει B.E.

[r] Ὑπερανεστηκόσι] Sic rectius mss. Paris. quam priores editt. in quibus legitur ὑπανεστηκόσι. KUST. Forte corrigendum ὑπεξανεστηκόσι, qui se subduxerunt πάθεσι. ERNEST.

ΠΑΡΑΣΤΗΣΟΜΕΘΑ] Παραστησώμεθα A.B.V. qui mox καταστήσωμεν.

[s] Πολιτείας] Plato Rep. p. 555 B.

[t] γράψας] γράψας τὸ ὄνομα A.V. γράψας τὸ ō Photius.

[u] τὸ ἐπίσημον] Vox hæc mihi suspecta est, cujus loco forte scribendum est, ἐπίτιμον, i. e. *pœna*, vel *mulcta*: vel quod magis usitatum est, ἐπιτίμιον. Actores enim olim non solum nomen suum, et crimen, cujus adversarium postulaturi erant, in tabella aliqua perscribere solebant, sed etiam pœnam vel mulctam, qua reus afficiendus erat. Id colligo ex loco hoc Aristoph. Vesp. 889. Ἀκούετ' ἤδη ἧς γραφῆς ἐγράψατο Κύων Κυδαθηναιεὺς Λάβητ' Αἰξωνέα. Τὸν
E τυρὸν ἀδικεῖν ὅτι μόνος κατήσθιε Τὸν Σικελικόν. Τίμημα κλῳὸς σύκινος. Est quidem dica hæc ficta, et ridiculi tantum gratia a Comico excogitata, sed tamen ad imitationem veri expressa: adeo ut morem veterum tuto inde colligere liceat. Sed idem, quod dixi, clare etiam confirmat Laërtius in Socrate, segm. 40. ubi ex Phavorino refert dicam, Socrati ab adversariis scriptam, quæ his verbis concepta erat: Τάδε ἐγράψατο καὶ ἀνθωμολογήσατο Μέλιτος Μελίτου Πιτθεὺς Σωκράτει Σωφρονίσκου Ἀλωπεκῆθεν. Ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει Θεοὺς οὐ νομίζων, ἕτερα δὲ
F καινὰ δαιμόνια εἰσηγούμενος. Ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. ΤΙΜΗΜΑ θάνατος. En, expresse in formula hac accusationis pœnæ mentionem factam esse vides: quod conjecturam nostram egregie, ut diximus, confirmat, et tantum non veram esse demonstrat. KUST.

[x] Ἡρακλείδης ὁ Ποντικὸς εἴς τι τ.] Hæc sunt verba Laërtii in Heraclide Pontico, segm. 92, 93. unde sensus hujus loci supplendus est. KUST. Vid. ibi Menag.

[y] Εἴς τι τῶν ἰδίων συγγρ.—ὡς Σοφοκλέους] Locum hunc ex
G ms. Paris. A. et Laërtio emendavi, qui in prioribus editt. sic legitur: Εἴ τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίαν, ὡς Σοφοκλέα. Pessime. KUST.

[z] μαρτυρίοις] μαρτυρίαν B. μαρτυρία E.

[a] παραστιχίδα] περιστιχίδα A.

[b] Ἐγώ σε, νὴ τὸν Ἡρ.] Aristoph. Equit. 479.

[c] ὩΣ ΟΥΚ] Pro ὡς οὐκ lege ὅσον οὐκ, est enim locus Thucydidis II. 94. καὶ παρὰ σφᾶς ὅσον οὐκ ἐσπλεῖν αὐτούς. h. e. *et tantum non contra se venturos* (hostes) ubi Schol. eadem hæc verba quæ Suidas. BOS. ὃς οὐκ A.E. Deest
H gl. V.

ΠΑΡΑ ΣΦΗΙΣΙ: Παρ' αὐτ.] Locum hunc ex mss. Paris. supplevi, qui in prioribus editt. sic legitur: Παρὰ σφίσι δὲ, διὰ τοῦ ι, παρ' αὐτοῖς. Παρ' αὐταῖς. KUST. Παρὰ σφίσιν: παρ' αὐτοῖς, nec plura Photius.

ΠΑΡΑΣΧΗΜΑΤΙΖΕΙΝ] Laërtius in Antisthene. Mox leg. δ' ἀληθινήν. TOUP. Diogen. Laërt. VI. 9. πρὸς τὸ

[d]Τοὺς τοῦ βασιλέως στρατιώτας διέβαλε, φάσκων, τούτους μὲν παρασχηματίζειν, οὐδεμίαν ἀληθινὴν χρείαν παρεχομένους τοῦ ἀληθοῦς παρατρέπεσθαι.

ΠΑΡΑΣΧΌΝ: [e]Ἐπίρρημα.

Εἰ δέ γε παρασχὸν [f]οὕτω κατάδηλος γένηται δόξαι λέγειν, ὡς παραγέγονε λέξων περὶ τῶν πρέσβεων.

[ΠΑΡΆΤΑΞΙΣ: Πόλεμος ἐμπαράσκευος.]

ΠΑΡΑΤΑΧΘΕΊΣ: Παρ' αὐτὸν ταχθείς.

B ΠΑΡΑΤΈΘΗΓΜΑΙ: Ἠκόνημαι.

ΠΑΡΑΠΕΝΘΕΐΣ: Ἀπολεῖς, ἐπὶ πλέον παρελκύσεις.

ΠΑΡΑΤΈΤΑΜΑΙ: Ἐξώγκωμαι. [g]Ἀριστοφάνης·

Ἅλις ἀφύης· παρατέταμαι γὰρ ἐσθίων.

Λέγεται καὶ ἑνικῶς ἡ ἀφύη.

ΠΑΡΑΤΕΤΟΛΜΗΚΌΤΕΣ: Ἑαυτῶν ἀφειδήσαντες. [h]Πολύβιος·

Παρατετολμηκότες, καὶ τελέως ἀπελπίσαντες τὴν σωτηρίαν.

C ΠΑΡΑΤΕΐΝΑΙ: Τὸ [i]ἐπιτρίψαι, καὶ ἀπολέσαι. [k]Κωμικὸς ἐπὶ Εὐβοίας·

[l]Οἶδ'· ὑπὸ γὰρ ἡμῶν παρετάθη καὶ Περικλέους.

ΠΑΡᾺ ΤῊΝ ΑΥ̓ΤΩ͂Ν ΦΎΣΙΝ: Ἀντὶ τοῦ, παραδόξως.

Οἱ δὲ τύραννοι παρὰ τὴν αὐτῶν φύσιν ᾐδέσθησαν τὴν ἱέρειαν κακῷ τῳ περιβαλεῖν.

ΠΑΡΑΤΗΡΗΜΆΤΩΝ: Ἐπιτηρήσεων, κληδονισμῶν, καὶ ἀπαντήσεων, καὶ οἰωνοσκοπιῶν, καὶ μαντειῶν.

D ΠΑΡΑΤΗΡΩ͂: Αἰτιατικῇ.

ΠΑΡΑΤΊΛΛΕΤΑΙ: Διασείεται, τὰς τρίχας τοῦ πρωκτοῦ [m]διατίλλεται. Αὕτη γὰρ ὥριστο δίκη τοῖς μοιχοῖς, ἀποραφανίδωσις καὶ παρατιλμοὶ τοῖς πένησιν· [n]οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες, ἀπελύοντο· οἱ δὲ ἀποροῦντες, μὴ δυνάμενοι χρήμασι λυτροῦσθαι τὴν [o]πυγὴν, δημοσίᾳ ταῦτα ἔπασχον. Ἀριστοφάνης Πλούτῳ·

E Ὁ δ' ἁλοὺς γε μοιχὸς διὰ σέ που [p]παρατίλλεται.

A Καὶ αὖθις [q]Ἀριστοφάνης·

Παρατίλλω τρίχας.

ΠΑΡΑΤΊΛΛΟΜΑΙ δὲ, ἐκ τῶν μυκτήρων τίλλω τρίχας, ἢ τῶν μασχαλῶν. Ταῦτα δὲ πάντα ποιοῦσιν οἱ [r]προσδεχόμενοι μέν τι, τὸν δὲ χρόνον δαπανῶντες εἰς ἀπορίαν καὶ ἀμηχανίαν, μὴ [s]τυγχάνοντες τοῦ [t]προκειμένου λογισμοῦ. [u]Ὅτε γὰρ αὐτοὶ ἐφ' ἑαυτῶν διατίθενται [x]ἀλύοντες, [y]καὶ ἐπιγράφουσι.

B ΠΑΡᾺ ΤῸ ΚΑΘΕΣΤΗΚΌΣ: Οἷον παρὰ τὸ νόμιμον, παρὰ τὸ πρέπον.

ΠΑΡΆΤΟΠΟΝ: Εἰς κακὸν τόπον.

Παράτοπον [z]ὁρμίσαντες διὰ τὴν ἀπειρίαν, ἔστι δ' ὅτε καὶ διὰ τὰς ἀμπώτεις τῆς θαλάττης.

[ΠΑΡΆΤΟΝ: Ἡ παρασκευὴ παρὰ Ῥωμαίοις. Ἐξ οὗ καὶ ἈΝΤΙΠΑΡΆΤΩΡΑ, ἡ κόσμησις, ἢ ἄλλη εὐπρέπεια.]

C ΠΑΡᾺ ΤΟΣΌΝΔΕ ἯΚΟΝ ἈΠΟΡΊΑΣ ὙΠῸ ΤΩ͂Ν ΚΑΚΟΠΡΑΓΙΩ͂Ν, ὭΣΤΕ [a]ἈΠῸ ΚΥΝΗΓΕΣΊΩΝ ἘΤΡΈΦΟΝΤΟ:

ΠΑΡᾺ ΤΟΎΤΟΥ: Ἀντὶ τοῦ, ἀπὸ τούτου. [b]Καὶ ΠΑΡᾺ ΤΟΥ͂ΤΟΝ, ἀντὶ τοῦ, πρὸς τοῦτον. Οὕτως πανταχοῦ Ἀρριανός.

ΠΑΡΑΤΡΈΠΩ: Αἰτιατικῇ.

ΠΑΡΑΤΡΈΧΩ: Αἰτιατικῇ.

D ΠΑΡΑΤΡΙΒΉ: Λογομαχία, ἔρις.

Τὴν γενομένην πρὸς αὐτὸν παρατριβὴν καὶ ζηλοτυπίαν.

ΠΑΡΑΤΡΎΖΕΙ: [c]Παραφωνεῖ. Εἴληπται δὲ ἀπὸ τῶν ὀρνέων, ὅταν τοῖς οἰκείοις νεοττοῖς γοερὰ ἐπιφωνῶσι.

ΠΑΡΑΤΡΥΦΩ͂: Δοτικῇ.

ΠΑΡΑΤΥΧΌΝ: Ἀντὶ τοῦ, παρατυχόντος· ὡς καὶ ἐξὸν, ἀντὶ τοῦ ἐξόντος.

E ΠΑΡΑΥΔΉΣΑΣ: Παραμυθησάμενος.

ΠΆΡΑΥΛΟΣ: [d]Ὁ ἐν ἀγροῖς. [e]Ἡ ΠΆΡΑΥΛΟΣ,

---

παρασχηματίζων αὐτοῦ (αὐτὸ vel αὐτὸν) τῷ πλάστῃ μειράκιον. HEMST. Παραχρηματίζειν bis C.

[d] Τοὺς τοῦ βασιλέως] Hoc fragmentum an Polybio tribuendum sit, dubitat Casaubonus. KUST. τούτους μὴ π. M.

ΠΑΡΑΣΧΟΝ] Agathias pag. 66. Plutarch. in Cimon. Menand. p. 149. TOUP.

[e] Ἐπίρρημα] ἐπίγραφον V.

F [f] οὕτω] τοῦτο A. qui mox om. περί. ὥσπερ γέγονε M.

ΠΑΡΑΤΑΞΙΣ] Deest gl. A.V.

ΠΑΡΑΤΑΧΘΕΙΣ] Ex Timæo p. 206.

ΠΑΡΑΠΕΝΘΕΙΣ] Scribe παρατενεῖς, ut habet Hesychius. Conf. etiam Nostrum paulo inferius v. Παρατεῖναι. KUST. Παρατενθεὶς item Photii ms. Emendate Timæus Παρατενεῖς, ubi vid. Ruhnken. Mox ἀπειλεῖς V.

ΠΑΡΑΤΕΤΑΜΑΙ] Παρατέταγμαι bis E.

G [g] Ἀριστοφάνης] In Tagenistis, ut docet Schol. Aristoph. Acharn. 640.

[h] Πολύβιος] Fr. gr. 102.

[i] ἐπιτρίψαι] ἀποστρέψαι V. ἐπιστρέψαι Photius.

[k] Κωμικῶς] κωμικὸς A.B.V.E. ὁ κωμικὸς Photius. In versu ἡμῶν A. pro ὑμῶν cum Photii ms.

[l] Οἶδ'. Ὑπὸ γὰρ ὑμῶν παρ.] Aristoph. Nub. 213. ubi vide Scholiastam. KUST.

ΠΑΡΑΤΗΡΗΜΑΤΩΝ] Vid. Πόλλης. HEMST. Vid. not. ad Hesych.

H ΠΑΡΑΤΙΛΛΕΤΑΙ: Διασείεται. Τὰς τρ.] Ex Schol. Aristoph. Plut. 168. KUST.

[m] Διασείεται] διατίλλεται A. παρατίλλεται V. τίλλεται Schol.

[n] οἱ δὲ] οἱ γὰρ V. Schol.

[o] πυγήν] Sic recte habet enarrator Comici loco laudato. At in prioribus editt. [et A.E.] male legitur, φυγήν. KUST. τὴν φ. om. V.

[p] παρατίλλεται] περιτίλλεται V. Qui seqq. om.

[q] Ἀριστοφάνης] Acharn. 31. Ἀπορῶ, γράφω, παρατίλλομαι, —Scholiasta: Παρατίλλομαι: Τὰς ἐκ τῶν μυκτήρων τίλλων τρίχας, &c. Sic etiam apud Suidam scribendum est. KUST.

[r] προσδεχόμενοι] πρὸς δοκοῦμ' E. marg.

[s] τυγχάνοντες] τυγχάνοντ° A.

[t] προκειμένου] προσδοκουμένου Schol.

[u] Ὅτε] ὅτι A.

[x] ἀλύουσι] ἀλύοντες A.B.E. Schol. τίθενται Schol.

[y] καὶ ἐπιγράφουσι] Schol. Aristoph. rectius habet, καὶ ἐπὶ τῆς γῆς διαγράφουσι. KUST. ἐπιγράφουσι E. (γῆς δια superscript)

ΠΑΡΑ ΤΟ ΚΑΘΕΣΤΗΚΟΣ: Οἷον π.] Ex Schol. Thucyd. lib. I. c. 98. KUST.

[z] ὁρμήσαντες] ὁρμίσαντες A. Qui mox ἀπορίαν. Infra ἀμπώτας V.

ΠΑΡΑΤΟΝ: Ἡ παρασκ.] Hæc leguntur etiam supra v. Ἀντιπαράτορα: sed ubi, uti et hic, scribendum est ἀντιπαράτουρα. KUST. Deest gl. A. Habet V. in marg. Et forte huc intrusa est ex p. 397 B. Ἀντιπαρατούρα Du Cangius.

[a] ἈΠΟ ΤΩΝ] τῶν om. A. Mox ἐστρέφοντο V.

[b] Καὶ ΠΑΡΑ Τ.] καὶ om. A. Sed cum vulg. consentit Photius.

ΠΑΡΑΤΡΕΧΩ] Παρατρέχω. Παρατρέπω: Αἰτιατικῇ. Παραυτίκα. Παραφρονῶ: αἰτιατικῇ. Παρὰ φαῦλον. Sic A. in marg.

ΠΑΡΑΤΡΙΒΗ] Polyb. p. 172. 437. TOUP. Vid. Priceus ad 1 Ep. Tim. VI. 5.

[c] Παραφωνεῖ] παραφρονεῖ Photius, qui in fine ἐπιφωνοῦσιν.

ΠΑΡΑΥΔΗΣΑΣ: Παραμυθ.] Ex Schol. Homeri Odyss. ο'. 53. KUST.

ΠΑΡΑΥΛΟΣ: Ὁ ἐν ἀγροῖς] Sophocl. Œdip. Colon. 785.

παρατεταμένη. [e]Ἡ ἐγγύς· παρὰ τὴν αὐλήν. [e]Ἡ θρηνητική· παρὰ τοὺς αὐλούς. Σοφοκλῆς·

Τίνος βοὴ πάραυλος ἐξέβη νάπους.

**Παραττόθεν**: Αὐτίκα, [f]ἀπὸ τοῦ παρόντος χρόνου. Ἀρριανός·

Παραυτόθεν, ὡς ἔχομεν, ἐπεξελθόντες, ἐν χερσὶ στήσασθαι τὸ τέλος τῆς μάχης.

**Παράφορος**: Ὁ παρ' ἑαυτὸν καὶ ὑπὸ δαίμονος παραφερόμενος. B

[g]Συνενθουσιῶντες αὐτοῖς, καὶ τῇ παραφόρῳ τῇδε φιλοτιμίᾳ [h]τῇ κακίστῃ δαιμόνων ἐκριπισθέντες ἀπολώλασι.

**Παραφρόνιμον**: Παράφρονα, ἀνόητον, καὶ ἄπορον περὶ τὰ φρονήματα.

Ἴσθι δὲ,
παραφρόνιμον, ἄπορον
ἐπὶ [i]φρόνιμα πεφάνθαι
μ' ἄν, εἴ σε νοσφίζομαι.

**Παραφρονῶ**: Αἰτιατικῇ.

**Παραφρυκτωρευόμενος**: Οἱ κακουργοῦντες [k]περὶ τας φυλακὰς, καὶ φρυκτοὺς ἀνατείνοντες ἐναντίους τοῖς πεπιστευκόσι τὴν φυλακὴν, καὶ ἐπὶ τῷ συμφέροντι τῶν ἀντικαθεζομένων, παραφρυκτωρεύεσθαι [l]λέγονται· ὥς φησι [m]Λυσίας·

Τούτων εἷς ὁ πρεσβύτης ἐν Σικελίᾳ παραφρυκτωρευόμενος τοῖς πολεμίοις, ληφθεὶς ὑπὸ Λαμάχου, ἀπετυμπανίσθη. D

**Παραφρυκτωρεῖν**: Τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι· τουτέστιν, ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων, ἐπὶ βλάβῃ δὲ τῶν φιλίων· ὡς καὶ Δείναρ-A χος [n]ἐν οἰκείῳ [o]λόγῳ ἐχρήσατο.

**Παραφυλάσσω**: Προσδοκῶ. Ἰώσηπος·

[p]Παραφυλάσσω γὰρ ἐν Χάλβῳ Πλάκιδον εἰς τὴν Γαλιλαίαν ἀναβῆναι δι' ἐννοίας ἔχοντα.

**Παραχαράκτης**: Διαστροφεύς.

[**Παραχνάτω**: Δοτικῇ.]

**Παραχορδιεῖς**: [q]Παράσεμνον ποιήσεις, μηδὲν [r]προσφθέγξῃ, ἀλλ' ἃ δεῖ εἰπεῖν, εἴπῃς.

Σαυτῷ προσέχων, [s]ὅπως
μηδὲν παραχορδιεῖς
ὧν δεῖ σ' ἀποδεῖξαι.

**Παραχορδίζειν**: Διαφωνεῖν, ἁμαρτάνειν.

[**Παραχωρῶ**: Οἱ μὲν ἀπὸ γενικῆς εἰς δοτικήν· οἱ δὲ τοὐναντίον.

Παραχωρῆσαι τῶν θρόνων τοῖς βουλομένοις.]

**Παραχρᾶται**: Πολὺ, σφοδρῶς συνουσιάζει, ἀκο-C λάστως μίγνυται. Εἴρηται δὲ [t]καὶ περὶ ἑκάστου πράγματος ἐκ περιουσίας γενομένου. [u]Περὶ Ὠριγένους·

[x]Σοὶ δὲ [y]κακομηχανίᾳ εἰς αἰσχρότατον ἄνδρα ἐπενοήθη· [yy]Αἰθίοπα γὰρ αὐτῷ παρεσκεύασαν εἰς παράχρησιν τοῦ σώματος.

**Παραχρῆμα**: Παραυτίκα, εὐθέως.

Μηδὲν δὲ μηδὲ [z]ἐκ τοῦ παραχρῆμα ἀποκριναμένων.

[a]Ἢ ἀντὶ τοῦ, ἐκ τοῦ παρατυχόντος.

Καὶ ὡς ἐν τῷ παραχρῆμα ὥρμηντό τε ἐξιέναι, καὶ ψηφίσματι τὴν [b]στρατείαν ἐκύρωσαν, ὥρμητό τε πᾶς ἐς τὴν ἐπιχείρησιν.

Δέξιππός φησι.

**Παρδακόν**:

Ἀλλ' ὡς πάραυλον οἰκίσῃς.—Scholiasta ad illum locum: Ὡς πάραυλον: Ἀντὶ τοῦ, ἐν ἀγροῖς. KUST. Ex Schol. Soph. Aj. 892. E

ib. ΠΑΡΑΥΛΟΣ] Eustath. παρὰ Σοφοκλεῖ μὲν βοὴ πάραυλος ἡ ἐξισουμένη αὐλῷ τι κατὰ θρηνῳδίαν, ἢ διὰ τὸ τρανές· παρ' ἑτέρῳ δέ τινι μέλος πάραυλον τὸ ἀπῳδόν· κατὰ τὸ . . subjungitur testimonium ex Athen. IV. p. 83. ed. Gr. REINES.

[d] Ὁ ἐν ἀγροῖς. ἡ πάραυλος παρατεταμένη] παρατεταμένη, ἢ ὁ ἐν ἀγροῖς ἢ ἐγγὺς A.

[e] Ἡ ΠΑΡΑΥΛΟΣ. Παρατεταμένη. Ἡ ἐγγ.] Ex Schol. Aj. 892.

[f] ἀπὸ τοῦ παρόντος] Seqq. om. V.

[g] Συνενθουσιῶντες αὐτοῖς, καὶ τῇ παραφ.] Fragmentum hoc esse Æliani discimus ex Suida infra v. Ῥιπίζεται. KUST. F

[h] τῇ κακίστῃ δαιμόνων] Sic omnes mss. edd. præter Kusterum qui τῇ κακίστῃ [ὑπὸ] δαιμόνων. Videatur Porsonus ad Eurip. Phœn. 542.

ΠΑΡΑΦΡΟΝΙΜΟΝ: Παράφρ.] Ex Schol. Sophocl. Œd. Tyran. 691.

[i] φρόνιμα] φρόνημα A.B.

[k] παρὰ τὰς φυλ.] Potius, περὶ τὰς φυλ. ut legitur infra v. Φρυκτός: ubi totus hic locus repetitur. KUST. περὶ A. G

[l] λέγονται] λέγεται V. Supra ἐναντία M.

[m] Λυσίας] Orat. contra Agoratum, p. 136. ubi locum integrum vide. KUST.

ΠΑΡΑΦΡΥΚΤΩΡΕΙΝ: Τὸ τοῖς φρ.] Ex Harpocratione. KUST.

[n] ἐν οἰκείῳ] Si conferas Harpocrationem, scribendum videbitur ἐν τῷ κατὰ Δεινίου λόγῳ. HEMST.

[o] λόγῳ] λόγων A.V. Photii ms. Harpocr. ms. Pal.

[p] Παραφυλάσσω γὰρ] Hæc sunt verba Josephi in Vita sua p. 21. Scribendum autem ἐν Χαβαλῷ sive Χαβωλῷ. Quomodo recte legitur apud Josephum. TOUP. Χαλκῷ B.E. edd. vett. H

ΠΑΡΑΧΝΑΤΩ] Deest gl. A.V.

ΠΑΡΑΧΟΡΔΙΕΙΣ] Confer Nostrum supra v. Παρακεχόρδικε. KUST.

[q] Παράσεμνον] παρὰ ῥυθμὸν ποιήσῃς, μηδὲν παραφθέγξῃ, ἀλλὰ δεῖ εἰπεῖν ὅπως Schol. Aristoph.

[r] προσφθέγξῃ] πρὶν φθέγξῃ A.B.V.E. Mox παραχορδιῇς A.

[s] ὅπως μηδὲν παραχορδ.] Aristoph. Eccles. 295.

ΠΑΡΑΧΩΡΩ] Restituend. Menandro hist. p. 99. Vid. et p. 120. et p. 100. Ἰβηρίας αὐτῆς ἑτοιμότατα εἶχε παραχωρῆσαι Πέρσαις. et p. 126. Himerius apud Photium p. 1112. TOUP. Παραχωρῶ γενικῇ A.B. omissis οἱ μὲν—τοὐναντίον. Tum Παραχωρῆσαι etc. A. in marg. ubi τὸν θρόνον. Deest gl. V.

ΠΑΡΑΧΡΗΤΑΙ] Παραχρῆσθαι τῇ σαρκὶ Clemens Alex. Strom. II. p. 491, 1. ubi Potter. Constit. Apostol. VI. 10. p. 342. ed. Cotel. HEMST. Παραχρᾶται A.B.V. Phot.

[t] καὶ περὶ] ἐπὶ V. Mox γινομένου B. et E. pro v. l. ὃ ἐκ περιουσίας γίνεται ed. Phot. sed ὃ om. ms.

[u] Περὶ Ὠριγένους] Hæ duæ voces in prioribus editt. [et B.E.] desunt, quas ex ms. Paris. A. revocavi. KUST.

[x] Σοὶ δὲ κακομηχανία εἰς αἰσχ.] Locus hic, sed paulo aliter conceptus, legitur etiam supra v. Ὠριγένης: quo lectorem remitto. KUST.

[y] κακομηχανία] κακομηχανίᾳ A.

[yy] Αἰθίοπα] Αἰθίοπες V. Mox παρεσκεύασαν A.B.V.E. pro παρεσκεύασας.

[z] ἐκ τοῦ] τοῦ om. B.

[a] Ἢ ἀντὶ τοῦ] Moneo hanc esse expositionem fragmenti quod præcedit. ABRESCH. Diluc. Thuc. p. 364.

[b] στρατείαν] στρατιὰν A.B.V.E.

ΠΑΡΔΑΚΟΝ] Respexit Suidas ad Aristoph. Pac. 1148. ἐπειδὴ ΠΑΡΔΑΚΟΝ τὸ χωρίον. Ubi Schol. Παρδακὸν δὲ, ΔΙΥΓΡΟΝ, οὕτω γὰρ καὶ Ἀρχίλοχος καὶ Σιμωνίδης. Simonidis locus exstat apud Strabon. lib. XIII. p. 920. Τί οὖν φήσομεν τὴν Πόρδαλιν, καὶ τὴν Σαπέρδην, καὶ τὸν Περδίκκαν, καὶ τὸ Σιμωνίδου, Σὺν πορδάκοισιν ἐκπεσόντες ἱμάσσιν· Ἀντὶ τοῦ, διαβρόχοις. Καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ, ΠΟΡΔΑΚΟΝ ΤΟ ΧΩΡΙΟΝ. Est locus egregius; sed de quo non convenit viris doctissimis Casaubono et Palmerio. Nimirum hic παρδακὸς, ille πορδακὸς unice amat. Sed uterque nugatur. Idem παρδακὸς et πορδακὸς, ut πάρδαλις et πόρδαλις. Ceterum Simonidis trimeter, qui non uno pede laborat, ita certo certius sub-

Παρδαλῆ: Παρδάλεως δορά. [c]Ἀριστοφάνης· A

Πέμψω ἐπ' αὐτὸν [d]ὄρνεις πορφυρίωνας, παρδαλᾶς ἐνημμένους.

πόρδαλις, τὸ ζῶον. [e]Ὅμηρος·

Θώων, πορδαλίων τε, λύκων τ' ἤϊα πέλονται.

Καὶ [f]Ἀριστοφάνης·

Οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον,
οὐδὲ πῦρ, οὐδ' ὧδ' ἀναιδὴς οὐδεμία πόρδαλις.

Παραιβάτης:

[Παραινῶ: Δοτικῇ. Καὶ] παραίνεσις, ἡ ἀγαθὴ συμβουλή. B

Παραίνεσις συμβουλῆς διαφέρει: Παραίνεσις μὲν γάρ ἐστι λόγος παραινετικὸς, ἀντίρρησιν οὐκ ἐπιδεχόμενος· οἷον ὡς εἴ τις εἴποι, ὅτι δεῖ τὸ θεῖον τιμᾶν· οὐδεὶς γὰρ ἐναντιοῦται [g]τῇ παραινέσει ταύτῃ, μὴ πρότερον μανείς. Συμβουλὴ δέ ἐστι λόγος συμβουλευτικὸς, ἀντίρρησιν ἐπιδεχόμενος· οἷον ὡς εἴ τις εἴποι, ὅτι δεῖ πολεμεῖν· πολλὰ γάρ ἐστι τὰ ἐκ τοῦ C πολέμου [h]κέρδη· ἕτερος δέ τις ἀντείποι, ὡς οὐ δεῖ πολεμεῖν· πολλὰ γάρ ἐστι τὰ ἐκ τοῦ πολέμου συμβαίνοντα, οἷον ἧττα, αἰχμαλωσία, πληγαὶ, πόλεων κατασκαφαί.

Παραιξοροῦσιν: Ἀριστοφάνης Ταγηνισταῖς. Ἀπέδωκαν δὲ οἱ μὲν, παιδιᾶς εἶδός τι· Εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν, ἢ ἀπαλλάττεσθαι. D

Παραιρήσεται: Ἀφαιρήσεται. [i]Θουκυδίδης· A

Διέφθειρον σφᾶς αὐτοὺς, οἱ μὲν ἀπὸ κλινῶν [k]σπάρτοις, οἱ δὲ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, (τουτέστιν ἀφαιρήματα,) ἀπήγχοντο.

Παραιροῦνται: Ἀφαιροῦνται. Καὶ παραιρούμενος.

[l]Ὁ δὲ ἐξόπισθεν πλέων, παραιρούμενος φθάνει τῷ δρόμῳ.

Ἀντὶ τοῦ, ἀφαιρούμενος. Καὶ αὖθις·

B Ὧνπερ αὐτοῖς ἡμᾶς συγγνώμονας εἶναι οὐδεμία μηχανὴ ἔσται, τοῦ τῶν ἐγκλημάτων ὄγκου [ll]παραιρουμένου τοῖς ἠδικηκόσι τὸν ἔλεον.

Παραίσια: Ἀπαίσια, χαλεπά.

Παρὰ τὸ δέον: [m]Παρὰ τὸ προσῆκον.

Παραιτεῖσθαι: Παρακαλεῖν, συγγνώμην αἰτεῖν.

[n]Ὁ δὲ ἀναιρεῖν μέλλων αὐτὸν, ἀφῆκε, [nn]Παρυσάτιδος [o]παραιτησαμένης αὐτὸν, καὶ τὴν [p]σατραπείαν αὐτῷ φυλαξάσης.

Καὶ αὖθις·

C Ὁ δὲ ῥύεται Δερκεταῖον τοῦ θανάτου, παραιτησάμενος τὴν μητέρα.

Παραιτηθείς: Παρακληθείς.

Παραιτηθεὶς δὲ διὰ τῶν φίλων, τοῦτον ἀπέλυσε τῆς αἰτίας.

Παραιτεῖτο: Παρεκάλει, ἐλιπάρει.

Ὁ δὲ ἐλθὼν, παρῃτεῖτο τὸν Πέρσην· τυγχάνων δὲ οὐδενὸς ὧν [q]ἐδέετο, αὐτὸς ἔλυσεν.

D [r]Ἡρόδοτος.

Παραιτησόμενος:

---

levandus est: Σὺν πορδάκοισιν ἐκπεσόντες ΕΙΜΑΣΙ. *Cum vestimentis madidis elapsi.* TOUP.

[c] Ἀριστοφάνης] Av. 1250. Πέμψω δὲ πορφυρίωνας ἐς τὸν οὐρανὸν Ὄρνις ἐπ' αὐτὸν, παρδαλᾶς ἐνημμένους. KUST.

[d] ὄρνις] ὄρνεις A.

ΠΑΡΔΑΛΙΣ] Πόρδαλις A.V.E. textu. Mox πορδαλίων A. V.E. pro παρδαλίων. Deinde πόρδαλις in Aristophanis versu A.V.E.

[e] Ὅμηρος] Il. ν'. 103. KUST.

[f] Ἀριστοφάνης] Lysist. 1013.

ΠΑΡΑΙΒΑΤΗΣ] Παραβάτης B.E.

ΠΑΡΑΙΝΩ] Uncis inclusa om. V. Habet A. in marg.

ΠΑΡΑΙΝΕΣΙΣ ΣΥΜΒΟΥΛΗΣ ΔΙΑΦ.] Confer omnino Ammonium v. Συμβουλὴ, qui eadem habet, quamvis aliis verbis. KUST.

[g] ταύτῃ τῇ παραινέσει] τῇ παραινέσει ταύτῃ A.V.E.

[h] κέρδη] συμβαίνοντα V. Qui mox om. τις.

ΠΑΡΑΙΞΟΡΟΥΣΙΝ] Michael Apostolius, qui locum hunc ex Suida repetit, habet παραξοροῦσιν. Sed, ut breviter dicam, est vox omnino obscura et de qua nihil certi statuere possis. KUST. Locus ἀκέφαλος est, atque ita instaurandus ex Apostolio, cujus verba, quæ itidem corrupta sunt, hic emendata apponam: Πάντα θεῖ κἀλαύνεται: Ἐπὶ τῶν εὐπόρων ΠΑΡΙΣΤΟΡΟΥΣΙΝ. Ἀριστοφάνης Ταγηνισταῖς. *De opulentis hoc proverbium intelligunt, sed perperam.* Ista est vis τοῦ παριστορεῖν. Vide Plutarch. de Placit. Philosoph. II. 24. Theophyl. Simocatta in Hist. VII. 7. p. 174. Ἀλλὰ μή τις οἰέσθω ΠΑΡΙΣΤΟΡΕΙΝ ἡμᾶς κατὰ τούτους τοὺς χρόνους. Schol. ad Theocrit. Idyll. I. 117. Ἡ Ἀρέθουσα κρήνη ἐν Συρακούσαις, ἢ ἐν Σικελίᾳ, ᾗ φασὶ διὰ πελάγους Ἀλφειὸν ἥκειν· ὥς φησιν Ἴβυκος ΠΑΡΙΣΤΟΡΩΝ περὶ τῆς Ὀλυμπίας φιάλης. Quod vero vulgo legitur, plane nihili est. Quæ sequuntur sunt explicationes, quales quales, præcedentis proverbii, cujus etiam meminit Schol. ad Aristoph. Eccles. 109. Meminit et Aristænetus lib. I. epist. 14. Confer etiam nostrum Suidam v. Θεῖ. TOUP. H Παραιξορευσω (sine acc.) Photius. Deest gl. A. Peringeniose Toupius: dubito tamen an vere. Aliena mihi miscuisse videtur Apostolius.

[i] Θουκυδίδης] Lib. IV. c. 48. ubi sic legitur: Καὶ ἅμα οἱ πολλοὶ σφᾶς αὐτοὺς διέφθειραν, οἰστούς τε, οὓς ἀφίεσαν ἐκεῖνοι, εἰς τὰς σφαγὰς καθιέντες, καὶ ἐκ κλινῶν τινων, αἳ ἔτυχον αὐτοῖς ἐνοῦσαι τοῖς σπάρτοις, καὶ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, ἀπαγχόμενοι &c. Hinc Suidas supplendus et emendandus est. KUST. Vid. Mœrin c. n. Piersoni p. 299.

[k] σπάρτα] σπάρτοις A. σπάρτους V. σπάρτας B.E. edd. ante Kuster. Mox ἀφαιρέματα A. Supra ἀφαιρήσεται om. M.

[l] Ὁ δὲ ἐξόπισθεν πλ.] Si ariolari licet, locum hunc sic E scribendum et supplendum esse putem: Ὁ δὲ ἐξόπισθεν πλέων, παραιρούμενος αὐτοῖς τὸν ἄνεμον, φθάνει, &c. Sed hæc tantum mera est conjectura. KUST. ἐξόπισθε πλέων A.V. πλέον M.

[ll] παραιρουμένου] Sic conj. Portus. παραιρούμενον edd. ante Kuster.

ΠΑΡΑΙΣΙΑ] Vide Schol. Hom. ad Il. δ'. 381. KUST.

ΠΑΡΑ ΤΟ ΔΕΟΝ: Παρὰ τὸ πρ.] Hæc cum articulo præcedenti connectenda sunt. Αἶσα enim præter alia significat etiam idem quod τὸ καθῆκον, vel τὸ δέον. Unde παραί- F σια (quod non solum est adjectivum, sed etiam ἐπιρρηματικῶς interdum accipitur) recte interpretaberis παρὰ τὸ δέον, vel παρὰ τὸ προσῆκον. KUST.

[m] Παρὰ] om. V.

[n] Ὁ δὲ ἀναιρεῖν μέλλ.] Ex Xenophonte. KUST. Hunc locum ex Xenophonte depromptum esse putat Kusterus. Sed fallitur. Intelligenda autem sunt hæc verba de Cyro, quem apud fratrem Artaxerxem accusatum et necari jussum servavit Parysatis. Rem omnem, sed aliis G verbis, narrat Xenophon Exped. Cyr. lib. I. 1, 3. Ctesias in Excerptis apud Photium, Justin. V. 11. Egregie Plutarchus in Artaxerxe sub init. ΜΕΛΛΟΝΤΑ δὲ αὐτὸν ἤδη ἀποθνήσκειν, ἡ μήτηρ ὀδυρομένη πολλὰ καὶ ποτνιωμένη ΠΑΡΗΙΤΗΣΑΤΟ, καὶ κατέπεμψεν αὖθις ἐπὶ θάλασσαν. Quare locus Suidæ alibi quærendus est. TOUP. Exstat supra p. 2628 B.

[nn] Παρυσάτιδος] Post h. v. sequuntur in A. folia sex a recent. manu scripta, quorum ultima sunt verba ἐπανατείνας ἐν ταύτῃ in v. Περίειμι.

[o] παραιτησαμένης] παραιτησαμένου A. qui mox om. καὶ τὴν—φυλαξάσης.

[p] σατραπείαν] σατράπην B.

ΠΑΡΗΤΕΙΤΟ] Παραιτεῖτο A. et sic postulat series literarum. Παραιτέετο libri Herodotei V. 33.

[q] ἐδεῖτο] ἐδέετο A.B.V.E.

ΠΑΡΑΙΤΗΣΟΜΕΝΟΣ] Παραιτησάμενος A.

[r]Ἀπέδωκε τὸν χρυσὸν, ὡς παραιτησόμενος τοῦ θεοῦ δι' αὐτοῦ τὸν χόλον,

> [s]Νήπιος, οὐδὲ τὸ ᾔδει, ὃ πείσεσθαι ἔμελλεν·
> οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων.

Παραιτητής: Παρακλήτωρ, ἢ ἀπολογούμενος.

Παραιτοῖτο: Παρακαλοῖ, ἀπαγορεύοι.

[t]Ὥσπερ ἂν εἴ τις εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἀπογραψάμενος, παρελθὼν, ὅτε δέοι μάχεσθαι, παραιτοῖτο τοὺς θεωμένους συγγνώμην ἔχειν, [u]εἰ μὴ ἀγωνίζοιτο.

Παραιτοῦμαι: Τὸ ἱκετεύω. Αἰτιατικῇ.

Παραίφασις: Παραίνεσις, συμβουλή.

Παρέβαλεν: Ἐχθροὺς καὶ ἀλλοτρίους εἰργάσατο.

[x]Ὁ δὲ παρέβαλε τοὺς ἀνθρώπους τοῖς ὄχλοις, ὥστε μετὰ πάσης [y]ὕβρεως συλληφθέντας ἀναδεχθῆναι δεδεμένους.

Παρεβάλετο: Ὥρμησεν, εἰσήλασε.

Παρεβάλετο μάλα εὐκαρδίως ἐπ' αὐτὸν ὁρμήσας.

Ἢ, ἀπροβούλως ἔκρινε.

Παρεβέβλητο: Τροφὴ ἐδίδοτο.

[z]Ἄρτι γὰρ αὐτῇ παρεβέβλητο τροφή.

Τουτέστι, τῇ καμήλῳ.

Παρεγγεγραμμένος: Ὁ μὴ ἀστός.

Παρέγγραπτον: Νόθον. Καὶ Παρεγγράπτους: Ξένους, νόθους.

Παρεγγυᾶι: Δοτικῇ. Παραδίδωσι, [a]παραγγέλλει, παραινεῖ, παρακατατίθεται. [b]Ξενοφῶν·

Βοώντων τῶν στρατιωτῶν, καὶ παρεγγυώντων, ἔνθα δὴ ἔθεον ἅπαντες.

Καὶ αὖθις·

[c]Ὅτου δὴ [d]παρεγγυήσαντος, οἱ στρατιῶται φέρουσι λίθους, καὶ ποιοῦσι κολωνὸν μέγαν. Ἐνταῦθα ἀνετίθεσαν δερμάτων πλῆ-

A θος, καὶ βακτηρίας, καὶ γέρρα.

Παρεγγύησε καὶ παρεγγυηθέντος: Παρεγγύησε μὲν, ἀντὶ τοῦ παρέδωκεν. Ἰσαῖος. Παρεγγυηθέντος δὲ, ἀντὶ τοῦ, παραλαβόντος. Ὁ αὐτός.

Παρεγγυήσαντος: Παρασχόντος. Καὶ παρενεγγύα, [e]παρήγγελλεν.

Ὁ δὲ παρενεγγύα αὐτῷ Πέρσαις μὴ συμπλέκεσθαι.

Παρενεγγύησε: Παρῄνεσε, συνεβούλευσε.

B Ταύτῃ τοι παρενεγγύησε δηλητηρίῳ φαρμάκῳ διαφθεῖραι αὐτούς.

Παρέδωκεν: [f]Ὁ Ἀπόστολος λέγει·

Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν.

Τουτέστι, συνεχώρησε.

Πάρεδρος: Ἀριστοτέλης ἐν τῇ ([g]Ἀθηναίων) πολιτείᾳ φησί·

Λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τε ἄρχων, καὶ ὁ πολέμαρχος, δύο [h]ἑκάτερος, οὓς ἂν βούληται. Καὶ [i]οὗτοι δοκιμάζονται ἐν τῷ
C δικαστηρίῳ πρὶν παρεδρεύειν· [k]καὶ εὐθύνας διδόασιν ἐπὰν [l]παρεδρεύωσιν.

Ἔστι δὲ ἡ λέξις συνήθης οὐ τοῖς ῥήτορσι μόνον, ἀλλὰ καὶ τοῖς κωμικοῖς.

Παρεθέντος: Ἐκλυθέντος. Καὶ παρεθεὶς, παραλυθείς. Καὶ παρείθη, ἐξελύθη, ἐχαυνώθη.

Ὁ δὲ κινδύνοις ὁμιλήσας παρείθη τὸ σῶμα πᾶς, [m]καὶ λυπηροῦ θανάτου τέλει παρεδόθη.

D Καὶ παρείθησαν, ἀντὶ τοῦ παρελύθησαν. [n]Ἰώσηπος·

Οἱ δὲ πλήθει τῶν πολεμίων παρείθησαν τὰς δεξιάς.

Καὶ αὖθις·

[o]Οἱ δὲ τοῦ μὲν ὁλοσχεροῦς φόβου παρείθησαν· περὶ δὲ τῶν κατὰ μέρος ἐγκλημάτων πικρῶς ὠνειδίσθησαν.

[r] Ἀπέδωκε τὸν χρυσὸν, ὡς παραιτ.] Hæc sunt verba Dionysii Halicarnassensis de Pyrrho, ut patet ex Collectaneis Constantini imperatoris, a Valesio editis, p. 542. ubi locum integrum vide. KUST.

[s] Νήπιος, οὐδὲ τὸ ᾔδ.] Sunt duo versus Homerici Odyss. γ΄. 146, 147. quorum prior sic apud poetam legitur, Νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν. Sic etiam apud Suidam scribendum est: quippe apud quem versus iste propter defectum particulæ οὐ claudicat. Ceterum, ut hoc obiter moneam, pro ὃ οὐ apud Homerum scripserim potius ὅτ' οὐ, quoniam sensum sic planiorem fore puto. F KUST.

ΠΑΡΑΙΤΟΙΤΟ] Παραιτεῖτο V. Tum παρακαλεῖ, ἀπαγορεύει A.B.V.

[t] Ὥσπερ ἂν εἴ τις εἰς τοὺς γυμν.] Hæc sunt verba Polybii de Aulo Posthumio, quæ leguntur in Collectaneis Constantini a Valesio editis, p. 190. ut Pearsonius observaverat. Vide etiam Nostrum supra v. Αὖλος Ποστόμιος, ubi hic ipse locus auctior legitur. KUST. ὑπογραψάμενος M.

[u] εἰ μὴ ἀγωνίζοιτο] Polybius loco laudato habet, ἐὰν μὴ δύνηται μήτε τὸν πόνον ὑπομένειν, μήτε τὰς πληγάς. KUST. μὴ om. E.

ΠΑΡΑΙΤΟΥΜΑΙ] Deest gl. V.

ΠΑΡΑΙΦΑΣΙΣ] Il. λ΄. 792.

[x] Ὁ δὲ παρέβαλε τοὺς ἀνθρώπους τοῖς ὄχλ.] Et hæc sunt verba Polybii, quæ leguntur in iisdem Collectaneis p. 185. ut itidem Pearsonius monuit. Ibi autem pro ἀναδεχθῆναι legitur ἀναχθῆναι, uti etiam hic apud Suidam scribendum est. KUST.

[y] ὕβρεως] ὕβρει V. Mox ἀναδειχθῆναι V. et δεδομένους B.E.M.

ΠΑΡΕΒΑΛΕΤΟ] σημαίνει δὲ καὶ παρεβάλετο B.E.M.

[z] Ἄρτι γὰρ αὐτῇ] αὕτη γὰρ ἄρτι V. qui mox καμίνῳ pro καμήλῳ.

ΠΑΡΕΓΓΕΓΡΑΜΜΕΝΟΣ] Παρεγγεγραμμένοι apud Athenienses dicebantur peregrini, vel inquilini, qui in civium album falso relati erant. Vide Nostrum supra v. Ἀπεψη-

E φίσατο, et v. Ἀποψηφισθέντα. KUST.

[a] παραγγέλλει. Παραινεῖ. Παρακ.] Hæc, et quæ sequuntur, priores editt. a præcedentibus disjungunt; cum quibus eadem connectenda esse et sensus et literarum series satis ostendunt. KUST. Junxi cum A. et Photio. Παραδίδωσι caput glossæ est in A.

[b] Ξενοφῶν] De Expedit. Cyri lib. IV. p. 339. ut Pearsonius observaverat. KUST. IV. 7, 24.

[c] Ὅτου δὴ παρεγγ.] Et hoc fragmentum legitur apud Xenophontem eodem loco. KUST. IV. 7, 25.

[d] παρεγγυήσαντος] παρηγγυήσαντο A.B.E. παρεγγυήσαντο M. Mox πλῆθος om. V.

ΠΑΡΕΓΓΥΗΣΕ, καὶ ΠΑΡΕΓΓ.] Ex Harpocrat. KUST. ὁ αὐτὸς in A. post παρεγγυηθέντος δέ.

ΠΑΡΕΓΓΥΗΣΑΝΤΟΣ] Παρεγγυήσοντος B.V. Mox παρηνεγγύα A.

[e] παρήγγειλεν] παρήγγελλεν A.B.E.

[f] Ὁ Ἀπόστολος] Ad Roman. I. 28. KUST. Explicationem forte hausit ex Theodoreti Quæst. 37. in Deut. XXIX. 4. p. 284. ubi eodem modo explicat locum
G Pauli. ERNEST.

ΠΑΡΕΔΡΟΣ: Ἀριστοτέλης ἐν τῇ Ἀθην.] Ex Harpocratione. KUST.

[g] Ἀθηναίων om. A.B.V.E. Phot. edd. ante Kuster.

[h] ἑκάτερος] ἑκατέρους A.V. Photii ms.

[i] οὗτοι] οὕτω A.

[k] καὶ εὐθύνας] Seqq. om. A.

[l] παρεδρεύσωσιν] παρεδρεύωσιν V.E. Phot. Harpocr.

ΠΑΡΕΘΕΝΤΟΣ] Eunap. Ædes. p. 37. ὑπὸ λιμοῦ παρα-
H θέντες. Ruhnken. ad Tim. p. 149=206 παραταθέντες. Sed leg. παρεθέντες. TOUP.

[m] καὶ λυπηροῦ—παρελύθησαν om. A.

[n] Ἰώσηπος] καὶ Ἰώσηπος A.

[o] Οἱ δὲ τοῦ μὲν ὁλοσχεροῦς] Hæc sunt verba Diodori Siculi Excerpt. Legat. T. II. p. 624. ed. Wessel. TOUP.

A Παρέκαστα: †Ἑκάστοτε.

Παρεκαττύετο: †Ἐκ συλλογῆς ἠύτρέπιζεν. Ἀπὸ τῶν καττυμάτων. Καττύματα δὲ λέγονται οἱ μικροὶ ἱμάντες, οἱ ἐρριμμένοι ἐπὶ τῆς κόπρου. [p]Λέγει οὖν, ἐκ μικρῶν καὶ πολλῶν τὴν στιβάδα ηὐτρεπίζομεν. Ἀριστοφάνης Πλούτῳ·

Ἡμῶν δ' ἕκαστος στιβάδα παρεκαττύετο.

Παρεκλέγω: Αἰτιατικῇ.

Παρεκβατικῶς: Συντόμως.

Παρεκνόον: Ἀντὶ τοῦ, παρ' ἐλπίδα.

Παρεκνόον εἰλήλουθας.

Παρεκότει: †Ὠργίζετο.

Παρεκρότουν: [q]Παρώρμων, παρώτρυνον.

Τούτους ἀθροίζοντες ἀλλήλους παρεκρότουν.

Παρεκρούσατο: †Ἐπλάνησε.

C Παρεκστῆναι: Παρεκτραπῆναι.

[r]Ὥστε καὶ τοὺς ἐν τῷ συνεδρίῳ ἀχανεῖς [s]γενέσθαι, καὶ παρεκστῆναι ταῖς διανοίαις, συμπάσχοντας τῇ τῶν ἀκληρούντων ὑπερωδυνίᾳ.

Παρεκτός: †Ἐπίρρημα.

Παρέλαβε τὴν πόλιν, οὐ τὴν ἐπὶ τῶν προγόνων, ἀλλὰ γραῦν σανδάλια [t]†ὑποδεδεμένην, καὶ πτισάνην †ῥοφοῦσαν:

D Παρελέξατο: Παρεκοιμήθη. †Ἐχρήσατο δὲ [u]†Ὅμηρος τούτῳ ἐπὶ ἵππου καταχρηστικῶς. Οὐ γὰρ παρακλίνεται ἵππος, ἀλλ' [x]ἐπαναβαίνει.

Παρελθεῖν: Τὸ αὐτίκα δηλοῖ παρὰ Θουκυδίδῃ. Τὸ δὲ ἐπελθεῖν, τὸ ἀναβαλλόμενον χρόνῳ δὲ τοῦτο διαπράξασθαι.

Παρελθεῖν: Ἀντὶ τοῦ νικῆσαι. [y]Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

E Παρελθών: Ἀντὶ τοῦ, εἰσελθών.

Παρέλκον: Περιττὸν, ἢ παρατεῖνον.

Παρέλκυσις: †Ὑπέρθεσις.

Παρελογίσασθε: †Ἠπατήσατε.

[Παρ' ἐλπίδα: †Ἐπίρρημα.]

Παρέλυσαν: Ἀπήλλαξαν, μετέστησαν. [z]Θουκυδίδης ζ'.

Τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς.

Παρεμβαλεῖ: Παρατάξεται.

Παρεμβαλόντων: Κυκλωσάντων.

B Παρεμβολή: Σκηνὴ, κάστρον, στρατόπεδον. †Ἐπὶ τοῦ [a]μεγάλου Ἀντωνίου κεῖται τὸ παρεμβολὴ ὄνομα.

Παρεμβολὴ παρεντάξεως διαφέρει: Παρεμβολὴ μὲν γάρ ἐστιν ἡ τῶν ὁμοίων παρένθεσις· οἷον ὁπλιτῶν πρὸς ὁπλίτας, [b]ἢ ψιλῶν πρὸς ψιλούς. Παρένταξις δὲ, ἡ τῶν ἀνομοίων· οἷον ὁπλιτῶν πρὸς ψιλούς· ἢ ψιλῶν, πρὸς ὁπλίτας. Πάλιν [c]παρεμβολὴ λέγεται, ὅταν προτεταγμένων τινῶν εἰς [d]τὰ μεταξὺ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων καθιστῶνται αὐτοῖς ἐπ' εὐθείας.

Παρεμβολή: Παράταξις. Καὶ Παρεμβάλλειν: [e]Παρατάσσεσθαι.

Παρέμπτωσις: Προσθήκη φωνήεντος κατὰ μέσον, οὐ ποιοῦντος συλλαβήν· οἷον ξένος, ξεῖνος, ἔνατος, εἴνατος.

Παρεμφῆναι: Παραδεῖξαι, [f]παρασημᾶναι.

Παρενείρει: Παρεμβάλλει, ἤγουν λέγει.

Παρένησαν: [g]Θουκυδίδης·

Ἐπιπαρένησαν καὶ τῆς ἄλλης ὕλης ὅσον [h]ἐδύναντο.

Παρενθέμενος: Παραλογισάμενος.

Ὁ δὲ Ἀκάκιος παρενθέμενος τὰ τοῖς κανόσι διηγορευμένα, καὶ τὸ θυσιαστήριον καταλαμβάνει, καὶ τὰ ἐξ ἔθους ἱερεῦσιν ἐπιτελεῖ.

Παρενθήκη: [i]Προσθήκη.

Παρέντες: Παραλυθέντες, ἀμελήσαντες.

Τὰ χεῖρε καὶ τὰς πανοπλίας παρέντες.

Παρέξ: Παρεκτός.

Παρενοχλῶ: Δοτικῇ.

Παρεξαγωγή:

ΠΑΡΕΚΑΤΤΥΕΤΟ: Ἐκ συλλογῆς ηὐτρ.] Ex Schol. Aristoph. Plut. 663. KUST.

[p] Λέγει—ηὐτρεπίζομεν om. A.

ΠΑΡΕΚΝΟΟΝ] Est vox Homerica Il. κ'. 391. et Il. υ'. 133. sed ubi Scholiasta eam exponit, παρὰ γνώμην, ἀνοήτως. KUST.

[q] Παρώρμων] παρώτρυνον addunt A.V.

ΠΑΡΕΚΡΟΥΣΑΤΟ] Demosth. p. 700. TOUP. ad Genes. XXXI. 7. spectare putat Ernesti.

[r] Ὥστε καὶ τοὺς ἐν τῷ συνεδρ.] Fragmentum hoc legitur etiam supra v. Ἀκληρούντων. KUST.

[s] γενέσθαι] γίνεσθαι A. Mox ταῖς διανοίαις παρεκτραπῆναι V. τῇ τῶν usque ad fin. om. A.

ΠΑΡΕΚΤΟΣ] Gl. om. V. ἄνευ in fine addit E.

ΠΑΡΕΛΑΒΕ] Demadis est, ut patet ex Demetr. περὶ Ἑρμ. §. 303. HEMST. §. 284. ed. Schneider.

[t] ΥΠΟΔΕΔΗΜΕΝΗΝ] ὑποδεδεμένην A.V. Photius. ὑποδυμένην E.

[u] Ὅμηρος] Il. υ'. 224. KUST.

[x] ἐπαναβαίνει] ἐπιαναβαίνει V.

ΠΑΡΕΛΘΕΙΝ: Τὸ αὐτίκα δηλοῖ παρὰ Θουκ.] Aliter Scholiasta Thucydidis ad lib. I. c. 73. quem vide. KUST. Hæc totidem fere verbis leguntur apud Schol. Thucyd. lib. I. c. 90. TOUP. Vid. Duker. p. 614 b. ἀναβαλλόμενον κατ' ἀρχὰς Schol. ἀναβαλόμενον A.B. ἀναβαλλόμενον suprasc. ἤγουν ἀπαρνούμενον. Mox χρόνῳ δὲ A.V. δὲ om. al.

ΠΑΡΕΛΘΕΙΝ: Ἀντὶ τοῦ νικ.] Ex Harpocratione. KUST.

[y] Δημοσθένης] P. 227, 20.

ΠΑΡ' ΕΛΠΙΔΑ om. A.V.

ΠΑΡΕΛΥΣΑΝ] Appian. p. 514. τὸν μὲν Αἰμίλιον παρέλυσαν τῆς στρατηγίας. TOUP.

F [z] Θουκυδίδης] Addidi ζ'. cum V. Scil. VII. 16. Mox Νικίαν A.

ΠΑΡΕΜΒΑΛΕΙ] Ex A.V.

ΠΑΡΕΜΒΑΛΟΝΤΩΝ] Παρεκβαλόντων V.

[a] μεγάλου Ἀντωνίου] Respicit forte Athanasii vit. S. Antonii t. II. p. 803. B. ubi citatur ex Ps. XXVI. 3. ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή.

ΠΑΡΕΜΒΟΛΗ ΠΑΡΕΝΤ.] Hæc usque ad ὁπλίτας habet tacticorum scriptor in Montfauc. Bibl. Coisl. p. 308. qui παρὰ habet ubique pro πρός.

G [b] ἢ ψιλῶν πρὸς ψιλοὺς om. V. qui mox οἷον ἡ τῶν ὁπλ. omissis postea ἢ ψιλῶν πρ. ὁπλίτας. Πάλιν Παρεμβολὴ etc. om. A.

[c] Παρεμβολὴ λέγεται, ὅταν προτ.] Hæc, et quæ sequuntur, αὐτολεξεὶ etiam leguntur apud Ælianum in Tact. c. 31. unde ea Suidas descripsit. KUST.

[d] τὰ μεταξὺ] τὸ μεταξὺ V. et mox αὐταῖς pro αὐτοῖς.

[e] Παρατάττεσθαι] παρατάσσεσθαι A.V.

[f] παρασημᾶναι om. V.

H [g] Θουκυδίδης] Lib. II. c. 77. Locum ipsum adi. Vide etiam supra v. Ἐπιπαρένησαν. KUST.

[h] ἐδύναντο] ἠδύναντο V.E.

ΠΑΡΕΝΘΕΜΕΝΟΣ] Παρενθυμούμενος *fallaciter eludens* Bruno in Obs. Misc. IX. p. 155.

[i] Προσθήκη om. V.

ΠΑΡΕΞ] Hanc et seq. gl. om. V.

Παρ(εξ)εστηκὼς [k] ἄνθρωπος τῇ διανοίᾳ, καὶ φιλοδοξῶν ἐν τῇ πρὸς αὐτὸν διαφθορᾷ:

Παρεξειρεσίαν: Τὸ ἔξω τῶν ἐρεσσόντων. [l] Ἐν τετάρτῃ Θουκυδίδης. [m] Ἀρριανός·

Τῶν μὲν κωπῶν ἔστιν ἃς συνέτριψαν, καὶ τῆς παρεξειρεσίας τινὰ ἀπέθραυσαν.

Παρεξειρεσίας: Παρὰ [n] Θουκυδίδῃ τὸ κατὰ πρώραν πρὸ τῶν κωπῶν· ὡς ἂν εἴποι τις, τὸ παρὲξ τῆς εἰρεσίας.

Παρεξητλημένον νοῦν: Οἷον διεφθαρμένον, καὶ ἀμυδρὸν ὑπὸ γήρως. Μετήνεκται δὲ ἀπὸ τῶν γλωσσίδων, τῶν ἐν τοῖς αὐλοῖς. Οἱ γὰρ κατατετριμμένοι, ἐξητλῆσθαι λέγονται. Ἀριστοφάνης·

Οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς, καὶ παρεξηυλημένους.

κωφοὺς δὲ, οἷον ἀφώνους. Ὅμηρος·

Κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος.

Παρεωραμένος [o] καὶ [p] Παρηιωρημένος:

Παρεπίδημος:

[q] Καὶ ὁ βίος ἡμῶν παρεπιδημία.

Παρέπτη: Παρῆλθε.

Παρέργως: Ὀλιγώρως.

Οὐ μὴν οὐδὲ τὸ πάρεργον ἄξιον σιωπῆσαι, καθάπερ ἀγαθοῦ τεχνίτου.

Περὶ τοῦ Σκιπίωνος λέγων ὁ [r] Πολύβιος. Καὶ αὖθις·

Ἔγνωσαν δὲ οἱ Λακεδαιμόνιοι μὴ πάρεργον ποιήσασθαι τὸν ἀπόστολον.

Παρερπύσασα: Ἠρέμα εἰσελθοῦσα.

[s] Εἴσω παρερπύσασα, πρὶν τὸν ἄνδρα με
ἰδεῖν.

Παρέρχεται: Αἰτιατικῇ. Ὑπερβάλλει.

Πάρες: Ὑποχώρησον.

Πάρεσις: Νέκρωσις. [t] Ἀππιανός·

Οἱ δὲ Λατῖνοι ἐγκλήματα εἰς Ῥωμαίους ἐποιοῦντο τήν τε πάρ-

A εσιν [u] αὐτῶν τὴν ἐπὶ σφᾶς, ὄντας ἐνσπόνδους καὶ συγγενεῖς.

Τουτέστι, τὴν ἀμέλειαν, τὴν καταφρόνησιν.

Παρέστη: Ἐγένετο, περιέσχε.

Πανταχόθεν δὲ ὑπὸ τῶν πολεμίων περιεχόμενοι, δεινὴ παρέστη πρὸς τὸ πλῆθος [x] ἀμηχανία.

Παρεστηκότες: Συνημμένοι, τεθαρρηκότες. Ἀρριανός·

B Οἱ δὲ ἐσκεδασμένοι, καὶ οὐ παρεστηκότες ταῖς γνώμαις, ἐς φυγὴν ἐτράπησαν.

Παρεστηκότος: Προϋπάρχοντος, [[y] παρισταμένου,] ἐνεστῶτος.

[z] Ὁ δὲ πρὸς πᾶν ἀναι-
δεύεται, καὶ οὐ μεθί-
στησι τοῦ χρώματος
τοῦ παρεστηκότος.

C Παρεστήσαντο:

Ἀμαχεὶ δὲ [a] πλείστας τῆς Ἰταλίας παρεστήσαντο πόλεις.

Ἐπόρθησαν, [b] εἷλον.

Πάρεστι: Δοτικῇ. [c] Ἐκ παντὸς δυνατόν ἐστιν. [Ἢ, παρόν ἐστι.]

Παρέσφηλε: Παρεμφαίνεται, ἐσφάλη, ἀπερρύη.

Παρετέον: Σιωπητέον, [d] παραληπτέον.

Παρευδοκιμησάσης: Νικησάσης, ἤτοι εἰς δόξαν

D ὑπερβάσης. Καὶ παρευδοκιμῶ, αἰτιατικῇ.

Παρευθύνει: Παραφέρει, βιάζεται.

Παρευθύς:

Παρευνηθείς: Παρακοιμηθείς.

Παρευρημένως:

Δικαιότατα καὶ παρευρημένως κρινόντων.

Παρέχοντας: [e] Ἡρόδοτος·

E Κρέσσον γὰρ ποιεῦντάς τι καὶ ἀμυνομένους τελευτῆσαι τὸν αἰῶνα, ἤπερ παρέχοντας διαφθαρῆναι αἰσχίστῳ μόρῳ.

ΠΑΡΕΣΤΗΚΩΣ] Ordo literarum poscit Παρεξεστηκώς. HEMST.

k ἘΝ ΤΗΙ] ἀνος τῇ (σῇ V.) A.B.V.E. qui om. ἄνθρωπος ante φιλοδοξῶν.

ΠΑΡΕΞΕΙΡΕΣΙΑ] Παρεξειρεσίαν A.V. Photius.

l Ἐν τετάρτῃ Θουκυδίδης] C. 12. ubi Scholiasta: Παρεξειρεσία ἐστιν ὁ ἔξω τῆς εἰρεσίας τῆς νεὼς τόπος, καθ' ὃ μέρος οὐκέτι F κώπαις κέχρηνται. Ἔστι δὲ τοῦτο τὸ ἀκρότατον τῆς πρύμνης καὶ τῆς πρώρας. KUST. ἐν τετάρτῃ om. A.

m Ἀρριανὸς om. A. qui mox ξυνέτριψαν.

n Θουκυδίδῃ] VII. 34. et Schol. Deest gl. A.

ΠΑΡΕΞΗΤΛΗΜΕΝΟΝ ΝΟΥΝ: Οἷον διεφθ.] Ex Schol. Aristoph. Acharn. 681. Confer Hesychium v. Ἐξηυλημένον. KUST. Mox μετήνεγκται M.

ΠΑΡΕΩΡΑΜΕΝΟΣ] 3 Reg. X. 3. οὐκ ἦν λόγος παρεωραμένος παρὰ τοῦ βασιλέως. ERNEST.

o Καταφρονηθείς. Παρηωρημένος δὲ] καὶ Παρηωρημένος A.B. V.E.

p ΠΑΡΗΙΩΡΗΜΕΝΟΣ] Restituenda ista vox Plutarcho Anton. p. 951. TOUP.

q καὶ ὁ βίος] Marc. Antonin. II. 17. ὁ δὲ βίος πόλεμος καὶ ξένου ἐπιδημία. TOUP. ἡμῶν om. V. Æschines Socrat. Axioch. 8. 3. τὸ κοινὸν δήπου τοῦτο καὶ πρὸς ἁπάντων θρυλούμενον, παρεπιδημία τίς ἐστιν ὁ βίος.

ΠΑΡΕΡΓΩΣ] Polyb. p. 911. παρέργως ἱστορήσας ἐσχεδίασε. H TOUP.

r Πολύβιος] Fr. Hist. 59.

s Εἴσω παρερπύσ.] Aristoph. Eccles. 507.

ΠΑΡΕΣ] Aristoph. Vesp. 754. infra v. Σκιερά.

t Ἀππιανὸς deest A. Vid. ed. Schweigh. t. I. p. 29.

u αὐτῶν] αὐτοῦ B.V.

x ἀμηχανία] ἡ μηχανία V.

y παρισταμένου om. A.B.V.

z Ὁ δὲ πρὸς πᾶν] Aristoph. Equit. 396. ὩΣ δὲ πρὸς πᾶν ἀναιδεύεται, κ. τ. λ. TOUP.

a πλείστας om. V.

b εἷλον] ἥλωσαν A.V.

c Ἐκ παντὸς] Seqq. om. A. ἐκ παντὸς δ. ἐ. Timæus et Photius, qui reliquis carent cum B.V.

d ἀφετέον] παραληπτέον A.B.V. Photius. Lex. Seg. i. e. παραλειπτέον. Statim delevi ΠΑΡΕΤΡΑΓΟΝ. Καὶ τοῦ κύκλου παρέτραγον ὑφ' ἁρματωλίας. Ἀντὶ τοῦ, φειδόμενοι τῶν ἁρμάτων αὐτῶν, cum A.V. Quæ repetita sunt ex v. Ἁρματωλία.

ΠΑΡΕΥΔΟΚΙΜΗΣΑΣΗΣ] Plutarch. Pomp. p. 639. v. Σωμασκία. Sozomen. p. 202. Eunap. p. 37. Longus p. 8. 184. TOUP. Vid. Bergler. ad Alciphr. I. 39. Locella G ad Xenoph. Ephes. p. 148.

ΠΑΡΕΥΘΥΝΕΙ] Priores editt. male habent, παρευθήνει, cujus loco scribendum esse παρευθύνει, Portus recte conjecerat. Sic enim et mss. Paris. [et Photius] habent. Ceterum vocem hanc clarius exponit Scholiasta Sophoclis Aj. 1088. (Johns.) Παρευθύνοντες: Ἐκτρέποντες. Ἀπὸ τῶν μὴ ἐώντων τινὰς βαδίζειν τὴν ἑαυτῶν ὁδὸν, ἀλλὰ παρεκκλινόντων αὐτούς. Locum hunc Scholiastæ observaverat etiam Portus. KUST.

ΠΑΡΕΥΘΥΣ om. A.V.

ΠΑΡΕΥΡΗΜΕΝΩΣ] Lego καὶ μὴ παρ. Philostrat. p. 696. ἀληθῆ καὶ μὴ παρευρημένα. Παρευρήματα Pausanias p. 146. Sed vid. Kuster. ad v. Βάκχυρις. TOUP. qui addit, "Hæc "verba deprompsit Suidas ex Zenobio Prov. Cent. II. 60."

e Ἡρόδοτος] Lib. IX. c. 17. ubi Armocydes Phocenses ad fortiter contra Persas pugnandum adhortatur. KUST.

Καὶ παρέχω, δοτικῇ. A

Πάρει: ‘Ελήλυθας, παρεγένου.

[f]Τίνα λόγον ἄρα ποτὲ πρὸς ἐμὲ, [g]φίλ', ἔχων πάρει;
[h]Κοινὸν, ἀσφαλῆ, δίκαιον, ἡδὺν, ὠφελήσιμον.

‘Αντὶ τοῦ, κοινωφελῆ, ἀσφαλῆ. Τουτέστιν, [i]ἀληθῆ, καὶ μὴ σφαλῆναι δυνάμενον.

Παρειά: Γνάθος. Καὶ μέρος τῆς νεώς.

Παρεῖαι ὄφεις: ‘Ονομάζονταί [k]τινες ὄφεις οὕτως, παρὰ τὸ τὰς παρειὰς μείζους ἔχειν. Ὁ δὲ Ὑπερίδης B ἐν τῷ κατὰ Δημάδου φησὶν,

Εἶναι δὲ τοὺς ῥήτορας [l]ὁμοίους τοῖς ὄφεσι. Τούς τε γὰρ ὄφεις μισητοὺς μὲν εἶναι πάντας· τῶν δὲ ὄφεων αὐτῶν, τοὺς μὲν ἔχεις τοὺς ἀνθρώπους ἀδικεῖν· τοὺς δὲ παρείας αὐτοὺς τοὺς ἔχεις κατεσθίειν.

Παρείη:

[m]Ὁ δὲ Τηρίβαζος φίλος ἦν τῷ βασιλεῖ· καὶ ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνεβίβαζε. C

Παρείθη: Παρελύθη.

[n]Εἶτα μέντοι τὰ δεξιὰ παρείθη μέρη.

Παρεικάθη:

Παρεικότος: Παραλελυμένου.

Παρείκοι: ‘Υποχωροίη.

Πέμποντες ἱππέας ἐκδρόμους, [o]ὅπη παρείκοι, τροφὰς ἐλάμβανον.

[p]Ὅπου ἦν δυνατόν. [q]Καὶ αὖθις·

Σφοδρότατα σφᾶς ἐπιδιώκοιμεν, ὅπη παρείκοι. D

Ὅπου ἐστὶ δυνατὸν, ὅπου τρέποιτο ὁ πόλεμος. Καὶ αὖθις·

[r]Ὁ δὲ Τραϊανὸς ἔγνω μάλιστα, εἰ παρείκοι, ἐξελεῖν τὸ ἔθνος· εἰ δὲ μὴ, συντρίψας γε παῦσαι τῆς ἄγαν ἀτασθαλίας.

Παρειμένον: Κεχαυνωμένον.

Παρειμένος: Παρεωραμένος.

A Παρείμην: [s]Συγχωρήσαιμι. [t]Σοφοκλῆς·

Οὐκ ἂν παρείμην, οἷσι μὴ δοκῶ φρονεῖν.

Τουτέστιν, οὐκ ἂν συγχωρήσαιμι.

Πάρειμι: ‘Υπάρχω.

Παρεῖναι: Τὸ [u]παραγίνεσθαι, καὶ ὑπάρχειν. Παρῆναι δὲ, κεντηθῆναι.

Παρείπηι: Παραπείσῃ.

Παρειπών: Παραινέσας.

B Παρείραντα: Παρεισβαλόντα. Πολύβιος·

Οὔτ' ἐπιβαλέσθαι παρείραντα τὴν χεῖρα δυνατὸν, ἅτε πυκνῶν οὐσῶν.

Παρείρπυσεν: Εἰσῆλθεν. Ὡς ἐπὶ ὄφεως δὲ εἶπεν, ἐπειδὴ τυφλὸς ἦν [y]ὁ γλάμων.

[z]Πρῶτος Νεοκλείδης ὁ γλάμων παρείρπυσε.

Παρείς: ‘Εάσας, ἀφείς.

Παρείς: ‘Αμελήσας, ἐπικατακλίνας, ὀλιγωρήσας.

C Καὶ παρεὶς ἑαυτὸν ὑπὸ λύπης ἔκειτο.

Παρῆς δὲ, ἀντὶ τοῦ, ὑπῆρχες.

Παρείσακτον: ‘Αλλότριον.

Παρεῖσαν: Εἴασαν, ἀφῆκαν.

Παρεισελθεῖν: Τὸ μετ' ἄλλου [a]πλαγιάσαντος συνεισελθεῖν· ‘Ελθεῖν δὲ, τὸ γυμνῇ τῇ παρρησίᾳ χρήσασθαι. Διὰ τοῦτό φησιν [b]ὁ ‘Απόστολος·

Παρεισῆλθεν ὁ νόμος.

D Πάρεισιν αὐτῷ τέκνα:

Παρείσθω: Συγχωρείσθω.

Παρεισκρίνει: Παρεισέρχεται, παρεισβάλλει.

Παρῆτε: Παρεγενέσθε.

Παρεῖτο: ‘Ημελεῖτο, παρῃρεῖτο.

Τῶν μὲν ἐξ ἐμοῦ παίδων πόθος παρεῖτο.

Καὶ παρεῖτο, διελύετο.

E

[f] Τίνα λόγον ἄρα] Depromptus est hic locus ex Aristoph. Av. 316. ubi res aliter administratur. Verbum enim πάρει, quod mireris, non comparet apud Comicum. Sed Suidæ lectio minime rejicienda est. Sophocl. Œdip. Tyr. 147. Πεπυσμένη μὲν, ὡς ἀπεικάσαι, ΠΑΡΕΙ. TOUP.

[g] φίλ'] φίλους V.

[h] Κοινὸν, ἀσφαλῆ] Hæc et seqq. om. A.

[i] ἀληθῆ] ἀσφαλῆ V. qui mox σφαλῆναι μή.

ΠΑΡΕΙΑΙ ὈΦΕΙΣ: ‘Ονομάζ.] Ex Harpocratione. Huc F egregie faciunt, quæ de eodem serpentis genere notat enarrator Comici ad Plut. 690. ubi exponit locum illum Comici, ’Οδὰξ ἐλαβόμην, ὡς παρείας ὢν ὄφις. KUST.

[k] δέ τινες] δὲ om. A.V. Photius. τὰς ante παρειὰς om. A.E. Phot. Mox ἐν τῷ κατὰ Δημάδου φησὶν om. A.

[l] ὁμοίους] ὁμοίως A.B.M. Photii ms.

ΠΑΡΕΙΗ] Παρήει E. et in exemplo. Exemplum habet V. in marg.

[m] Ὁ δὲ Θηρίβαζος φίλος ἦν τῷ βασ.] Hæc sunt verba Xenophontis lib. IV. [4, 4.] de Expedit. Cyri, p. 327. eademque leguntur supra v. ’Ανέβαλλεν. KUST. Τηρίβαζος B.E. Τορίβαζος A. G

[n] Εἶτα μέντοι] Hoc fragmentum auctius nonnihil legitur supra v. Λαμπαδεύεσθαι. TOUP.

ΠΑΡΕΙΚΑΣΘΗ] Παρεικάθη A.B.E. Tum A.V. addunt Παρελύθη. Photius Παρεικάθη: παρέλθη.

[o] ὅπου] ὅπη B.V.E. Vid. supra Ὅπη παρείκοι.

[p] ὅπου ἦν δυνατόν] Fidus profecto interpres, qui ita vertit: *Mittentes equites, qui excursionem facerent, quacunque libuisset, commeatum, unde poterant, ceperunt.* Atqui, H mi homo, verba illa ὅπου ἦν δυνατὸν, sunt non nisi explicatio præcedentis locutionis, ὅπου παρείκοι. Quod ex sequentibus quidem satis patet. Atque hæc scripseram, cum, ut fors ferebat, in ipsum locum incidi, quem respexit Suidas. Respexit autem ad Dio. Cass. lib. XLVII. c. 36. ubi ita legitur: Καὶ τὰ ἐπιτήδεια—ἐκ τοῦ πεδίου καταθέοντες ’ΕΛΑΜΒΑΝΟΝ. Ὁ γὰρ Νωρβανὸς ὅ τε Σάξας πανστρατιᾷ μὲν οὐδὲ ἐτόλμησαν αὐτοῖς προσμίξαι, ’ΕΚΠΕΜΠΟΝΤΕΣ δὲ ἱππέας ἐκδρόμους ὍΠΗ ΠΑΡΕΙΚΟΙ, οὐδὲν ἐπέραινον. Atque hinc videas quam indiligenter in veterum locis laudandis versatus fuerit noster Suidas. TOUP.

[q] Καὶ αὖθις—πόλεμος om. A.

[r] Ὁ δὲ Τραϊανὸς ἔγνω μ.] Fragmentum hoc legitur etiam supra v. ’Ατάσθαλα. KUST. Vid. Reimar. Dio Cass. LXVIII. 11.

[s] Συγχωρήσαιμι] συγχωρήσομαι V.

[t] Σοφοκλῆς] Œdip. Colon. 1666.

[u] παραγίνεσθαι] παραγενέσθαι B.V.E.

ΠΑΡΕΙΠΟΙ: παραπείσοι] Παρείπῃ: παραπείσει A.B.V. Photius. Vid. Il. α'. 555.

ΠΑΡΕΙΠΩΝ] Vid. Il. λ'. 792.

[x] Πολύβιος] Lib. XVII. c. 15. unde sensum hujus loci supplebis. KUST.

[y] ἣ γλάμων] ὁ γλάμων A.B.V.E. edd. ante Kuster. His vv. caret Scholiastes.

[z] Πρῶτον Νεοκλείδης ὁ γλ.] Aristoph. Eccles. 398. πρῶτος A.E.

ΠΑΡΕΙΣΑΚΤΟΝ] Παρείσακον V.

[a] πλαγιάσαντος] Potius, πλαγιάσαντα. KUST. Sic Zonaras. Sed πλαγιάσαντος supra p. 1206. D. ubi eadem leguntur.

[b] ὁ ’Απόστολος] Ad Rom. V. 20.

ΠΑΡΕΙΣΘΩ] Procop. p. 350. TOUP. Παρείσθαι A.

ΠΑΡΗΤΕ: Παρεγ.] Locum hunc ex ms. Paris. A. emendavi, qui in prioribus editt. [et B.V.] male sic legitur, Παρεῖτε. Παραγίνεσθε. KUST. Παρεῖτε: παραγίνεσθαι Photius. Παρεῖτε postulat ordo literarum. Vid. p. 2880 D.

ΠΑΡΕΙΤΟ] Vid. Schweighæuser. ad Polyb. XVI. 8, 6.

Παρηβηκώς: Γεγηρακώς.

Παρηβῆσαι: Παρακμάσαι.

Παρήγαγε: Παρήνεγκεν.

[c] Ἐν τῷ δείπνῳ παῖδα αὐτοῦ ὀρχησάμενον βαρβαρικῶς παρήγαγε.

Παρήγγελλον: Ἐτάσσοντο, συνηριθμοῦντο. [d] Ἀππιανός·

Πᾶς τις αὐτῶν καὶ συμμάχων ὥρμα, καὶ ἐθελονταὶ παρήγγελλον εἰς τὸν κατάλογον.

Παρηγορίας: Συμβουλῆς, ἢ παρακλήσεως. Καὶ [e] ἐν Ἐπιγράμμασι·

Παίγνιά τ' ἀμφιέπουσι παρήγορα, καὶ κατ' ἀγυιὰς πλάζονται.

Παρηέρθη: Ἀπὸ τοῦ ἀείρω, [f] ἀερῶ, ἤερκα, ἤερμαι, ἠέρθην, καὶ παρηέρθην.

Παρήιεισαν: Παρῆλθον.

Παρήκαμεν: Ἐπέμψαμεν· ἢ ἀφήκαμεν.

Παρῆκον:

Μὴ διὰ πάσης ἰέναι ἐξετάσεως, ἀλλὰ μετρίας κατὰ τὸ παρῆκον τῆς αὐτῶν προαιρέσεώς τε καὶ δυνάμεως.

Παρήκοντα: Παρατείνοντα· ὡς διήκοντα, ἐπεκτεινόμενα. [[g] Ἐκ τοῦ παρείκοντος δὲ, ἀντὶ τοῦ ἀναδιδόντος.]

Παρήλλαξαν:

Ἐπειδὴ παρήλλαξαν τὴν ἐνέδραν, ἄφνω πάντες ἐπεφάνησαν.

Ἀντὶ τοῦ παρῆλθον.

[Παρῆλθεν: Αἰτιατικῇ.]

Παρήλασεν: Ὑπερήλασεν, ἤτοι ἐνίκησε.

Παρῆλιξ, παρήλικος.

Παρήλιος: Νεφέλη πεπυκνωμένη καθ' ὑπερβολὴν, καὶ [h] ἐναυγαζομένη ὑπὸ τοῦ ἡλίου.

Παρῆν: Παρήμην. Ἑνικῶς κατ' Ἀττικούς.

Παρηνώχλουν:

[x] ἐς γῆρας] καὶ ἐς γῆρας A.B.V.E.

[y] Ἡράκλειτος] Ἡρακλείδης E.

[z] εἶπε περὶ αὐτοῦ] εἶπεν ἐφ' ἑαυτοῦ ἐμὲ αὐτὸν ἐδ. A.B.V.E. De dicto Heracliti vide Casaubon. et Menag. ad Diog. Laërt. IX. 5. Ceterum paulo infra delevi, ΠΟΤΑΜΙΟΙ: Οἱ Ἀχαρνεῖς. Καὶ ζήτει ἐν τῷ ΔΡΑΧΑΡΝΕΥ., cum A.V.

ΠΟΤΑΜΟΔΑΡΤΗΣ] At apud Artemidorum p. 241. (i. e. lib. IV. c. 68.) ποταμοδιάρτης scribitur. Non enim est, ὁ τὸν ποταμὸν δαίρων, sive, *fluvium tundens*, ut voluit Portus; sed διαίρων, *trajiciens:* ut apud Polybium, διάραντες τὸν πόρον. PEARSON.

[a] Χύσις] H. v. om. V. Habet A. in marg. ubi ῥύσις ποταμοῦ. Kusterus dedit ποταμοῖο ex Porti em. Mox δυσμενῆ B.E.

ΠΟΤΑΜΩΝ ἈΛΕΞ.] De eo vide Laërtium in Proœmio, sub finem. KUST. Adde Suid. v. Αἵρεσις. REINES.

[b] πρὸ Αὐγούστου καὶ μετ' αὐτὸν] Difficultas, quam his verbis inesse haud immerito monuerunt viri docti, (vid. Bruckeri Hist. Crit. Philos. t. II. p. 194.) facillimo negotio ita levari posse videtur, si pro μετ' αὐτὸν legendum μετ' αὐτοῦ statuas, ut hoc dixerit Suidas, *vixisse Potamonem ante Augustum et cum eo:* id est, *floruisse quidem jam ante Augusti ætatem, verum etiam per sat longum adhuc tempus sub Augusti imperio.* SCHWEIGH. Si quid mutandum malim legere ἐπὶ Αὐγούστου. Sed præstat fortasse a conjecturis abstinere.

[c] Αὐγούστου] Αὐουείστου B. Mox delevi ἔστιν αὐτοῦ post μετ' αὐτὸν cum A.V.E. De hoc Potamone nonnulla Menagius ad Diog. Laërt. I. 21.

ΠΟΤΑΜΩΝ ΜΙΤ.] Vid. Λεσβῶναξ. Θεόδωρος Γαδαρεύς. HEMST.

[d] Καί ποτε αὐτοῦ εἰς τὴν πατρίδα ἐπαν.] Hesychius Milesius: Ποτάμωνα τὸν Μιτυληναῖον ῥήτορα εἰς τὴν πατρίδα ἐπανιόντα ποτὲ ὁ Καῖσαρ Τιβέριος τοιούτοις ἐφωδίαζε γράμμασι· Ποτάμωνα τὸν Λεσβώνακτος εἴ τις ἀδικεῖν τολμήσοι, σκεψάσθω, εἴ μοι δυνήσεται πολεμεῖν. Hinc Suidas sua descripsit. KUST.

[e] ἀδικεῖν] ἀδικῆσαι V.

"μοι δυνήσεται πολεμεῖν." Ἔγραψε περὶ Ἀλεξάνδρου A
τοῦ Μακεδόνος, Ὅρους Σαμίων, Βρούτου ἐγκώμιον,
Καίσαρος ἐγκώμιον, Περὶ τελείου ῥήτορος.

**Ποταμῶνος:**

**Ποταίνιον:** [f]Τὸ ξένιον, [ἢ νέον.]

**Πότε:** Λέγεται πρὸς νῦν κατ' ἄμφω, καὶ κατὰ τὸ παρεληλυθὸς, καὶ κατὰ τὸ μέλλον. Κατὰ μὲν τὸ παρεληλυθὸς, [οἷον,] "Πότε ἐγένετο;" κατὰ δὲ τὸ μέλ-
B λον, [[g]οἷον,] "Πότε ἔσται;"

**Πότερον:** Ἆρα, [h]ποῖον, ποταπόν.

**Ποτή:** Ἡ πτῆσις.

**Πότης λύχνος:** [i]Ἀριστοφάνης Νεφέλαις·

> [[k]Οἴμοι,] τί γάρ μοι τὸν πότην ἧπτες λύχνον;

Παρὰ Ἀττικοῖς ὁ πολὺ ἔλαιον ἀναλίσκων.

**Ποτίδαια:** Ὄνομα πόλεως. Καὶ Ποτιδαιάτης.

**Ποτινίσσεται:** Ἐπέρχεται.

**Πότμον:** Μόρον, θάνατον. Καὶ **εὔποτμος**, ὁ C
καλῶς τὸν βίον καταστρέφων.

> Ὃς οἰκτρῶς καὶ ἐλεεινῶς ἐς γῆρας ἦλθεν οὐδαμῇ εὔποτμον.

**Πότνα:** Δέσποινα.

**Πότνια:** Σέμνη, ἔντιμος.

**Ποτνιᾶσθαι:** Παρακαλεῖν. Καὶ **ποτνιᾶται**, [l]παρακαλεῖ, ἐπικαλεῖται θεούς. Καὶ **ποτνιώμενος**, δυσφορῶν, μετ' οἰμωγῆς παρακαλῶν.

D [**Ποτόν:** Ζήτει ἐν τῷ Ἄγευστος θοίνης.]

**Ποτός:** Τὸ πινόμενον. **Πότος** δὲ, τὸ συμπόσιον.

> [m]Σφοδροῦ δὲ πότου γενομένου, ἐνεδρεύων ὁ ἑστιάτωρ, αὐτὸς μὲν ὀλίγον ἔπινεν, [n]αὐτοῖς δὲ πολὺ ἐγχεῖν τοῖς [o]θεράπουσιν ἐκέλευε.

**Ποτώμεναι:** Διατρίβουσαι. **Ποτῶνται** δὲ, ἤγουν πέτονται.

E [**Ποτώνη:** Ἀδελφὴ Πλάτωνος τοῦ φιλοσόφου.]

**Ποῦ γῆς:**

> [p]Ποῦ γῆς πέφευγεν;

Ἀντὶ τοῦ, εἰς ποίαν γῆν, Ἀττικῶς.

**Πουλχερία**, Ἀρκαδίου θυγάτηρ, [q]βασιλὶς, ιέ ἐτῶν οὔπω τυγχάνουσα, ἄριστα τὴν βασιλείαν διῴκει. Ἐπαίδευσε δὲ καὶ τὸν ἀδελφὸν Θεοδόσιον. Σοφωτάτη γὰρ οὖσα, καὶ θεῖον νοῦν κεκτημένη, τήν τε ἰδίαν παρθενίαν [r]τῷ Θεῷ προσανέθηκε, καὶ τὰς ἀδελφὰς τὸ ὅμοιον πρᾶξαι ἐδίδαξεν. Εἰς πάντα δὲ τὸν ἀδελφὸν
B ἐκανόνιζεν, ἦθός τε, καὶ λόγον, βάδισμα, καὶ γέλωτα, καὶ ἐνδυμάτων περιβολὴν, καὶ σχῆμα καθέδρας καὶ στάσεως [s]βασιλικῆς ἐξεπαίδευσε· πρὸ δέ γε ἁπάντων, τὴν εἰς τὸ θεῖον [t]εὐσέβειαν αὐτὸν ἐπιμελῶς ἐδίδασκεν. Ὡσαύτως δὲ καὶ περὶ τὰς ἀδελφὰς διεγένετο. Πολλὰς δὲ ἐκκλησίας, καὶ πτωχεῖα, καὶ ξενῶνας, καὶ μοναστήρια αὐτὴ κτίσασα, καὶ προσόδους ἀφώρισεν· καὶ πρὸς ἄλλοις μυρίοις κατορθώμασι, πολλάκις αὐτῇ καὶ
C τὸ θεῖον ἐφαίνετο. Αἱ δὲ ἀδελφαὶ, Ἀρκαδία καὶ Μαρίνα. Ὁ δὲ φύσει νωθρός τε καὶ ἀπερίσκεπτος ἐς πάντα μὲν ὑπῆρχε, μάλιστα δὲ ἐς τοὺς ὑποβάλλοντας αὐτῷ [u]χάρτας, [[x]οὓς] ἀπαραγνώστως ὑπέγραφεν. Ὅπερ ἡ σοφωτάτη γνοῦσά ποτε Πουλχερία, σοφῶς ὑπῆλθεν αὐτὸν, δωρεὰν [y]ὑποβαλοῦσα δῆθεν πρὸς δουλείαν τὴν ἑαυτοῦ γαμετὴν Εὐδοκίαν. Ἣν καὶ καθυπογράψας μὴ πρότερον ἀναγνοὺς, ὕστερον δεινῶς ὠνειδί-
D ζετο παρὰ τῆς Πουλχερίας.

Ὅτι Πουλχερία [z]τοσοῦτον ἐμίσει τὸν Νεστόριον, ὡς τοὺς φιλοῦντας ἐκεῖνον [a]διαθρυλεῖν, ὅτι [b]πορνείαν πρὸς τὸν ἀδελφὸν αὐτῆς Θεοδόσιον τὸν βασιλέα διέβαλε Πουλχερίας Νεστόριος· καὶ διὰ τοῦτο οὕτως ὑπ' αὐτῆς ἐμισεῖτο· ἐλοιδόρει γὰρ αὐτὴν εἰς [c]τὸν τότε [d]Μάγιστρον Παυλῖνον λεγόμενον.

**Πουλχερία:** Πουλχερίας τῆς ἀοιδίμου στήλη
E ἵστατο ἐν τῇ Χαλκῇ, πλησίον τοῦ [e]Παλατίου, ὡς πρὸς τὸν Περίπατον.

---

[f] Τὸ ξένιον] Legendum est, τὸ ξένον: ut Portus etiam monuit. Confer Schol. Sophocl. ad Antig. 849. et Schol. Æsch. ad Prometh. 102. KUST. ἢ νέον om. A. B.V. sed habet E.

[g] οἷον bis om. A.V. Phot. Supra πρὸς τὸ νῦν Phot.

[h] ποῖον] ὁποῖον Photius.

[i] Ἀριστοφάνης Νεφέλαις] Ver. 57. Confer etiam Nostrum supra v. Ἀδδηφαγία. KUST.

[k] Οἴμοι om. A.B.V.E.

ΠΟΤΙΔΑΙΑ] Vide Schol. Aristoph. Equit. 436. KUST. Adde Schol. Platon. p. 52.

ΠΟΤΙΝΙΣΣΕΤΑΙ] Ποτινίσεται A.B. Vid. Il. ι'. 381.

ΠΟΤΝΙΑ] Πότνα edd. vett.

ΠΟΤΝΙΑΣΘΑΙ] Helladius apud Photium p. 1589. Ὅτι
G τὸ ποτνιᾶσθαι κυριώτερον ἐπὶ γυναικὸς τάττεται, φησὶν, ὅταν κακόν τι πάσχῃ, καὶ θήλειαν ἱκετεύῃ Θεόν. Ποτνιώμενον δὲ ἄνδρα ἄν τις εἴπῃ, ἁμαρτάνει. KUST. Vid. Ruhnken. ad Tim. p. 221. Boissonad. Eunap. p. 264.

[l] παρακαλεῖ addidi cum A.B.V.E. et Photio.

ΠΟΤΟΝ] Hæc A. in marg. om. V.

[m] Σφοδροῦ] Vid. v. Σφοδροῦ, et Kuster. ibid. TOUP.

[n] αὐτοῖς] Leg. ἄλλοις. HEMST. Retineo αὐτοῖς, ἐκείνοις leg. v. Σφοδροῦ.

[o] θεραπεύουσιν] θεράπουσιν A.

ΠΟΤΩΜΕΝΑΙ] Deest gl. A.

ΠΟΤΩΝΗ: Ἀδελφ.] Vide infra v. Σπεύσιππος. KUST. Supra ad Πλάτων dicitur mater Platonis. REINES. Deest articulus A.V.

[p] Ποῦ γῆς] Sic habent mss. Paris. At priores editt. ποῖ γῆς. KUST.

ΠΟΥΛΧΕΡΙΑ] Cum hoc loco Suidæ conferendus est Sozom. Hist. Eccles. lib. IX. c. 1. et Cedrenus p. 342. KUST.

[q] βασιλὶς] καὶ βασιλὶς V. Mox οὔτω B.E. pro οὔπω.

F [r] τῷ Θεῷ] τῷ om. A.

[s] βασιλικῆς] Sic em. Portus. βασιλικῶς A.B.V.E. edd. vett. Mox γε pro τε A.V.

[t] εὐσέβειαν] ἐπιμέλειαν A.

[u] χάρτας] Sic mss. Paris. At priores editt. male, χάριτας. KUST.

[x] οὓς om. A.B.V.E. edd. ante Kuster.

[y] ὑποβαλοῦσα] Et hanc lectionem ex mss. Paris. revocavi, cujus loco in prioribus editt. male excusum est,
G ὑπολαβοῦσα. KUST.

[z] τοσοῦτον] ἐπὶ τοσοῦτον V.

[a] διαθρυλλεῖν, ὅτι πορνείαν πρὸς τὸν ἀδ.] Nec sensus, nec constructio loco huic constat, quem proinde sic supplendum et scribendum esse censuerim: διαθρυλλεῖν, ὅτι πορνεύει ἡ Πουλχερία. Καὶ πρὸς τὸν ἀδελφὸν αὐτῆς Θεοδόσιον τὸν βασιλέα διέβαλε Πουλχερίαν ὁ Νεστόριος, &c. Sed conjecturam hanc pro certa veritate nemini obtrudere velim. KUST. Suspicor duo loca confusa esse. Legerim, ὅτι πορνεύει vel πορνεύοι. Deinde, ὍΤΙ πρὸς τὸν ἀδελφὸν
H etc.

[b] πορνείαν] πορνεία A. Mox τὸν βασιλέα om. V.

[c] τὸν τότε] τόν τε V.

[d] Μάγιστρον Παυλῖνον] Vid. Chron. Alex. sub Ol. 300 et 306. REINES.

[e] Παλατίου] Παλλατ A.V. Vid. Codinus de Orig. Constant. p. 19. ed. Paris.

Ποῦ μήν: Ποῦ δὴ οὖν;

Ποῦς: Ὁ ποῦς ἔχει δακτύλους ιϛ΄.

Ποῦ σχήσειν δοκεῖς: Ἀντὶ τοῦ, ποῦ ἀπάξαι τὴν ναῦν;

Πώγων, Πώγωνος. [f]Τροιζήνιος λιμὴν, οὕτω καλούμενος· ὅθεν καὶ παροιμία ἐπὶ τῶν κακογενείων·

Ἐς [g]Τροιζῆνα δεῖ βαδίζειν.

Καὶ [h]Ἀριστοφάνης·

Κἀγώ γ' Ἐπικράτους οὐκ ὀλίγῳ καλλίονα
πώγων' ἔχω.

Οὗτος γὰρ μέγαν πώγωνα ἔχων, ἐκαλεῖτο Σακεσφόρος, καὶ ἐκωμῳδεῖτο εἰς δασύτητα. [i]Ἦν δὲ ῥήτωρ, καὶ δημαγωγός. [k]Καὶ Ἀριστοφάνης φησίν·

Ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε.

Πωγωνίας: Ὁ μέγας πώγων.

Πωγωνιήτης: Ὁ Ζεύς. Καὶ Πωγωνίτης.

Πώβα: Ποίμνια. C

Πωλάς: Ἀντὶ τοῦ πράσεις. Ὑπερίδης. Ἔστι τὸ ὄνομα καὶ ἐν τοῖς Σώφρονος Ἀνδρείοις.

Πωλέσκετο: Ἀνεστρέφετο. Καὶ [l]Ὅμηρος·

Πωλεῖταί τις γέρων.

Πωλεττικός:

Πωλεία χαίτη:

Πώλης: Ὁ Ἀριστοφάνης τὸ τέλος τοῦ ὀνόματος D παίζων λέγει, παρὰ τὸ ἀποδίδοσθαι καὶ πωλεῖν τοὺς πολιτευομένους τὰ τῆς πόλεως πράγματα· οἷον, προβατοπώλης, στυππειοπώλης, ἀλλαντοπώλης.

Πωλητής: Ὁ πιπράσκων.

Ἦν γὰρ ἐνταφίων πωλητής.

Καὶ Πωληταί· οὗτοι τῶν ὀφειλόντων τῷ δημοσίῳ

A κατὰ προθεσμίαν, καὶ μὴ ἀποδιδόντων, ἐπίπρασκον τὰς οὐσίας. [m]Ὑπέκειντο δὲ τοῖς Πωληταῖς καὶ ὅσοι τὸ διαγραφὲν ἀργύριον ἐν πολέμῳ μὴ εἰσέφερον· [n]ἔτι καὶ οἱ ξενίας ἁλόντες, καὶ ὁ μέτοικος [o]καὶ προστάτην οὐκ ἔχων, καὶ ὁ ἀποστασίου γραφείς. Τούτων γὰρ τὰς οὐσίας πωλοῦντες, [p]παρακατέβαλον εἰς τὸ δημόσιον.

Πωληταὶ καὶ [q]Πωλητήριον: Οἱ μὲν Πωληταὶ, B ἀρχή τις ἐστὶν Ἀθήνησι, δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης. [r]Διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τὰ τέλη, καὶ μέταλλα, καὶ μισθώσεις, καὶ τὰ δημευόμενα. [s]Πωλητήριον δὲ καλεῖται ὁ τόπος, ἔνθα συνεδρεύουσιν οἱ Πωληταί.

Πωλητήριον: Τὸ πρατήριον. Οὕτως Ὑπερίδης.

Πωλικῆς ἀπήνης: Ὑπὸ πώλων ἐζευγμένης.

[t]Κἀπὶ πωλικῆς
ἀνὴρ ἀπήνης ἐμβεβὼς . . .
. . . [u]ξυνηντίαζε.

Καὶ, πωλικὸν, τὸν τοῦ πώλου. [x]Ἐν Ἐπιγράμμασι·

Παῖς δ' ἴσον ἀστέρι λάμπει,
πωλικὸν ὡς ἵππος χνοῦν ἀποσεισάμενος.

Πωλικός: Ὁ γενναῖος. Καὶ [y]πωλικὸν δῆγμα, καὶ τὸ φρύαγμα.

Πωλίον:

Πῶλοι: Κυρίως τὰ γεννήματα τῶν ἵππων, καὶ τῶν ἄλλων κτηνῶν, ἅπερ ἔθος ἔχομεν καταψᾶν καὶ κολακεύειν.

Πωλίων, ὁ Ἀσίνιος χρηματίσας, Τραλλιανὸς, σοφιστὴς, καὶ φιλόσοφος· σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ

---

ΠΟΥ ΣΧΗΣΕΙΝ ΔΟΚΕΙΣ] Aristoph. Ran. 190. Ταχέως ἔμβαινε. Ποῦ σχήσειν δοκεῖς; KUST. Vid. Duker. ad Thucyd. I. 110.

ΠΩΓΩΝ] Vid. Voss. ad Mel. II. p. 204. HEMST.

[f] Τροιζήνιος] Τροιζήνειος A.

[g] Τροιζῆνα] Τροιζῆνα δὲ A.V. Lege δεῖ ut p. 1628 A.

[h] Ἀριστοφάνης] Eccles. 71. Vide etiam Nostrum supra v. Ἐπικράτης, ubi eadem leguntur. KUST.

[i] Ἦν δὲ] δὲ om. V.

[k] Καὶ Ἀριστοφάνης φησίν] Imo, Plato Comicus, teste F Scholiasta Aristophanis ad locum Comici in nota præcedente adductum. KUST.

ΠΩΓΩΝΙΑΣ: Ὁ μέγας πώγων] An potius, ὁ μέγαν πώγωνα ἔχων? KUST. Scribendum, ᾧ μέγας πώγων. *Qui barbam habet promissam.* Vox occurrit apud Dion. Cass. in Excerptis Valesii, p. 670. Λειογένειος αὖ καὶ μετὰ τοῦτο ΠΩΓΩΝΙΑΣ ἐφαντάζετο. *Nunc imberbis, mox barbatus videbatur.* Æschyl. Agamemn. 314. Φλογὸς μέγαν πώγωνα. Ubi Schol. Σημείωσαι δὲ, ὅτι ἐκ τούτου ὠνομάσθη παρὰ G τοῖς μετεωρολόγοις ΠΩΓΩΝΙΑΣ ἈΣΤΗΡ. TOUP.

ΠΩΛΑΣ] Sine acc. A. et Harpocr. ms. Pal. Πῶλας Harpocr. ed. Mox πρᾶσις A. πρᾶσ V. πράσις Harpocr. ms. Pal.

ΠΩΛΕΣΚΕΤΟ] Il. α΄. 490.

[l] Ὅμηρος] Odyss. γ΄. 384. Πωλεῖταί τις δεῦρο γέρων. KUST.

ΠΩΛΗΣ, Ἀριστοφάνης τὸ τέλος τοῦ ὀν.] Aristoph. Equit. 129. Ὡς πρῶτα μὲν στυππειοπώλης γίγνεται, Ὅς πρῶτος ἕξει τῆς H πόλεως τὰ πράγματα. Εἷς οὑτοσὶ πώλης. Vide ibi Scholiastam. KUST.

[m] Ὑπέκειντο] ἐπέκειντο V.

[n] Ἔτι καὶ οἱ ξενίας] Vid. ad Hesych. v. Ἐπὶ ξένῳ. Vid. omnino Plutarchus in Pericl. p. 381. [172 E.] ἐπράθησαν, ubi fallitur Xylander. TOUP.

E

[o] καὶ] Particula hæc, ut supervacanea, et sensum turbans, delenda est. Jungenda enim sunt ista, ὁ μέτοικος προστάτην οὐκ ἔχων. Confer Nostrum supra v. Νέμειν προστάτην. KUST. καὶ om. Photius. καὶ ὁ πρ. V.

[p] παρακατέβαλον] παρεκατέβαλον B.V. Photius. παρεκατέβαλλον A.

ΠΩΛΗΤΑΙ καὶ ΠΩΛΗΤΗΡΙΟΝ: Οἱ μὲν ΠΩΛ.] Ex Harpocratione. KUST.

[q] ΠΩΛΗΤΗΡΙΟΝ] Πωλητήριοι A.E.M. Phot. ms.

[r] Διοικοῦσι] Harpocratio recte, διοικοῦσι; et deinde, δημόσια, absque verbo κατέχειν. KUST. διοικοῦσι item Photius. Delevi κατέχειν cum A.B.V.E. et Photio.

[s] ΠΩΛΗΤΗΡ] Scribe, πωλητήριον, ut recte legitur apud Harpocrationem. KUST. Πωλητηρὸν A. Photii ms. Harpocr. ms. Pal.

[t] Κἀπὶ πωλικῆς ἀνὴρ ἀπ.] Sophocl. Œdip. Tyr. 802. Κἀπὶ πωλικῆς Ἀνὴρ ἀπήνης ἐμβεβὼς, οἷον σὺ φῂς, Συνηντίαζε. KUST.

[u] συνηντίαζε] ξυνηντίαζε A.E.

[x] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 156.

[y] ΠΩΛΙΚΟΝ ΔΗΓΜΑ] An, πωλικὸν δίωγμα? Hesychius: Πωλικοῖς διώγμασι: Τοῖς διὰ τῶν ἁρμάτων διώγμασι. Videtur uterque ad eundem auctoris locum respexisse. KUST. Vid. Valcken. ad Theocrit. p. 346. Persius Casaub. p. 455. TOUP.

ib. An δεῖγμα, vel παράδειγμα? Nam in Etymol. p. 698, 15. legitur Πωλικὸν παράδειγμα: quamquam quod additur explicandi causa valde sit obscurum. HEMST.

ΠΩΛΙΩΝ] Nicander Alexiph. p. 68. Dio Chrys. p. 607. TOUP.

ΠΩΛΟΙ: Κυρίως τὰ γεννήματα τῶν ἵππ.] Ex Schol. Aristoph. Pac. 74. KUST.

ΠΩΛΙΩΝ] Potius, Πολλίων. De hoc vide Vossium lib. I. de Hist. Gr. KUST. Adde Clintoni F. A. III. p. 550. Ἀσσύριος A. pro Ἀσίνιος.

Πομπηΐου τοῦ μεγάλου, καὶ διαδεξάμενος τὴν σχολὴν A [z]τοῦ Τιμαγένους. Ἔγραψεν ἐπιτομὴν τῆς [a]Φιλοχόρου Ἀτθίδος, [b]Ἀπομνημονεύματα Μουσωνίου τοῦ φιλοσόφου, Ἐπιτομὴν τῶν Διοφάνους Γεωργικῶν ἐν βιβλίοις β', Πρὸς Ἀριστοτέλην περὶ ζώων βιβλία ι', Περὶ τοῦ ἐμφυλίου τῆς Ῥώμης πολέμου, ὃν ἐπολέμησαν Καῖσάρ τε καὶ Πομπήϊος.

Πωλίων Ἀλεξανδρεὺς, ὁ [c]Οὐαλέριος χρηματίσας, φιλόσοφος, γεγονὼς ἐπὶ Ἀδριανοῦ· οὗ παῖς [d]Διό- B δωρος φιλόσοφος, ὁ γράψας ἐξήγησιν τῶν ζητουμένων παρὰ τοῖς ι' ῥήτορσιν. Ἔγραψε συναγωγὴν Ἀττικῶν λέξεων κατὰ στοιχεῖον, καὶ ἄλλα τινὰ φιλόσοφα.

Πωλίων, [e]ἢ Πολίων, γραμματικός. Περὶ τῶν παρὰ γράμμα ἁμαρτανομένων.

Πωλοδάμνης: Πωλοδαμαστὴς, γυμναστής.

Πωλοδαμνῶ: Τοὺς πώλους δαμάζω.

Πῶλος, Ἀκραγαντῖνος, ῥήτωρ, μᾶλλον δὲ σο- C φιστὴς τῶν πάλαι, διδάσκαλος [f]Λικυμνίου. Ἔγραψε Γενεαλογίαν τῶν ἐπὶ Ἴλιον [g]στρατευσάντων Ἑλλήνων καὶ βαρβάρων, καὶ [h]πῶς ἕκαστος ἀπήλλαξε· [i]τινὲς δὲ αὐτὸ [k]Δαμάστου ἐπιγράφουσι· Νεῶν κατάλογον, Περὶ [l]λέξεως.

Πῶλος: Τὸ ζῶον.

Πωλῶ: Τὸ πιπράσκω.



[Πωλῶ: Γενικῇ.

Τὰ τῆς πόλεως καὶ τὰ σφῶν αὐτῶν μικροῦ λήμματος πωλοῦνται.]

Πωλοῦσι: Δίδυμος φησὶν ἀντὶ τοῦ, πορνεύουσι φανερῶς. [m]Πωλεῖν γὰρ, τὸ παρέχειν [n]ἑαυτὸν τοῖς βουλομένοις. Ὅθεν καὶ τὸ πορνεύειν, ὅπερ ἐστὶ [o]περνᾶν. Ἐγὼ δέ φημι, ὅτι κυρίως ἔταξε νῦν ὁ ῥήτωρ τὸ πωλεῖν. Φησὶ γὰρ, [p]τὸν νόμον οὐκ ἐᾶν ἐπὶ [q]ταύτης B μοιχὸν λαβεῖν, ὁπόσαι ἂν ἐπ' ἐργαστηρίου [r]κάθωνται, [s]ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφασμένως. Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

Πῶμα: Σκέπασμα.

Πώμαλα: Ἀντὶ τοῦ, πόθεν. Οἷον οὐδαμῶς. [t]Ἔστι δὲ τὸ μὲν πω Δώριον, τιθέμενον ἀντὶ τοῦ πόθεν. Τὸ δὲ μαλα ἢ παρέλκει, ἢ [u]ἐν συνηθείᾳ λεγόμενον ἐν τῷ [x]πώμαλα· οἷον, οὐ μάλα, ἀντὶ τοῦ οὒ, ἢ ἀντὶ τοῦ, C οὐδόλως. Ἔστι δὲ Ἀττικόν. Λυσίας ἐν τῇ πρὸς Ἀσύβαρον ἐπιστολῇ·

Γενναίως γὰρ αἱ γυναῖκες πώμαλα ἔφασαν [y]ὀρχεῖσθαι αὐτὰς, δέον οὐδὲ [z]πιούσας ἀπηλλάχθαι τοῦ συμποσίου.

Πώμαλα: Κεῖται καὶ [a]παρὰ Δημοσθένει ἡ λέξις·

Οὐχ ἵνα ἐξέλθητε. Πώμαλα.

[b]Καὶ παρ' Ἀριστοφάνει ἐν Κωκάλῳ. Δεῖ δὲ [c]ἀναγινώσκειν ὑφ' ἓν, πώμαλα.

D

[z] τοῦ Τιμαγ.] τοῦ om. A.

[a] Φιλοχόρου] Φιλοχρόνου V. Φιλοχώρου E.

[b] Ἀπομνημονεύματα Μουσωνίου τοῦ φιλοσ.] Sed temporis ratio obstat, quo minus Grammatico nostro fidem hic adhibeamus. Vixit enim Musonius philosophus ille celebris sub Nerone. Quare hæc ad Pollionem juniorem pertinere recte monuit Jonsius de Script. Hist. Philos. E lib. III. c. 7. KUST.

ΠΩΛΙΩΝ Ἀλεξ.] Consule de eo Jonsium loco laudato. Videndum autem quis sit Pollio, quem de furtis Ctesiæ et Herodoti scripsisse memorat Porphyrius apud Euseb. de Præp. Evang. lib. X. c. 3. p. 467. KUST.

[c] Οὐαλέριος] ὁ Οὐαλέριος A. qui om. ὁ ante γράψας.

[d] Διόδωρος φιλ.] Vide supra v. Διόδωρος, ὁ Οὐαλ. KUST.

ΠΩΛΙΩΝ] Πωλίων V. Tum Πωλίων A.V.E.M.

[e] ἢ ΠΟΛΙΩΝ] Scribe, ἢ Πολλίων per duplex λλ. F KUST.

ΠΩΛΟΔΑΜΝΩ] Soph. Aj. 549.

ΠΩΛΟΣ] Philost. v. Sophist. TOUP. Ἡ μὲν γὰρ ἐμπειρία τέχνην ἐποίησεν, ὥς φησι Πῶλος, ὀρθῶς λέγων· ἡ δ' ἀπειρία τύχην. Aristot. Metaph. Maj. I. 1. cf. Voss. de Hist. Gr. p. 369. Polus discipulus Gorgiæ Leontini v. supra Γοργίας. REINES. Poli vitam a Geelio conscriptam vide in Nov. Act. Societat. Traject. II. p. 164 seqq.

[f] Λικυμνίου] Atqui Λικύμνια ὀνόματα Polo tribuit Plato in Phædro. Vid. Olear. ad Philostrat. p. 497. TOUP. G

[g] στρατευσάντων] στρατεμάτων V.

[h] πῶς ἕκαστος ἀπηλ.] Quid post captam Trojam factum cuique enarrat Cointus Calaber Παραλ. Ὁμήρου XIV. REINES.

[i] τινὲς δὲ αὐτὸ Δαμάστου ἐπιγρ.] Vide Nostrum supra v. Δαμάστης. KUST.

[k] Δαμάστου] Leg. Δαμάστῃ. REINES. Equidem vulg. retineo.

[l] λέξεων] λέξεως A.V.E.

ΠΩΛΩ] Hanc gl. om. V. Habet A. in marg. ubi in H fin. πωλεῖται. Ibi πωλοῦντες reponit Abresch. Dilucid. Thucyd. Auct. p. 283. ex Demosth. ad Philippi Epist. p. 157, 9. Et sic Lex. Seg. Bekkeri p. 162, 3.

ΠΩΛΟΥΣΙ: Δίδυμος φησὶν ἀντὶ τοῦ, πορν.] Ex Harpocratione. KUST. Vid. Meurs. in Solone c. 18. p. 65. et 66. Herald. Animadv. V. 5, 8. Petit. LL. Att. p. 475. REINES.

ib. Πωλῶσι A. Harpocr.

[m] ΠΩΛΕΙΝ γὰρ, τὸ παρέχειν ἑαυτὴν τοῖς βουλ.] Hoc sensu vox ista accipitur apud Plutarchum in Solone. Is enim, postquam egit de mulcta, quam Solon irrogaverat ei, E qui fœminam liberam rapuisset, vel vi stuprasset, addit deinde de iis, qui lenocinium faciunt: Ἐάν τις προαγωγεύῃ, ζημίαν εἴκοσι δραχμὰς ἔταξε, πλὴν ὅσαι πεφασμένως ΠΩΛΟΥΝΤΑΙ. Λέγω δὴ τὰς ἑταίρας. KUST.

[n] ἑαυτὴν] ἑαυτὸν A.E. Phot. edd. ante Kuster.

[o] περνᾶν] περνάναι Harpocr. περᾶναι Phot. ms.

[p] τὸν νόμον οὐκ ἐᾶν ἐπὶ ταύταις μοιχ.] Ad hanc legem Atticam alludit Terentius in Eunucho: *Quis homo pro mœcho unquam vidit in domo meretricia Prehendi quenquam?* KUST.

F [q] ταύταις] ταύτης A.B.V.E. Harpocr. Phot. ms. et nonnulli codd. Demosthenis p. 1367, 26.

[r] κάθωνται] κάθηνται B.E. Mox πωλοῦσι E. Tum ἀποπεφασμένα B.E. Post Νεαίρας addunt A.B.V.E. ἢ ἐν τῇ ἀγορᾷ.

[s] ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφ.] Verte ex mente Harpocrationis, *Vel in foro palam aliquid vendant.* Harpocratio enim, ex quo Suidas hæc sumpsit, exstimat, τὸ πωλεῖν in loco hoc Demosthenis positum esse pro *vendere:* quamvis ipse aliter sentiam, nullumque mihi du- G bium sit, quin verbum hoc apud Oratorem significet, pudicitiam venalem habere, vel, copiam sui omnibus facere. KUST. οἱ ἐν M.

ΠΩΜΑΛΑ] Confer de hac voce Etymologum. KUST.

[t] Ἔστι] ἔστι δὲ A.V.

[u] ἐν συνηθείᾳ λεγόμενον] ἐν πω τοις ἐστὶ λεγόμενον Photius, ubi desunt reliqua.

[x] πώμαλα] πῶμα A.

[y] ὀρχεῖσθαι] ὠρχῆσθαι A.V.

H [z] πιούσαις] ποιούσαις E. edd. vett. Post συμποσίου A.B. V.E. edd. ante Kuster addunt ἐγένοντο.

ΠΩΜΑΛΑ: Κεῖται καὶ π.] Ex Harpocratione: qui plura habet. KUST.

[a] παρὰ Δημοσθένει] In oratione contra Æschinem. KUST. P. 357, 2.

[b] Καὶ παρ' Ἀριστοφάνει ἐν Κωκάλῳ] Locus Comici, ad

Πωμήριον: [d]Τὸ τοῦ τείχους εἰκόνισμα. A

Πώποτε:

Πῶρος, βασιλεὺς Ἰνδῶν· [e]ὃς ἐγένετο κάλλιστος Ἰνδῶν, καὶ μῆκος ὅσον οὔπω τις [f]ἀνθρώπων τῶν μετὰ τοὺς Τρωϊκοὺς ἄνδρας. Ἦν δὲ κομιδῇ πάνυ νέος, [g]ὅτε συνῆν Ἀλεξάνδρῳ, καὶ τούτῳ ἐπολέμει.

[h]Τοῦτον ἤρετο περὶ διαίτης ὁ Ἀπολλώνιος. Ὁ δὲ, Οἴνου μὲν, ἔφη, πίνω τοσοῦτον, ὅσον τῷ ἡλίῳ σπένδω· ἃ δ' ἂν ἐν θήρᾳ λάβω, ταῦτα σιτοῦνται ἕτεροι, ἐμοὶ B δὲ ἀπόχρη τὸ γεγυμνάσθαι. Τὰ δὲ ἐμὰ σιτία λάχανα, καὶ φοινίκων ἐγκέφαλοι, καὶ καρπὸς τῶν φοινίκων, καὶ ὁπόσα μοι ὁ ποταμὸς κηπεύει· πολλὰ δέ μοι καὶ ἀπὸ δένδρων φύεται, ὧν γεωργοὶ αἵδε αἱ χεῖρες. Ταῦτα ἀκούων ὁ Ἀπολλώνιος, ὑπερήδετό τε, καὶ ἐς [i]τὸν Δᾶμιν θαμὰ ἑώρα.

Πῶρος: Ἀπολίθωσις ὑγροῦ. Καὶ πωρῶ, ῥῆμα, τὸ σκληρύνω, καὶ λιθοποιῶ. [k]Πισίδης· C

Καὶ τὰς ἰκμάδας
πωροῦντα καὶ σφίγγοντα λιθώδει τρόπῳ.

Καὶ πώρινος λίθος.

[Πῶρος: Πάθος τι ἐστὶν, ὥς φησιν Ἀντίμαχος.

Πῶρόν τιν' ἀλόχοισι, καὶ οἷς τεκέεσιν ἔθεντο.

Καὶ πωρεῖν Ἠλεῖοι τὸ πενθεῖν φασι. Παρὰ τοῦτο οὖν καὶ τὸ ταλαίπωρος ἐτυμολογεῖται.]

Πωρός: Ὁ τυφλός. Καὶ πώρωσις, ἡ τύφλωσις. D

Πωρύτης:

Πῶς δοκεῖς: Θαυμαστικῶς τοῦτο [l]λέλεκται, [m]παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις·

Κἀκ τῶν σιδίων βατράχους [n]ἐποίει, πῶς δοκεῖς;
[o]Καὶ πῶς ἔγωγε, χ' οὑτοσὶ



A ξυνεσόμεθ' ὑμῖν πετομένοις, οὐ πετομένω;
Καλῶς; ὅρα νῦν, ὡς ἐν Αἰσώπου λόγοις
ἔστιν λεγόμενον δή τι, τὴν ἀλώπεχ' ὡς
φλαύρως ἐκοινώνησεν αἰετῷ ποτε.
[p]Μηδὲν φοβηθῇς· ἔστι γάρ τι ῥιζίον,
ὃ [q]διατράγοντες ἔστον ἐπτερωμένω.

Πῶϋ: Τὸ ποίμνιον. Καὶ πώεα.

Πώϋγξ Πώϋγγος.

B Πράγματα: Ἐπὶ κακῷ χρῶνται τῇ λέξει οἱ παλαιοί. Καὶ Μένανδρος·

Ἐν πράγμασιν, ἐν μάχαις.

Καὶ Ἀριστοφάνης ἐν Πλούτῳ·

Ἄκουε τοίνυν, ὡς ἐγὼ τὰ πράγματα
ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ' ἐρῶ.

Καὶ αὖθις·

[r]Καὶ δή ποτε
C εἷς πορφυρίων αὐτῷ παρέσχε πράγματα.

Καὶ αὖθις·

[s]Ἀλλά σοι παρέξω πράγματα.

Ἀντὶ τοῦ, ἐνοχλήσω. Καὶ παροιμία·

[t]Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν· ὁ δὲ ἐξελθὼν ἐπρίατο.

Πράγματα: Κακοπάθειαι.

Ὀρεία τε ἦν καὶ στενὴ ἡ ὁδὸς, καὶ πολλὰ πράγματα εἶχον ἀμφὶ τοῖς ζεύγεσιν οἱ στρατιῶται.

D Ἀντὶ τοῦ, κόπους.

Πράγματ' ἐξ [u]ἀπραξίας: Ἐπὶ τῶν παρὰ δόξαν καὶ παρ' ἐλπίδα συμβαινόντων.

Πραγματεία: Οὐχ ὡς ἐν τῇ συνηθείᾳ ἐπὶ τῆς πραγματείας, οὕτω καὶ ὑπὸ τῶν ῥητόρων τέτακται ἐπὶ τῶν ἐργασίας [x]τινὰς μεταχειριζομένων, ἀλλ' ἐπὶ τῶν

quem respexit Suidas, exstat apud Harpocrat. v. Πώμαλα. Πώμαλα: Ἀντὶ τοῦ οὐδαμῶς.——Ἀριστοφάνης ἐν Κωκάλῳ· Λοιδορία τις ἐγένεθ' ὑμῖν πώμαλα, Οὐδὲν εἶπον οὐδενί. Quæ ita legenda et in pristinum statum revocanda sunt: A. Ἡ λοιδορία τις ἐγένεθ' ὑμῖν; B. Πώμαλα. Οὐκ εἶπον οὐδὲν οὐδενί. A. *An altercatio aliqua inter vos fuit?* B. *Minime. Nihil dixi cuiquam.* Aristoph. in Pluto, 66. A. Ὦ τᾶν ἀπαλλάχθητον ἀπ' ἐμοῦ. B. Πώμαλα. TOUP. Qui postea addidit, "In primo versiculo forsan legendum est, Διαλοιδορία, quæ proba vox; ut Διαμαρτυρία." E

[c] ἀναγινώσκειν] γινώσκειν A.

[d] Τὸ τοῦ τείχους εἰκόνισμα] Est interpretatio obscura, vel potius inepta: in qua proinde illustranda operam sumere nolui, cum vel absque ea satis constet, τὸ πωμήριον esse id, quod Latini dicunt, *pomœrium*. KUST. Zonaras καλλώπισμα. F

ΠΩΡΟΣ, βασιλεὺς Ἰνδῶν——τούτῳ ἐπολέμει] Hæc sunt verba Philostrati lib II. de Vit. Apoll. c. 10. p. 82. ut Pearsonius etiam monuit. KUST.

ib. Tonsoris filius. Hellad. Chrestom. ap. Phot. p. 1579. REINES. G

[e] ὃς—Ἰνδῶν om. B.E.M. Dedit Aldus.

[f] ἀνδρῶν] ἀνων A. ἀνθρώπων B. om. V.

[g] ὅτε συνῆν Ἀλεξάνδρῳ, καὶ τούτῳ ἐπολ.] Philostratus rectius, ὅτε τῷ Ἀλεξάνδρῳ ἐπολέμει. KUST.

[h] Τοῦτον ἤρετο περὶ διαίτης ὁ Ἀπολλ.] Qui Philostratum lib. II. de Vit. Apoll. c. 11. unde hæc descripta sunt, inspicere voluerit, plane videbit, Suidam non sine insigni ἀβλεψίᾳ ad Porum hic referre ea, quæ ibi de Phraorte Indorum rege dicuntur. Omnino enim absurdum et ἀσύστατον est, Apollonium cum Poro colloquentem facere, qui quadringentis fere ante Apollonium annis vixit. Confer Cœl. Rhodig. Antiq. Lect. lib. V. c. 6. a quo Suidas merito ob hanc ἀβλεψίαν vapulat. KUST. H

[i] τὸν Δᾶμιν] Hæc pertinent ad Phraothan regem Indum, ap. Philostr. II. 26. REINES.

[k] Πισίδης] Fr. Foggin. v. 138.

ΠΩΡΟΣ: Πάθος τι ἐστὶν, ὥς φησιν Ἀντ.] Ex Schol. Sophocl. Œdip. Colon. 14. ut Portus observavit. Ibi autem versus Antimachi sic legitur: Πῶρος τοί γ' ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος. Et sic fragmentum hoc citatur a Scholiasta Aristophanis ad Plut. 33. At ego cum Sopingio legere malim, Πωρητὺν δ' ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἔθεντο. Πωρητὺς enim, teste Hesychio, significat *miseriam, ærumnam, luctum.* Confer Nostrum infra v. Ταλαίπωρος. KUST. Hunc art. habet A. in marg. Et forte huc irrepsit ex Ταλαίπωρος.

ΠΩΡΥΤΗΣ] Transpositis literis scribendum est, πωρητύς. Vide Hesychium h. v. KUST.

[l] λέγεται] λέλεκται A.V.

[m] παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις] Ver. 879.

[n] ἐποίει] ποίει A.V.

[o] Καὶ πῶς ἔγωγ.] Aristoph. Av. 650. Ubi versus ultimus rectius sic legitur: Ὃ διατραγόντ', ἔσεσθον ἐπτερωμένω. KUST.

[p] Μηδὲν] μηδενὶ E.

[q] διατρώγοντες] διατρώγοντες A.B.V.E.

ΠΩΥΓΞ] Vide Etymologum h. v. KUST.

ΠΡΑΓΜΑΤΑ: Ἐπὶ κακῷ χρ.] Ex Enarratore Comici ad Plut. 653. KUST.

[r] Καὶ δή ποτε εἷς πορφ.] Aristoph. Av. 1252.

[s] Ἀλλά σοι παρ.] Aristoph. Plut. 20.

[t] Ἀνδρὶ Λυδῷ πρ.] Vide supra v. Ἀνδρὶ Λυδ. KUST.

ΠΡΑΓΜΑΤ' ἘΞ ἈΠΡ.] Vide Causabonum ad Athen. p. 100. KUST. Adde Bergler. ad Alciphr. III. 29.

[u] ἈΠΡΑΞΙΑΣ] ἀπροσεξίας B.E. qui mox παραδόξων. Statim delevi ΠΡΑΓΜΑΤΕΥΤΙΚΟΣ ἌΝΘΡΩΠΟΣ: Λέγεται ὁ ἔμπορος. Καὶ ἘΜΠΟΛΑΙΟΣ, ὁμοίως, cum V. quæ habet A. in marg. præfixo ὍΤΙ. Repetita sunt ex p. 1225 C. 1226 B.

[x] τινὰς] τινὸς A. Tum μεταχειρομένων B.E.

[y]πράγματα συνίστασθαι ἐπιχειρούντων. Ὡς Δείναρχος ἐν τῷ κατὰ Μεναίχμου·

Αἱ γὰρ ἀπὸ τῶν κοινῶν ἔχθραι καὶ πραγματεῖαι αἰτίαι τῶν ἰδίων διαφορῶν καθεστήκασι.

**Πραγματεία**: Πολυπραγμοσύνη, κακοπάθεια.

Πόλιν πολυάνθρωπον καὶ [z]στρατῷ μεγάλῳ πεφραγμένην εἷλεν ἄνευ πραγματείας ὁ βασιλεύς.

**Πραγματικώτατον**: Ἐνεργητικώτατον.

[a]Ὃ δὴ καὶ πραγματικώτατον γεγονέναι τὸ διαβούλιον.

B Καὶ αὖθις·

Τοῦτο δὲ ἐποίει νουνεχῶς ἅμα καὶ πραγματικῶς.

**Πραγματοδίφης**: Ὁ δικολόγος.

[b]Καὶ πραγματοδίφης. Ὦ μακάριε τῆς τέχνης.

**Πραγματομαθής**:

Ὁ δὲ ὢν ἀγχίνους, καὶ τριβῇ κινδύνων πραγματομαθής.

Καὶ **πραγματομαθεῖς**, οἱ τῶν πραγμάτων εἰδήμονες.

C Διὸ καὶ οἱ Ῥωμαῖοι πραγματομαθεῖς ὑπάρχοντες, ὑφεωρῶντο τὰ τῆς τύχης ἄδηλα.

**Πραγματωδεστέρα τάξις**: Ἡ [c]δυστυχεστέρα.

**Πραγμάτων**:

[d]Πραγμάτων τε καὶ μαχῶν
καὶ Λαμάχων ἀπαλλαγείς.

Λάμαχος, στρατηγὸς Ἀθηναίων ῥιψοκίνδυνος.

**Πρᾶγος**: Ἡ πρᾶξις.

[e]Πρᾶγος δ' ἀτίζειν οὐδὲν ἀνθρώπων χρεών.

Ἄνθρωπον ὄντα, φησὶν, οὐ δεῖ πρᾶγμα κακίζειν.

**Πραέων** [f]**γῆ**:

**Πραεῖα**:

**Πρακτέα**:

Καὶ τὰ πρακτέα ὀρθῶς διατάττων.

**Πρακτέον**: Δεῖ πράττειν.

A **Πρακτικαί**: Ὅτι οὔτε αἱ πρακτικαὶ νοήσεις ἄπειροι, οὔτε αἱ θεωρητικαὶ, ἐπεὶ μηδὲ οἱ [g]τούτων λόγοι ἄπειροι. Ἄγγελοι δέ εἰσι τῶν νοημάτων οἱ λόγοι· οἵτινες κἂν [h]ὕστεροί εἰσι τῶν πρακτικῶν νοήσεων καὶ θεωρητικῶν, ἀλλ' ἡμῖν γε ἐμφανέστεροι καὶ γνωριμώτεροί εἰσιν. [[i]Ὡς οὖν ἔχουσιν οἱ περιττοὶ, λείπει.]

**Πρακτικόν**: Ἀνυστικόν.

B **Πράκτορα**: Ἔκδικον.

[k]Φόνου ποτ' αὐτὸν πράκτορ' ἥξεσθαι πατρός.

**Πράκτωρ**: Ὁ τὸν ἐπικείμενον εἰσπραττόμενος φόρον.

**Πράμνιος οἶνος**: Ἀρίσταρχος ἐπιμελῶς [l]τὸν ἡδὺν οἶνον Πράμνιον ἔλεγε· τινὲς τὸν ὤνιον, [m]ἢ παραμόνιμον· τινὲς ἀπὸ ἀμπέλου Πραμνίας ὀνομαζομένης· οἱ δὲ ἰδίως τὸν μέλανα· [n]ἔνιοι τὸν [o]πραΰναντα τὸ
C μένος, ὃν καὶ φαρμακίτην [p]φασί. Σῆμος ὁ Δήλιος ἐν τρίτῃ, [q]ἐν Νικίᾳ Πράμνον πέτραν [r]εἶναι, ἀφ' ἧς τὸν οἶνον εἶναι.

**Πρανές**: Κάταντες.

**Πρανής**: Ὁδός κατωφερής.

[s]Ἐν δέ τινι πρανεῖ, [t]στενῷ, καὶ ἐπιμήκει, καὶ ὀλίσθου γέμοντι, πολλοὶ παρεφέροντο.

**Πραξάμενος**: Ἀπαιτήσας, λαβών.

D [u]Μάλλιος ὁ ἀνθύπατος τριακόσια τάλαντα πραξάμενος παρὰ Ἀριαράθου, φίλον αὐτὸν ἐποιήσατο Ῥωμαίων.

**Πράξαντες**: [x]Θουκυδίδης·

Οἱ δὲ μετ' Ἀθηναίων πράξαντες, (τουτέστι βουλευθέντες,) ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας. Ἔμελλον δὲ ἀνοιχθεισῶν [y]εἰσπίπτειν τοῖς Ἀθηναίοις.

**Πραξιδίκη**: Θεὸς, ἧς κεφαλὴν [z]μόνον ἱδρύοντο.

E

y πράγματα] πράγματι A.

z στρατῷ] στρατηγῷ A.

a Ὃ δὴ] Hæc sine dubio sunt Polybii. HEMST.

b Καὶ πραγματοδ.] Aristoph. Av. 1424. Ὦ μακάριε τῆς τέχνης, Καὶ πραγματοδίφης. KUST.

c δυστυχεστέρα] δυσχερεστέρα A.

d Πραγμάτων τε καὶ μαχ.] Aristoph. Acharn. 268.
ib. τε om. A.V.E.

e Πρᾶγος δ' ἀτίζειν οὐδ.] Sophocl. Œdip. Colon. 1153. F

f ΓΗ] γῆν A. Spectat Ps. XXXVI. 11.
ΠΡΑΕΙΑ A.V. Πρασία B.E. edd. vett.

g τούτων λόγοι] λόγοι τούτων A.V.

h ὕστεροι] ὕστερον V. Tum l. ὦσι.

i Ὡς οὖν] Seqq. om. V. περιττοὶ λείπει om. A. cum lacuna. Recentior manus ibi addidit π̄ τ̄. In B.E. περὶ τῶν λείπει.

k Φόνου ποτ' αὐτὸν πρ.] Sophocl. Electr. 953.

ΠΡΑΜΝΙΟΣ ΟΙΝΟΣ: Ἀρίστ.] Notam hanc excerpsit Suidas ex Athenæi lib. I. [p. 30.] c. 24. ut Pearsonius etiam observaverat. Confer Scholiastam Aristoph. ad Equit. 107. KUST. Schol. Nicand. Alex. p. 75. TOUP. Vid. Schol. Platon. p. 138.
ib. Πράμνειος Photius hic et infra. De h. gl. conf. Tollium ad Apollon. in v. et Schol. Ven. ad Il. λ'. 639.

l τὸν ἡδὺν] Imo contra potius, τὸν μὴ ἡδύν. Vinum Pramnium enim minime erat dulce et suave, sed austerum et durum, ut tum Athenæus loco laudato, tum etiam alii scriptores testantur. KUST.

m ἢ] οἶνον A.V. Photius. οἶνον· ἢ M. Tum πραμόνιον V.

n Ἔνιοι δὲ] δὲ om. A.V. Photius.

o πραΰναντα] πραΰνοντα E. Photius.

p φασί. Σῆμος] φασὶν V.

q Ἐν Νικίᾳ] Pessime. Scribendum enim est ἐν Ἰκάρῳ, ut recte legitur apud Athenæum loco laudato. KUST. Leg. ἐν Νικαρίᾳ, quam alii Ἰκαρίαν vocant insulam. Athen. I. 30. ἐν Ἰκάρῳ. ibid. ἡ ἄμπελος, ἡ τὸν Ἰκάριον πράμνιον φέρουσα. Cf. Ælian. V. H. XII. 31. Eam vitem ψιθίαν vocari dicit Schol. Nicandri, unde οἶνος ψίθιας. Athen. I. 29. ibid. Philippus: φιλῶ γε Πράμνιον οἶνον Λέσβιον. REINES. ἐν Νικαίῳ A.V. ἐν Νικαίᾳ E. ἐν ᾗ καὶ ὁ πράγμων Photius.

r εἶναι πέτραν] πέτραν εἶναι A.

F ΠΡΑΝΕΣ] Ex Timæo.

s Ἐν δέ τινι πρανεῖ, στενῷ] Lego, Ἐν δέ τινι πρανεῖ ΣΤΕΝΩΠΩΙ. *In via angusta et declivi.* Schol. ad Homer. Il. η'. 143. Στεινωπῷ: Στενῷ τόπῳ, στενῇ ὁδῷ. Dionys. Halicarn. Antiq. Rom. IV. 39. Στενοῦ δὲ ὄντος πάνυ τοῦ ΣΤΕΝΩΠΟΥ δι' οὗ τὴν ἀπήνην ἔδει διελθεῖν. *Quum autem perangustus esset locus, qua carpentum erat transiturum.* Quod vero legit ad Mœrin Piersonus, Πρανεὺς, ὁδὸς κατωφερὴς, plane exsibilandum est. TOUP.

G t στενῷ] Xenophon An. V. 2, 23. πρανὴς γὰρ ἦν καὶ στενὴ, i. e. ἡ κατάβασις. Ad v. Ἐμάλθαξαν amandat Hemsterhusius.

u Μάλλιος] Polybii. Vid. Schweighæuser. T. V. p. 41.

x Θουκυδίδης] IV. 98.

y Εἰσπίπτειν] Portus legit, συνεισπίπτειν, quod probo. KUST. Utrumque fugit, ubi apud Thucydidem legerentur quæ habet Suidas: quod si scivissent, facile vidissent hæc male a Suida descripta vel a librariis corrupta nec locum conjecturis esse. DUKER.

H ΠΡΑΞΙΔΙΚΗ: Θεὸς ἧς κεφαλὴν μόνην ἱδρύοντο] De nostra Praxidice, præter alios, adcurate admodum Hesychius: Πραξιδίκη: Δαιμονά τινα φασὶ, τὴν ὥσπερ τέλος ἐπιτιθεῖσαν τοῖς τε λεγομένοις καὶ πραττομένοις. Διὸ καὶ τὰ ἀγάλματα ΚΕΦΑΛΑΣ γίνεσθαι, καὶ ΤΑ ΘΥΜΑΤΑ ὁμοίως. Ejus meminit Orpheus Hymno in Proserpinam, 5. ubi ita scribendum

Μνασέας δὲ ἐν τῷ περὶ Εὐρώπης, Σωτῆρος καὶ τῆς ἀδελφῆς Πραξιδίκης γενέσθαι Κτήσιον υἱόν· καὶ θυγατέρας, Ὁμόνοιαν καὶ Ἀρετήν· ἃς ἀπὸ τῆς μητρὸς Πραξιδίκας κληθῆναι. Διονύσιος δὲ ἐν [a]Κτίσεσιν, Ὠγύγου θυγατέρας, Ἀλαλκομένειαν, Θελξίνειαν, Αὐλίδα· ἃς ὕστερον Πραξιδίκας ὀνομασθῆναι.

Πραξίλλης: Ὄνομα κύριον.

Πραξικοπήσας: Ἐξ ἐπιβουλῆς βουλευσάμενος, δολιευσάμενος. [b]Πολύβιος·

B

Ὁ δὲ στρατηγὸς πρῶτον μὲν πραξικοπήσας κατέσχε τὴν τῶν Ἐρεβησέων πόλιν, καὶ παρείλετο τὰς ἀγοράς.

Πραξικοπήσας: Δωροδοκηθείς.

[c]Ὁ δὲ Οὔρβιος πραξικοπήσας νυκτὸς, κατέλαβε τὸ μέρος τῆς ἀκροπόλεως, καὶ τοὺς Ῥωμαίους εἰσήγαγε.

[d]Πολλὰς πόλεις ἠνδραποδίσατο, πραξικοπήσας μετὰ δόλου καὶ βίας.

C

Πρᾶξις: Κοινότερον μὲν πᾶσα λογικὴ ἐνέργεια· ἰδίως δὲ, καὶ κυριώτερον, ἡ κατὰ προαίρεσιν, τουτέστιν, ἡ κατ' ἀρετὴν ἢ κακίαν ἐνέργεια γινομένη. Ὧν οὖν αἱ πράξεις αἱρετώτεραι, ταῦτα αἱρετώτερα· οἷον, [e]εἰ τὸ τὰ δίκαια πράσσειν τοῦ τὰ ἀνδρεῖα πράσσειν αἱρετώτερον, καὶ ἡ δικαιοσύνη τῆς ἀνδρείας αἱρετωτέρα. Ἔστι δὲ Πρᾶξις μὲν, ἡ πρὸς τὸ τέλος τείνουσα ἐνέργεια· Ἔργον δὲ, τὸ τέλος.

D

Πρᾶξις: Ἡ [f]προδοσία. Πολύβιος·

[g]Μετὰ τῶν ἐν τῇ πατρίδι [h]φίλων [i]τρίτην πρᾶξιν κατασκευασαμένου, καὶ προσενεγκόντος τῷ Φαβίῳ τὸν λόγον.

A Καὶ αὖθις [k]Πολύβιος·

Ὁ δὲ συνεστήσατο πρᾶξιν ἐπὶ τοὺς Αἰτωλοὺς διά τινος Ἰάσονος· ὃς διαπεμψάμενος πρὸς [l]Ἀγήταν τὸν τῶν Αἰτωλῶν στρατηγὸν, ὡμολόγησε τὴν ἄκραν αὐτοῖς παραδώσειν τὴν ἐν τοῖς Φανοτεῦσι.

Πραξιτέλης, Πραξιτέλους. Ὄνομα κύριον.

Πραιόνως: [m]Ἀριστοφάνης·

Σὺ δὲ μὴ πρὸς ὀργὴν, Αἰσχύλ', ἀλλὰ πρᾳόνως
ἔλεγχ', ἐλέγχου. Λοιδορεῖσθαι δ' οὐ πρέπει
ἄνδρας ποιητὰς, ὥσπερ ἀρτοπώλιδας.

Πραιότης: Ἀοργησία. [n]Ἂν δέ τις τῆς πρᾳότητος γένος ἀποδῷ τὴν ἐγκράτειαν, καὶ ὁρίσηται αὐτὴν, ἐγκράτειαν ὀργῆς, οὐκ ὀρθῶς ἀποδίδωσιν· οὐ γὰρ τὸ ἐξ ὑποθέσεώς τινι ἀκολουθοῦν εἴη ἂν καὶ γένος. Τὸ γὰρ γένος ἀχώριστον.

Πραιότης: Ἐπὶ Θεοῦ, ἡ μικρὰ τιμωρία. Δαβίδ·

Ὅτι ἐπῆλθε πρᾳότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα.

[o]Πρᾶιος δὲ, ἀπὸ τοῦ ῥᾷον, ῥᾷος, καὶ πρᾷος.

Πραπίς: Ἡ φρήν. [p]Ὅμηρος·

[q]Εἰδυίαισι πραπίδεσσι.

Πράσις:

Πρασιανός: Ὅτι Πρασιανὸς λέγεται, καὶ Βενετιανὸς, καὶ [r]Παλμουλάριος, καὶ Σκουτάριος, [s]παρὰ Μάρκῳ Ἀντωνίνῳ.

Πρασιαί: Πόλις Λακωνική. [t]Ἀριστοφάνης·

Ἰὼ Πρασιαὶ τρισάθλιαι, καὶ πεντάκις,
καὶ [u]πολλῷ δεκάκις· ἀπολεῖσθε σήμερον.

cum Lennepio: Πραξιδίκη ἐρατοπλόκαμε, Δηοῦς θάλος ἁγνόν. Meminit et in Argonauticis, 30. Ὄργια Πραξιδίκης, καὶ ἀρείης ΝΥΚΤΑΣ Ἀθήνης. Ita legendus iste versiculus, qui vulgo inquinatissimus est. Per νύκτας Ἀθήνης intelligenda nocturna quædam sacra in honorem Minervæ, quæ Ἄρεια dicta: de qua consulendus Pausanias in Atticis c. 11. Phurnutus, de Nat. Deor. p. 188. ἈΡΕΙΑ δὲ ἐκλήθη τῷ στρατηγικὴ εἶναι, καὶ διοικητικὴ πολέμων, καὶ ὑπερμαχητικὴ τοῦ δικαίου. TOUP. Vid. Pausan. III. 22. et Facium ad IX. 33.

E

[z] μόνην] μόνον A. Photius.

[a] Κτίσεσιν] κτήσεσιν E.

ΠΡΑΞΙΛΛΗ] Fuit Poëtria, cujus plures scriptores mentionem faciunt. Zenobius Centur. IV. Adag. 21. Πραξίλλα Σικυωνία μελοποιὸς ἐγένετο, ὥς φησι Πολέμων. Αὕτη ἡ Πραξίλλα τὸν Ἄδωνιν ἐν τοῖς μέλεσιν εἰσάγει ἐρωτώμενον ὑπὸ τῶν κάτω, τί κάλλιστον καταλιπὼν ἥκει, ἀποκρίνασθαι, Ἥλιον καὶ σελήνην καὶ σικύους καὶ μῆλα. Ὅθεν εἰς παροιμίαν προήχθη τὸ, Ἠλιθιώτερος τῆς Πραξίλλης Ἀδώνιδος. Ἠλίθιον γὰρ τὸ τῷ ἡλίῳ παραβάλλειν τοὺς σικύους. Athenæus lib. XIII. p. 603. Πραξίλλα δὲ ἡ Σικυωνία ὑπὸ Διός φησιν ἁρπασθῆναι τὸν Χρύσιππον. [Et XV. 634. REINES.] Pausanias in Laconicis, p. 184. Πραξίλλῃ μὲν δὴ πεποιημένα ἐστὶν, ὡς Εὐρώπης εἴη Καρνειὸς, καὶ αὐτὸν ἀνεθρέψατο Ἀπόλλων καὶ Λητώ. Scripserat Dithyrambos. Hephæstio in Enchirid. p. 9. Καὶ παρὰ Πραξίλλῃ ἐν Διθυράμβοις, ἐν ᾠδῇ ἐπιγραφομένῃ Ἀχιλλεύς. Item, Scolia, sive carmina παροίνια. Scholiasta Aristophanis Vesp. 1232. Κολακικὸν τὸ Σκολιόν. Ἐν τοῖς Πραξίλλης δὲ φέρεται Παροινίοις. Eustathius ad Il. β'. p. 326. ex Pausania Lexicographo initium Scolii cujusdam refert, quod nonnullos olim Praxillæ Sicyoniæ tribuisse ait. Præterea, ejus meminit Antipater Thessalus in Epigrammate in novem poëtrias lyricas, quod legitur Anthol. lib. I. c. 67. KUST. Πραξίλλης A.B. Πραξίλλως V.

F

ΠΡΑΞΙΚΟΠΗΣΑΣ] De significatione hujus vocis consulendus est Casaub. in Comment. ad Polybium, p. 185. KUST.

[b] Πολύβιος] Lib. I. c. 19. (18.) KUST.

[c] ὁ δὲ Οὔρβιος] Vid. Schweighæuser. ad Polyb. XXII. 23, 1. Hunc artic. habet A. in marg.

[d] Πολλὰς πόλεις] Polybius in Excerptis Constantini p. 21. Vid. supra p. 1296 E.

ΠΡΑΞΙΣ: Κοινότερον μὲν π.] Totum hunc articulum Suidas sumpsit ex Alex. Aphrod. in lib. III. Topic. p. 137. KUST.

[e] εἰ τὸ] εἰ τοῦ A.

[f] προδοσία] προσοδία A.E.M. προσῳδία V.

[g] Μετὰ τῶν] Polyb. Fr. Hist. 18.

[h] φίλων] φίλτρων V.

[i] τρίτην] τρίτον A. Tum πρᾶξιν om. A.V.

[k] Πολύβιος] Lib. V. c. 96. KUST.

[l] Ἄγητα] Ἀγήταν A.B. Supra Ἰάσονος om. M.

ΠΡΑΞΙΤΕΛΗΣ] Praxiteles ἀνδριαντοποιὸς, alter junior ἀγαλματοποιὸς, cui tribuit Theocrit. Id. I. 105. poculi factionem, ibique Schol. Artifex in marmore, v. Plin. XXXVI. 5. Lucian. Imagg. Athen. XIII. 591. REINES.

[m] Ἀριστοφάνης] Ran. 879. Post h. gl. delevi ΠΡΑΙΟΣ: Ὅτι τὸν πρᾷον εἰς τὸν ἀργὸν καὶ ἀκίνητον μεταλαμβάνουσι. Καὶ ζήτει ἐν τῷ ἘΓΚΡΑΤΕΙΑ, cum V. quæ habet A. in marg.

G

[n] Ἂν δέ τις τῆς πρᾳότητος γένος ἀποδ.] Ex Alexandro Aphrodis. in lib. IV. Topic. p. 176. KUST.

ΠΡΑΙΟΤΗΣ: Ἐπὶ Θεοῦ ἡ μικρὰ τιμ.] Ex Theodoreto ad Psalm. LXXXIX. p. 762. KUST.

[o] ΠΡΑΙΟΣ δὲ etc. om. V.

[p] Ὅμηρος] Il. α'. 608. KUST.

[q] εἰδυίαισι] εἰδύεσι A.

[r] Παλμουλάριος] Παλβουλάριος V.

[s] παρὰ Μάρκῳ Ἀντωνίνῳ] Lib. I. §. 5. ubi verba ejus hæc sunt: Παρὰ τοῦ τροφέως, τὸ μήτε Πρασιανὸς, μήτε Βενετιανὸς, μήτε παλμουλάριος, ἢ σκουτάριος γενέσθαι. Vide ad eum locum notas Gatakeri. Ceterum, pro Σκουτάριος Lipsius Saturnal. lib. II. c. 24. legit Σεκουτόριος: quem vide. KUST.

H

[t] Ἀριστοφάνης] Pac. 241.

[u] πολλοδεκάκις ὡς] πολλῷ δεκάκις A.B.V.E.M.

Πρασιαί: Αἱ τοῦ κήπου λαχανίαι. Καὶ πράσιον, A
τὸ λάχανον.

Πράσινον χρῶμα:

[x]Ἄλλοις στάσεως ἀφορμὴν, ἢ μέρους πρασίνου στοργὴν Ἰουστινιανὸς ἐπενεγκὼν, ἀνῄρει.

Πράσου φύλλῳ τὸ [y]τῶν ἐρώτων δέδεται βαλάντιον: Ἐπὶ τῶν δι' ἔρωτα [z]πολλὰ ἀναλισκόντων, καὶ ἀσωτευομένων.

Πράττεσθαι: Ἀπαιτεῖσθαι.

Τῶν δὲ Ἰταλικῶν μηδένα πράττεσθαι τέλος.

B

Πρατίνας, Πυρρωνίδου, ἢ Ἐγκωμίου, Φλιάσιος, ποιητὴς τραγῳδίας. Ἀντηγωνίζετο δὲ Αἰσχύλῳ [a]τε καὶ Χοιρίλῳ, ἐπὶ τῆς ἑβδομηκοστῆς Ὀλυμπιάδος, καὶ πρῶτος ἔγραψε Σατύρους. Ἐπιδεικνυμένου δὲ τούτου, [b]συνέβη τὰ ἰκρία, ἐφ' ὧν ἑστήκεσαν οἱ θεαταὶ, πεσεῖν. Καὶ ἐκ τούτου θέατρον ᾠκοδομήθη [c]Ἀθηναίοις. Καὶ δράματα μὲν ἐπεδείξατο ν'. Ὧν Σατυρικὰ C [d]λβ'. [e]Ἐνίκησε δὲ ἅπαξ.

[Πραττόμενοι: Δοτικῇ.

Μηδὲν αἴσχιστον τῇ πόλει πραττόμενοι.

Αἰτιατικῇ δέ·

Καὶ φόρους καὶ ἀρχὰς πραττόμενοι.]

Πραττομένους: Ἀπαιτουμένους. [f]Ἰσοκράτης·

Καὶ τοὺς μαθητὰς μικρὸν πραττομένους.

Πραττόμενος δὲ τοὺς τῶν πλοίων κυρίους τέλους δὲ οὐδενὶ αἴσθησιν παρεχόμενος. D

Πράττω: Τὸ ἐνεργῶ.

[g]Ἔπραττε κακῶς, καὶ πᾶσα ἡ οἰκία [h]αὐτοῦ ἐνόσει.

Πραῖδα:

Πραινεστός: Ὄνομα τόπου.

Πραιπόσιτος: Εἶδος [i]ἀξιώματος.

Πραιτοῦρα:

E

Πραίτωρ: Μετὰ τοὺς χιλιάρχους [j]καὶ αὖθις ἐπὶ τοὺς ὑπάτους ἐπανῆλθον οἱ Ῥωμαῖοι, καὶ πρῶτος στρατηγὸς ἀπεδείχθη [k]Φούριος Κάμιλλος, παῖς Καμίλλου τοῦ πολλάκις μοναρχήσαντος· ὃν Πραίτωρα τῇ ἰδίᾳ γλώττῃ οἱ Ῥωμαῖοι ὠνόμασαν· ἤγουν στρατηγόν.

Πραιτώριον:

Πραίφεκτος: Ναύαρχος.

Πραίφεκτοι: Δώδεκα ἄρχοντες προβεβλημένοι B ὑπὸ τῶν ὑπάτων, οἳ τοῖς ὑπάτοις τοὺς ἐπιτηδειοτάτους πρὸς τὴν ἀληθινὴν χρείαν ἐκ τῶν παραγεγονότων συμμάχων ἱππεῖς τε καὶ πεζοὺς ἐξέλεγον, τοὺς [l]καλουμένους ἐκτραορδιναρίους, ὃ μεθερμηνευόμενον ἐπιλέκτους δηλοῖ.

Πρέμνον: Στέλεχος δένδρου. [m]Ἀριστοφάνης·

Ἥκεις ἔχων πρέμνον πράγματος πελωρίου.

C

Ὅ ἐστι, χρήσιμόν τι εἰσηγούμενος.

[n]Οἱ Ἕλληνες τοῦτον [o]ἡγοῦνται χάρακα ἄριστον, ὃς ἂν [p]ἔχῃ πλείστας ἐκφύσεις καὶ μεγάλας πέριξ τοῦ πρέμνου.

Καὶ ζήτει ἐν τῷ Χάραξ.

Πρεών, πρεόνος. Ὡς πρών, πρωνός.

[q]Αἱ τόσον ὕδωρ
εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος.

Πρέσβα: Ἐντιμοτάτη.

Πρεσβεύεσθε: Πρέσβεις πέμπετε. Καὶ πρεσ- D βεύω, [r]παρὰ Σοφοκλεῖ·

Ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγὼς,
καὶ μὴ τὸ [s]μητρὸς ὄνομα πρεσβεύσῃς πλέον.

Ὁ Ἡρακλῆς φησι ψυχορραγῶν.

[Πρεσβεύω: Δοτικῇ. Αἰτιατικῇ δέ·

Καὶ πρὸς αὐτῆς τῆς ὀργάδος, ἣν πρεσβεύεις.]

Πρεσβεῖα: Τιμὰς, γέρα.

Καὶ χρηστὰ πρεσβεῖα τούτῳ τῆς μνήμης νῦν τε καὶ ἀεὶ νέμει.

E

Πρεσβεῖον:

ΠΡΑΣΙΑΙ] Vid. Schol. Od. η'. 127. Mox addidi τὸ cum A.V. κόπου V. pro κήπου.

ΠΡΑΣΙΝΟΝ] Πράσιον A.V. πρασίου in exempl. A.V.E. M. Delevi statim ΠΡΑΣΟΝ: Κακόχυμον, ἔστι δὲ δριμύ. Ὡς δέ φησι Διοσκορίδης, δυσόνειρον, εὐκοίλιον, διουρητικὸν, λεπτυντικόν. Ἔχει δέ τι καὶ ῥυπτικὸν, cum A.B.V.E. quæ Pauli Æginetæ sunt VII. p. 251. F

[x] Ἄλλοις στάσεως ἀφορμὴν, ἢ μέρους Πρ.] Fragmentum hoc excerptum est ex Procopii Hist. Arc. c. 19. De diversis autem factionibus aurigarum Circensium, inter quas una erat, quæ a colore vestium Prasina dicebatur, vide præter alios Onuphrium de Lud. Circens. c. 10. KUST.

[y] ΤΩΝ ἘΡΩΤΩΝ] Sic etiam legitur in Vatic. Prov. Appendice. [ibi ms. Paris. ἐρώντων.] At ego cum Scaligero in Stromat. Proverb. potius legerim ἐράντων. KUST. G

[z] πολλὰ om. V. et mox καὶ ἀσωτευομένων.

ΠΡΑΤΙΝΑΣ] Ejus aliquoties meminit Athenæus. KUST. Pausan. in Corinth. Vid. ad v. Ἀρίστιος. TOUP. Vid. Casaub. de Satyr. poes. p. 158. HEMST.

[a] τε καὶ χοιρίλῳ om. A.

[b] συνέβη τὰ ἰκρία——πεσεῖν] Confer Nostrum supra v. Αἰσχύλος, et v. Ἰκρία. KUST.

[c] Ἀθηναίοις] ἀ^θθ A. Leg. forte Ἀθήναις, vel Ἀθήνησι.

[d] λβ] λ' V.

[e] Ἐνίκησε δὲ] Certavit cum Æschylo et Chœrilo Ol. 76. REINES.

ΠΡΑΤΤΟΜΕΝΟΙ] Hanc gl. om. V. Habet A. in marg. αἰτιατικῇ—πραττόμενοι om. E.

[f] Ἰσοκράτης] c. Sophist. p. 292 C.

[g] Ἔπραττε κακῶς] Vide supra v. Ἐνόσει. ubi hoc fragmentum auctius legitur. TOUP.

[h] αὐτῷ] αὐτοῦ V.B. Mox ἐνόσησε V.

[i] ἀξιώματος] ἀξίωμα V. Statim delevi ΠΡΑΙΠΟΣΙΤΟΣ: Ζήτει ἐν τῷ Σαλούστιος, cum V. quæ habet A. in marg. Et cum omnibus mss. ΠΡΑΙΣΙΟΙ: Ζῶα.

[j] καὶ αὖθις] καὶ om. A.V. Tum ἐπὶ B.E. pro μετά.

F [k] Φούριος] φρούριος A.B.V.E.M.

ΠΡΑΙΦΕΚΤΟΙ: Δώδεκα ἄρχοντες προβ.] Hæc excerpta sunt ex Polybii lib. VI. c. 24. KUST. c. 26.

[l] ἐπικαλουμένους] καλουμένους A.V. In fine addidi δηλοῖ cum A.B.V.E.

ΠΡΕΜΝΟΝ] Vid. Πτόρθους. HEMST.

[m] Ἀριστοφάνης] Av. 322. sed ubi legitur: Ἥκετον δ' ἔχοντε πρέμνον πράγματος πελωρίου. KUST.

[n] Οἱ Ἕλληνες τοῦτον ἡγοῦνται χ.] Hæc sunt verba Polybii lib. XVII. c. 14. [XVIII. 1.] KUST. Deest hoc exemplum V.

[o] ἡγοῦνται] ἡγοῦντο A.

[p] ἔχοι] ἔχῃ A.B.

[q] Αἱ τόσον ὕδωρ εἴβ.] Anthol. Pal. VI. 253. τόσσον A. omisso ὕδωρ.

ΠΡΕΣΒΑ] Il. ε'. 721. et al.

[r] παρὰ Σοφοκλεῖ] In Trach. 1067.

[s] μητρὸς] πατρὸς B.E.

ΠΡΕΣΒΕΥΩ] Gl. om. A.V. Schol. ms. in Gregor. H Naz. f. 77. cod. Par. 573. Πρεσβεύομεν] ἀντὶ τοῦ ἣν μεγαλύνομεν προτιμῶντες, αὐτὸ γὰρ τὸ πρεσβεύομεν αἰτιατικῇ συντάσσεται. Ἀρριανός· Πρεσβεύει τὰ τοῦ Φιλίππου, καταβάλλει δὲ Ἀλέξανδρον. καὶ τὸν πρὸς ὃν ἡ πρεσβεία γίνεται, τὸ δὲ ὑπὲρ ὧν δοτικῇ· Πρεσβεύει τοῖς Ἀθηναίοις. τὸ δὲ ἡγεῖσθαι καὶ προάρχειν γενικῇ. Πρεσβεύειν αὐτοῦ ἤθελον.

[t]Ὁ δὲ Περίανδρος, ὁ [u]Κυψέλου υἱὸς, τοῦ βασιλέως Κορίνθου, τὴν βασιλείαν κατὰ [x]πρεσβεῖον λαμβάνει.

Πρέσβειρα: Ἔντιμος.

Πρέσβεις: [y]Ὅτι οὗτοι [z]ἦσαν οἱ φιλόσοφοι, οἱ ἐς Περσίδα διαπρεσβευσάμενοι σὺν Ἀρεοβίνδῳ· Δαμάσκιος ὁ Σύρος, Σιμπλίκιος ὁ Κίλιξ, [a]Εὐλάλιος τε ὁ Φρὺξ, Πρισκιανὸς ὁ Λυδὸς, Ἑρμείας τε, καὶ Διογένης, οἱ ἐκ Φοινίκης, Ἰσίδωρος ὁ Γαζαῖος. Οὗτοι πάντες οἴκαδε ἀπενόστησαν, χαίρειν εἰπόντες τῇ τοῦ βαρβάρου φιλοξενίᾳ· καὶ ἀπώναντο δὲ ὅμως τῆς ἐκδημίας, οὐκ ἐν βραχεῖ τινι καὶ ἠμελημένῳ, ἀλλ' ὅθεν αὐτοῖς ὁ ἐφεξῆς βίος ἐς τὸ θυμῆρές τε καὶ ἥδιστον ἀπετελεύτησεν. Ὡς γὰρ οἱ Ῥωμαῖοι καὶ Πέρσαι σπονδὰς ἔθεντο καὶ συνθήκας, μέρος ὑπῆρχε τῶν κατ' αὐτὰς ἀναγεγραμμένων, τὸ δεῖν ἐκείνους τοὺς ἄνδρας εἰς τὰ σφέτερα ἤθη κατιόντας, βιοτεύειν ἀδεῶς τολοιπὸν ἐφ' ἑαυτοῖς, οὐδὲν ὁτιοῦν πέρα τῶν δοκούντων φρονεῖν, [b]ἢ μεταβάλλειν τὴν πατρῴαν δόξαν ἀναγκαζομένους.

Πρέσβις, πρέσβεως. Προπαροξυτόνως. Οὐχὶ δὲ ἀπὸ τῆς πρέσβευς εὐθείας. Οἱ γὰρ λέγοντες, ἁμαρτάνουσι. Λέγεται δὲ καὶ πρέσβεων, καὶ πρεσβευτῶν, [c]ἑκατέρως παρὰ τοῖς ῥήτορσιν. Ἔστι δὲ τὸ μὲν καθωμιλημένον, καὶ Ἑλληνικὴν ἀναλογίαν σῶζον, ὅταν εἴπωσι [d]πρέσβεις. Εὑρίσκομεν δὲ καὶ πρεσβευτάς.

Πρεσβυγένεια: Παλαιτέρα γένεσις. Καὶ [e]συγκριτικῶς.

Πρεσβυγενής:

Πρεσβυτάτην: Ἐντιμοτάτην.

[Πρεσβυτερεῖον:]

Πρεσβύτερος: Τιμιώτερος, μείζων.

Ὁ δὲ τὴν κατασκευὴν τοῦ νεὼ πρεσβυτέραν τῆς [f]ἑαυτοῦ ῥαστωνεύσεως ποιησάμενος.

A Ἀντὶ τοῦ, μείζονα, [g]τιμιωτέραν.

Καὶ τοὺς βωμοὺς κατέστρεψεν, ἐφ' ὧν [h]ὤμοσεν ἡ στρατιὰ τὰ αὐτοῦ πρεσβύτερα ποιήσασθαι.

Πρεσβύτερος Κόδρου: Ἀντὶ τοῦ, παλαιότερος. Παροιμία ἐπὶ τῶν πάνυ παλαιῶν. Ἀπὸ τοῦ βασιλεύσαντος Ἀθήνησι Κόδρου. Λέγεται δὲ καὶ πρεσβύτερα, τὰ τιμιώτερα.

Ἡ δὲ στρατιὰ ἔλεγε τὰ ἑαυτῆς πρεσβύτερα ποιήσασθαι.

B Πρευμενής: Πρᾶος.

Πρηγορεῶνος: Τοῦ λαιμοῦ.

Πρήθω: Τὸ καίω.

Πρημαινούσας τε θυέλλας: [i]Ἀριστοφάνης Νεφέλαις. Θύελλα, συστροφὴ τοῦ ἀνέμου. Πρημαινούσας δὲ, μαινομένας, καὶ λάβρως φυσώσας. Πρῆσαι γὰρ, τὸ φυσῆσαι. [k]Ὅμηρος·

Ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον.

C Πρηνές: Ἐπὶ πρόσωπον. Καὶ πρηνής.

Πρῆνες: Οἱ προνενευκότες τόποι τῶν ὀρέων.

[l]Ἡ Γάργαρον ἴσον πρηῶνι Μαλείης, ᾧ ἐκυκήθη
κῦμα, [m]πολυψάμμους ὦσεν ἐπὶ ψαμάθους.

Πρηξῖνος: Ὄνομα κύριον. Καὶ Πρήξωνος.

Πρῆσαι: Καῦσαι. Πρῆσε δὲ, ἐφύσησε.

Πρήσσουσα: Διαπερῶσα.

Πρηστήρ: [n]Ἀστραπὴ, κεραυνός.

D [o]Ὤλεσε γὰρ πρηστήρ σε κεραύνιος· αἱ δ' ἐπὶ μάνδραν
ὀψὲ βόες νιφετῷ σπερχόμεναι κατέβαν.

Πρηστήρ: Πῦρ ἀπ' οὐρανοῦ, [p]ἢ νέφος περισχεθὲν πυρὶ μετὰ πνεύματος βιαιοτάτου.

[q]Πνεύματος μετὰ βροντῶν καὶ [r]πρηστήρων ἐξαναστάντος Λιβυκοῦ, καὶ ταραχὴν τοῦ κλύδωνος εἰργασμένου, κακωθῆναι τὰς ναῦς.

E Καὶ αὖθις·

---

[t] Ὁ δὲ Περίανδρος] Vid supra v. Περίανδρος, p. 2930 D.

[u] Κυψέλου] Κυψέλλου E.

[x] πρεσβεῖον] πρεσβείαν B.E.

[y] Ὅτι οὗτοι ἦσαν οἱ φιλόσοφοι, οἱ ἐς Περσ.] Totus hic locus sumptus est ex Agathiæ lib. II. p. 69. 70. ut Pearsonius recte observaverat. KUST. Mirari satis non possum stuporem hominis ita scribentis. Estque hic error tanto exstantior, quod alia tradentem ob oculos habuerit Agathiam. Ubi vero is philosophos legationem in Perside obiisse perscripsit? Ecquando tradidit eos cum Areobindo iter esse ingressos? Contraria omnia apud eum invenisse mihi visus sum. Auctor enim est cum Areobindo Uranium in Persiam contendisse: οὐ πολλῷ δ' ἔμπροσθεν, haud longe vero ante eos, Damascium ceterosque philosophos eodem profectos esse. Imo si recte rationem subduxi, redierant jam philosophi in agrum Romanum, cum Areobindus ad Persas pergeret. WESSELING. Observ. I. 28. p. 118. ubi plura.

[z] ἦσαν] εἰσὶν V.

[a] Εὐλάλιος] Apud Agathiam loco laudato hodie legitur Εὐλάμιος. Sed vide nos supra ad v. Δαμάσκιος. KUST. Εὐλάλιός τε A.V.

[b] ἢ] καὶ V. Tum μεταβαλεῖν E.

ΠΡΕΣΒΙΣ—ἁμαρτάνουσι] Ex Schol. Aristoph. Ach. 93. Vid. Abresch. Diluc. Thucyd. p. 495.

[c] ἑκατέρως παρὰ τοῖς ῥήτορσιν] ἑκατέρως ὑπὸ τῶν ῥητόρων εἴρηται. Photius, qui mox τὴν Ἑλλ.

[d] πρέσβεις. Εὑρίσκομεν] πρέσβεις. καὶ χρῶνται τούτῳ συνήθως ἅπαντες· εὑρίσκεται δὲ καὶ τὸ πρ. Photius.

[e] συγκριτικῶς] συγκριτικῶς προυργιαίτερον Photius. καὶ συγκριτικῶς om. Hesych. π. γέννησις· καὶ συγκριτικῶς δὲ προυργιαίτερον Lex. Seg. Albertus conjicit, καὶ συγκριτικῶς, Πρεσβυγενέστερον, προυργιαίτερον.

ΠΡΕΣΒΥΤΕΡΕΙΟΝ] Πρεσβυτέριον E. pr. B. m. s. Gl. om. V. habet A. in marg.

[f] ἑαυτῶν] ἑαυτοῦ. Vid. in Ῥαστώνευσις. HEMST. ἑαυτοῦ A.B.V.E.

[g] τιμιωτέραν] τελειοτέραν V. ante h. v. delevi καὶ cum A.B.V.

[h] ὤμοσεν] ὤμοσαν A.B.

F ΠΡΗΓΟΡΕΩΝΟΣ] Conf. Schol. Aristoph. Eq. 373.

[i] Ἀριστοφάνης Νεφέλαις] Ver. 335.

[k] Ὅμηρος] Il. α'. 481. KUST. ἀνέμου B.E. pro ἄνεμος. Tum πρῆσαι V. Statim delevi ΠΡΗΝΑΣ: Εἶδος ἰχθύος, cum A.B.E. quæ gl. Zonaræ est. Reposuerat Hemsterhusius Πρημὰς vel Πρημνὰς, collato Hesychio in Πρημάδες. Photius: Πρῆμαι καὶ πρημάδες: γένος ἰχθύων.

ΠΡΗΝΕΣ] Scribendum esse πρηῶνες, vel ex exemplo, quod subjungitur, patet. KUST.

[l] Ἡ Γάργαρον ἴσον] ἢ γὰρ τὸ ἴσον V. Anthol. Pal. VII. 214.
G ἢ γὰρ ἴσον πρ. M. ὡς ἐκυκήθη.

[m] πολυψάμμους] πολυξάντους Toupius.

ΠΡΗΣΣΟΥΣΑ] Potius, διαπρήσσουσα. Homer. Il. α'. 483. Διαπρήσσουσα κέλευθα. Scholiasta: Διαπρήσσουσα: Διαπερῶσα, διερχομένη. Huc Suidas respexit. KUST.

[n] Ἀστραπὴ om. V.

[o] Ὤλεσε γὰρ πρηστήρ σε κερ.] Anthol. Pal. VII. 174.

[p] ἢ νέφος περισχεθὲν πυρὶ μετὰ πν.] Laërtius in Zenone Citt. 154. Πρηστῆρα (φασὶν εἶναι) νέφος περιχυθὲν πυρὶ μετὰ
H πνεύματος εἰς τὰ κοιλώματα τῆς γῆς. Ad hunc locum Suidas respexit; sed qui pro περιχυθὲν habet περισχεθέν. Aldobrandinus autem videtur legisse, περισχισθέν. Vertit enim: *Presterem nubem esse undique discissam.* KUST.

[q] Πνεύματος μετὰ βροντῶν] καὶ μετὰ βροντῶν πνεύματος V.

[r] πρηστῆρος] πρηστήρων A.V.

*Πολλὰ δὲ φυσήματα ἀπροόρατα ἐμπίπτει, πολλοὶ δὲ πρηστῆρες βιαιότατοι, καὶ μεγέθη κυμάτων.*

**Πρῆστις:** Εἶδος *κήτους θαλασσίου.* Ἡ λεγομένη [s]*μάλθη·* ὃ καὶ δυσανταγώνιστόν ἐστι.

**Πρίαμαι:** Αἰτιατικῇ.

**Πριάμενος:** Ἀγοράσας. [t]Σοφοκλῆς·

> *Οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν,*
> *ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.*

**Πριαμωθῆναι:** Ξυρηθῆναι. Τὸ γὰρ τοῦ [u]Πριάμου πρόσωπον ξυρίας ἐστί. B

**Πρίαμος:** Ὄνομα κύριον.

**Πρίαπος:** Ὁ *αὐτός ἐστι τῷ Διονύσῳ.* [x]Ἐν Ἐπιγράμμασι·

> [y]*Ἀγροιώτη τῷδε μονοστόρθυγγι Πριήπῳ*
> *θῆκεν ὁ καρποφύλαξ δενδριακὴν θυσίαν.*

Καὶ αὖθις·

> [z]*Αἰγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν*
> *δῶρα* [a][*παρακταίης σοὶ τάδ' ἀπ' ὠφελίης.*]

C

**Πρίαπος:** Τὸ ἄγαλμα τοῦ Πριάπου, τοῦ Ὥρου παρ' Αἰγυπτίοις κεκλημένου, ἀνθρωποειδὲς ποιοῦσιν, ἐν τῇ δεξιᾷ [b]σκῆπτρον κατέχον, [c]ὡσανεὶ παρ' αὐτοῦ φανεῖσαν τὴν ξηρὰν καὶ τὴν θάλασσαν· ἐν δὲ τῇ εὐωνύμῳ κρατοῦν τὸ αἰδοῖον αὐτοῦ ἐντεταμένον, διότι τὰ κεκρυμμένα ἐν τῇ γῇ σπέρματα φανερὰ καθίστησι. [d]Τὰ δὲ πτερὰ τὴν ταχυτῆτα τῆς κινήσεως [[e]δηλοῖ·] τὸν δὲ κύκλον, τοῦ δίσκου τὴν περιφέρειαν. Ταυτὸν γὰρ τῷ ἡλίῳ δοξάζουσι. D

**Πρίαπος** [f]ἐκ [g]τοῦ Διὸς καὶ τῆς Ἀφροδίτης [h]συνειλήφθη. [i]Ἡ γὰρ Ἥρα ζηλοτυπήσασα, μαγγανείᾳ τινὶ ἥψατο τῆς κοιλίας τῆς Ἀφροδίτης, καὶ παρεσκεύασεν ἄμορφον καὶ αἰσχρὸν τεχθῆναι τὸ βρέφος, καὶ περισσό- A σαρκον. Ἡ δὲ μήτηρ ἔρριψεν [k]αὐτὸ εἰς ὄρος· ποιμὴν δὲ αὐτὸ ἀνεθρέψατο. Εἶχε δὲ τὸ αἰδοῖον [l]ἐπάνω εἰς τὴν πυγήν. Ἐκλήθη δὲ [m]Πρίαπος κατὰ τὴν Ἰταλῶν γλῶσσαν· καὶ τιμᾶται παρὰ ποιμέσι. Τὸ δὲ ἀφίδρυμα αὐτοῦ ἐστι παιδίον, μόριον ἔχον μέγα καὶ ἐντεταμένον.

**Πριβάτου:** Ῥωμαία ἡ λέξις.

**Πρίγκιπες:** Οὕτω καλοῦσι Ῥωμαῖοι τοὺς ἀκ- B μαιοτάτους ταῖς ἡλικίαις. Τοὺς γὰρ νεωτέρους καὶ [n]πενιχροτέρους, Γροσφομάχους καλοῦσι· εἶτα τοὺς Πρίγκιπας· τοὺς δὲ πρεσβύτας, Τριαρίους· καὶ τοὺς Ἀστάτους καλουμένους, οἵ εἰσι πρότεροι τῶν Πριγκίπων. Καὶ αὗται μὲν αἱ ὀνομασίαι. Ἡ δὲ ἐξόπλισις, τοὺς μὲν Τριαρίους εἶναι χ', τοὺς δὲ Πρίγκιπας [o]ασ', ἴσους δὲ τούτοις τοὺς Ἀστάτους, [p]τοὺς δὲ Γροσφομάχους πλείους τῶν τετρακισχιλίων· C [q]φορεῖν δὲ μάχαιραν καὶ γρόσφον.

**Πρίγκιψ:** Ὁ ἔξαρχος τῆς τάξεως παρὰ Ῥωμαίοις.

**Πρίεται:** Σχίζεται.

[r]**Πριηνεὺς** καὶ **Πριήνη:** Ὄνομα πόλεως.

**Πρίημι:** Ἀγοράζω.

**Πρίηπος:** Ὁ Πρίαπος. Κατὰ τροπὴν τοῦ α' D εἰς η'.

**Πριμιγγιλίων:** Τιμῶν· ἤτοι βασιλικῶν δωρεῶν· ἢ προνομίων.

**Πριμικήριος:** Ὁ πρῶτος τάξεως τῆς τυχούσης.

**Πριμολοκάριος:** Ὁ τὸν ἀκρότατον βαθμὸν τῆς στρατιᾶς ἔχων, ὕστατος δὲ τῇ τιμῇ.

**Πριμοπιλάριος:** Ὁ τὸ μεῖζον ἀξίωμα τῶν στρατιωτῶν ἔχων παρὰ Ῥωμαίοις.

E

[s] *μάλθη*] Ms. A. habet, *μάλη*. KUST. Sic etiam V. Ælianus N. A. IX. 49. *καὶ ἡ πρῆστις, καὶ ἡ καλουμένη μάλθη, δυσανταγώνιστον δ' ἄρα θηρίον τοῦτο καὶ ἄμαχον.* Quem male cepit Suidas.

[t] *Σοφοκλῆς*] Aj. 477. ut Portus observaverat. Vide etiam supra v. *Θερμὸν*, ubi idem fragmentum legitur. KUST.

[u] *Πριάμου πρόσωπον*] Intellige Priami personam in tragœdiis. HEMST.

ΠΡΙΑΠΟΣ: *Ὁ αὐτός ἐστι τῷ Διονύσῳ*] Ex Athen. lib. I. c. 23. p. 30. KUST.

[x] *Ἐν Ἐπιγράμμασι*] Anthol. Pal. VI. 22.

[y] *Ἀγροιώτῃ*] *Ἀγροιῶται* A.V. *Ἀγροιῶτα* E.

[z] *Αἰγιαλῖτα Πρίηπε, σαγ.*] Anthol. Pal. VI. 33.

[a] *παρακταίης* etc. om. A.B.V.E.

ΠΡΙΑΠΟΣ: *Τὸ ἄγαλμα τοῦ Πριάπου, τοῦ Ὥρου παρ' Αἰγ.*] Hæc, et quæ sequuntur, *αὐτολεξεὶ* etiam leguntur apud Codinum de Orig. CPolit. p. 15. KUST.

[b] *σκῆπτρον κατέχον* om. A.

[c] *ὡσανεὶ παρ' αὐτοῦ φανεῖσαν τὴν ξηρὰν καὶ τὴν θάλ.*] Hæc aliter apud Codinum; quem vide, et Lambecium ad eum locum. KUST.

[d] *Τὰ δὲ πτερὰ τὴν ταχυτῆτα τὸν κιν.*] Hæc rectius et plenius apud Codinum sic leguntur: *Ἔχει δὲ καὶ πτερά. Κατὰ μέσον δὲ τῶν πτερῶν δισκοειδεῖς κύκλους. Τὰ μὲν πτερὰ, διὰ τὴν ταχύτητα τῆς κινήσεως· τοὺς δὲ κύκλους, διὰ τὴν τοῦ δίσκου περιφέρειαν.* KUST.

[e] *δηλοῖ* om. A.V.

[f] *ἐκ τοῦ Διός.*] Imo, *ἐκ τοῦ Διονύσου.* Vide Etymologum v. *Ἄβαρνος.* KUST. Nihil esse mutandum ex Nonno vel potius Maximo manifestum est, *Συναγ. ἱστ.* ad Greg. Naz. Stelit. II. 170. nam quæ ibi verbis amplioribus explicantur, paulo brevius contraxit Suidas. HEMST.

[g] *τοῦ Διὸς*] *Διονύσου* Hesych. in *Πριηπίδος τε.* REINES.

[h] *συνειλήφθη*] *συνελήφθη* A.B.V.E.M.

[i] *Ἡ γὰρ*] *ἡ δὲ* A.V.E. Mox *μαγγανία* V.

[k] *αὐτὸ*] *αὐτὸν* A. Tum *τὸ ὄρος* V. Mox *αὐτὸ* om. A.

[l] *ἐπάνω*] Vid. Suidas in *Φάνης.* Nonnus habet *ἐπάνω τῆς πυγῆς.* HEMST. *εἰς τὴν* om. V. *πυγμὴν* frustra corrigit Theobaldus in Obs. Misc. II. p. 13.

[m] *Πρίαπος*] *Περίαπος* A.B.E.

ΠΡΙΒΑΤΟΥ] *Πρίβατον* A.B.E. Vid. Salmas. ad Vo- F pisc. p. 440.

[r] ἠδίκησε] ἐλύπησε A.V. deest v. B.E.

[s] γεγονότων] προγεγονότων A.

[t] οὐδὲ] ἦν δὲ A.B.V.E.

[u] Σημαίνει etc. habet A. in marg. addito ζή. om. V. λείπει B. pro προθεσμίαν. om. E.M. cum lacuna.

[x] προθεῖναι] προθῆναι V.

[y] πράττοντος] Legendum puto, τάττοντος. KUST. Leg. προτάττοντος, et sic scrib. apud Hesych. v. Προθεσπίζοντα. TOUP. προστάττοντος A.B.V.E.

[z] ἡμέρας] σελήνης V. Error ortus ex compendio scripturæ male intellecto.

ΠΡΟΘΕΣΜΙΑΣ ΝΟΜΟΣ: Δημοσθ.] Ex Harpocratione. KUST. νόμῳ V. νόμους Photius.

[a] Δημοσθένης] P. 952, 19.

[b] ἂν λέγοι] λέγει V.

ΠΡΟΘΟΗΝΩΡ] Ejus meminit Homerus Il. β'. 495. et alibi. KUST. Προθήνωρ A.V.

ΠΡΟΘΥΜΑΤΑ: Αἱ ὀλύραι παρὰ τὸ πρ.] Ex Schol. Aristoph. Plut. 660.

[c] Παρόντι λεύσσειν, ὧν πρ.] Sophocl. Electr. initio: Νῦν δ' ἐκεῖν' ἔξεστί σοι Παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί. Hinc Suidas supplendus est. KUST. πάρεστιν ὁρᾶν ὧν V.

[d] Ἡρόδοτος] VI. 134. ubi v. gl. Seqq. ΠΡΟΚΑΣ: Ἢ αἶγας κεραοὺς, ἠὲ πρόκας. ΠΡΟΞ ἐστὶ ζῶον μικρὸν, ἐλάφῳ ὅμοιον, delevi cum A.B.V. Vid. Etymol. M. et Zonaras.

Καὶ πρόκα τε φρίκης αὐτὸν ἐπελθούσης, ὀπίσω τὴν αὐτὴν ὁδὸν ἴεσθαι.

Προθυμοῦμαι: Αἰτιατικῇ.

Προθύομαι: Γενικῇ.

Προκαθέζομαι: Γενικῇ.

Προκάθημαι: Γενικῇ.

Προκαθείς: Προπέμψας.

Προκαθεὶς δέ τινας τῶν στρατιωτῶν, ἐς ἐλπίδας τῶν σπονδῶν ὑπηγάγετο.

Προκαθήμενον: Ἐξάρχοντα.

Μενεκλέα [e] τὸν προκαθήμενον τῶν τόπων.

Τουτέστι, τὸν φυλάττοντα τοὺς τόπους.

Προκαλεῖσθαι: Οὐ τὸ εἰς ἀγῶνα καὶ μάχην, ἀλλὰ τὸ εἰς συμβάσεις καὶ συνθήκας. [f] Θουκυδίδης. Οἱ δὲ δικανικοὶ ἐπὶ πάσης προκλήσεως.

[g] Ἀρχέλαος παρεκάλει τὸν Σύλλαν διαλλαγῆναι πρὸς τὸν Μιθριδάτην. Δεξαμένου δὲ τούτου τὴν πρόκλησιν, ἐγένοντο συνθῆκαι.

Προκαλινδοῦμαι: Γενικῇ.

Προκαλίζετο: Προεκαλεῖτο.

Προκάρηνος: Ἐπὶ κεφαλήν. Ἐν Μύθοις·

Ἠχήεις ἐτάνυσσε βαλὼν προκάρηνον ἀήτης.

Προκαταβολὴ καὶ προσκαταβόλημα: Τῶν τελῶν πιπρασκομένων, δύο [h] προθέσεις ἐδίδοντο τοῖς ὠνουμένοις, ἐν [i] αἷς ἐχρῆν εἰσενεχθῆναι τὸ ἀργύριον. Ὅπερ οὖν μέρος χρημάτων, πρὶν ἄρξασθαι τοῦ ἔργου, εἰσφέρουσιν εἰς τὸ δημόσιον, τοῦτο προκαταβολὴ καλεῖται· τὸ δὲ τῇ δευτέρᾳ προθεσμίᾳ διδόμενον, [k] προσκαταβόλημα.

Προκατεύχομαί σου:

Πρόκευσον:

Προκέφαλος: [l] Προκέφαλος ἦν [ll] ὁ Φιλοκλῆς, ὡς ἔποψ. Ἦν δὲ κωμῳδίας ποιητής. Εἴρηται ἐπὶ τῶν ὀξυκεφάλων.

Προκεχωρηκότος: Προεληλυθότος. Θουκυδίδης.

Προκείμενον: Τὸ ἐνεστηκός.

Ὁ δὲ τοιούτοις χρώμενος λογισμοῖς, μένειν ἠξίου τὸν Τιβέριον ἐπὶ τῶν προκειμένων.

Καὶ αὖθις·

Ἐμοὶ δὲ τὸ προκείμενον ἤνυστο.

Προκινδυνεύω: Γενικῇ.

Προκλητί:

Πρόκλησις: Εἰώθεσαν, ὁπότε δικάζοιντό τινες, ἐξαιτεῖν ἐνίοτε θεραπαίνας, ἢ θεράποντας εἰς βάσανον, ἢ εἰς μαρτυρίαν τοῦ πράγματος· καὶ τοῦτο ἐκαλεῖτο προκαλεῖσθαι. Τὸ δὲ γραμματεῖον τὸ περὶ τούτου γραφόμενον, ὠνομάζετο πρόκλησις.

Πρόκλος [m] Μαλλώτης, ἐκ Κιλικίας, φιλόσοφος Στωϊκός. Ἔγραψεν ὑπόμνημα τῶν Διογένους σοφισμάτων· καὶ πρὸς Ἐπίκουρον.

Πρόκλος δεύτερος, Μαλλώτης, φιλόσοφος καὶ αὐτὸς Στωϊκός.

Πρόκλος, ὁ Προκλήϊος χρηματίσας, Θεμιστίωνος, Λαοδικείας τῆς Συρίας ἱεροφάντης. Ἔγραψε [n] Θεολογίαν, Εἰς τὸν παρ' Ἡσιόδῳ τῆς Πανδώρας μῦθον, Εἰς τὰ χρυσᾶ ἔπη, Εἰς τὴν Νικομάχου Εἰσαγωγὴν τῆς ἀριθμητικῆς· καὶ ἄλλα τινὰ Γεωμετρικά.

Πρόκλος ὁ Λύκιος, μαθητὴς Συριανοῦ, ἀκουστὴς [o] δὲ καὶ Πλουτάρχου τοῦ Νεστορίου, τοῦ φιλοσόφου, καὶ αὐτὸς φιλόσοφος Πλατωνικός. Οὗτος προέστη τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς· καὶ αὐτοῦ μαθητὴς καὶ διάδοχος χρηματίζει Μαρῖνος ὁ Νεαπολίτης. [p] Ἔγραψε πάνυ πολλὰ, φιλόσοφά τε καὶ γραμματικά. Ὑπόμνημα εἰς ὅλον τὸν Ὅμηρον, Ὑπόμνημα εἰς τὰ Ἡσιόδου Ἔργα καὶ Ἡμέρας, Περὶ [q] Χρηστομαθείας βιβλία γ', Περὶ ἀγωγῆς β', Εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δ', Εἰς τὴν Ὀρφέως Θεολογίαν, Συμφωνίαν Ὀρφέως, Πυθαγόρου, [r] καὶ Πλάτωνος, Περὶ τὰ Λόγια, βιβλία ι', Περὶ τῶν παρ' Ὁμήρῳ Θεῶν, Ἐπιχειρήματα κατὰ Χριστιανῶν ιη'. Οὗτός ἐστι Πρό-

[e] τὸν προκαθημένον τῶν τόπων] Ita locutus est Appianus in Syriacis, p. 153. Αὐτὸν δέ σε τῷ πεζῷ παντὶ ΠΡΟΚΑΘΗΜΕΝΟΝ ΤΗΣ ἙΛΛΑΔΟΣ. Eleganter Herodotus, lib. VIII. c. 36. Ὁ δὲ θεός σφεας οὐκ ἔα κινεῖν, φὰς αὐτὸς ἱκανὸς εἶναι ΤΩΝ ΕΩΥΤΟΥ ΠΡΟΚΑΤΗΣΘΑΙ. Huc facit Polybius, lib. V. p. 579. Ἱππόλοχον καὶ Κεραίαν ἐξαποστείλας ἐπὶ τοὺς κατὰ Σαμάρειαν ΤΟΠΟΥΣ, καὶ συντάξας ΠΡΟΚΑΘΗΣΘΑΙ. Latini, *præsidere*. Quod verbum restituendum Auctori Moreti, 15. *Et reserat clavem,* quæ præsidet ostia, *clavi.* Ita scribendus iste versus ex cod. Pithœi, qui vulgo depravatissimus est. Notandum autem utrumque ferrum, tum quod obdit, tum quod aperit januam, *clavem* vocari. De quo viri doctissimi ad Moretum et Solinum. Hinc proverbium: Πασσάλῳ τὸν πάσσαλον. Eleganter autem clavis dicitur *ostia præsidere.* Quomodo Tacitus non semel est locutus. TOUP.

[f] Θουκυδίδης] IV. 19.

[g] Ἀρχέλαος] Dion. Cass. T. II. p. 73, 95. ed. Reimar.

ΠΡΟΚΑΛΙΝΔΟΥΜΑΙ] Gl. om. V. habet A. in marg.

ΠΡΟΚΑΛΙΖΕΤΟ] Il. γ'. 19.

ΠΡΟΚΑΤΑΒΟΛΗ καὶ ΠΡΟΣΚΑΤΑΒ.] Vide Petitum de Leg. Att. p. 380. KUST.

ib. προσκαταβόλημα V.

[h] προθέσεις] προθεσμίαι Photius e correct.

[i] αἷς] οἷς V.

[k] ΠΡΟΣΚΑΤΑΒΟΛΗΜΑ] προσκατάβλημα A.B.V.E. Phot.

ΠΡΟΚΕΥΣΟΝ] Πρόκενσον A.

[l] Προκέφαλος ἦν ὁ Φιλοκλῆς, ὡς ἔπ.] Ex Schol. Aristoph. Av. 282. Confer etiam Nostrum infra v. Φιλοκλῆς. KUST

[ll] ὁ Φιλοκλῆς om. A. sed habet margo a m. s.

ΠΡΟΚΛΗΤΙ] Προκληδί A.B.E. Προκλῆ V.

ΠΡΟΚΛΗΣΙΣ: Εἰώθεσαν, ὁπότε δικ.] Ex Harpocratione: ad quem vide Valesium. Confer etiam Petitum de Leg. Att. p. 380. KUST. Vid. Herald. Adv. Salmas. VI. 14.

[m] ΜΑΛΛΩΤΗΣ] Sic habent mss. Paris. At priores editt. minus recte, Μαλλότης, per o. KUST.

ΠΡΟΚΛΟΣ ὁ ΠΡ.] Fecerat etiam Heronas ex Eutocio, vide supra Ἥρων. REINES.

[n] Θεολογίαν] Θεολογίας V. Mox τὴν ἀριθμητικὴν A.V.

ΠΡΟΚΛΟΣ] Vid. Πλούταρχος Νεστορίου. HEMST.

ΠΡΟΚΛΟΣ Ὁ ΛΥΚ.] Filius Patricii et Marcellæ. Marin. in v. Procli p. 13. qui omnino est conferendus. Proclus quem Platonis et Aristotelis glutinum adpellare soleo. Scal. in XX. de Plant. p. 434. Scripsit etiam Sphæram, quam edidit Gr. Lat. Aldus an. 1499. Proclum interpretem librorum Platonis de Rep. citat Casaub. Animadv. ad Athen. IV. 21. de mulieribus ποπανοποιοῖς. REINES.

[o] δὲ καὶ] καὶ om. V. τοῦ ante φιλοσόφου om. A.B.

[p] Ἔγραψε πάνυ πολλὰ] Scriptorum Procli Lycii, tam exstantium adhuc, quam perditorum, accuratum et amplum catalogum post Marini Proclum exhibet Fabricius. KUST. Conf. H. Valesius de Critica I. 20. Mox τε om. V.

[q] Χρηστομαθίας] Χρηστομαθείας A.

[r] καὶ Πλάτωνος] καὶ om. A.V. Tum Πλούτωνος V.

κλος, ὁ δεύτερος μετὰ Πορφύριον κατὰ Χριστιανῶν τὴν μιαρὰν καὶ ἐφύβριστον αὐτοῦ γλῶσσαν κινήσας· [s]πρὸς ὃν ἔγραψεν Ἰωάννης, ὁ ἐπικληθεὶς Φιλόπονος, πάνυ θαυμασίως ὑπαντήσας κατὰ τῶν [t]ιη´ ἐπιχειρημάτων αὐτοῦ, καὶ δείξας αὐτὸν κἀν τοῖς Ἑλληνικοῖς, ἐφ' οἷς μέγα ἐφρόνει, ἀμαθῆ καὶ ἀνόητον.

[u]Ἔγραψε Πρόκλος Μητρῳακὴν [x]βίβλον, ἣν εἴ τις [y]μετὰ χεῖρας λάβοι, ὄψεται, ὡς οὐκ ἄνευ θείας κατακωχῆς τὴν θεολογίαν [z]τὴν περὶ τὴν θεὸν ἐξέφηνεν ἅπασαν· ὥστε μηκέτι [a]θράττεσθαι τὴν ἀκοὴν ἐκ τῶν [b]ἀπεμφαινόντων θρήνων.

**Πρόκλος**, τοῦ βασιλέως Ἰουστίνου κοιαίστωρ, ἀνὴρ δίκαιος, καὶ χρημάτων [c]διαφανῶς ἀδωρότατος· διὸ δὴ οὔτε νόμον τινὰ εὐπετῶς [d]ἔγραφεν, οὐδέ τι τῶν καθεστώτων κινεῖν ἤθελε.

**Πρόκνη**: Ὄνομα κύριον.

**Προκόλπιον**: [e]Πρὸ τοῦ κόλπου. Λαμβάνεται δὲ καὶ ἐπὶ δωροδόκων.

**Προκόμιον**: Κόμην.

**Προκόννησος**: Ὄνομα νήσου.

**Προκόπιος** Ἰλλούστριος, Καισαρεὺς, ἐκ Παλαιστίνης, ῥήτωρ καὶ σοφιστής. Ἔγραψεν Ἱστορίαν Ῥωμαϊκὴν, ἤγουν τοὺς πολέμους [f]Βελισαρίου πατρικίου, τὰ κατὰ Ῥώμην καὶ Λιβύην πραχθέντα. Γέγονεν ἐπὶ τῶν χρόνων Ἰουστινιανοῦ τοῦ βασιλέως, ὑπογραφεὺς χρηματίσας Βελισαρίου, καὶ ἀκόλουθος κατὰ πάντας τοὺς συμβάντας πολέμους τε καὶ πράξεις, τὰς ὑπ' αὐτοῦ συγγραφείσας. Ἔγραψε καὶ ἕτερον βιβλίον, τὰ καλούμενα Ἀνέκδοτα, τῶν [g]αὐτῶν πράξεων· ὡς εἶναι ἀμφότερα τὰ βιβλία θ´.

Ὅτι τὸ βιβλίον Προκοπίου τὸ καλούμενον [h]Ἀνέκδοτα ψόγους καὶ [i]κωμῳδίαν Ἰουστινιανοῦ τοῦ βασιλέως περιέχει, καὶ τῆς αὐτοῦ γυναικὸς Θεοδώρας, ἀλλὰ μὴν καὶ αὐτοῦ Βελισαρίου, καὶ τῆς γαμετῆς αὐτοῦ.

**Προκόπιος**: [k]Ὅτι ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Προκοπίου, ἐν τῇ Χελώνῃ, [l]ἵσταται εὐνούχου τινὸς στήλη, ἧς ἐν τῷ στήθει [m]ἔγραψεν· "Ὁ [n]μετατιθεὶς θεμάτια τῷ βρόχῳ παραδοθήτω." Ἦν δὲ ἡ στήλη Πλάτωνος κουβικουλαρίου, ὃς ἐν ταῖς ἡμέραις [o]τοῦ Βασιλίσκου πυρίκαυστος γέγονε. [p]Τῶν δὲ γονέων αὐτοῦ αἰτησάντων τὸν βασιλέα εἰς μνημόσυνον τοῖς ἀνταίρουσι τῷ βασιλεῖ στηλωθῆναι τὸν εὐνοῦχον Πλάτωνα, οὐκ [q]ἐκώλυσεν. [r]Ἐν δὲ τῷ ἀνακαινίζεσθαι τὸν τοῦ μεγαλομάρτυρος νεὼν, μετετέθη εἰς τὸ Ἱπποδρόμιον. Οἱ δὲ οἶκοι [s]τοῦ εὐνούχου σώζονται [t]ἐν τῇ Χελώνῃ.

**Προκόπτοντα**: [u]Διερχόμενον.

Ὀχήματι κεχρημένον, καὶ [x]διὰ τῆς λεωφόρου προκόπτοντα, [y]καταλαμβάνειν τὸ ἕβδομον.

**Προκώνια**: Λυκοῦργος ἐν τῷ κατὰ Μενεσαίχμου. Δίδυμος δὲ, προκώνια, φησὶ, πυροὶ μέλιτι [z]κεχρισμένοι. Ἀριστοφάνης δὲ ὁ γραμματικὸς, καὶ Κράτης, τὰ ἐξ ἀφρύκτων κριθῶν οὕτως φασὶν ὀνομάζεσθαι. Ἔοικε δὲ καὶ ἐκ πυρῶν καὶ ἐκ κριθῶν γίνεσθαι. Δήμων δὲ φησὶν ἐν τῷ περὶ θυσιῶν·

Καὶ προκώνια ἐστὶ [a]κάχρυς κατηριγμέναι μετὰ ἀρωμάτων.

---

[s] πρὸς ὃν ἔγραψεν Ἰωάννης, ὁ ἐπικλ. Φιλ.] Hoc opus Joannis Philoponi hodie adhuc exstat, ut contra Gulielmum Cavium recte observavit modo laudatus Fabricius in dicto catalogo scriptorum Procli: quem vide. KUST. εἰς ὃν A.V.

[t] ιη´] ῑ καὶ η̄ A. Mox ἐν V. pro κἀν.

[u] Ἔγραψε Πρόκλος Μητρῳακὴν βίβλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Marini in parte posteriore Vitæ Procli, quam Joan. Alb. Fabricius Hamburgi primus edidit, c. 33. Confer etiam Nostrum supra v. Κατακωχὴ, ubi eadem leguntur. KUST.

[x] βίβλον] βίβλιον V.

[y] κατὰ] μετὰ B.V.E.

[z] τὴν περὶ τὴν θεὸν θεολογίαν] τὴν θεολογίαν τὴν περὶ τὴν θεὸν A.V.

[a] θράττεσθαι] Barth. ad Æn. Gaz. de Res. Mort. p. 19. βλάπτεσθαι. REINES.

[b] ἀπεμφαινόντων] Male reddunt. Vide Origenis Philosoph. p. 55. ed. Wolf. et notas. Vide omnino Gronov. Mutilat. p. 21. ubi in tenebris versatur. Vide Marini Proclum p. 84. ed. Fabric. TOUP. quem vide supra p. 1910. F. G. Boissonad. addend. ad Marin. p. 148, 149.

ΠΡΟΚΛΟΣ, τοῦ βασιλέως Ἰουστίνου Κοι.] Hic articulus sumptus est ex Procop. de Bello Pers. lib. I. c. 11. KUST.

[c] διαφανῶς] διαφανῶν A.

[d] ἔγραψεν] ἔγραφεν A. Procop.

[e] τὸ πρὸ τοῦ] τὸ om. A.B.V.E. Photius. Iidem mox δωροδόκων pro δωροδόκου.

ΠΡΟΚΟΜΙΟΝ] Confer Nostrum supra v. Πηνίκη. KUST.

ΠΡΟΚΟΝΗΣΟΣ] Deest gl. A.

ΠΡΟΚΟΠΙΟΣ Ἰλλ.] De hoc vide Vossium in libro de Hist. Gr. KUST. Judicium Tilemanni de Procopio vid. in Disc. philologico p. 129. An ejusdem sunt, quæ circumferuntur epistolæ? REINES.

[f] Βελισαρίου] Βελισαρίου π̄ρικίου A.B.V.E.

[g] αὐτῶν] αὐτοῦ B.E. Mox τὰ ἀμφότερα V. τὰ om. A.B.

[h] Ἀνέκδοτα] ἀνέκδοτον A.V. τὸ καλούμενον ἀνέκδοτα βιβλίον τοῦ Προκο^π E.

[i] κωμῳδίας] κωμῳδίαν A. τοῦ ante βασιλέως om. A.V.

[k] ὍΤΙ ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλ.] Hæc, et quæ sequuntur, αὐτολεξεὶ etiam leguntur apud Codinum de Orig. CPolit. p. 18. ut Pearsonius quoque monuit. KUST. ση. (i. e. σημείωσαι) ὅτι A.

[l] ἵσταται] ἵστατο A.

[m] ἔγραψεν] Scribe, ἐγράφη. KUST. ἔγρ V. deest v. A. ἧ—ἐγράφη Codinus.

[n] μετατεθεὶς] μετατιθεὶς A.V.

[o] Τοῦ Βασιλίσκου] Codinus plenius, τοῦ βασιλέως Βασιλίσκου. KUST.

[p] Τῶν δὲ] δὲ om. A. Mox τῷ βασῖ A.V. οἱ δὲ τῆς γενεᾶς αὐτοῦ ᾐτήσαντο τ. β.—στήλην θεῖναι τῷ εὐνούχῳ Πλάτωνι· ὁ δὲ οὐκ ἐ. Codinus.

[q] ἐκώλυσεν] ἐκώλυεν E.

[r] Ἐν δὲ τῷ] ἐν δὲ τῷ βασιλεῖ εἰς μν.—ἐκώλυσεν ἀνακαινίζεσθαι τὸν τοῦ μέγα ν. V.

[s] τοῦ εὐνούχου] τοῦ αὐτοῦ εὐνούχου Codinus.

[t] ἐν τῇ Χελώνῃ] Codinus addit, ἕως τῆς σήμερον. KUST.

[u] διερχόμενον] Locum hunc distinxi secutus Abreschium Diluc. Thucyd. p. 431. Vulgo incipit exemplum cum καὶ διὰ τῆς.

[x] διὰ τῆς] διὰ τὴν V.

[y] καταλαμβάνει] καταλαμβάνειν A.B.V. Tum τὸ ἕβδομαν A.V. pro τὸν ἕβδ.

ΠΡΟΚΩΝΙΑ: Λυκοῦργος κατὰ Μενεσ.] Ex Harpocratione. Confer Galenum in Exegesi Gloss. Hippocr. v. Ἄλφιτα προκώνια. KUST.

ib. Λυκοῦργος ἐν τῷ A.

[z] κεχρισμένοι] κεχρημένοι A.V. κεχρησμένοι Harpocr. ms. Pal.

[a] κέγχροις κατηριγμένα] Scribe, κάχρυς κατηριγμέναι, ut habet Harpocratio. KUST. κάχροις A.B.V.E. κάχρυς

A **Πρόκωπον:**

῾Ο δὲ ὀργισθεὶς κατὰ τοῦ βασιλέως, πρόκωπον ἔχων τὸ ξίφος.

Ἀντὶ τοῦ, γυμνόν. Καὶ αὖθις·

Ἀλλὰ [b]γεννικὸν δρῶν, [c]πρόκωπον εἶχε ξίφος.

**Πρόκριδος ἄκοντα:** Ἐπὶ τῶν πάντων τυγχανόντων. Τοιοῦτον γὰρ ἔχουσα ἡ Πρόκρις πάντα ἐθήρα.

**Πρόκριμα:** Ἡ προτίμησις.

B ῾Ο δὲ Μακεδόνιος οὐδὲ τῶν ἑτέρων μνήμην ἐποίησε, λογισάμενος [d]μηδαμῶς πρόκριμα γίνεσθαι [e]τῇ ἐν [f]Χαλκηδόνι συνόδῳ, ὡς καὶ τῆς ἐν Ἐφέσῳ σὺν αὐτῇ παρασιωπηθείσης.

**Πρόκριμα:**

῾Ως μὴ πρόκριμα εἴη κατ᾽ αὐτοῦ, καὶ [ff]αἰσχύνην ἐκώλυσαν γενέσθαι.

**Πρόκριναι:**

**Πρόκρις:** Ὄνομα κύριον, θηλυκοῦ γένους.

C **Πρόκριτον:** Ἐκλεκτὸν, ἢ πονηρόν.

**Πρόκροσσαι:** [g]Ἄλλη ἐπ᾽ ἄλλῃ. [h]Ἡρόδοτος·

Αἱ δὲ νῆες πρόκροσσαι [i]ὡρμαίνοντο [k]ἐς πόντον, ἐπὶ πεντήκοντα νέας.

**Πρόκοιτος:** [l]῾Ο προφύλαξ. Καὶ **προκοιτία**, ἡ προφυλακή. Ἡ, **πρόκοιτος**, ὁ ἔμπροσθεν κοιμώμενός τινος.

D **Προκαλινδεῖσθαι:** Τὸ ἐπὶ γόνυ πεσόντα προσκυνεῖν τῷ βασιλεῖ. [m]Ἴδιον γὰρ τοῦ βασιλέως τὸ γονυπετεῖσθαι ἐξ ἀνθρώπων. Καὶ, **Προκαλινδεῖσθαι ἰκτίνοις.** Ἔαρος ἴκτινοι [n]φαίνονται· ἐφ᾽ ᾧ ἡδόμενοι ἐκυλινδοῦντο, ὡς ἐπὶ γόνυ [o]πίπτοντες.

**Προλάλος:** ῾Ο προαλὴς ἐν τῷ λέγειν.

[p]Καὶ τοῦτον κατεσίγασαν [q]τηνάλλως προλάλον τε καὶ ἰταμὸν ὄντα.



A **Πρόληψις:** [r]Γνῶσις.

Ἀχανεῖς ἔμειναν τῷ πρόληψιν ἐσχηκέναι τοῦ μέλλοντος λέγεσθαι.

**Περὶ Προλήψεως:** Διαφορά ἐστιν [s]ἀληθείας καὶ συνηθείας. Ἡ μὲν γὰρ ἀλήθεια γνησίως ζητουμένη, πάντως εὑρίσκεται. Τὸ δὲ ἔθος, ὁποῖον ἂν παραληφθείη, εἴτε ἀληθὲς, εἴτε ψευδὲς, ἀκρίτως ὑφ᾽ ἑαυτοῦ κρατύνεται· καὶ οὔτε ἀληθεῖ ὄντι αὐτῷ ἥδεται ὁ παρα- B λαβὼν, οὔτε ψευδεῖ ἄχθεται. Οὐ γὰρ κρίσει, ἀλλὰ προλήψει ὁ τοιοῦτος πεπίστευκε, γνώμῃ τῶν πρὸ αὐτοῦ ἐπ᾽ ἀδήλῳ τύχῃ τὴν ἰδίαν ἐπιδεδωκὼς ἐλπίδα. Καὶ οὐκ ἔστι ῥᾳδίως ἀποδύσασθαι τὴν πάτριον περιβολὴν, κἂν πάνυ αὐτῷ δείκνυται λυπρὰ καὶ καταγέλαστος οὖσα. [t]῾Ο δὲ Χρύσιππος ἐν τῷ ιβ´ [u]τῶν φυσικῶν λόγων τρία φησὶν εἶναι κριτήρια, αἴσθησιν, γνῶσιν, καὶ πρόληψιν. Ἔστι δὲ πρόληψις ἔννοια φυσικὴ τῶν κα- C θόλου. [x]Ἐπίκουρος δὲ ὁ φιλόσοφος [y]λέγει πρόληψιν, οἱονεὶ κατάληψιν, ἢ δόξαν ὀρθὴν, ἢ ἔννοιαν, ἢ καθολικὴν νόησιν ἐναποκειμένην· τουτέστι, μνήμην τοῦ πολλάκις ἔξωθεν φανέντος. Οἷον, Τὸ τοιοῦτον ἄνθρωπός ἐστιν. Ἅμα γὰρ τῷ ῥηθῆναι ἄνθρωπος, εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται, προηγουμένων τῶν αἰσθήσεων. Παντὶ οὖν ὀνόματι τὸ [z]πρώτως ἐπιτετευγμένον ἐναργές ἐστι· καὶ οὐκ ἂν ἐζητήσαμεν τὸ ζητούμε- D νον, εἰ μὴ πρότερον ἐγνώκειμεν αὐτό. Οἷον, Τὸ πόρρω ἑστὼς, βοῦς ἐστιν ἢ ἵππος; δεῖ γὰρ κατὰ πρόληψιν [a]ἐγνωκέναι ποτὲ ἵππου καὶ βοὸς μορφήν. [b]Οὐδ᾽ ἂν ὠνομάσαμέν τι, μὴ πρότερον αὐτοῦ κατὰ πρόληψιν τὸν τύπον μαθόντες. Ἐναργεῖς οὖν εἰσὶν αἱ προλήψεις· καὶ τὸ δοξαστὸν ἀπὸ [c]προτέρου τινὸς [d]ἐναργοῦς [e]ἤρτηται· ἐφ᾽ ὃ ἀναφέροντες, λέγομεν, οἷον, [f]πόθεν ἴσ-

E

Phot. In Photio ed. κατηριγμέναι. κατειριγμένα B.E. Legendum κατηρειγμέναι vel κατερηριγμέναι a κατερείκω monet Hemsterhus. Anecd. p. 258.

[b] γενικὸν] An γενναῖον, ut Portus suspicatur? KUST. γεννικὸν A. Toupius rescribit γενναῖον e v. Θρύψις. Sed ibi aliter mss. Vid. Hemsterhus. ad Lucian. Somn. c. 7.

[c] πρόκωπον εἶχε] εἶχε πρόκωπον A. Tum τὸ ξίφος V.

ΠΡΟΚΡΙΔΟΣ ἌΚΟΝΤΑ] Leg. ἀκόντια. Procris filia Erecthei, uxor prior Cephali, Pausan. Bœot. c. 19. et Phoć. F c. 29. Vid. de ea Hygin. fab. 125. et 279. Ovid. in Metam. et Apollod. REINES.

[d] μηδαμῶς] μηδαμῇ V.

[e] τῇ ἐν τῇ] τῇ ἐν A.V.E.

[f] Χαλκηδόνι] Sic rescripsi auctoritate optimi ms. A. cujus loco priores editt. habent, Καρχηδόνι. Nimirum duo illa nomina, Καρχηδὼν, et Χαλκηδὼν, vel, ut potius scribi debet, Καλχηδὼν, sæpe inter se permutantur et confunduntur, ut pluribus exemplis erudite ostendit G Spanhemius in Orbe Romano, c. 18. KUST.

ΠΡΟΚΡΟΣΣΑΙ] Athen. I. 30. οἱ Κυζικηνοὶ ἐξορμήσαντες ἐπ᾽ αὐτὸν ἐβοηδρόμουν, πρόκροσσοι φερόμενοι ἐπὶ τὸν κίνδυνον. REINES.

[ff] αἰσχύνην] αἰσχίνην M.

[g] Ἄλλη ἐπ᾽ ἄλλῃ] ἄλλους ἐπ᾽ ἄλλους V.

[h] Ἡρόδοτος] Lib. VII. [c. 188.] ut Portus monuit. Ibi autem sic legitur: Πρόκροσσαι ὁρμέοντο εἰς πόντον, καὶ ἐπὶ ὀκτὼ νέας, &c. Sic etiam apud Suidam scribendum est. KUST. Pro πεντήκοντα V. habet νῶ. Librarii con- H fuderunt numeralia H et N.

[i] ὡρμαίνοντο] ὁρμαίνοντο E.M.

[k] ἐς πόντον] ἐς πόντον ἐπὶ πόντου B. Post Herodoti locum delevi Οἱονεὶ προκάρσοοί τινες οὖσαι· παρὰ τὸ κάρα. Αἱ κατὰ κεφαλὴν συντιθέμεναι, cum A.B.V.E. quæ ni fallor ex Zonara accesserunt.

[l] ῾Ο προφύλαξ ponunt A.V.E.M. post προφυλακή.

[m] Ἴδιον γὰρ τοῦ βασιλέως τὸ γονυπ.] Ex Schol. Aristoph. Av. 501.

[n] ἐφαίνοντο] φαίνονται A.B.V.

[o] πίπτοντες] πίπτοντα A. κλίνοντες (πίπτοντες) V.

[p] Καὶ τοῦτον] Vid. Γόργων. TOUP. Æliani est v. Γόργων. HEMST. Γοργόνη p. 837 C.

[q] τηνάλλως] τηνάλως A.M.

[r] Γνῶσις] καὶ αὖθις addunt A.V. Forte excidit exemplum. Iidem mss. mox præbent lemma περὶ προλήψεως.

[s] ἀληθείας] καὶ ἀληθείας V. καὶ συνηθείας om. A.V.

[t] ῾Ο δὲ Χρύσιππος ἐν τῷ ιβ´ τῶν φυσ.——φυσικὴ τῶν καθόλου] Hæc paulo aliter leguntur apud Laërtium in vita Zenonis Citt. 54. ῾Ο δὲ Χρύσιππος διαφερόμενος πρὸς αὐτὸν ἐν τῷ πρώτῳ περὶ λόγου, κριτήρια φησὶν εἶναι αἴσθησιν καὶ πρόληψιν. Ἔστι δ᾽ ἡ πρόληψις ἔννοια φυσικὴ τῶν καθόλου. KUST.

[u] Τῶν om. A.B. Tum φυσικῷ λόγῳ A.V. λόγῳ E. Mox G δύο pro τρία A.V.

[x] Ἐπίκουρος δὲ ὁ φιλόσοφος λέγει πρόληψιν, οἱονεὶ κατάλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Laërtii in Epicuro, segm. 33. ut Pearsonius etiam monuit. KUST.

[y] λέγει πρόληψιν] πρόληψιν λέγει A. ὁ φιλόσοφος om. E.

[z] πρώτως] πρῶτος E. Tum ἐπιτετεγμένον V. ἐπιτεταγμένον E. Laërt.

[a] ἐγνωκέναι——πρόληψιν om. V.

[b] Οὐδ᾽ ἂν] οὐδ᾽ ἂν οὖν A. οὐδ᾽ ἂν ὀνομάσαιμεν Laërt. H

[c] προτέρου] τοῦ προτέρου A.

[d] ἐναργοῦς] ἐναργῶς A. ἐνεργῶς V. voc. om. E.

[e] ἤρτηται] Sic recte habent mss. Paris. itemque Laërtius loco laudato. At priores editt. male εἴρηται. KUST.

[f] πόθεν] οἷον ὅθεν B.E. οἷον πόθεν V. Laërt.

μεν εἰ τοῦτό ἐστιν ἄνθρωπος. Τὴν δὲ δόξαν καὶ ὑπόληψιν λέγουσι.

Πρὸ λιμοῦ καὶ δίψης τὸν ἐν τῷ πολέμῳ θάνατον ᾑροῦντο οἱ Ἰουδαῖοι.

Πρόλοβος: Ἐπὶ τῶν πτητικῶν ὀρνέων λέγεται [g]πρόλοβος ὁ μετὰ τὸν στόμαχον κόλπος νευρώδης, ὅμοιος σκύτει, εἰς ὃν ἡ τροφὴ ἀκατέργαστος μένει· ὃ καὶ τοῖς ἀλεκτρυόσι πᾶσιν ἔνεστιν· ὃ καὶ ὑπ' ἐνίων καλεῖται φῦσα.

Προλογίζω: [h]Πρότερος λέγω. Προλοχίζω δὲ, τὸ ἐνεδρεύω.

Προμάχιζε: Πρωταγωνιστὴς ἦν.

[Προμάχομαι: Γενικῇ.]

Προμαχῶνος: Τοῦ τείχους, τῆς ἐπάλξεως.

Προμέρου κύνες: Τοῦτον φασὶ [i]βασιλικὸν δοῦλον ὄντα μισῆσαι Εὐριπίδην καθ' ὑπερβολήν· ὥστε καὶ κύνας ἀγρίους ἐπαφεῖναι αὐτῷ, οἵτινες αὐτὸν κατεθοινήσαντο.

Προμετωπίδιον: Τὸ ἔμπροσθεν [k]τοῦ μετώπου.

Προμετρητής: Ὁ τοὺς πιπρασκομένους [l]πυροὺς ἐν τῇ ἀγορᾷ, καὶ τῶν ἄλλων σπερμάτων ἕκαστον διαμετρῶν, καὶ ὁ τούτου τοῦ ἔργου μισθὸν λαμβάνων, προμετρητὴς ἐκαλεῖτο. Δείναρχος·

Ὁ [m]Σκύθου τοῦ προμετρητοῦ υἱὸς ἐν δημόταις γέγονε, καὶ ὁ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκε, καὶ ὑμεῖς ἐκλαβόμενοι παρ' αὐτοῦ τοὺς πυροὺς διατελεῖτε.

Προμηθεύομαι: Τὸ προνοοῦμαι. Γενικῇ.

Προμηθεύς: Ὅτι ἐπὶ τῶν Κριτῶν τῶν Ἰουδαίων παρ' Ἕλλησιν ἐγνωρίζετο Προμηθεὺς, ὃς εὗρε πρῶτος [n]τὴν γραμματικὴν φιλοσοφίαν. Περὶ οὗ λέγουσιν, ὅτι ἀνθρώπους ἔπλασε, [o]καθότι τινὰς ἰδιώτας ὄντας ἐποίησεν ἐπιγινώσκειν σοφίαν. Καὶ Ἐπιμηθεὺς, ὃς ἐξεῦρε τὴν μουσικήν· καὶ Ἄτλας, ὃς τὴν ἀστρονομίαν ἡρμήνευσε· [p]διὸ λέγουσιν, ὅτι τὸν οὐρανὸν βαστάζει. Καὶ ὁ πολυόμματος Ἄργος, διὸ περίβλεπτος ἦν, καθότι τὴν τεχνικὴν ἐπιστήμην αὐτὸς ἐπενόησε πρῶτος. Ἦν δὲ [q]τότε καὶ μάντις Σιβύλλα, βασιλεύοντος παρ' Αἰγυπτίοις Φαραὼ, [r]τοῦ καὶ Ταραχὼ, παρ' Ἕλλησι [s]δὲ ἐν Ἀθήναις ἐβασίλευσε [t]Κέκροψ, [u]ὃς ἐκλήθη Διφυὴς, διὰ τὸ τοῦ σώματος μέγεθος, ἢ ὅτι νόμον ἐξέθετο, ὥστε τὰς γυναῖκας παρθένους ἔτι οὔσας ἑνὶ ἐκδίδοσθαι ἀνδρὶ, καλέσας αὐτὰς νύμφας· πρότερον γὰρ αἱ τῆς χώρας ἐκείνης γυναῖκες θηριώδη μίξιν ἐμίγνυντο, οὐδενὸς γὰρ ἦν [x]γυνὴ, ἀλλὰ ἐδίδου ἑαυτὴν εἰς πορνείαν ἑκάστῳ· [y]οὐδεὶς οὖν ᾔδει, τίνος ἦν υἱὸς, ἢ θυγάτηρ, ἀλλ' ὡς ἂν ἔδοξε τῇ μητρὶ, [z]ἔλεγε, καὶ ἐδίδου τὸ τεχθὲν ᾧ ἐβούλετο ἀνδρί. Τοῦτο δὲ ἐποίησεν ὁ Κέκροψ, ὡς ἐξ Αἰγύπτου καταγόμενος, καὶ τὴν νομοθεσίαν Ἡφαίστου τοῦ βασιλεύσαντος ἐκεῖ οὐκ ἀγνοήσας. Ἔλεγε γὰρ, ὅτι διὰ τὴν τοιαύτην [a]τῆς ἀσελγείας συνήθειαν κατεκλύσθη [b]ἡ Ἀττική. Ἀπὸ τότε οὖν [c]ἐσωφρονίσθησαν οἱ κατοικοῦντες τὴν τῶν Ἑλλήνων χώραν. Ἐβασίλευσε δὲ Κέκροψ ἔτη [d]ν'. Ἐλέγετο δὲ Διφυὴς, καὶ [e]διὰ τὸ ἀπὸ Αἰγύπτου γενέσθαι, καὶ εἰς Ἑλλάδα ἐλθεῖν, καὶ βασιλεῦσαι.

Προμηθεύσασθαι: Προνοήσασθαι.

Προμήθεια: Πρόνοια.

Προμηθεῖσθαι: [f]Προβουλεύεσθαι, προνοεῖσθαι.

[Πρὸ μικροῦ: Πρὸ ὀλίγου.]

Προμνηστῖνοι: Κατὰ τάξιν, ἐφεξῆς.

Προμνήστρια: Ἡ προνοήσασα γάμον, ἣν νῦν προξενήτριαν φασί.

ΠΡΟ ΛΙΜΟΥ] Josephi. HEMST.

ΠΡΟΛΟΒΟΣ] Confer Nostrum supra v. Πρόβολος, et v. Προηγορεών. KUST. Vox occurrit Levit. I. 16. ἀφελεῖ τὸν πρόλοβον σὺν τοῖς πτεροῖς etc. Theodotion ibi vertit φῦσαν. Procopius ad h. l. in Caten. Theodoc. p. 963. etymon vocis hoc statuit, τὸ προλαμβάνον τὴν τροφήν. ERNEST.

[g] πρόλοβος] πρόβολος A.

[h] Πρότερος] πρότερον A. Mox προλογίζω δὲ καὶ V.

ΠΡΟΜΑΧΙΖΕ] Il. γ'. 16.

ΠΡΟΜΑΧΟΜΑΙ om. V. Habet A. in marg.

ΠΡΟΜΑΧΩΝΟΣ] Delevi προμαχεῶνος cum A.B.V.

[i] βασιλικὸν δοῦλον] Archelai in Macedonia. Vid. supra v. Εὐριπίδης. REINES.

[k] τοῦ μετώπου om. A.B.

ΠΡΟΜΕΤΡΗΤΗΣ: Ὁ τοὺς πιπρασκομένους π.] Ex Harpocratione. Ceterum placet mihi conjectura Meursii, qui Lect. Att. lib. II. c. 16. pro προμετρητὴς potius scribendum censet πυρομετρητὴς, tum ob etymologiam vocis, (προμετρητὴς enim, ut Harpocratio et Suidas expresse testantur, dicebatur ὁ πυροὺς διαμετρῶν,) tum etiam ob auctoritatem Pollucis, qui lib. VII. c. 4. πυρομετρῶν, et πυρομετρητῶν mentionem facit. KUST. Habet Photius tantum, Προμετρητάς: Σκύθου τοῦ προμ. ἦν υἱὸς καὶ ἐν δημ. γ. καὶ αὐτὸς ἐ. τ. ἀ. πρ. δ. Et sic Harpocr. ms. Pal.

[l] πυροὺς] πυροὺς κατὰ καίρους V. Mox ἄλλων σπερμάτων om. E.

[m] Σκύθου] Σκύθης V. Mox καὶ ὁ αὐτὸς—διατετέλεκε om. A.

ΠΡΟΜΗΘΕΥΟΜΑΙ] A. in marg. om. V.

ΠΡΟΜΗΘΕΥΣ: Ὅτι ἐπὶ Κριτῶν, τῶν Ἰουδ.] Cum toto hoc loco confer Cedrenum p. 81. 82. qui eadem pene habet. Existimo autem Suidam hæc descripsisse ex Joanne Antiocheno, non eo, qui hodie exstat, et Malelas cognominatur: sed altero illo, ex quo Excerpta tantum hodie supersunt in Collectaneis de Virtut. et Vit. a Valesio editis. KUST.

ib. ὁ Προμηθεὺς V. Mox πρῶτον V.

[n] τὴν γραμματικὴν Φιλοσοφίαν] Malim, Γραμματικὴν καὶ Φιλοσοφίαν. KUST.

[o] καθότι] καθὸ V.

[p] διότι] διὸ A.V.E.

[q] τότε om. V.

[r] τοῦ καὶ Ταραχὼ] τοῦ καὶ Παραχὼ A.B.E.M. τοῦ παχὼ V.

[s] δὲ ἐν Ἀθήναις Κέκροπος] ἐν Ἀθήναις ἐβασίλευσε Κέκροψ A.B.V.

[t] Κέκροπος—διφυής] Vid. supr. Κέκροψ, et Scal. ad Euseb. n. 461. ex Joh. et Is. Tzetzis, Cedreno, Jo. Antiocheno et aliis. Selden. de Jure Nat. et Gent. V. 6. similem de Cecrope ῥῆσιν e Jo. Antioch. Malala dic. habere. Fragmentum hoc de Cecrope ex Africano habet Cedrenus, Scal. l. l. REINES. cf. Natal. Com. IV. 6. et Phurnut. de N. D. c. 18. MULLER.

[u] ὃς ἐκλήθη Διφυής] Vide Scaligerum ad Euseb. Chron. Num. 461. KUST.

[x] γυνὴ] ἡ γυνὴ B.E.

[y] Οὐδεὶς δὲ] οὐδεὶς οὖν A.B.V. qui om. τὸ γεννηθὲν post θυγάτηρ.

[z] ἔλεγε] Potius, ἐλέγετο. KUST. Ne quid mutes.

[a] τῆς ἀσελγείας συνήθειαν] ἀσέλγειαν V.

[b] ἡ Ἀττικὴ κατεκλύσθη] κατεκλύσθη ἡ Ἀττική. A.

[c] ἐσωφρόνησαν] ἐσωφρονίσθησαν A.B.V.E. marg.

[d] ν'] ἐνενήκοντα V. ἐλέγετο usque ad fin. om. A.

[e] διὰ] καὶ διὰ B.V.E.

[f] Προβουλεύεσθαι] προβουλεύσασθαι A.

ΠΡΟ ΜΙΚΡΟΥ] A. in marg. om. V.

ΠΡΟΜΝΗΣΤΙΝΟΙ] Est vox Homerica Odyss. λ'. 232. ubi vide Scholiastam. KUST.

**Προμνῶμαι**: Προξενῶ, προμνηστεύομαι.

**Πρόμολε**: Πρόελθε.

**Προμολῇσιν**: Ἀκρωρείαις, ἐξοχαῖς.

> [g] Ὀρφέα Θρηϊκίησι παρὰ προμολῇσιν Ὀλύμπου
> τύμβος ἔχει, [Μούσης υἱέα Καλλιόπης.]

**Πρόμος**: Πρόμαχος.

**Προμώτης**: Προκόπτων παρὰ Ῥωμαίοις.

**Προμοίροις**: Πρὸ τῆς μοίρας, ἀώροις.

[h] Προμοίροις δὲ θανάτοις ἐφθείρετο ἡ νεολαία.

B **Προμυλαία**: Θεὸς προμύλιος, ἣν ἀφιδρύοντο ἐν τοῖς μυλῶσιν, ὡς [i] Εὔνοστον.

**Προκομισσάριος**: Ὁ ἐκ συναινέσεως δύο μερῶν μεταξὺ ληφθεὶς διαιτητής.

**Προνομαία**: Ἡ τοῦ ἐλέφαντος προβοσκίς.

**Προνομεύω**: Τὸ ληΐζω, καὶ αἰχμαλωτίζω. Καὶ προνομεία, ἡ σκύλευσις. [k] **Προνομίας** δὲ, τιμῆς πλείονος.

C **Προνομή**: Διαρπαγή.

**Προνόμιον** καὶ **Προνομίων**: Προλημμάτων.

Προπετῶς σαυτῷ τὰ προνόμια τῶν ἀλλοτρίων ἐπαρχιῶν διεκδικῶν.

**Πρόνομος**: Ὄνομα κύριον. Αὐλητὴς, ὃς μέγαν

A πώγωνα εἶχεν. Ἔνθεν καὶ τὸ,

> [l] Ἀγύρριος Προνόμου πώγων' ἔχων ἐλάνθανε.

**Προνόμων**: Θεσμῶν, δικαιωμάτων.

Τί δέ μοι φύσεως μέλει καὶ προνόμων;

**Προνοοῦμαι**: Γενικῇ. Ἔστι καὶ προνοῶν, καὶ προνοούμενος.

**Προνούστερος**: Προμηθέστερος, προνοητικώτερος. [m] Σοφοκλῆς·

B
> Ὁρᾷς, Ὀδυσσεῦ, [n] τὴν θεῶν ἰσχὺν ὅση;
> Τούτου τίς ἂν σοι τἀνδρὸς [o] ἢ προνούστερος,
> ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;

Τουτέστι, τοῦ Αἴαντος.

**Προνώπιον**: [p] Προεκκείμενον.

**Πρόνοια**: Πρόγνωσις. [q] Σοφοκλῆς·

> Πείθου. [r] Προνοίας δ' οὐδὲν ἔφυ βροτοῖς
> κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νοῦ σοφοῦ.

C **Πρόνοια**: Ὠνομάζετό τις παρὰ Δελφοῖς Ἀθηνᾶ Πρόνοια, διὰ τὸ πρὸ τοῦ ναοῦ ἱδρύσθαι. Ταύτην δὲ Ἡρόδοτος ἐν τῇ η' [s] Προνηΐην ὀνομάζει.

**Πρόνοια Ἀθηνᾶ**: Οἱ μὲν διὰ τὸ πρὸ τοῦ ναοῦ τοῦ ἐν Δελφοῖς ἑστάναι αὐτήν· οἱ δὲ, [t] ὅτι προὐνόησεν, ὅπως [u] τέκοι ἡ Λητώ.

---

ΠΡΟΜΝΩΜΑΙ] Photius, Plato Theæt. p. 112. TOUP.

ΠΡΟΜΟΛΕ] Il. σ'. 392.

[g] Ὀρφέα Θρηΐκ.] Anthol. Pal. VII. 9. Μούσης etc. om. A.B.V.E.

ΠΡΟΜΟΣ] Il. η'. 75.

ΠΡΟΜΩΤΗΣ: Προκ.] Vide Dufrenium in Glossario Græco. KUST.

[h] Προμοίροις δὲ θαν.] Est fragmentum Æliani. Vide supra v. Νεολαία. KUST.

ΠΡΟΜΥΛΑΙΑ] Ante legebatur, Προμύλια, [sic B.E.] E cum accentu in antepenultima, minus recte. KUST. Προμύλαια A.V. Προμυλαία Phot. Vid. Polluc. VII. 180. c. n. Jungermani.

[i] Εὔνοστον] Εὔνοστος appellabatur Dea quædam ἐπιμύλιος, sive molarum præses, teste Eustathio ad Il. β'. p. 214. et Nostro supra v. Νόστος. KUST.

ΠΡΟΚΟΜΙΣΣΑΡΙΟΣ] Male pro κομπρομισσάριος, i. e. *Compromissarius*. Glossæ Basil. Κομπρομισιάριος. Δικαστὴς αἱρετὸς, διαγνώμων. KUST. Προνκομισάριος A. Προγκομισάριος V. qui mox ἐκ συνέσεως.

ΠΡΟΝΟΜΑΙΑ καὶ προβοσκὶς] καὶ προβοσκὶς om. A.B.V. Tum προβοσκὶς B.V. pro ῥίς. Recte in Hesychio corrigitur, Προνομαία: Προβοσκίς. Vid. Wesseling. ad Diod. Sic. XVII. 88.

ΠΡΟΝΟΜΕΥΩ] Vid. Schleusner. Lex. V. T. Exempla quædam præbet Wesseling. Diod. Sic. XIII. 109.

[k] ΠΡΟΝΟΜΙΑΣ] Est vox Græco-barbara. Confer vocem sequentem Προνομίων. KUST.

ΠΡΟΝΟΜΗ] Xenoph. Anab. p. 339. σὺν προνομαῖς λαμβάνειν τὰ ἐπιτήδεια. TOUP.

ΠΡΟΝΟΜΙΩΝ] Phot. Bibl. p. 601. et 616. Tatian. p. 16 et 35. Synes. p. 66. προοίμιά τινα καὶ προνόμια. Hesych. Προκομίων: προλειμμάτων. Scr. προλημμάτων. Aliud πρόσλημμα. Suid. v. Ἰὼβ p. 134. [1794 B.] Socrat. Eccl. Hist. προνόμια. TOUP.

ΠΡΟΝΟΜΟΣ: Ὄνομα κ.] Ex Schol. Aristoph. Eccles. 102.

[l] Ἀσσύριος Προνόμου π.] Aristophanes loco laudato: Ἀγύρριός γ' οὖν τὸν Προνόμου πώγων' ἔχων λέληθε. KUST. Ἀγύρριος A. ἀγύρριπρονόμου V.

ΠΡΟΝΟΟΥΜΑΙ] A. in marg. om. V.

ΠΡΟΝΟΥΣΤΕΡΟΣ] Προνούτερος V.

[m] Σοφοκλῆς] In Aj. 119. Ἀθ addunt A.V.

[n] τὴν θεῶν] τῶν θεῶν V.

[o] ἦν] ἢ A.V. Tum προυνέστερος V.

[p] Προεκκείμενον, πρόθυρον] Delevi πρόθυρον cum A.B.V.E.

D et Photio. Statim delevi ΠΡΟΝΤΟΥΛΩΝ: Οὐ μόνον ὅτι οὐκ ἐδέξατο τὰ δῶρα, ἀλλὰ καὶ οἴκοθεν ἔπεμψέ μοι ἄλλο πλακούντιον προντούλων. Ὡσανεὶ λέγων, μηκέτι πατῆσαι ἐκεῖ με, quæ habent A.V. duntaxat in margine. In V. præfiguntur hæc: Ἀριστοφάν Πλούτῳ. Ad Προντούλων sic Toupius: "Monstrum lectionis, sed facile procurandum: id quod "jampridem fecit vir doctissimus Lambertus Bosius. "Scribendum omnino, ἔπεμψέ μοι ἄλλο πλακούντιον ΠΡΟΣ "ΤΟΥΤΩΙ. *Misit mihi aliam placentam præter istam.* "Quemadmodum recte legitur apud Nostrum v. Ἄ-"μητα."

ΠΡΟΝΟΙΑ] Caput gl. om. edd. ante Kuster.

[q] Σοφοκλῆς] In Electr. 1015. ubi prior versus recte sic legitur: Πείθου. Προνοίας οὐδὲν ἀνθρώποις ἔφυ. KUST.

[r] Προνοίας] προνοίας δ' A.B. προνοίας σ' V.

[s] Προνοίην] Scribe, Προνοιΐην. Sic enim Herodotus lib. VIII. [c. 37.] Minervam hanc Ionice vocat, ut Portus etiam monuit. Meursius tamen Lect. Att. lib. II. c. 17. ibi scribendum potius censet, Προνηΐην; quod Ionice dic-F tum est pro Προναίαν. Confer notam sequentem. KUST. Προνηΐην A.B.E. Harpocr. ms. Pal. Vid. Taylor. ad Demosth. Or. 1. c. Aristog. p. 780, 18.

ΠΡΟΝΟΙΑ ἈΘΗΝΑ] Sunt qui Minervam hanc vocent Προναίαν, per diphthongum αι in syllaba penultima. Hesychius: Προναίας Ἀθηνᾶς τέμενος ἐν Δελφοῖς. Etymologus: Προναία Ἀθηνᾶ. Ἀγάλματος ὄνομα. Ἤτοι διὰ τὸ πρὸ τοῦ ναοῦ ἐν Δελφοῖς ἑστάναι, ἢ ὅτι προενόησεν, &c. Æschylus Eumenid. 21. Παλλὰς ΠΡΟΝΑΙΑ δ' ἐν λόγοις πρεσβεύεται. Callimachus in fragmento, quod citatur a Scholiasta G Æschyli: Χ' ἡ Παλλὰς, Δελφοί νιν ὅθ' ἱδρύοντο Προναίην. Huic lectioni favet etymologia, quam ipse Suidas, (vel potius Harpocratio, ex quo Suidas hæc descripsit,) subjungit, διὰ τὸ πρὸ τοῦ ναοῦ ἑστάναι αὐτήν. Contra, Minervæ Προνοίας, præter Suidam, mentionem faciunt Harpocratio, Demosthenes Orat. 1. contra Aristogitonem, Herodotus loco ante laudato, Pausanias in Phocicis, et Diodorus Siculus duobus in locis. Dissidium hoc auctorum conciliare conatur Meursius Lect. Att. lib. II. c. 17. H qui duas Minervas, Πρόνοιαν et Προναίαν, (quarum illa culta fuerit Athenis, hæc vero Delphis,) ab Harpocratione et Suida male confundi statuit. Eum vide. KUST.

[t] ὅτι προυνόησεν] Vid. Schol. Aristid. p. 13. ed. Frommel. 27. Dindorf.

[u] τέκοι] τέκῃ A.B.V. Post Λητὼ delevi Ἡ τοῦ Θεοῦ πρό-

**Πρόξ**: Ἐλάφου γέννημα.

**Προξένει**: Λέγε.

[x]Ὦ φίλταθ', ὡς νῦν [y]πᾶν τελοῦντι προξένει.

Ἢ ὅτι, ὡς φῂς, προξένει μοι, καὶ πάρεχε τὰ χρήσιμα.

**Προξενία**: Ἡ τῶν ξένων ὑποδοχή.

[z]Καὶ αὐτῷ προξενίαν ἔδοσαν οἱ [a]Λακεδαιμόνιοι.

**Πρόξενος**: [b]Ὁ νέηλυς πόλεως ξένος.

Ὁ δὲ Εὐθυκράτη [c]ἀτιμωθέντα παρὰ Ἀθηναίοις ἐψηφίσατο ἐπίτιμον εἶναι, καὶ πρόξενον Ἀθηναίων. B

**Πρόξενος**: Ὁ προστάτης.

[d]Καὶ σὺ ξυνέξευρ' αὐτὸν, ὡς ἂν τὴν χάριν
αὐτήν τε κἀκείνην ἔχῃς, ὦ πρόξενε.

Καὶ [e]**πρόξενοι**, οἱ προστάται τῶν πόλεων, καὶ φροντισταὶ, καὶ ξενίαις ὑποδεχόμενοι.

**Προξένους** ἐκάλουν, τοὺς τεταγμένους εἰς τὸ ὑποδέχεσθαι τοὺς ξένους τοὺς ἐξ ἄλλων πόλεων ἥκοντας. C

**Προξενῶ θ' ὑμᾶς ἀεί**: Ἀντὶ τοῦ, προΐσταμαι. [f]Ἀριστοφάνης.

**Προξενῶ**: Ἀντὶ τοῦ, ἐπιτάττω. Γενικῇ.

**Προοδοποιῶ**: Γενικῇ.

**Πρόοπτος**: Προφανὴς, πρόδηλος. [g]Ἡρόδοτος·

Ἡμέας οὗτοι οἱ ἄνθρωποι [h]προόπτῳ θανάτῳ μέλλουσι προδώσειν. D

**Προορῶ**: Αἰτιατικῇ.

**Προώλης**: Ὁ πανώλης.

**Πρόωμαι**: [i]Παραχωρήσω.

**Πρώωνες**: Οἱ προνενευκότες τόποι τῶν [k]ὀρῶν.

**Πρόωνται**: Αὐθυπότακτον. Προδώσουσιν, ἀμελήσουσιν.

A Ὁ δὲ τοὺς περιχώρους παρεκάλει, λέγων, ὅτι [l]ἐὰν αὐτὸν πρόωνται, καὶ αὐτοὶ κινδυνεύσουσι.

**Πρόωρος**: Πρὸ τῆς ὥρας.

**Πρόωσις**: Ὤθησις.

**Προπαρεγγυηθέν**: Προπαραγγελθέν.

[m]Προπαρεγγυηθέν οἱ τοῦτο ἐκ βασιλέως.

**Προπάροιθεν**: Ἔμπροσθεν.

**Πρόπας στόλος**: Πᾶσα ἡ δύναμις.

B [n]Νοσεῖ δέ μοι πρόπας στόλος.

**Προπαιδεύματα**:

[o]Ὁ δὲ Ὠριγένης οὐκ ἐπαύετο παραδιδοὺς γεωμετρίαν, καὶ ἀριθμητικὴν, καὶ τἄλλα προπαιδεύματα.

**Προπαιδεία**: Τὰ πρῶτα μαθήματα.

**Πρόπεμπτα**: Δίδυμός φησι, μήποτε ἄλλα τινά εἰσιν ἐπιτίμια τὰ πρὸ τῆς [p]καταβολῆς. Εἰσὶ γὰρ οἳ τὰ πέμπτα τῶν τιμημάτων παρακαταβάλλεσθαι φασίν. Εἰ μὴ ἄρα **πρόπεμπτα**, ὡς [q]Δημοσθένης, πρὸς ἡμέρας έ. Ταῖς γὰρ μεγάλαις δίκαις οὐκ ἤρκει μία ἡμέρα πρὸς τὴν κρίσιν. C

**Προπεπωκότες**: Ἀντὶ τοῦ, προδεδωκότες. Ἐκ μεταφορᾶς δὲ λέγεται.

[r]Προπεπωκέναι δὲ παρὰ τὴν συνουσίαν πολλὰ μὲν ἀργυρώματα τὸν προειρημένον, πολλὰ δὲ χρυσώματα τῷ Προυσίᾳ.

**Προπέρυσι**: Καὶ **πέρυσι**. D

**Προπέτεια**: Ἡ ἀχαλίνωτος γλῶσσα.

**Προπετής**: Εἰς τοὔμπροσθεν νενευκώς.

Προπετὴς τῷ βάρει [s]γενόμενος πίπτει.

**Προπετὴς** δὲ, καὶ ὁ [t]πρόγλωσσος.

**Προπηλακίζων**: Ἀδικῶν, ὑβρίζων, διασύρων, ἐξουθενῶν. Καὶ **προπηλακισμὸς**, ὕβρις. Εἴρηται δὲ

νοια κατὰ τρεῖς τρόπους γίνεται· κατ' οἰκονομίαν, κατ' εὐδοκίαν, κατὰ συγχώρησιν, cum A.V. Vide supra v. Γίνεται. E

[x] Ὦ φίλταθ', ὡς νῦν πᾶν τελοῦντι προξ.] Est versus Sophoclis Œdip. Colon. 465. Scholiasta ad eum locum: Προξένει. Λέγε μοι καὶ πάρεχε τὰ χρήσιμα. Οὐ γὰρ ὀκνήσαιμι τελεῖν. KUST.

[y] πᾶν] πᾶς B.M.

[z] Καὶ αὐτῷ] Sc. Xenophonti. Est Diogen. Laërt. in Xenoph. [II. 51.] REINES.

[a] Λακεδαιμόνιοι] Μακεδόνιοι V.

[b] Ὁ νέηλυς πόλεως ξένος] Supra v. Ἰδιόξενος, ubi eadem leguntur, monuimus scribendum esse, ὁ ὅλης πόλεως ξένος. Ibi nos vide. KUST. F

ib. ξένης A.B. Exemplum ex ipso Suida est p. 913 A.

[c] ἀτιμωθέντα] Sic recte ms. Paris. A. At mss. B. et C. et præcedentes editt. male, ἀτιμωρηθέντα. KUST.

[d] Καὶ συνέξευρ'] Καὶ σὺ συνέξευρ' A. καὶ σὺ ξυνέξευρ' V. Aristoph. Thesm. 608.

[e] ΠΡΟΞΕΝΟΙ] Gl. Herodot. VI. 57. G

ΠΡΟΞΕΝΟΥΣ ἐκάλουν τοὺς τεταγμ.] Ex Enarratore Comici Av. 1022. KUST.

ΠΡΟΞΕΝΩ] Hanc gl. A. in marg.

[f] Ἀριστοφάνης] Thesmoph. 583. Προξενῶ θ' ὑμῶν ἀεί. KUST.

[g] Ἡρόδοτος] Lib. IX. c. 17.

[h] προόπτῳ] προόπτως A.B. Mox παραδώσειν V.

ΠΡΟΩΛΗΣ] Vid. Σοβαρός. HEMST. Vid. Abresch. Diluc. Thucyd. p. 736.

[i] Παραχωρήσω] παραχω ρη' V. H

ΠΡΟΩΝΕΣ] Confer Nostrum supra v. Πρηῶνες. KUST.

[k] ὀρῶν] ὀρῶν τόπων V.

[l] ἐὰν] ὅτι ἐὰν A.V.

[m] προπαρεγγυηθὲν om. V.

[n] Νοσεῖ δέ μοι πρόπας στόλος] Hæc sunt verba Sophoclis Œdip. Tyran. 169. ut Pearsonius observaverat. Scholiasta ad eum locum: Πρόπας στόλος. Ἡ πᾶσα δύναμις. Πᾶς ὁ λαός. KUST.

[o] Ὁ δὲ Ὠριγένης] Suidas supra v. Ὠριγένης Λεωνίδην p. 2788 E.

ΠΡΟΠΕΜΠΤΑ: Δίδυμός φησι, μήπ.] Ex Harpocratione: ad quem vide Valesium. Confer etiam Nostrum supra v. Παρακαταβολή. KUST.

[p] καταβολῆς] μεταβολῆς Photius.

[q] Δημοσθένης] P. 1076, 21. in lege.

ΠΡΟΠΕΠΩΚΟΤΕΣ: Ἀντὶ τοῦ, παραδ.] Ex Harpocratione: sed ubi pro παραδεδωκότες legitur προδεδωκότες. Maussacus ad hunc locum fluctus, ut aiunt, in simpulo movet, et in re levi graviter æstuat, deceptus prava interpunctione loci hujus, qui sic distinguendus est, ut eum hic distinctum lector videt. KUST. προδεδωκότες A.B.V.E. Photius. In capite gl. Προπεπτωκότες V. Vid. Taylor. ad Demosth. t. IX. p. 405. Reisk.

[r] Προπεπωκέναι παρὰ τὴν συνουσ.] Fragmentum hoc Valesius Polybio tribuit. KUST. Fr. Hist. 49. Πεπωκέναι A.

ΠΡΟΠΕΡΟΥΣΙ: Καὶ ΠΕΡΟΥΣΙ] Legendum est, προπέρυσι, et πέρυσι, ut Portus etiam monuit. KUST. Προπέρυσι—πέρυσι V. Phot. Προπέρισυ—πέρισυ A.E.

[s] γινόμενος] γενόμενος A.V.

[t] πρόγλωσσος] Eo sensu est Prov. XIII. 3. προπετὴς χείλεσιν. Sirac. IX. 18. ἀνὴρ γλωσσώδης καὶ προπετὴς ἐν λόγῳ. Hesychius: Προπετής: προπίπτων πρὸ τοῦ λογισμοῦ. Quæ quamvis Bielius satis convenienter ita vertit, *erumpens in aliquid, ante quam omnia expenderit*, tamen dubito, an προπίπτειν simpliciter ita dicatur. Quod forte sentiens Alberti, ita illa verba distinxit, προπίπτων, πρὸ τοῦ λογισμοῦ. Sed jam non intelligitur quid sit hoc, πρὸ τοῦ λογισμοῦ. Forte leg. πρόγλωσσος ut est in Suida, vel πρωτόγλωσσος. Vel προπίπτων corruptum est. ERNEST.

ΠΡΟΠΗΛΑΚΙΖΩΝ] Vid. Schol. Platon. p. 22. 143. 182. Herald. adv. Salm. p. 123.

ἀπὸ τοῦ πηλὸν ἐπιχρίεσθαι τὰ πρόσωπα τῶν ἀτιμίαν καὶ ὕβριν καταψηφιζομένων, οὓς ἀρτίως ἀσβόλῳ χρίουσι.

Προπίνει: Διὰ τοῦ οἴνου [u]τιμᾷ, καὶ προδίδωσι. Καὶ [x]Δημοσθένης δὲ τοὺς προδόντας τὰς πατρίδας τοῖς ἐχθροῖς προπίνειν ἔφη τοῖς ἐχθροῖς. Καὶ [y]Ἀριστοφάνης·

> Φέρ' ἴδω, τί μέντοι πρῶτον ἦν; ἐπίνομεν.
> Τί δὲ μετὰ τοῦτο δεύτερον; προὐπίνομεν.

Ἀντὶ τοῦ, [z]ἀλλήλους ἐδεξιούμεθα. Καὶ αὖθις·

> Ταῖς θυγατράσι φάρμακον ὤρεξε, καὶ αὐτὸς ἔπιε, δυστυχοῦς κοινωνήσας προπόσεως καὶ φιλοτησίας.

Προπίνειν: [a]Οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες ἑορτὴν πάνδημον, ἐν φιάλαις χρυσαῖς ἢ ἀργυραῖς κιρνῶντες, ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου [b]αὐτοὶ, ἀπέπινον δὲ μικρὸν τῆς κύλικος, ὡς συμβόλου ὄντος τούτου φιλίας πολλῆς, καὶ τότε [c]παρεῖχον ᾧ ἂν ἐβούλοντο καὶ τὴν κύλικα· καὶ ἐκαλεῖτο προπίνειν. Ἡ δὲ ἡμέρα, φιλοτησία.

Πρόπιον: Μάντευμα. Καὶ θεοπρόπιον, τὸ [d]τῶν θεῶν μάντευμα.

Πρόποδες: Μεγάλους πόδας ἔχοντες.

Πρὸ ποδῶν: Τὸ παρατυχὸν οἱονδήποτε.

Πρὸ ποδῶν: Ἔμπροσθεν τῶν ποδῶν.

[Προπολεμῶ: Γενικῇ.]

Προπόλεος:

> Τὸν προπόλεον κόσμον τοῦ ἄστεος ἀποκείραντες.

Πρόπολος: Δούλη, προπολεύουσα· ἢ θεράπων, καὶ θεράπαινα, [e]πρόσφυξ. [f]Ἀριστοφάνης Νεφέλαις·

> Ἀλλὰ σεαυτὸν [g]θαρρῶν παράδος τοῖς ἡμετέροις προπόλοισι.

Παρὰ δὲ [h]Ἡροδότῳ πρόπολος, ὁ νεωκόρος.

[Πρὸ πολλοῦ:]

Προπόλῳ [i][καὶ προσπόλῳ:] Θεράποντι.

Προπόλων: Θείων ἑρμηνέων.

> Πρόπολοί τε καὶ θεραπευταί.
> [k]Μέλλων Εὐρυμέδων πότ' [l]Ἀριστοτέλῃ . . . .
> γράψασθαι, Δηοῦς μύστιδος ὢν πρόπολος.

Πρόπομα: Ἐκ τοῦ προπίνω.

Προπομπία: Ἐν συνθέσει διὰ τοῦ ι. Πομπεία δὲ, ἁπλοῦν, [m]διὰ διφθόγγου.

Προποντίς:

Προπύλαια ταῦτα: Δημοσθένης Φιλιππικοῖς. Δύναται μὲν δεικτικῶς λέγεσθαι, ἅτε ὁρωμένων τῶν προπυλαίων ἀπὸ τῆς [n]Πνυκός. Βέλτιον δὲ ἀναφορικῶς ἀκούειν· ἐπὶ γὰρ τῶν πάνυ γνωρίμων οὕτω λέγειν εἰώθασι. [o]Ἐν γοῦν τῷ κατ' Αἰσχίνου αὐτὸς Δημοσθένης φησίν·

> Ἤρετο Σάτυρον τουτονὶ τὸν κωμικὸν ὑποκριτήν.

[p]Ἡλιόδωρος δὲ περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως φησίν·

> Ἐν [q]ἔτεσι μὲν γὰρ πέντε παντελῶς ἐξεποιήθη. Τάλαντα δὲ ἀνηλώθη βιϛ', ε' δὲ πύλας ἐποίησαν, δι' ὧν εἰς τὴν ἀκρόπολιν [r]εἰσίασι.

Πρόρριζον: [s]Ἐκ ῥιζῶν. Καὶ πρόρριζος, ἀντὶ τοῦ, παντάπασι. [t]Σοφοκλῆς·

> [u]Μυρτίλος πρόρριζος ἐκριφείς.

Πρὸ ῥιζῶν δὲ, ἐξ αὐτῆς τῆς ῥίζης.

Πρός:

[u] τιμᾷ] Vid. v. Σκύφος. TOUP.

[x] Δημοσθένης δὲ τοὺς προδόντας τὰς πατρ.] Locus Demosthenis, ad quem Suidas respexisse videtur, exstat in oratione pro Ctesiphonte, p. 354. ubi Orator sic inquit: Τὴν ἐλευθερίαν προπεπωκότες, πρότερον μὲν Φιλίππῳ, νῦν δὲ Ἀλεξάνδρῳ, &c. KUST.

[y] Ἀριστοφάνης] Thesmoph. 637.

[z] ἀλλήλους] ἀλλήλοις B.E. Tum δεξιούμεθα A.B.

[a] Οἱ ἀρχαῖοι] Eadem fere sunt in Schol. ad Gregor. Naz. Stelit. II. p. 96. Locus classicus est Pindar. Olymp. VII. 5.

[b] αὐτοὶ] αὐτ' V. qui mox σύμβολον.

[c] παρείχοντο] παρεῖχον A.B.V. ἐὰν V. pro ἄν. Post ἐβούλοντο A.B.V. addunt καί.

[d] ἐκ θεῶν] τῶν θεῶν A.B.V.

ΠΡΟΠΟΛΕΜΩ om. A.V.

ΠΡΟΠΟΛΕΟΣ] Forte apud scriptorem, unde sequens fragmentum excerptum est, duabus vocibus scriptum erat, πρὸ πόλεως: quibus in unum conflatis, Suidas vocem προπόλεος effinxisse videtur. Nusquam enim alibi, quod sciam, vox ista occurrit. KUST. Gruter. Inscr. p. 1097. n. 3. τῆς μεγάλης θεᾶς προπόλεως. In Basilio t. II. p. 141. D. quum ante legeretur τὸν προπύλαιον, Garnerius edidit τὸν προπόλεον κόσμον e mss. Πόλεις et προπόλεις Celsus apud Origen. IV. p. 217, 15. 54. Pollux IX. 15. Περιπόλιοι, vel ut mss. παραπόλιοι, Strabo XIV. p. 973 B. VII. p. 501 B. HEMST. Schol. ined. Philostrati Icon. præf. Προάστεια, τὰ πρὸ τῶν τειχῶν τοῦ ἄστεος, ἃ καὶ προπόλεα λέγονται. Hinc firmatur lectio προπόλεος apud Suidam, de qua dubitabat Kusterus. BOISSONAD. ad Marin. p. 140. Προπολέως V. In exemp. προκείραντες edd. ante Kuster.

[e] πρόσφυξ] Cum h. v. novæ gl. initium factum in A.V. πρόσφυξ om. h. l. E. add. post νεώκορος.

[f] Ἀριστοφάνης Νεφέλαις] Ver. 435.

[g] πάραδος θάρρων] θάρρων πάραδος A.E.M.

[h] Ἡροδότῳ] Gl. Herodot. II. 64.

ΠΡΟ ΠΟΛΛΟΥ A. marg. om. V.

[i] καὶ ΠΡΟΣΠΟΛΩ om. A.B.V. Photius. Post θεράποντι A. addit δοῦ'. i. e. δούλῳ.

[k] Μέλλων Εὐρυμέδων ποτ' Ἀριστ.] Fragmentum hoc corruptum est et mutilum, quod apud Laërtium in vita Aristotelis, segm. 8. unde id Suidas deprompsit, recte sic legitur: Εὐρυμέδων ποτ' ἔμελλεν Ἀριστοτέλην ἀσεβείας Γράψασθαι, Δηοῦς μύστιδος ὢν πρόπολος· Ἀλλὰ πιὼν ἀκόνιτον, &c. KUST.

[l] Ἀριστοτέλει] Ἀριστοτέλη A. Ἀριστοτλ V. Tum γράψασθαι A.B.V.E. pro γράψαι.

[m] διὰ διφθόγγου om. A. pr.

ΠΡΟΠΟΝΤΙΣ] Statim delevi Ἡ πρὸ τοῦ Πόντου θάλασσα, ἡ τῷ Βυζαντίῳ ἐπικειμένη, cum A.B.V. Neque agnoscunt seqq. ΠΡΟΠΤΩΣΙΣ ἐστὶν, ὅταν ὀφθαλμὸς κινηθεὶς προπέσῃ, A. V.E. Ad eam gl. sic Kusterus: "Πρόπτωσις] Consule de "hac voce Stephanum in Thesauro, qui docet, id, quod "Græci πρόπτωσιν ὀφθαλμῶν vocant, Ciceronem *prolapsionem*, et Plinium, *procidentiam oculorum* dixisse."

ΠΡΟΠΥΛΑΙΑ ΤΑΥΤΑ: Δημοσθ.] Ex Harpocratione: qui plura habet. KUST.

[n] Πνυκὸς] πυκνὸς Harpocr. ms. Pal. πυκνῶς Photii ms.

[o] Ἐν γὰρ] ἐν γοῦν A. Photius. Harpocr. Mox εἴρετο V. Harpocr. ms. Pal.

Ἐν γὰρ—ὑποκρίτην] ἐν γοῦν—ὑπ. Harpocr. Non video, quomodo ista huc pertineant, nisi ad explicationem voculæ ταῦτα intellectæ ἀναφορικῶς. REINES.

[p] Ἡλιόδωρος δὲ περὶ τῆς Ἀθήνησιν ἀκροπ.] Supple ex Harpocratione: Ἡλιόδωρος δ' ἐν πρώτῳ περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως, μεθ' ἕτερα καὶ ταῦτά φησιν. KUST.

[q] ἔτεσι μὲν] ἔτεσι μὲν γὰρ A.V. Photius, Harpocr.

[r] εἰσίασι] εἰσιᾶσι B. Harpocr. ms. Pal. εἰᾶσι V.

[s] Ἐξ αὐτῶν τῶν] ἐκ A.B.V. Photius.

[t] Σοφοκλῆς] Elect. 512.

[u] Μυρτῖλος] Μύρτιλος A.V. Mox πρὸ ῥιζῶν etc. om. A.

ΠΡΟΣ] Lucian. in Hermotimo [c. 61.]: μετὰ τοῦτο κύαμοι, εἶτα κριθαὶ, καὶ ὑπὸ ταύταις φακοὶ, εἶτα ἐρέβινθοι, καὶ ἄλλα ποικίλα πρός. REINES.

Εἰς μῆκος δὲ, ὅσον [x]πόδας ξ', καὶ πρός.

Ἀντὶ τοῦ, πλεῖον, περισσότερον. Καὶ ὁ Θεολόγος·

Καὶ μικρόν τι πρός.

**Προσαγγελία:** [y]Πολύβιος·

Ἧκον ὑπὸ νύκτα πρὸς τὸν Φίλιππον, φάσκοντες συνωρμηκέναι τινὰς αὐτοῖς· τούτους δ' ἀπαγγέλλειν, ὅτι [z]καταλίποιεν ἐν Ῥηγίῳ πεντήρεις Ῥωμαϊκάς. Ὁ δὲ διαταραχθεὶς ἐκ τῆς προσαγγελίας, [a]ἔφυγε.

B Καὶ αὖθις·

[b]Τῷ δε Πτολεμαίῳ γενομένης προσαγγελίας, παρεῖναι τὸν Ἀρχίαν.

**Προσαγγέλλει:**

Ὁ δὲ ἑαυτὸν προσαγγέλλει (ἀντὶ τοῦ μηνύει) ἑαυτὸν ἄξιον θανάτου.

**Προσάγειν** καὶ **Παράγειν** διαφέρει.

C Προσάγουσι μὲν γὰρ πάντες οἱ παραταξάμενοι, ᾗ ἂν [c]ἄριστοι εἶεν μάχεσθαι· παράγουσι δὲ οἱ σώφρονες [d]ᾗ ἂν ἀσφαλέστατα, οὐχ ᾗ ἂν τάχιστα [e]ἀπέλθοιεν. Παριέναι δὲ ἀνάγκη ἐκτεταμέναις μὲν ταῖς ἁμάξαις, [f]ἀνειργομένοις δὲ καὶ τοῖς ἄλλοις σκευοφόροις ἐπιπολύ.

Οὕτω φησὶ Ξενοφῶν. Καὶ **προσάγειν**, ἀντὶ τοῦ οἰκειοῦσθαι, ἰδιοποιεῖσθαι.

D Ὁ δὲ [g]ἐμήνυε διὰ τῶν πρέσβεων, ὡς προσάγοιτο μὲν τὰ ἔθνη χρήμασι καὶ δώροις, [h]καταγγέλλοι δὲ κοινὰ τὰ κερδαλέα τὰ ἀπὸ τοῦ πολέμου.

**Προσάγομαι:** Δοτικῇ.

**Προσαγορεύω:** Αἰτιατικῇ.

**Προσαγώγιον:** Τὸ τῶν τεκτόνων ὄργανον, ὃ προσάγοντες εὐθύνουσι τὰ στρεβλὰ ξύλα.

**Προσάιδω:** Δοτικῇ.

**Πρὸς ἀκτῖνα:** [[i]Πρὸς] ἀνατολήν.

E **Προσαλισκόμεθα:** Ἀντὶ τοῦ, πρὸς τούτοις καταδικαζόμεθα [k]καὶ ζημιούμεθα.

Κᾆτα προσαλισκόμεθα.

**Προσαμφιῶ:** [l]Πρὸς οἷς ἔχεις ἐνδύσω.

**Προσανανεωσάμενος:** Ἀνακαινίσας, καὶ ἀνεγείρας.

[m]Ὁ δὲ Μάρκος προσανανεωσάμενος τὴν τοῦ τείχους ταπεινότητα, ἐπεβάλλετο καταπειράζειν τῆς ἐλπίδος.

**Προσανατάθεις:** Ὀργισθείς, ἐπαρθείς.

[n]Ὁ δὲ βραχέα προσανατάθεις, κατένευσε ποιήσειν.

Ἀντὶ τοῦ, κατεπαρθείς.

**Προσανατεινόμενος:** Ἀπειλῶν.

Τὰ μὲν παρακαλῶν, τὰ δὲ προσανατεινόμενος.

**Προσαναφωνῶ:** Δοτικῇ.

**Προσανέχων:** Προσέχων, προσκεκολλημένος. [o]Πολύβιος·

Ὁ δὲ πᾶν ὑπομένειν ἐδόκει, προσανέχων ταῖς τῶν Αἰγυπτίων ἐπαρχίαις.

Καὶ αὖθις·

[p]Ὁ δὲ Δημήτριος προσανέχων τῇ παρουσίᾳ τοῦ [q]διαποσταλησομένου πρὸς αὐτόν.

Καὶ **προσανέχοντι**, ἐξέχοντι.

[**Πρὸς ἀνίσχοντα ἥλιον:** Ἀνατέλλοντα.]

**Πρόσαντες:** Δυσχερὲς, καὶ ἐναντίον. [[r]Καὶ ζήτει ἐν τῷ Ἄναντες.]

**Προσάντης:** Καὶ ἡ δοτικὴ, προσάντει.

**Προσάντως:** Ἐπίρρημα.

[s]Μήτε ἀκαίρως παρακαλεῖν, μήτε προσάντως.

**Πρὸς ἀπαλέξησιν:** Πρὸς βοήθειαν.

**Προσάπτομαι:** Γενικῇ. **Προσάπτω** δὲ, δοτικῇ.

**Προσαρασσόμενα:** Προσρηγνύμενα, προσκρουόμενα.

**Προσαστειασάμενος:** Ἀστεῖόν τι προσειπών.

---

[x] πόδας om. V.

[y] Πολύβιος] Lib. V. c. 110. KUST.

[z] καταλίποιεν] καταλείποιεν A.V.

[a] ἔφυγε—προσαγγελίας om. A.

[b] Τῷ δὲ Πτολεμαίῳ] Vid. Polyb. XXXIII. 3.

ΠΡΟΣΑΓΓΕΛΛΕΙ] A. in marg.

F ΠΡΟΣΑΓΕΙΝ καὶ ΠΑΡΑΓΕΙΝ διαφ. Προσάγουσι μὲν γ.—— ἐπιτοπολύ] Hæc omnia sunt verba Xenophontis lib. V. De Exped. Cyri, [Cyrop. V. 4, 44.] p. 140. ut Portus monuit. Ibi autem prior hujus fragmenti pars sic legitur: Οὐ γὰρ τὸ αὐτό ἐστι προσάγειν τε καὶ παράγειν. Προσάγουσι μὲν γὰρ ἅπαντες, οὕτω ταξάμενοι, ὡς ἂν οἴωνται ἄριστα μάχεσθαι. Ἀπάγουσι μέντοι οἱ σώφρονες, &c. KUST.

[c] ἄριστοι] ἄριστα A.

[d] ᾗ ἂν ἀσφαλέστατα] Hæc verba ex prioribus editt. [et B.E.] exciderunt, quæ ex ms. A. et Xenophonte revocavi. KUST.

G [e] ἀπέλθοιεν· παριέναι δὲ ἀνάγκη] ἀπέλθοιεν παριέναι· ἀνάγκη δὲ A.B.V.E.M.

[f] ἀνειργομένοις] ἀνειργμένοις V.

[g] ἐμήνυε] ἐμήνυσε V.

[h] καταγγέλλοι] καταγγέλλει A.B.E. Mox κοινὰ καὶ κ. A.

ΠΡΟΣΑΓΩΓΙΟΝ] Schol. Platon. p. 42.

ΠΡΟΣΑΙΔΩ] A. marg.

[i] [Πρὸς] ἀνατολὴν] πρὸς om. A.B.E.M. ἀνατολὴ Photius.

H ΠΡΟΣΑΛΙΣΚΟΜΕΘΑ: Ἀντὶ τοῦ, πρὸς τ.] Ex Schol. Aristoph. Acharn. 701. προσαλισκόμεσθα bis A.

[k] καὶ ζημιούμεθα om. V.

[l] Πρὸς οἷς ἔχεις] Scribendum, ἔχει. Quomodo recte legitur apud Schol. ad Aristoph. Eq. 887. unde hunc locum decerpsit Suidas. TOUP.

[m] Ὁ δὲ Μάρκος] Hic locus auctior legitur v. Ἀνανεωσάμενος, ubi tamen male scribitur, ἀναγείρας. In utroque autem vertendo Interpres gravissime hallucinatus est. Græca, quæ proculdubio Polybii sunt, ita vertenda sunt: *Marcus autem humilitatem muri recordatus, rem periclitari aggressus est.* Verbum usurpat Dionysius Halicarn. Antiq. Rom. lib. VII. p. 462. Ἔμαθεν ἡ βουλὴ παρὰ τοῦ τὸ πραχθὲν ἈΝΑΝΕΩΣΑΜΕΝΟΥ. *Senatus ab illo, qui rem ipsi in memoriam revocarat, cognovit.* TOUP.

ΠΡΟΣΑΝΑΤΑΘΕΙΣ] Sic recte ms. A. At mss. B. et C. itemque priores editt. omnes male habent, προσανατιθείς. Confer Nostrum supra v. Ἀναταθείς. KUST.

[n] Ὁ δὲ βραχέα] Hoc fragmentum Polybio adjudicandum esse censeo. Ita enim locutus est Polybius, lib. V. p. 591. Πτολεμαῖος δὲ ΒΡΑΧΕΑ ΠΡΟΣΑΝΑΤΑΘΕΙΣ καὶ καταμεμψάμενος ἐπὶ τοῖς πεπραγμένοις τὸν Ἀντίοχον, συνεχώρησε σπονδὰς ἐνιαυσίους. *Ptolemæus pauca comminatus, et de Antiochi questus injuriis, inducias in annum concessit.* TOUP. Fr. gr. 108.

ΠΡΟΣΑΝΑΦΩΝΩ] Om. V. Habet A. in marg.

[o] Πολύβιος] Fr. Hist. 3.

[p] Ὁ δὲ Δημήτριος] Polyb. XXXI. 23, 13.

[q] διαποσταλησαμένου] διαποσταλησομένου B.E.

ΠΡΟΣ ἈΝΙΣΧΟΝΤΑ] Προσανισχόντα junctim legendum monet Tan. Faber ad Luciani Pereg. p. 586. HEMST. Hanc gl. habet A. in marg. om. V. ἥλιον ἀ. om. A.B.

[r] Καὶ ζήτει etc. om. V. Habet A. a m. rec.

ΠΡΟΣΑΝΤΩΣ] Utitur Diodor. Sic. t. I. p. 639. [XIV. 1. ubi v. Wessel.] TOUP.

[s] Μήτε] E Nicol. Damasc. de Vit. Aug. dicit excerpta esse Grotius Ep. 110. ad Gallos p. 254. 292. REINES. Vid. Excerpt. Vales. p. 481. Mox πρὸς ἐπάλξησιν M.

ΠΡΟΣΑΠΤΟΜΑΙ] Pausan. 149. προσήπτετο τῶν στεφ. TOUP. Hanc gl. habet A. in marg. om. V.

[s]Ὁ δὲ παρακαλέσας αὐτὸν, καί τι προσαστειασάμενος τοιοῦτον,

> [t]Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.

[Προσαυδῶ: Δοτικῇ.]

Πρὸς αὐτοῦ: Ἀντὶ τοῦ, ὑπὲρ αὐτοῦ.

[u]Ὁ δὲ οὐ κατ' αὐτοῦ, ἀλλὰ πρὸς αὐτοῦ εἶναι νομίσας τὰ συμβαίνοντα περὶ τοὺς ἐναντίους, [x]ἐγίνετο περὶ τὸν Μάρκον, σπουδάζων τὴν τόλμαν ἀφελέσθαι, καὶ προκαταλαβεῖν αὐτοῦ τὴν ὁρμήν.

[Προσβάλλει: Δοτικῇ. Προσέρχεται.

Προσέβαλε δὲ ταῖς ἀκοαῖς αὐτῶν ἦχος ἐμμελὴς θείων ὕμνων.

Δι' ἑνὸς λ', δεύτερος ἀόριστος. Προσέβαλλε δὲ, ἀεὶ διὰ δύο λλ', παρατατικός.]

[Προσβαίνω: Δοτικῇ.]

Πρὸς βίαν: Βιαίως, [y]ἀναγκαστικῶς.

Ὁ δὲ οὐκ ἐφείσατο αὐτῆς, (ὁ ἐραστὴς, ὁ ἐναγής,) ἀλλ' ἐξαγαγὼν αὐτὴν τοῦ νεὼ πρὸς βίαν διέφθειρε μάλα ἀνοίκτως.

[Προσβλέπω: Δοτικῇ.

Οὐδὲ προσβλέπειν ἂν ἔτι δυναίμην αὐτῇ.]

Προσβολή: Ζημία, δαίμονος ὀργὴ, παρὰ Ἀριστοφάνει. Ἀντὶ γὰρ τοῦ εἰπεῖν, ζῷον, ζημίαν εἶπε, καταρώμενος αὐτῷ.

> Χὤτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολὴ,
> οὐκ οἶδα.

Περὶ τοῦ κανθάρου.

Προσεγεγόνει: Συνεμίχθη, συνηριθμήθη.

Ὁ δὲ τοῦ βασιλέως Ἀρμενίας παῖς προσεγεγόνει αὐτῷ ξὺν δυνάμει ἱππικῇ οὐκ ὀλίγῃ.

Πρόσγειον: Τὸ πρὸς γῆν.

Προσγράφει: Προσκρίνει.

Προσδέδεμαι: Δοτικῇ.

Προσδέξασθαι:

[z]Προσδέξασθαι δὲ, τὸ δὴ λεγόμενον, [a]πρὸς τὰς πλευρὰς τοὺς πολεμίους.

Ἀντὶ τοῦ, σύνεγγυς.

[Προσδέχομαι: Αἰτιατικῇ.] Προσδεχόμενοι, προσδοκῶντες.

Προσδεῖσθαι καὶ ἐνδεῖσθαι [b]διαφέρει. Τὸ μὲν γὰρ δηλοῖ ὀλίγων τινῶν κτῆσιν· τὸ δὲ, [c]παντελῆ ἀπορίαν τοῦ ὅλου δηλοῖ.

[Προσδιαλέγομαι: Δοτικῇ.

[Προσδίδωμι: Αἰτιατικῇ.]

[Προσδοκία: Ὅτι διαφέρει προσδοκία ἐλπίδος. [d]Ἐλπὶς μὲν γάρ ἐστι προσδοκία ἀγαθῶν. Καὶ ὁ φοβούμενος προσδοκᾷ, ἀλλ' [e]οὐκ ἀγαθά. Κακῶν γὰρ προσδοκία ἐστὶν ὁ φόβος· ἀγαθῶν δὲ, ἡ ἐλπίς. Ἐπεὶ οὖν οὐχ ὑφεστώτων πραγμάτων οἱ ἀσεβεῖς [f]προσδοκῶσιν, ἀπόλλυται αὐτῶν ἡ ἐλπὶς, ὡς μένουσι τοῖς ἤθεσι χρῶνται.]

[Πρὸς δύο δ' οὐδ' Ἡρακλῆς: Παροιμία. Ζήτει ἐν τῷ, Οὐδ' Ἡρακλῆς πρὸς δύο.]

Πρὸς αἵματος: Τοὺς συγγενεῖς. [g]Σοφοκλῆς·

> Ἄρ' ὧδ' ἄριστος ἐξ ἀριστέοιν δυοῖν
> βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος;

Προσαίτης: Ὁ ἐπαίτης. Προσαῖτις δὲ, θηλυκὸν, διὰ τοῦ ι.

Προσαιτῶν: Πολλὰ αἰτῶν.

Προσεδρεία: [h]Προεδρία δὲ.

Προσεδρεύω σοι:

Πρόσεδρος:

> [i]Τότ' ἐκ προσέδρου λιγνύος διάστροφον
> ὀφθαλμὸν ἄρας, [k]εἶδέ μ' ἐν πολλῷ στρατῷ.

Προσέκειτο: Ἀντὶ τοῦ, προσεῖχε. [l]Θουκυδίδης α'.

Προσέκοψεν: Ἀντὶ τοῦ, [m]προσέπταισεν. Ἄλεξις.

Προσέκοψε τῷ ἀνθρώπῳ: Ἀντὶ τοῦ, ἠλλοτριώσατο. Οὕτως Ποσείδιππος.

Προσεκτικώτατα:

[s] Ὁ δὲ παρακαλέσας αὐτὸν, καί τι πρ.] Valesius fragmentum hoc Polybio tribuit. KUST. Fr. gr. 109.

[t] Αἰεὶ δ' ὁπλοτ.] Est versus Homericus Il. γ'. 108. KUST.

ΠΡΟΣΑΥΔΩ] A. marg. om. V.

ΠΡΟΣ ΑΥΤΟΥ] Sophocl. Œd. Tyr. 1433. ubi vid. Schol. Xenoph. Mem. p. 747. Agathias p. 16. TOUP.

[u] Ὁ δὲ οὐ κατ' αὐτοῦ, ἀλλὰ πρ.] Hæc sunt verba Polybii, lib. III. c. 104. KUST.

[x] ἐγένετο] ἐγίνετο A.B.E.

ΠΡΟΣΒΑΛΛΕΙ δοτικῇ V. in marg. Προσέρχεται idem in textu ceteris omissis. Habet tamen in marg. Προσέβαλεν ἅπαξ δι' ἑνὸς λ̄. προσέβαλλε δὲ ἀεὶ διὰ δύο λ̄λ̄. Προσέβαλε etc. A. in marg. Hoc exemplum Æliano tribuit Valckenærius.

ΠΡΟΣΒΑΙΝΩ] om. A.V.

[y] ἀναγκαστικῶς] ἀναγκαστῶς A. Seq. exemplum Æliano tribuit Valckenærius. αὐτὸν V. pro αὐτῆς.

ΠΡΟΣΒΛΕΠΩ] Gl. om. A.V. Exemplum deest B.E. M. Sed habet Ald. Luciani est Dial. Meretr. XI.

ΠΡΟΣΒΟΛΗ: Ζημία. Δαίμ.] Ex Schol. Aristoph. Pac. 39.

ΠΡΟΣΕΓΕΓΟΝΕΙ] Προσγεγόνει B.

ΠΡΟΣΔΕΔΕΜΑΙ] A. marg.

[z] Προσδέξασθαι δὲ, τὸ δὴ λεγ.] F. Ursinus et Casaubonus fragmentum hoc Polybii esse volunt. KUST. Fr. gr. 110.

[a] πρὸς] εἰς A.B.V.E.

ΠΡΟΣΔΕΧΟΜΑΙ: Αἰτι.] A. marg. om. V. Uterque om. ὁμοίως post προσδεχόμενος.

[b] διαφέρει] διαφέρουσι Photius.

[c] παντελῆ] παντελῶς A.V. Photius, Lex. Seg.

ΠΡΟΣΔΙΑΛΕΓΟΜΑΙ] A. marg. om. V. qui om. Προσδίδωμι.

ΠΡΟΣΔΟΚΙΑ] Hunc art. habent A. et V. in marg.

[d] ἘΛΠΙΣ μὲν γάρ ἐστι προσδ.——ἀγαθῶν δὲ ἡ ἐλπίς] Hæc αὐτολεξεὶ etiam legas apud Didymum in Catena in c. 6. Job. p. 199. ut monuit Suicerus in Thesauro Ecclesiastico, v. Ἐλπίς. Confer etiam Nostrum supra v. Ἐλπὶς, ubi eadem leguntur. KUST.

[e] οὐ προσδοκᾷ] οὐκ A.V.

[f] προσδοκῶσιν] Legerim potius, προσδοκίαν ἔχουσιν, propter præcedentem genitivum, ὑφεστώτων πραγμάτων. Verbum enim προσδοκᾶν cum genitivo construi non solet. KUST.

ΠΡΟΣ ΔΥΟ Δ'] Deest art. A.V. δ' om. B.E.

[g] Σοφοκλῆς] Aj. 1305.

[h] ΠΡΟΕΔΡΙΑ] Longin. p. 6. Suidas v. Παράδεισος. TOUP.

ΠΡΟΣΕΔΡΕΥΩ] Om. V. A. a m. s.

[i] Τότ' ἐκ προσέδρου λιγν.] Sophocl. Trach. 796.

[k] εἶδέ μ'] εἶδεν A.V.E.M. Mox στρατοῦ B.E.

[l] Θουκυδίδης] I. c. 93.

[m] προσέπαισεν] Lege προσέπταισεν. Est nota una de optimis ex Atticista veteri. VALCK. Diserte προσέπταισεν A. cum Lex. Seg. Bekker. p. 112, 9. qui habet Ἄλεξις Ἐπιστολῇ. Conf. Aristoph. Vesp. 275. Προσέπαισεν retinet Photius.

Ἐδόκει γὰρ Ῥωμαίων [n] προσεκτικώτατα καὶ ἐπιμελέστατα κατὰ τοὺς πατρίους θεσμοὺς ἐπιτελεῖν τὰς θυσίας. A

Ἀντὶ τοῦ, πολυτελῶς, νουνεχῶς.

Προσέληνοι: Ἡρόδοτος τοὺς Ἀρκάδας οὕτω λέγει· τουτέστιν, ἀρχαίους, πρὸ τῆς σελήνης.

Προσελοῦμεν: Ἀντὶ τοῦ, προπηλακίζομεν, ἐλαύνομεν, εἰσβάλλομεν.

Προσέμαξε: Προσπαρέθηκε, προσεκόλλησε. Μάττειν γὰρ λέγεται τὸ ἀναμιγνύναι, καὶ φυρᾶν, καὶ εἰς ἓν συνάγειν τὰ ἄλευρα. Ἀριστοφάνης· B

Τὸν Πειραιᾶ προσέμαξε.

Πρὸς ἐμοῦ εἶ: Οἰκεῖός μοι, ἐγγύς μου, φίλος μου, παρ' ἐμοί.

Προσένεγκε: Προσενέγκαι δέ.

Προσέπαισε: Προσέπαιξε. Πλάτων τῷ σ' ἀντὶ τοῦ ξ' κέχρηται.

Προσέξονται: Ἀντὶ τοῦ προσκολλῶνται. C

Προσέξονται ταῖς κοτύλαις αἱ πέτραι.

Προσεπιμετρῶν: Πλείω τοῦ μεμετρημένου διδούς.

[o] Προσεπιμετρῶν ἀεὶ τῷ δεομένῳ, πρὸς τὸ παρὰ πάντων ὁμολογουμένως γίνεσθαι τὴν ἐπὶ τούτοις χάριν.

Προσεπιτραγῳδήσουσι: Δεινολογήσουσι.

Δεδιὼς μὴ πολλαπλασιάσαντες τὸ προτέρημα, καὶ προσεπιτραγῳδήσαντες, καταπλήξωνται [p] τοὺς ἐν τοῖς Τυάνοις. D

Προσεποιήθη:

Ὁ δὲ [q] ὠργίζετο μὲν ἀθετηθεὶς, οὐ μὴν [r] προσεποιήθη κατὰ τὸ παρόν.

Ἀντὶ τοῦ, ἐφανέρωσεν, ἐνεδείξατο. Δαμάσκιος·

Ἠισθάνετο μὲν οὖν ἡμῶν [s] ταύτῃ πῃ διακειμένων, οὐ μέντοι προσεποιήθη τὸν νοῦν προσέχειν.

Καὶ αὖθις· E

Ὁ [t] δὲ καὶ πολλάκις ἀκούων, οὐ προσεποιεῖτο.

Προσεποιήσαντο: Ἰσαῖος. Ἀντὶ τοῦ, [u] ἀντεποιήσαντο.

Προσεποίσω: Προσεπάξω.

Προσερήσομαι: Ἐρωτήσω.

Πρὸς ἐρρωγυῖαν [x] ᾄδεις: Ἐπὶ τοῦ μάτην πονοῦντος.

Προσερρύη: Προσεφοίτησε, προσῆλθε, οὐ [y] προσέρρευσεν.

Προσέσθαι: [z] Ἀριστοφάνης·

Ἀλλ' ὅτι σιγᾷ, κοὐδὲν γρύζει, τοῦτ' οὐ δύναταί με προσέσθαι.

Ἐφελκύσασθαι. Καὶ [a] αὖθις Αἰλιανός·

[b] Ἡ δὲ οὐ προσεῖτο τὴν δόσιν, ἑταιρικὸν φάσκουσα εἶναι μίσθωμα τὸ ἑαυτὴν παραβάλλειν ἀνδρὶ ἀγνῶτι, καὶ ὥσπερ ὤνιον τὸ κάλλος ἀποδόσθαι.

Καὶ αὖθις·

Ὥστε μηκέτι αὐτὸν προσέσθαι εἰς ὁμιλίαν.

C Προσέσχεν: Ἐξώκειλε. [c] Σοφοκλῆς·

Τίς σ', ὦ τέκνον, προσέσχε; τίς προσήγαγε
χρεία; τίς ὁρμή; [d] τίς ἀνέμων ὁ φίλτατος;

Καὶ αὖθις·

[e] Τίνι
στόλῳ προσέσχες τήνδε γῆν; πόθεν πλέων;

Λέγεται καὶ κατέσχεν. Ὁ αὐτὸς [f] Σοφοκλῆς·

Ἡνίκ' ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο [g] ναυβάτῃ στόλῳ.

D Προσέσχε: Κατῆρεν, ἐπλησίασεν. Αἰλιανός·

Εἶτα τῆς ὑστεραίας προσέσχε τῇ Χίῳ, καὶ [h] ἀποβάντες ἐντυγχάνουσι τῇ κόρῃ πιπρασκομένῃ.

Προσεταιρισάμενος: Ἑταίρους προσλαβόμενος.

Προσέτι: Ἐπίρρημα.

Προσετρίψατο: Ἐπέβαλε, κατέχεε.

[i] Τῷ βίῳ τῶν ἀνθρώπων κηλῖδα προσετρίψατο.

E Προσεύξῃ τὸν θεόν: Οὕτως Ἀριστοφάνης [k] ἐν Πλούτῳ.

[n] προσεκτικώτατα καὶ ἐπιμελέστατα] ἐπιμελέστατα καὶ προσεκτικώτατα A. Mox τελεῖν A.B.V. pro ἐπιτελεῖν.

ΠΡΟΣΕΛΗΝΟΙ] Confer Nostrum supra v. Βεκκεσέληνε. KUST. Vid. Wesseling. Diss. Herodot. p. 41. TOUP.

ΠΡΟΣΕΛΟΥΜΕΝ: Ἀντὶ τοῦ, προπηλακίζ.] Ex Schol. Aristoph. Ran. 742. ubi tamen pro προσελαύνομεν rectius legitur, ἐλαύνομεν. KUST. ἐλαύνομεν A.V. F

ΠΡΟΣΕΜΑΞΕ: Προσπαρέθηκε. Προσεκ.] Ex Enarratore Comici ad Equit. 812. sed ubi legitur, προσέθηκε. KUST.

ΠΡΟΣ ἘΜΟΥ ΕΙ] Euripid. Iph. Aul. 646. πρὸς ἐμοῦ γενοῦ νῦν. TOUP. εἶ om. E. Mox μοι pro μου A.B.E. Photius.

ΠΡΟΣΕΝΕΓΚΕ] A. in marg. om. V.

ΠΡΟΣΕΠΑΙΣΕ] Ex Timæo.

ΠΡΟΣΕΞΟΝΤΑΙ] Deest gl. B.V.E. Nescio an irrepserit ex Zonara. G

[o] Προσεπιμετρῶν ἀεὶ τῷ δ.] Valesius fragmentum hoc ad Polybium refert. KUST. Fr. gr. 111.

[p] τοὺς ἐν τοῖς Τυάνοις] Sic habet optimus ms. A. [et V.] At mss. B. et C. [et E.] itemque præcedentes editt. omnes, τοὺς ἐπὶ τοῖς τυράννοις: quod corruptum esse non dubito. KUST. Τυάνοις citat H. Steph. Ind. Thesaur. p. 1723 D.

[q] ὠργίζετο] ὠργίζετο μὲν A.V. H

[r] προσεποιήθη] Vide Diodor. Excerpt. p. 577. Philemo Ἐπιδικαζομένῳ, Theophrast. Char. c. 1. TOUP.

[s] ταύτῃ ποι] ἡμῶν ταύτῃ πῃ A. πῃ pro ποι B.V.

[t] δὲ καὶ] καὶ om. B.V.E.

ΠΡΟΣΕΠΟΙΗΣΑΤΟ: Ἰσ.] Ex Harpocratione. KUST.

[u] ἀντεποιήσαντο] ἀντετάξαντο V.

ΠΡΟΣΕΠΟΙΣΩ] Προσεποιήσω A.V. Vulg. habet Photius.

ΠΡΟΣ ἘΡΡΩΓΥΙΑΝ ᾌΔΕΙΣ] Confer Nostrum infra v. Πρὸς κενὴν ᾄδεις. KUST.

[x] ᾌΔΕΙΣ] ἄγεις V. Mox πορνοῦντος A.

[y] προσέρρευσεν] οὐ προσέρρευσεν A.V. Phot. Est præceptum ni fallor Atticistæ monentis in usu esse Προσερρύη, non Προσέρρευσεν.

ΠΡΟΣΕΣΘΑΙ] Josephus p. 75. Pausanias p. 140. verbum restitue Euripid. Med. 1052. TOUP.

[z] Ἀριστοφάνης] Vesp. 739. Mox γρύξει V. et μοι A. pro με.

[a] αὖθις addunt A.V. Mox προσεδεῖτο A.

[b] Ἡ δὲ οὐ προσεῖτο τὴν δ.] Idem fragmentum Æliani legitur etiam supra v. Μίσθωμα. KUST.

[c] Σοφοκλῆς] Philoct. 236.

[d] τίς δ' ἀνέμων] δ' om. A.

[e] Τινι] Ib. 243.

[f] Σοφοκλῆς] Ib. 269.

[g] ναυβάτῃ] νάβάτῃ V.

[h] ἀποβάντες] καὶ ἀποβάντες B.E. καὶ ἀποβαν^τ V. καὶ ἀποβάντι M. καὶ addit A. Mox πιπρασκομένους E.

ΠΡΟΣΕΤΙ] Om. V. Habet A. in marg.

[i] Τῷ βίῳ] Æliano tribuit Valckenærius.

[k] ἐν Πλούτῳ] Ver. 959. Statim delevi cum A.B.V.E. sequentia: ΠΡΟΣΕΥΧΗ: Συνουσία καὶ ἕνωσις Θεοῦ καὶ ἀνθρώπων. Ἢ, Αἴτησις ἀγαθῶν μεθ' ἱκετηρίας προσαγομένη τῷ Θεῷ. Ἡ τῆς πρὸς τὰ ῥηθέντα καλὰ τοῦ τετηρηκότος μεταποιήσεως αἴτησις. Ἢ ἀρετῆς ἔπαθλον, ὃ μάλιστα χαίρων Θεὸς ἀντιδίδωσιν. Ἢ, Προσευχὴ ἐστὶν ὁμιλία νοῦ πρὸς Θεόν. Ἢ, κατάστασις νοῦ φθαρτικὴ παντὸς ἐπιγείου νοήματος. Ἢ, αἴτησις ἀγαθοῦ παρὰ

Προσευσχολεῖν: Ἐπιμελῶς βλέπειν.

Ἀφιέναι δὲ τὸ σπουδαζόμενον, καὶ τῇ θεωρίᾳ προσευσχολεῖν αὐτοῦ.

[Προσεφθέγξατο: Αἰτιατικῇ.]

Προσεχές: Ἐγγύς.

Ἐπὶ τάδε τῆς πόλεως ὁρμεῖν οὐκ [l]ἐδύνατο, διὰ τὸ προσεχεῖς εἶναι ἀκτὰς τοῖς ἐτησίαις.

[m]Ἀλίμενος γάρ ἐστι καὶ προσεχὴς ὁ τῇδε αἰγιαλός.

Προσέχεια: Ἡ προσοχή.

Προσέχοιεν: Ἐπιμελῶς [n]τηροῖεν.

Ὅπως οἱ πολέμιοι ταύτῃ προσέχοιεν τὸν νοῦν.

Καὶ αὖθις·

Οὐδὲ [o]πάνυ τοι προσεῖχε τοῖς βιβλίοις.

Πρὸς ζόφον: Πρὸς δυσμάς.

Πρόσει: Προσέρχῃ.

Προσειλήφεσαν: Ὑπέλαβον, [p]ἐνενόησαν. [q]Ἰώσηπος·

Προσειλήφεσαν γὰρ ἐκ τοῦ σχήματος μηδὲν [r]αὐτὸν ἀρνήσασθαι τῶν ὑπονοηθέντων, ἀλλ' ἐπὶ συγγνώμης πορισμῷ πάντα πεποιηκέναι.

Πρόσειλος: Πρὸς τὴν εἵλην, ἤτοι [s]θερμασίαν.

Προσείλου: Προσελάβου, συνηρίθμησας. Αἰλιανός·

Εἶτα, ἀσελγέστατε, τοσοῦτοι ἐχθροὶ [t]γεγενήμενοι οὐκ ἤρκεσαν, ἀλλ' ἄρα καὶ ἐμὲ εἰς τὴν τῶν ἐχθρῶν προσείλου τάξιν;

[Προσειπών:

Καὶ τοὺς ἀδελφοὺς τὰ ἔσχατα προσειπών.

Καὶ,

Προσειπὼν οὖν τὸν Δανιήλ.]



Προσείρων: Προσάπτων.

[Πρόσεισι: Δοτικῇ.]

Προσεῖχε:

Προσηγάγου: Ἀντὶ τοῦ, [u]περιεπλέξω, παρὰ [x]σεαυτὸν ἔλαβες. [y]Ἀριστοφάνης Ὄρνισιν·

Οὐκ ἔκυσας, οὐ προσεῖπας, οὐ προσηγάγου.

Ἀντὶ τοῦ, πρὸς σεαυτὸν ἔλαβες εἰς συνουσίαν.

Προσηγάσθησαν: Ὑπερεθαύμασαν.

[z]Τοῦτον ἀπεδέξαντο τὸν λόγον τοῦ νεανίσκου, καὶ προσηγάσθησαν, πῶς οἴει, σφόδρα τὸν Πρόκλον.

Προσηγγελμένοις: Τοῖς ἤδη ἀγγελθεῖσι.

[a]Τοῖς προσηγγελμένοις [b]ἐπαρκέσας, οὐδὲν προυργιαίτερον ποιήσεται μετὰ ταῦτα τοῦ βοηθεῖν σφίσι κατὰ δύναμιν.

Προσηγλαΐστο: Ἐλαμπρύνετο.

Προσηγορία: Προσφώνησις.

Προσήγορος:

[c]Ὅπου
θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.

Προσήκαντο: [d]Αἰτιατικῇ. Κατεδέξαντο, ἠθέλησαν.

Οἱ πλεῖστοι μὲν οὖν προσήκαντο τὴν πρεσβείαν· ὀλίγοι δέ τινες διεχρήσαντο τοὺς [e]ἐλθόντας.

Καὶ αὖθις·

[f]Μωϋσῆς μὲν προσήκατο τὴν συμβουλίαν.

Προσήκει: Πρέπει.

Προσήκει γε μὴν Ῥωμαίοις μετ' ἀσφαλείας τὸ νικᾶν, ὡς ἂν οὐκ ἐξ ἀνάγκης πολεμοῦσιν, ἀλλὰ προσκτωμένοις.

Προσήκων: Δοτικῇ. Κατὰ γένος ἀγχιστεύων.

Ἦν δὲ ὁ παῖς προσήκων κατὰ γένος.

---

τῶν εὐσεβῶν εἰς Θεὸν γινομένη. Ἤ, αἴτησις ὧν πέφυκεν ὁ Θεὸς ἀνθρώποις δωρεῖσθαι πρὸς σωτηρίαν. Ὅτε τὸ ἀξίωμα τοῦ Θεοῦ νοήσας, αἰτῶ τι παρὰ τοῦ Θεοῦ, τότε προσεύχομαι. Eadem habet Zonaras. Ad αἴτησις ἀγαθῶν hæc Kusterus: "Eandem definitionem τῆς προσευχῆς legas apud Gregor. Nyssenum Orat. II. in Orat. Dominic. p. 724." qui ἢ τῆς πρὸς—αἴτησις pro corruptis habet.

ΠΡΟΣΕΥΣΧΟΛΕΙΝ] Προσασχολεῖν E.

ΠΡΟΣΕΦΘΕΓΞΑΤΟ] Προσεφθέγγετο A. (ubi gl. in marg.) E. Gl. om. V. Delevi καὶ δοτικῇ δὲ σπανίως cum A.B. Mox habet A. in marg. Προσέχω: δοτικῇ.

[l] ἐδύνατο] ἠδύναντο A. Mox τὰς ἀκτὰς E.

[m] Ἀλίμενος γάρ ἐστι καὶ προσεχὴς] Interpres, *scopulis vicinum littus.* Non intellexit vocem προσεχής. Est autem προσεχὴς αἰγιαλὸς, *littus apertum et ventis expositum.* Græci πρὸς ἄρκτον, πρὸς μεσημβρίαν. Hinc προσέχειν et προσεχὴς, de eo quod *patet* et *obversum* est. Verbo utitur Strabo, lib. V. p. 373. Ῥαχιώδης γὰρ καὶ ΠΡΟΣΕΧΗΣ ὁ πλησίον αἰγιαλός. *Est enim vicinum littus scopulosum et importuosum.* Quem locum frustra suspectum habuerunt viri doctissimi. Auctor nescio quis apud Suidam: Ἐπὶ τάδε τῆς πόλεως ὁρμεῖν οὐκ ἐδύνατο, διὰ τὸ ΠΡΟΣΕΧΕΙΣ εἶναι ἀκτὰς ταῖς ἐτησίαις. *Ad citeriores urbis partes appellere non potuit, quod littora Etesiis obversa essent.* Quod plenum et planum est. Dionys. Halicarn. III. 44. p. 175. edit. Hudson. Τοῦ γὰρ Τιβέριος ποταμοῦ καταβαίνοντος μὲν ἐκ τῶν Ἀπεννίνων ὀρῶν, παρ' αὐτὴν δὲ τὴν Ῥώμην ῥέοντος, ἐμβάλλοντος δ' ΕΙΣ ΑΙΓΙΑΛΟΥΣ ΑΛΙΜΕΝΟΥΣ ΚΑΙ ΠΡΟΣΕΧΕΙΣ, οὓς τὸ Τυρρηνικὸν ποιεῖ πέλαγος. Ad quem locum consulendus omnino Casaubonus. Plutarchus in Alexandro p. 25. edit. Bryan.—Ὡς θείᾳ τινὶ τύχῃ παραχωρήσασαν Ἀλεξάνδρῳ τὴν θάλασσαν,——σπανίως δὲ ΛΕΠΤΟΥΣ ΚΑΙ ΠΡΟΣΗΧΕΙΣ ὑπὸ τὰ κρημνώδη καὶ παρερρωγότα τῆς ὀρεινῆς ΠΑΓΟΥΣ διακαλύπτουσαν. Legendum: ΛΕΠΡΟΥΣ ΚΑΙ ΠΡΟΣΕΧΕΙΣ—ΠΑΓΟΥΣ. Athenæus I. 8. p. 9. Ἐλλήσποντον δὲ Ὅμηρος ἰχθυόεντα προσαγορεύων, καὶ τοὺς Φαίακας πλωτικωτάτους ποιῶν, καὶ ἐν τῇ Ἰθάκῃ εἰδὼς λιμένας πλείους καὶ ΝΗΣΟΥΣ ΠΡΟΣΕΧΕΙΣ πολλὰς, ἐν αἷς ἰχθύων ἐγίνετο πλῆθος καὶ ἀγρίων ὀρνίθων. TOUP.

[n] τηροῖεν] τηρεῖν A.B.V.E. τηρεῖεν M.

[o] πάνυ τοι] πάνυ τι A.B.V.

ΠΡΟΣ ΖΟΦΟΝ] Homerus Odyss. ί. 26. Πρὸς ζόφον· αἱ δέ τ' ἄνευθε πρὸς ἠῶ τ' ἠέλιόν τε. Scholiasta: Ζόφον: Νῦν δύσιν. Huc Suidas respexit. KUST.

ΠΡΟΣΕΙ] Spectat forte Aristoph. Ach. 165.

[p] ἐνόησαν] ἐνενόησαν A.V.

[q] Ἰώσηπος] Lib. III. de Bell. Jud. c. 43. p. 825. sed ubi pro ἀρνήσασθαι legitur ἀρνήσεσθαι. KUST. II. 21, 3.

[r] αὐτὸν] αὐτῶν B.E.M. Mox γνώμης V.

[s] τὴν θερμασίαν] τὴν om. A.V.

[t] γενόμενοι] γεγενημένοι A.V.

ΠΡΟΣΕΙΠΩΝ] Gl. om. V. Habet A. in marg.

ΠΡΟΣΕΙΣΙ] A. in marg. om. V.

ΠΡΟΣΕΙΧΕ] Hic addit V. καὶ τοὺς ἀδελφοὺς τ. ἔ. π.

[u] περιεπλέξω] περιέπλεξας A.

[x] ἑαυτὸν] σεαυτὸν A.B.V.

[y] Ἀριστοφάνης Ὄρνισι] Ver. 141.

[z] Τοῦτον ἀπεδέξαντο τὸν λόγον] Hæc sunt verba Damascii in vita Isidori apud Photium in Excerptis, p. 1073. Scribendum autem, πῶς οἴει; Quomodo locutus est Synesius, Epist. 22. Ἥσθην, ἀλλὰ ΠΩΣ ΟΙΕΙ; πάνυ μὲν οὖν ἀπὸ βαθείας τῆς γνώμης ἥσθην. Damascius apud Photium supra, p. 1064. Ὁρῶν δὲ ἐμαυτὸν τῷ θείῳ φωτὶ περιρρεόμενον, ΠΩΣ ΟΙΕΙ; σφόδρα τὴν ψυχὴν ἐτανυσκόμην. Ita scribendus iste locus. Sed in his sæpius peccatum. TOUP.

[a] Τοῖς προσηγγελμένοις ἐπαρκ.] Hæc sunt verba Polybii lib. IV. c. 66. KUST.

[b] ἐπαρκέσαντες] ἐπαρκέσας A.V. Mox ποιήσεται A. pro ποιήσετε.

[c] Ὅπου θνητῶν φαν.] Sophocl. Œdip. Tyran. 1437.

[d] Αἰτιατικῇ] om. A.

[e] ἐθέλοντας] ἐλθόντας A.B.V.E.M.

[f] Μωϋσῆς μὲν] Ex Josepho A. J. III. 4, 2.

A Καὶ αὖθις·

Καὶ οἱ τούτοις προσήκοντες τοὺς οἰνοχόους [g]τοῦδε ἡγησάμενοι [h]φαρμακεῖς ἀπέκτεινον.

**Προσήλιος**:

**Προσηλᾶ**: Αἰτιατικῇ.

**Προσήλυτοι**: Οἱ ἐξ ἐθνῶν προσεληλυθότες, [i]καὶ κατὰ νόμον ποθήσαντες πολιτεύεσθαι. Δαβίδ·

Καὶ προσήλυτον ἐφόνευσαν.

B **Πρὸς σῆμα μητρυιᾶς κλαίεις**: [k]Ἐπὶ τοῦ ἀφροντίστου, ἢ προσποιουμένου, ἢ ἐπὶ τῶν ἀδυνάτων.

**Προσημπόλησα**: Προσέλαβον.

**Πρὸς ἠῶ**: Πρὸς ἀνατολήν.

**Προσηρεικότος**: Προσαρμόσαντος.

[l]Ὁ δὲ κατεσκεύασε στοάς, καὶ διὰ τούτων προσηρεικότες τῷ τείχει τὰς κριοφόρους μηχανάς.

**Προσηρτημένος**: Προσκεκολλημένος.

C **Προσηρτῆσθαι**: [m]Ἀπῃωρεῖσθαι.

**Προσήσεσθαι**: Ἀρεσθῆναι, δέξασθαι. Ἀππιανός·

Οἱ ὕπατοι τὰ ὅρκια [n]προὔτεινον, καὶ ἐς πάντας ἔφασαν, ἐνδώσειν μᾶλλον, ἢ Ταρκύνιον προσήσεσθαι.

[**Προσήσεται**: Αἰτιατικῇ.]

**Προσηταιρίσατο**: Φιλικὰ ἐποίησεν.

Οὐκ ὀλίγους τε ἀπὸ τούτων προσηταιρίσατο.

D **Προσῆχεν**: Ἀντὶ τοῦ, [o]προσῆγεν.

**Προσίασι**: Προσέρχονται.

**Προσίενται**: Προσάγονται.

**Προσίεται**: Αἰτιατικῇ. Ἀρέσκεται, προσδέχεται. [p]Ἀριστοφάνης·

Τὰ μὲν ἄλλα μ᾽ ἤρεσε τῶν πραγμάτων, ἓν δ᾽ οὐ προσίεταί με,

(Ἀντὶ τοῦ, οὐ πείθει με,)

Ὅτι ὡς μόνος τὸν ζωμὸν ἐκροφήσεις.

E **Προσιζήσαντες**: Προσκαθίσαντες.

A [**Προσίημι**: Δοτικῇ.]

**Πρόσιμεν**: Προσερχόμεθα.

**Προσιών**: Προσερχόμενος.

**Προσίστατο**: Ἐνεπόδιζε.

**Πρόσισχε**: Τὸ πρόσεχε. Κρατῖνος·

Καὶ μὴ πρόσισχε βαρβάροισι βουκόλοις.

Καὶ Εὔπολις·

Πρόσισχε τὸν νοῦν τῇδε.

B Καὶ [q]Θουκυδίδης γ΄·

Παρανίσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως.

Οὕτω δὲ καὶ **ὑπίσχομαι**, τὸ ὑπισχνοῦμαι, οἵ τε τραγικοί, καὶ [r]Ἀριστοφάνης·

Τὸ πρᾶγμα τοῦτο συλλαβεῖν ὑπίσχομαι.

**Προσιτόν**: Προσδεχόμενον.

**Πρόσθεμα**: Ἡ προσθήκη.

C **Προσθέσθαι**: Συμπολεμῆσαι.

Καὶ Πομπηΐῳ τῷ μεγάλῳ προσθέσθαι, οὐ κατὰ δέος [s]τὸ Ῥωμαίων, ἀλλὰ κατ᾽ εὔνοιαν τὴν ἐς βασιλέα τέ καὶ αὐτοὺς Ῥωμαίους.

**Προσθεῖναι τὰς θύρας**: Ἀντὶ τοῦ ἐπικλεῖσαι. [t]Ἡρόδοτος γ΄.

[**Προσθίγω**: Δοτικῇ.]

**Πρὸς θυμοῦ**: Ἐπιμελέστερον.

D Εἶναι δὲ Ῥωμαίοις ἐκ παλαιοῦ πάτριον, καὶ μάλιστα δὴ πρὸς θυμοῦ Ἀντωνίῳ.

Ἀντὶ τοῦ, ἠγαπᾶτο.

**Πρὸς θυμοῦ αὐτοῖς [u]ἐγένετο**: Ἀντὶ τοῦ, ἀρεστὸν καὶ θυμῆρες. Καὶ αὖθις·

Τοῖς δὲ οὐ [x]πρὸς θυμοῦ ὁ πόλεμος ἐγίγνετο.

**Προσκαθεδοῦμαι**: Δοτικῇ.

**Προσκαθῆσθαι**: Ἐνυπάρχειν.

E Τῷ γὰρ μηδεμίαν ἔννοιαν μηδενὶ προσκαθῆσθαι τοῦ μέλλοντος, πάντας εἰς ἔκπληξιν ἤγαγε τοὺς [y]φοινικούς.

g τοῦδε] τούσδε A.V.E.

h Φαρμακεῖς] Vid. v. Φαρμακεῖς. TOUP.

ΠΡΟΣΗΛΙΟΣ A. in marg.

ΠΡΟΣΗΛΥΤΟΙ: Οἱ ἐξ ἐθνῶν προσελ.] Ex Theodoreto ad Psalm. XCIII. 6. p. 775. KUST.

i καὶ κατὰ τοὺς θείους πολιτευόμενοι νόμους] καὶ κατὰ νόμον ποθήσαντες πολιτεύεσθαι A. fere cum Theodoreto. Addit A. καὶ οἱ ξένοι. Deinde ut in edd.

k Ἐπὶ τοῦ] ἢ ἐπὶ τοῦ ἀφ. A. m. s.

ΠΡΟΣ ἨΩ] Homerus Odyss. ι΄. 26. KUST.

ΠΡΟΣΗΡΕΙΚΟΤΟΣ] Προσηρηκότος B.V. προσειρηκότος E.

l Ὁ δὲ κατεσκεύασε στοάς, καὶ δ.] Casaubonus in Commentario ad Polyb. p. 146. fragmentum hoc Polybio tribuit. KUST. Fr. gr. 112. ubi Schweighæuser. reponit προσηρεικότες.

m Ἀπῃωρεῖσθαι] ἀπῃωρῆσθαι V.

ΠΡΟΣΗΣΕΣΘΑΙ] Προσήεσθαι V. bis.

n προὔτειναν] προὔτεινον A.B.V.E.

ΠΡΟΣΗΣΕΤΑΙ om. A.V.

ΠΡΟΣΗΤΑΙΡΙΣΑΤΟ] Sic rectius ms. A. quam priores editt. quæ habent προσηταιρήσατο, per η in syllaba antepenultima. KUST. Dio in Excerpt. Ursini p. 421. προσηταιρίσατο αὐτοὺς διὰ τῶν ἐπιτηδείων. TOUP.

ib. Προσηταιρήσατο B.E. et E. in exemplo, ubi ὀλίγους δὲ V.

o προσῆγεν] προῆγεν A.V.

ΠΡΟΣΙΟΝΤΑΙ] Προσίενται A. Photius.

p Ἀριστοφάνης] Equit. 358. Τὰ μὲν ἄλλα μ᾽ ἤρεσας λέγων, ἓν δ᾽ οὐ προσίεταί με Τῶν πραγμάτων, ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήσεις. KUST.

ΠΡΟΣΙΗΜΙ om. A.V.

ΠΡΟΣΙΣΤΑΤΟ] Plutarch. II. p. 633. TOUP.

q Θουκυδίδης γ΄] Cap. 22. ubi sic legitur: Παρανίσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως Πλαταιῆς ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλούς, &c. KUST.

r Ἀριστοφάνης] Fr. inc. Dindorf. n. 30.

ΠΡΟΣΘΕΜΑ: Ἡ προσθήκη] Glossæ: Πρόσθεμα. *Penis, Appendix.* Etymol. Magn. Πρόσθεμα καὶ Προσθέματα ἐπὶ τῶν αἰδοίων. Παρὰ τὸ ἀλλήλοις ἐν ταῖς συνουσίαις προστίθεσθαι· ἢ διὰ τὸ ἐπὶ τὰ ἔμπροσθεν μέρη εἶναι. Quo sensu intelligendus Strato in Anthologia inedita. TOUP. Levit. XIX. 25. ἐν τῷ ἔτει τῷ πέμπτῳ φάγεσθε τὸν καρπόν, πρόσθεμα ὑμῖν τὰ γεννήματα αὐτοῦ. Hebr. הוסיף quam eandem vocem alius interpres Prov. I. 9. προσθήκη vertit. ERNEST.

ΠΡΟΣΘΕΣΘΑΙ] Προσθέσαι E.

s τῶν Ῥωμαίων] τὸ Ῥωμαίων A. Mox τοὺς ante Ῥωμαίους om. A.B.V.E.

G ΠΡΟΣΘΕΙΝΑΙ Τ. Θ.] Laërt. in Phædon. v. Kuhn. (II. 105.) TOUP.

t Ἡρόδοτος γ΄] Cap. 78. ἐπικλεῖσαι A. pro ἀποκλεῖσαι cum Photio et Lex. Seg. Bekker. p. 111, 23.

ΠΡΟΣΘΙΓΩ] A. in marg. om. V.

u ἘΓΕΝΕΤΟ] ἐγίνετο V.

x πρὸς θυμοῦ] Joan. Antioch. Exc. Vales. p. 838. οὐ πρὸς θυμοῦ τοῖς στρατιώταις ἦν. Arrian. Exp. p. 162. TOUP.

ΠΡΟΣΚΑΘΕΔΟΥΜΑΙ A. in marg. om. V. Tum Προσκάθημαι: δοτικῇ A. in marg.

H y φοινικοὺς] φοινικοὺς B.E. edd. ante Kuster. Portus vertit *Pœnos*, quomodo reddendum voluit Schweighæuserus. Atqui gentilitium nomen est Φοίνιξ, non Φοινικός. Si igitur scriptor anonymus Pœnos in animo habuit, corrigendum est Φοίνικας. Sed præstat manum abstinere.

Προσκαθίστη:

[y]Ὅτῃ ὕποπτοι ἦσαν ἐπελεύσεσθαι [z]οἱ πολέμιοι, προσκαθίστη.

Ἀντὶ τοῦ, ἐπολυπλασίαζε.

Προσκαλέσαι: Ἀντὶ τοῦ προσκαλέσασθαι.

Προσκακοπαθῶ: Δοτικῇ.

Προσκαλοῦμαι: Αἰτιατικῇ.

Πρὸς καλοῦ ἐγένετο αὐτῷ:

Πρὸς Κᾶρα καρίζεις: Ἐπὶ τοῦ ὁμοίου. Ὡς καὶ τὸ, Πρὸς Κρῆτα κρητίζεις.

Προσκαρτερῶ: Δοτικῇ.

Προσκαταθείην: Ἀντὶ τοῦ, [a]ζημιωθείην. [b]Ἀριστοφάνης·

[c]Κἂν προσκαταθείην γ', ὥστ' ὀμόσαι, τριώβολον.

Τουτέστι, ζημιωθείην ἂν τρεῖς ὀβολοὺς, ἵνα ἐπιτρέψῃς μοι ὀμόσαι τοὺς θεούς· οὕτω καταφρονῶ τῶν ὅρκων.

Προσκαύσασα: Ἐπὶ τῆς χύτρας.

[d]Προσκαύσασα ἡ Θρᾶττα πρώην τὴν χύτραν.

Πρὸς καιρὸν ποιῶ: Ἀντὶ τοῦ, ἀληθῶς.

Προσκεκλήσεσθαι: Τουτέστιν, εἰς δικαστήριον κληθήσεσθαι.

[e]Σὺ δὲ, νὴ τὸν Ἑρμῆν, προσκεκλήσεσθαί γέ μοι,
εἰ μὴ ἀποδώσεις τἀργύριον.

Ἀριστοφάνης Νεφέλαις.

Προσκεκροτκώς: Ἐχθρὸς γεγονώς.

[f]Ὁ δὲ Σεβαστιανὸς προσκεκρουκὼς διὰ γνώμης ὀρθότητα τοῖς

A κατακοιμισταῖς εὐνούχοις τοῦ βασιλέως, εὔκολος ὢν διὰ πενίαν καὶ κοῦφος ἐς μετανάστασιν, διεδέχθη [g]τῆς στρατηγίας.

Πρὸς κενὴν ᾄδεις. Πρὸς ἐρρωγυῖαν ᾄδεις: Ἐπὶ τοῦ μάτην πονοῦντος.

Πρὸς κέντρα λακτίζεις:

Προσκεφάλαιον: Οὕτω φησὶν [h]Ἀριστοφάνης.

[Προσκέχηνα: Δοτικῇ.]

Προσκέψομαι: Περισκοπήσω, περιεργάσομαι,

B εἰσελθὼν καὶ κατανοήσας.

Προσκείμενοι: Οἷον, [i]κολλώμενοι, προσεγγίζοντες. Καὶ, Προσκειμένων τῶν θυρῶν: Τουτέστιν, ἠσφαλισμένων.

[k]Ὁ δὲ ἐντυχὼν προσκειμέναις ταῖς θύραις,

([l]Ἀντὶ τοῦ, κεκλεισμέναις,)

καὶ τῶν ἐπισπαστήρων λαβόμενος, ἀπρὶξ εἴχετο, καρτερικῶς καὶ μάλα ἐγκρατῶς. [m]Ἐπεὶ δὲ ἀποσπώντων βίᾳ ἀπέκοψαν τὸ πᾶν

C σῶμα τῶν χειρῶν.

Προσκήνιον: Τὸ πρὸ τῆς σκηνῆς παραπέτασμα.

[n]Ἡ δὲ τύχη παρελκομένη τὴν πρόφασιν καθάπερ ἐπὶ προσκήνιον, παρεγύμνωσε τὰς ἀληθεῖς ἐπινοίας.

Προσκινήσομαι: [o]Ἀριστοφάνης·

Κακῶς παρέξω, κοὐχὶ προσκινήσομαι.

Συνουσιάσαι αὐτῷ δηλονότι.

Προσκληιδονιζόμενος: Ἐπ' ἀγαθῷ ὀττευό-

D μενος. [p]Ἰώσηπος·

[z] οἱ πολέμιοι] οἱ om. A.

ΠΡΟΣΚΑΚΟΠΑΘΩ, ΠΡΟΣΚΑΛΟΥΜΑΙ, ΠΡΟΣΚΑΡΤΕΡΩ A. in marg.

[a] ζημιωθείην] καὶ προκαταθείην addit E.

[b] Ἀριστοφάνης] Nub. 1237.

[c] Κἂν] καὶ B. προκαταθείην M. Mox ἂν om. B.E.

[d] Προσκαύσασα ἡ Θρᾶττα πρ.] Aristoph. Vesp. 824. Ἡ Θρᾶττα προσκαύσασα πρώην τὴν χύτραν. Sic etiam metri gratia apud Suidam scribendum est. KUST.

ΠΡΟΣ ΚΑΙΡΟΝ] Forsan Soph. Aj. 38. PORSON.

ΠΡΟΣΚΕΚΛΗΣΕΣΘΑΙ: Τουτέστιν ——— προσκεκλήσεσθαι γέ μοι] Hæc ex mss. Paris. revocavi. In prioribus enim editt. ea omnia desunt, et quæ sequuntur, cum præcedenti articulo male cohærent. KUST.

[e] Σὺ δὲ, νὴ τὸν Ἑρμ.] Aristoph. Nub. 1280.

[f] Ὁ δὲ Σεβαστ.] Confer Nostrum infra v. Σεβαστιανὸς, ubi locus hic auctior legitur. KUST. Eunap. Fr. 22.

[g] τὴν στρατηγίαν] τῆς στρατηγίας A.B.V.E. Suidas infra v. Σεβαστ.

ΠΡΟΣ ΚΕΝΤΡΑ ΛΑΚΤ.] Zenobius Cent. V. Adag. 70. Πρὸς κέντρα λακτίζειν: Παροιμία, ἧς μέμνηται Εὐριπίδης. Πρὸς κέντρα λακτίζοι (lege λακτίζοιμι) θνητὸς ὢν Θεῷ. Καὶ Αἰσχύλος δὲ ταύτης μέμνηται. Locus Euripidis, quem Zenobius hic adducit, exstat in Bacchis, 794. Idem Euripides Pelia, apud Stobæum: Πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου. Æschylus Prom. Vinct. 323. Πρὸς κέντρα κῶλον ἐκτενεῖς. Scholiasta ad eum locum: Πρὸς κέντρα κῶλον ἐκτενεῖς: Πρὸς ἀκάνθας τὸν πόδα ἐξάξεις. Ἔστι δὲ παροιμία εἰρημένη ἐκ τῶν βοῶν τῶν κεντουμένων ὄπισθεν, καὶ ἐν τῷ λακτίζειν τοὺς ἰδίους πόδας αἱμασσόντων τῷ κέντρῳ. KUST.

ΠΡΟΣΚΕΦΑΛΑΙΟΝ] In prioribus editt. non solum male legitur, πρὸς κεφάλαιον, duabus vocibus; sed etiam nota hæc cum præcedenti articulo cohæret, quam inde separandam esse, et series literarum et sensus satis arguit. Vox προσκεφάλαιον enim nihil commune habet cum proverbio illo, Πρὸς κέντρα λακτίζειν, sed est novæ notæ initium, ut et ante nos recte monuit Stanleius ad Æschyli Prometh. Vinct. 323. KUST.

[h] Ἀριστοφάνης] Plut. 542. Καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρὸν, ἀντὶ δὲ προσκεφαλαίου, &c. Vid. Lysist. 925.

ΠΡΟΣΚΕΧΗΝΑ] Polyb. p. 432. TOUP. Hanc gl. habet A. in marg. om. V.

ΠΡΟΣΚΕΨΟΜΑΙ: Περισκ.] Aristoph. Equit. 154. Ἐγὼ δ' ἰὼν προσκέψομαι τὸν Παφλαγόνα. Scholiasta: Προσκέψομαι: Περιεργάσομαι, φησὶν, εἰσελθὼν καὶ κατανοήσω, τί ποιεῖ ὁ Παφλαγών. KUST.

[i] κολλώμενοι] προσκολλώμενοι V.

[k] Ὁ δὲ ἐντυχὼν προσκειμέναις ταῖς θ.] Fragmentum hoc

E legitur etiam supra v. Ἐπισπαστήρων. KUST. Historia, quam tradidit Herodotus VI. 91. ab alio, fortasse Æliano, cujus stylum hæc satis referunt, amplioribus verbis enarrata. HEMST.

ib. Hæc partim leguntur supra v. Ἐπισπαστήρων. Descripsit autem Suidas, quod nemo vidit, ex Herodoto, cujus verba hic apponam. Leguntur autem in Erato, c. 91. Εἷς δέ τις τουτέων ἐκφυγὼν τὰ δεσμὰ, καταφεύγει πρὸς πρόθυρα Δήμητρος θεσμοφόρου· ἐπιλαμβανόμενος δὲ τῶν ἐπισπαστήρων, εἴχετο· οἱ δὲ, ἐπεί τέ μιν ἀποσπάσαι οὐκ οἷοί τε ἀπέλκον-

F τες ἐγίνοντο, ἀποκόψαντες αὐτοῦ τὰς χεῖρας, ἦγον οὕτω· χεῖρες δὲ κεῖναι ἐμπεφυκυῖαι ἔσαν τοῖσι ἐπισπαστῆρσι. Negari non potest quin ad hunc Herodoti locum respexerit Suidas. Hinc alter ex altero facile instaurandus. Ceterum verba illa, καρτερικῶς καὶ μάλα ἐγκρατῶς, sunt non nisi interpretamenta τοῦ ἀπρὶξ, a Suida pro more adjecta. Quod Hemsterhusio ad Pollucem notatum. Illud autem ἀπρὶξ εἴχετο quantivis pretii est, et Herodoto proculdubio restituendum. Vide Bosium ad Lucian. p. 59. TOUP.

[l] Ἀντὶ τοῦ κεκλεισμέναις] τουτέστιν ἠσφαλισμέναις E.

G [m] Ἐπεὶ δὲ ἀποσπώντων βίᾳ ἀπέκ.] Hæc corrupta videntur, vel saltem mutila. KUST. καὶ ἐπεὶ V.

ΠΡΟΣΚΗΝΙΟΝ] Male Suidas vocem hanc interpretatur. Aliud enim est τὸ πρὸ τῆς σκηνῆς παραπέτασμα, sive *siparium*; aliud vero *proscenium*, ut vel vulgus eruditorum ignorare non potest. KUST.

ib. Vid. supra in Κύλιξ. Isid. Pelus. Ep. II. 92. usurpat προσκυνεῖσθαι de coitu: ὁ δὲ sc. Mars, nuptias Agraulæ ambiens προσκυνεῖσθαι ἀξιοῦν. al. προσκην. dicitur.

H REINES.

[n] Ἡ δὲ τύχη παρελκ.] Casaubonus fragmentum hoc Polybio tribuit. KUST.

[o] Ἀριστοφάνης] Lysistr. 227.

[p] Ἰώσηπος] Lib. III. de Bello Jud. sub initium: ut Pearsonius monuit. Ibi autem pro προσκληδονιζόμενος rectius legitur προκληδονιζόμενος. KUST.

Ταῦτά τε δὴ προσκληδονιζόμενος, καὶ [q]σταθερὰν μετ' ἐμπειρίας τὴν ἡλικίαν ὁρῶν.

Προσκλήσεις: Πρὸς ἃς καλεῖ τις [r]εἰς δικαστήριον, ἢ βουλὴν, κλητῆρας ἔχων. [s]Πρόκλησις δὲ, χωρὶς τοῦ σ', καὶ [t]προκαλεῖσθαι [tt]ἐπὶ διαιτητὴν, καὶ οἷον ἐπὶ βάσανόν τινος ἀνδραπόδου, [u]ἢ μαρτυρίαν τοῦδέ τινος βαλέσθαι.

Πρόσκλησις: Ἡ εἰς δικαστήριον κλῆσις. Καὶ [x]προσκαλέσαι, τὸ παραγγέλλειν εἰς δίκην. Δημοσθένης ἐν τῷ περὶ τοῦ [y]Ἁγνίου κλήρου.

Πρόσκλισις: Ἑτερομέρεια.

Μὴ διαπράξασθαί τι κατ' ἔχθραν, ἢ κατὰ πρόσκλισιν.

Προσκλιτόν: Ἐν ᾧ ἀκουμβίζομεν.

Πρόσκομμα: Ζημία, βλάβη, σκάνδαλον.

Προσκομιστέον: Προσενεκτέον.

Προσκοπήν: Πρόσκρουσιν.

Ὁ δὲ τῶν τοῦ βασιλέως φίλων ἐπὶ τοσοῦτον ἐς διαφορὰν [z]ἧκοι καὶ προσκοπὴν, ὥστε σπεύδειν αὐτοὺς περιβαλεῖν αὐτὸν ἀνηκέστῳ τινὶ κακῷ.

Προσκόπων: Προφυλάκων.

[a]Ὁ δὲ Τραϊανός τινας ἀγγελίας ψευδεῖς διὰ τῶν προσκόπων ἀεὶ καθιεὶς, εἴθιζεν ἅμα μὲν ἐν κόσμῳ πορεύεσθαι, ἅμα δὲ πρὸς τὰ φοβερὰ μὴ ταράττεσθαι.

Πρὸς κωρύκον γυμνάζεσθαι: Ἐπὶ τῶν διακενῆς μοχθούντων.

Προσκόψῃς πρὸς λίθον τὸν πόδα σου: Ἀντὶ τοῦ, προσπταίσῃς. Τὸ σμικρότατον δὲ διὰ τοῦ προσκόψαι τῷ λίθῳ δεδήλωκε.



A Προσκώπους: Τοὺς πρὸς ταῖς κώπαις ναύτας, τοὺς κωπηλάτας.

Πρὸς Κρῆτα κρητίζων: Παροιμία, ἐπὶ τῶν μάτην πονούντων. [b]Πολύβιος·

Ὁ δὲ ἠγνόει, τὸ δὴ λεγόμενον, πρὸς Κρῆτα κρητίζων.

Προσκρούειν: Δοτικῇ. Ἐναντιοῦσθαι, ἐκμηχανᾶσθαι.

Οἱ Σικελιῶται τὸν στόλον ἰδόντες, οὐκ ἐν τοῖς ὀχυρώμασι καθ-
B εἷρξαν αὐτοὺς, [c]οὐκ ἄλλο προσκρούειν τοῖς ἐναντίοις οὐδὲν ἔγνωσαν.

Προσκυνεῖ: Προσεγγίζει.

Προσκυνεῖ: Δοτικῇ, καὶ αἰτιατικῇ δέ.

Καὶ σὲ προσκυνεῖν τὸν ἥλιον τῆς δικαιοσύνης.

Πρόσκυσον: Προσκύνησον.

Προσλαλῶ: Δοτικῇ.

Πρὸς λέοντα δορκάδες [d]ἅπτουσι μάχην:
C Ἐπὶ τῶν πρὸς κρείττονας ἐριζόντων.

Πρὸς λύραν ᾄδειν:

[e]Τὰ [f]κατὰ τὸν ἑταῖρον ἡμῶν μετρίως ἐπράχθη, καὶ οὐχ ὡς ἂν κινῆσαι Θεοῦ τε καὶ ἀνθρώπων νέμεσιν. Αὕτη μέντοι σαφῶς ἐστι, περὶ ἧς πρὸς λύραν ᾄδομεν.

[Προσμαρτυρῶ: Αἰτιατικῇ, καὶ δοτικῇ.

Προσμαρτυρῶ σοι τόδε,

Καὶ,
D Προσμαρτυρῶ σε τόδε.

Προσμειδιῶ: Δοτικῇ.]

Πρὸς νῦν σε μητρὸς, πρός τε πατρὸς, ὦ τέκνον,

---

[q] σταθηρὰν] σταθερὰν A.

ΠΡΟΣΚΛΗΣΕΙΣ] Vid. Taylor. ad Demosth. c. Theocrin. p. 987. T. X. ed. Reisk.

[r] εἰς δικαστήριον] εἰς om. A.B.E. Photius.

[s] ΠΡΟΚΛΗΣΙΣ] Vide supra h. v. KUST.

[t] προσκεῖσθαι V.

[tt] ἐπὶ διαιτητὴν] ἐπὶ om. V.

[u] ἢ μαρτυρίαν τοῦδέ τινος βαλ.] Hæc obscura sunt, vel corrupta. KUST. Rescribendum omnino: ἢ μαρτυρίαν τοῦδε τινὸς ἘΜΒΑΛΕΣΘΑΙ. Est autem Πρόκλησις provocatio vel ad *arbitrum*, vel ad *quæstionem* servi habendam, vel ad *testimonium* cujuspiam proferendum denique. Quod μαρτυρίαν ἐμβαλέσθαι vocat Suidas. Ita locutus
F est Demosthenes adversus Timoth. p. 700. Τοῦ μὲν γὰρ ΜΑΡΤΥΡΙΑΝ μὴ ἘΜΒΑΛΕΣΘΑΙ με πρὸς τὸν διαιτητὴν παρεκρούσατο. Idem, p. 704. ΜΑΡΤΥΡΙΑΝ δὲ αὐτὸν ἠξίουν ἘΜΒΑΛΕΣΘΑΙ Αἰσχρίωνος ὡς ἐλευθέρου ὄντος. Ceterum aliud est Πρόκλησις, aliud Πρόσκλησις. De quo viri docti ad Demosthenem et Harpocrationem. Illud, ut dixi, *provocatio;* hoc *citatio* est, idque per Κλητῆρας. Nam Κλητῆρες tum *ministri*, tum *testes* citationis. Utramque vocem conjungit Plato apud Timæum in Lexico, loco insigni, sed nonnihil corrupto, quem hic emendatum
G adscribam: Λήξεις. Τῆς ΤΡΙΑΔΟΣ καλουμένης. Λήξεών τε περὶ δικῶν, καὶ προσκλήσεων, καὶ κλητήρων. Ita scribendus iste locus. Vulgo legitur, τῆς τριακάδος καλουμένης. Quod viros eruditissimos admodum cruciavit. Sed nostra emendatio proculdubio verissima est. Nimirum hæc ex formulis juris Attici petita sunt. Primum, Λῆξις δίκης. Deinde, Πρόσκλησις. Postremo, Κλητῆρες. Hæc ΤΡΙΑΔΑ vocat Timæus, et alii scilicet vocabant. TOUP.

H ΠΡΟΣΚΛΗΣΙΣ: Ἡ εἰς δικαστ.] Ex Harpocratione. KUST. Vid. Schol. Platon. p. 234.

[x] ΠΡΟΣΚΑΛΕΣΑΙ] προσκαλέσασθαι Photius, Harpocrat.

[y] Ἁγνίου] ἀγρίου A.

ΠΡΟΣΚΛΙΣΙΣ] Hac voce usus est Apost. Paulus 1 Timoth. V. 21. Μηδὲν ποιῶν κατὰ πρόσκλισιν. Theophylactus ibi κατὰ πρόσκλισιν exponit, κατὰ προσπάθειαν προσκλινόμενος τῷ ἑνὶ μέρει. Id est, *Ex affectu in alteram partem inclinans.* Plura de hac voce vide apud Suicerum in Thesauro Ec-
E clesiastico. KUST.

ΠΡΟΣΚΛΙΤΟΝ] Confer Etymologum v. Πρόσκλιντρον. KUST.

[z] ἥκει] ἧκοι A.B.V.M.

[a] Ὁ δὲ Τραϊανὸς τ.] Pars fragmenti hujus legitur etiam supra v. Καθιείς. KUST. Vid. Dion. Cass. LXVIII. 23.

ΠΡΟΣ ΚΟΡΙΚΟΝ] Scribendum est πρὸς κώρυκον, ut Portus etiam monuit. KUST. κόρυκον A.B.E. κώρικον V.

ΠΡΟΣΚΟΨΗΙΣ ΠΡΟΣ ΛΙΘΟΝ ΤΟΝ ΠΟΔΑ σου] Psalm. XCII. 12. ubi vide Theodoretum. KUST. Προσκόψεις
F A. Mox προσπταίσεις A.E.

ΠΡΟΣΚΩΠΟΥΣ: Τοὺς πρὸς ταῖς κώπ.] Ex Scholiasta Thucyd. ad lib. I. c. 10. KUST.

[b] Πολύβιος] Lib. VIII. c. 16. KUST.

ΠΡΟΣΚΡΟΥΕΙΝ] V. in marg.

[c] οὐκ ἄλλο et seqq.] Vertit Hemsterhusius, *neque aliud quicquam, quod adversariis opponerent, comparare instituerunt.*

ΠΡΟΣΚΥΝΕΙ] Scribe, προσκυρεῖ. Hesychius: Προσκυρεῖ: Προσεγγίζει. Sic etiam habet Photius in Lexico ms.
G KUST. προσκυροῖ Phot.

ΠΡΟΣΚΥΝΕΙ: Δοτικῇ] A. in marg.

ΠΡΟΣΛΑΛΩ] A. in marg.

ΠΡΟΣ ΛΕΟΝΤΑ ΔΟΡΚ.] Confer Suidam supra v. Μὴ πρὸς λέοντα δορκ. KUST.

[d] ἍΠΤΟΥΣΙ ΜΑΧΗΝ] Potius, συνάπτουσι μάχην. KUST. Si quid mutandum, ob p. 2493 B. leg. ἅπτονται μάχης.

[e] κατὰ τὸν ἑταῖρον ἡμῶν, μετρίως ἐπρ.] Synesius Epist. XCIV. p. 235. Ἐῶ τὰ κατὰ τὸν ἑταῖρον Διοσκουρίδην, ὅτι με-
H τρίως ἐπράχθη, καὶ οὐχ ὡς ἂν κινῆσαι, &c. Hinc Suidas supplendus est. KUST.

[f] κατὰ] τὰ κατὰ A.B.V.

ΠΡΟΣΜΑΡΤΥΡΩ] A. in marg. om. V. Seq. gl. A. in marg.

ΠΡΟΣ ΝΥΝ ΣΕ ΜΗΤΡΟΣ, ΠΡΟΣ ΤΕ ΠΑΤΡ.] Sophocl Philoct. 468.

Πρόσ τ', εἴ [g]τι σοι κατ' οἶκόν ἐστι προσφιλὲς, A
Ἱκέτης ἱκνοῦμαι, μὴ [h]λίπῃς μ' οὕτω μόνον,
Ἔρημον ἐν κακοῖσι τοῖσδε γ', [i]οἷς ὁρᾷς,
Ὅσοισί τ' [k]ἐξήκουσας ἐνναίοντά με.

Προσόδια: Ἀπὸ τῶν προσόδων. Οὕτω δὲ ἔλεγον τὰς προσαγομένας τοῖς θεοῖς [l]πομπάς. Καὶ προσόδια, τὰ εἰς πανηγύρεις θεῶν ποιήματα [m]παρὰ τῶν B λυρικῶν λεγόμενα.

Προσόδια: Ὕμνοι. Ἀρχὴ προσοδίου·

[n]Τί κάλλιον ἀρχομένοισιν, ἢ καταπαυομένοισιν,
ἢ [o]θοᾶν ἵππων ἐλατῆρας ἀείδειν;

Πρόσοδος: Εἰσφορὰ, εἴσοδος, [p]ἡ παρουσία, ὡς [q]Θουκυδίδης, καὶ ἕτεροι.

Ὁ δὲ Καῖσαρ ἐκ τῆς προσόδου μόνης τούτους κατέπληξε.

Τουτέστι, παρουσίας. C

Προσοδώδασι: Προσώζεσαν. Ταυτόν.

Προσοκέλλω: [r]Τὸ αἰγιαλῷ προσεγγίζω. Καὶ προσοκείλαντες, προσορμίσαντες.

Προσομιλῶ: Δοτικῇ.

Πρὸς ὄνομα: Κατὰ [s]ὄνομα δηλονότι.

Προσουδίζει: Τῷ ἐδάφει προσκρούει.

[t]Ἐκ τοῦ ἵππου ῥίψας, προσουδίζει χαμαί.

Προσουδίζει: Πρὸς τὸ ἔδαφος ῥιπτεῖ. D

Ὁ δὲ [u]ἄρας μετέωρον, προσουδίζει τε καὶ ἀποκτείνει.

Προσουρίου: Ἐπιτηδείου.

Προσοχή: Ἀκριβὴς ἐπιμέλεια διαίτης.

[x]Τοῦ ἰδίου σώματος ἐπιμελητικῶς δεῖ ἔχειν ἐμμέτρως, οὔτε ὡς ἄν τις φιλόζωος, οὔτε πρὸς καλλωπισμὸν, οὔτε μὴν ὀλιγώρως· ἀλλ' ὥστε διὰ τὴν ἰδίαν προσοχὴν εἰς [y]ὀλίγιστα ἰατρικῆς χρῄζειν φαρμάκων καὶ ἐπιθεμάτων ἐντὸς καὶ ἐκτός. E



Προσοχθίζω: Δοτικῇ.

Προσοχθίσματα: Ἡ Γραφὴ καλεῖ τὰ Εἴδωλα. Καὶ, Προσώχθισα: Δυσηρεστήθην, ἐβδελυξάμην.

Πρὸς ὄψιν: Πρὸς θεωρίαν. [z]Σοφοκλῆς·

[a]Τὸ δ' εὐχλόου Δήμητρος εἰς προσόψιον
πάγον μολοῦσα, τάσδ' ἐπιστολὰς πατρὶ
ταχεῖ [b]πόρευσαν ξὺν χρόνῳ.

Πρόσω: Ἔμπροσθεν.

[c]Ἰωτόμην δὲ καίπερ οὐ πρόσω τοῦ τεθνάναι ὄντα ἀποτμηθῆναι [d]τὴν κεφαλὴν κελεύει, ὡς μὴ [e]ἐκφύγῃ τὸν τῶν κακούργων θάνατον.

Πρόσω: Ἀντὶ τοῦ, ἀπωτέρω.

Εὐθεῖαν ἐδόκει ἐλαύνειν [f]ὡς ἐπὶ Σελεύκειαν. Εἶναι γὰρ οὐ πρόσω σφῶν τὴν Σελεύκειαν, ἅτε [g]εἴκοσιν ἡμερῶν ὁδὸν τῶν πλείστων ἀπέχουσαν.

Καὶ αὖθις·

Εἶχε δὲ καὶ πεζοὺς οὐ πρόσω τῶν δισμυρίων.

Ἀντὶ τοῦ, οὐ πλείους.

Προσῳδία καὶ προσῴδιον: Ὁ ὕμνος.

Προσώκειλαν: Προσώρμισαν.

Προσωπεῖον: Πρόσχημα.

Πρόσωπον: Ἐπὶ Θεοῦ, ἡ ἐπιφάνεια αὐτοῦ. Δαβίδ·

Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά.

Καὶ, ἡ λύσις τῶν πονηρῶν, καὶ τῶν ἀγαθῶν ἡ χορηγία.

Προσωτέρω: Περαιτέρω.

Προσώχθικε: Προσκέκρουκε, προσκέκοφεν. Ἀπὸ τοῦ τὰ ἐπινηχόμενα ταῖς ὄχθαις προσκρούεσθαι.

Προσώχθισα: Ἐβδελυξάμην, δυσηρεστήθην. Καὶ [h]Πισίδης·

[i]Εἰ δ' αὖ σχολάζει, καὶ προσοχθεῖ τῇ μέθῃ.

---

[g] ΤΙ ΣΟΙ—ΠΡΟΣΦΙΛΕΣ] τίς σοι—προσφιλὴς A. προσφιλῆς E.

[h] ΛΙΠΗΙΣ] λίποις A.

[i] ΟΙΣ 'ΟΡΑΙΣ] εἰσορᾷς A.V.

[k] 'ΕΞΗΚΟΥΣΑΣ] ἐξήκουσεν A.

ΠΡΟΣΟΔΙΑ: Ἀπὸ τῶν προσόδ.] Ex Schol. Aristoph. Av. 854.

[l] πομπὰς] θυσίας Schol. F

[m] παρὰ τῶν] περὶ τῶν A. τῶν om. V.

[n] Τί κάλλιον ἀρχ.] Aristoph. Equit. 1262.

[o] θοᾶν] θοῶν A.B.E. θεῶν M. Tum ἵππων om. V. Post ἀείδειν addunt A.V. γρ. καὶ ἀεῖσαι.

[p] ἡ παρουσία] ἣ παρουσία Photius.

[q] Θουκυδίδης] IV. 110.

ΠΡΟΣΟΔΩΔΕΣΑΝ] Ms. A. προσοδώδασι. KUST. Et B.V.E. Tum ταυτὸν om. B.V.

[r] Τὸ αἰγιάλῳ] τῷ αἰγ. A.

ΠΡΟΣΟΜΙΛΩ om. A. G

[s] ὄνομα] τὸ ὄνομα V.E. Gl. A. in marg.

[t] Ἐκ τοῦ ἵππου ῥίψας, προσουδ.] Fragmentum hoc legitur apud Procopium de Bello Goth. lib. IV. c. 8. KUST.

ΠΡΟΣΟΥΔΙΖΕΙ] Plutarch. Galba p. 1065. Synes. p. 104. Suid. v. Σφῆλας. TOUP.

[u] ἄρα V.

ΠΡΟΣΟΥΡΙΟΥ] Hesychius divisim, πρὸς οὐρίου: sed male. Photius in Lexico ms. habet, προσουρίου. KUST.

[x] Τοῦ ἰδίου σώματος ἐπιμελητικῶς δ.] Locus hic apud Marc. H Anton. lib. I. c. 16. unde eum Suidas descripsit sic legitur: Τὸ τοῦ ἰδίου σώματος ἐπιμελητικὸν ἐμμέτρως, οὔτε ὡς ἄν τις φιλόζωος, οὔτε πρὸς καλλωπισμὸν, οὔτε μὴν ὀλιγώρως· ἀλλ' ὥστε διὰ τὴν ἰδίαν προσοχὴν εἰς ὀλίγιστα ἰατρικῶν χρῄζειν ἢ φαρμάκων καὶ ἐπιθημάτων ἐκτός. Locum hunc Marci Antonini observaverat etiam Pearsonius. KUST.

[y] ὀλίγα πάνυ] ὀλίγιστα A.B.V. εἰς om. E.

ΠΡΟΣΟΧΘΙΖΩ] Levit. XVIII. 28. TOUP. Deest v. A.

ΠΡΟΣΟΧΘΙΣΜΑΤΑ] Vid. Ἰωσίας. TOUP. v. Μελχόμ, p. 2451 D.

[z] Σοφοκλῆς] Œdip. Colon. 1600. ut Portus monuit. Sed ibi pro προσόψιον legitur ἐπόψιον. KUST.

[a] Τόν δ'] τὸ δ' A.

[b] πόρευσαν] πόρευσον A.B.M. ταχὺ V. pro τάχει.

[c] Ἰωτόμην] Ἰωτόμον V.

[d] τὴν] αὐτὴν B.E.

[e] ἐκφύγῃ] ἐκφύγοι A.

[f] ὡς ἐπὶ] ὡς om. V.

[g] εἴκοσιν ἡμερῶν ὁδὸν τῶν πλείστων] ἐκ τῶν πλείστων ἡ. ὁ. A. εἴκοσι τῶν πλείστων ἡ. ὁ. V.B.

ΠΡΟΣΩΠΟΝ] Prior explicatio vocis est Theodoreti ad Ps. XXX. 21. ubi ait, ἀρκεῖ σου, φησὶν ἡ ἐπιφάνεια· τοῦτο γὰρ καλεῖ πρόσωπον. Verba autem Davidis, quæ adferuntur, extant Ps. XXXIII. 16. Ultima explicatio est iterum Theodoreti ad Ps. CXVIII. 135. ubi ille sic: τοῦ θείου προσώπου τὴν ἐπιφάνειαν νοητέον τὴν λύσιν τῶν λυπηρῶν, καὶ τὴν τῶν ἀγαθῶν χορηγίαν. Sed ideo non necesse est, ut in Suida corrigamus τὸ πονηρῶν, quia constat hos lexicographos verba eorum, quos exscriberent, sponte mutasse, ne forte in oculos incurrerent compilationis vestigia. ERNEST. In ex. χριστοῦ M. pro κυρίου.

ΠΡΟΣΩΧΘΙΣΑ] Psalm. XXII. 24. TOUP. Ex Ps. XCIV. 10. Prius glossema est Theodoreti, posterius Symmachi et Aquilæ ad illum Psalmum. Vid. Hesych. Gloss. sacr. ERNEST.

[h] Πισίδης] Fr. Foggin. v. 140.

[i] Εἰ δ' αὖ σχολ.] Exemplum hoc pertinet ad vocem προσοχθεῖν, non vero προσοχθίζειν. KUST.

Προσπαθῶ σέ: Αἰτιατικῇ.

Προσπαλαίω: Δοτικῇ.

[Προσπελάζει: Προσεγγίζει.]

Προσπάλτιοι: [k]Πρόσπαλτα, δῆμος τῆς Ἀκαμαντίδος. [Ζήτει ἐν τῷ Δραχαρνεῦ.]

Προσπατταλεύσω: Προσπήξω. [l]Ἀριστοφάνης Πλούτῳ·

Ὥσπερ κοτίνῳ προσπατταλεύσω [[m]τουτωί.]

[n]Εἰώθασι γὰρ κοτίνῳ καὶ ἄλλοις δένδροις προσπατταλεύειν [o]ἀναθήματα, καὶ [p]κωλᾶς, καὶ κρανία, πρὸς ἀποτροπὴν βασκανίας οἱ γεωργοί, [q]πρὸς τὸ μὴ ξηρανθῆναι αὐτά.

Προσπελάζει: Προσεγγίζει.

Προσπέσῃ: Συμβῇ. Αὐθυπότακτον.

Προσπεσόντων: Ἀγγελθέντων. Πολύβιος·

Προσπεσόντων δὲ τούτων εἰς Τάραντα καὶ τοὺς Θουρίους, ἠγανάκτει τὰ πλήθη.

Προσπίπτουσαι: Συναντῶσαι.

[[r]Αἱ δὲ γυναῖκες] κατὰ τὰς διόδους
προσπίπτουσαι τοῖς ἀπὸ τοῦ δείπνου.

Προσπιπτούσης: Ἀντὶ τοῦ, ἀγγελλομένης.

[Προσπεφυκότως: Ἀπρὶξ οὖν, ὅλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς. Καὶ ἀπρὶξ προσπεφυκότως, ὃ οὐχ οἷόν τε πρίσαι διὰ τὴν σύγχυσιν.]

Προσπορευομένων: Προσερχομένων μεθ' ἱκετηρίας.

Προσπορευομένων δ' αὐτῷ τῶν ἠδικημένων, τοὺς μὲν διέσυρε χλευάζων, τῶν δὲ κατανίστατο, τοὺς δὲ ἐξέπληττε λοιδορῶν.

Προσπταίω: Δοτικῇ.

Προσπορισθέν: Ἐπινοηθὲν, προσοδευθέν.

Προσπτύξομαι: [t]Προσκυνήσω, [περιπλακήσομαι.]

Προσποιεῖται: Αἰτιατικῇ. Οἰκειοποιεῖται, ἢ πλάττεται, καὶ ὑποκρίνεται.

Γνόντες οἱ Φράγγοι ὡς Βελισάριος εὐτυχεῖ, καὶ [u]προσποιεῖσθαι τὴν Ἰταλίαν ἐθέλοντες, περὶ συμμαχίας βουλεύονται.

Καὶ, προσποιούμενος.

Καὶ οὐδ' ὁτιοῦν ἐν ἑαυτῷ ἔχειν προσποιούμενος.

Οἱ δὲ οὐ προσποιοῦνται κακουμένους Ῥωμαίους, καίπερ αὐτῶν φίλοι ἐκ παλαιοῦ ἐς τὰ μάλιστα ὄντες.

Προσρῆξαν: [x]Προσαράξαν.

Προσρήσεσι: Προσηγορίαις. Καὶ πρόσρησις, προσηγορία, [y]λόγος κατ' ἐπαγγελίαν λεγόμενος.

Ἐσήμηνε Σιλζίβουλος, ὁ Τούρκων ἡγεμὼν, ὡς [z]ὁ Ῥωμαίων φίλος οὐχ ἧττον καὶ αὐτῷ ἐπιτήδειος, καὶ ὁ δυσμενὴς ὁμοίως· ἐπειδὴ τηνικαῦτα Ῥωμαῖοι Πέρσαις ἐπολέμουν ἐπὶ τῇ [a]προσρήσει, δέον εἶναι ἐν καιρῷ καὶ αὐτὸν ἐπιθέσθαι Πέρσαις.

Πρόσριζα: Σὺν ταῖς ῥίζαις. Ἀππιανός·

Τὰ δένδρα [b]ἔκοπτε [c]πρόσριζα, τοῦ μὴ πάλιν φῦναι.

Πρόσταξις: [d]Πρόσταξίς ἐστιν, ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως, ἢ ἐκ θατέρου, κατὰ τὸ κέρας αὐτὸ προστεθῇ τι στίφος [e]τῇ πάσῃ φάλαγγι, κατευθὺ τοῦ μετώπου τῆς τάξεως.

Προστασία: Βοήθεια.

[f]Ὁ δὲ ἐξέπεμπε τὸν Πόπλιον μετὰ μεγάλης προστασίας.

[g]Τουτέστι, δυνάμεως, ἐξουσίας. Καὶ αὖθις·

[h]Καὶ τὸν ἴδιον οἶκον ἐσφαλκέναι, διὰ τὴν πρὸς τοῦτο τὸ μέρος ὁρμὴν καὶ προστασίαν.

---

ΠΡΟΣΠΑΘΩ] A. marg. Προσποθῶ V. Seq. gl. A. in marg.

ΠΡΟΣΠΕΛΑΖΕΙ om. A.B.E.

ΠΡΟΣΠΑΛΤΙΟΣ] Προσπάλτιοι A. ζήτει etc. A. in marg. om. V.

[k] Πρόσπαλτα] Populus Atticæ Acamanthidis tribus. Vid. Meurs. p. 110. et de Προσπαλτίοις supra v. Δραχαρνεῦ. Athen. VII. p. 326. REINES.

[l] Ἀριστοφάνης Πλούτῳ] Ver. 944.

[m] τουτωί om. A.B.V.E.M.

[n] Εἰώθασι γὰρ κοτίνῳ καὶ ἀλλ.] Hæc, et quæ sequuntur, sunt verba Scholiastæ ad modo indicatum locum Aristophanis. KUST.

[o] ἀναθήματα] τὰ ἀναθήματα A.

[p] κωλᾶς] Scribe, κῶλα, ut habet Enarrator Comici. KUST.

[q] καὶ πρὸς] καὶ om. A.B.E. et ni fallor V. Mox iidem αὐτὰ pro τὰ ἑαυτῶν γεωργήματα. Et sic Schol.

ΠΡΟΣΠΕΣΟΝΤΩΝ] Polyb. p. 1088. προσπεσόντος δὲ ζῆν τὸν πάππον. Vid. Suid. v. Ὀρθῆς. TOUP. In fine τὰ πλήθη om. V.

[r] Αἱ δὲ γυναῖκες κατὰ τὰς διόδ.] Aristoph. Eccles. 689. Αἱ δὲ γυναῖκες om. A.V.E.M. καὶ A. pro κατά. τὰ τὰς E.

ΠΡΟΣΠΕΦΥΚΟΤΟΣ: Ἀπρὶξ οὖν, ὅλ.] Notam hanc confuse admodum et turbato ordine excerpsit Suidas ex Scholiasta Sophoclis ad Aj. 310. apud quem rectius sic legitur: Ἀπρίξ: Ὅλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς, προσπεφυκότως, ὃ οὐκ οἷόντε πρίσαι διὰ τὴν σύμφυσιν. Hinc vero patet, notam hanc nihil omnino facere ad vocem προσπεφυκότος, vel, ut potius scribi debebat, προσπεφυκότως, sed in ea exponi vocem ἀπρίξ: quam proinde articuli hujus, suo loco collocandi, caput esse oportebat. Confer Nostrum supra v. Ἀπρὶξ, ubi eadem leguntur. KUST.

ib. Προσπεφυκότως A. bis, ubi gl. in marg.

[s] Προσπορευομένων δ' αὐτῷ τῶν ἠδικ.] Hæc sunt verba Polybii lib. IV. c. 3. KUST.

ΠΡΟΣΠΤΥΞΟΜΑΙ] Photius: Προσπήξομαι: προσκυνήσω.

[t] Προσκυνήσομαι] προσκυνήσω A.B.V.E. Tum περιπλακήσομαι om. A.B. Καὶ προσπτύσσω: δοτικῇ V.E. Tum Προσπαίζω: δοτικῇ. Προσπαίω: δοτικῇ.—Προσπηδῶ: δοτικῇ.—Προσπίπτω: δοτικῇ. Προσπτύσσεις καὶ προσπτύσσω δοτικῇ A. marg.

[u] προσποιεῖσθαι] προσποιεῖσθαί τε A.B.V.

[x] Προσαράξαν] Sic recte habet ms. A. At mss. B. et C. [et E.] et priores editt. male, προσράξαν. KUST. Diodor. Exc. p. 589. ed. Wessel. ταῖς πρὸς τῇ γῇ πέτραις προσραχθέντες, ubi leg. προσαραχθέντες. Synes. Ep. p. 551. προσαρράξας πέτρῳ τινὶ κέραμον. Sed Agathias p. 10. βιαιότερον προσραχθέντα. Arrian. Exped. p. 414. αἱ πρὸς τῇ γῇ ἀραχθεῖσαι. TOUP.

ΠΡΟΣΡΗΣΕΣΙ] Vid. Σιλζίβουλος. HEMST.

[y] λόγος κατ' ἐπαγγελίαν λεγόμενος] Hæc interpretatio potius convenit voci πρόρρησις, quam πρόσρησις. KUST.

[z] ὁ Ῥωμαίων] ὁρωμένων A. ὁ om. V. qui om. καὶ post ἧττον.

[a] προσρήσει] Potius, προρρήσει. KUST.

ΠΡΟΣΡΙΖΑ] Sic habet ms. A. et ita scribendum hic esse, vel series literarum arguit. Priores vero editt. minus recte habent πρόριζα, absque σ. KUST. Πρόρριζα B.E.

[b] ἔκοπτε] ἔκοπταν B.E.V.

[c] πρόσριζα] Et hic priores editt. male habent πρόριζα. KUST.

[d] Πρόσταξίς ἐστιν, ὅταν ἐξ ἑκατ.] Confer Ælianum in Tact. c. 31. KUST. Bibl. Coislin. Montfauc. p. 511.

[e] τῇ πάσῃ] τῇ om. V.

[f] Ὁ δὲ ἐξέπεμπε τὸν Πόπλιον μετὰ μεγ.] Fulv. Ursinus fragmentum hoc ad Polybium refert. KUST. Fr. hist. 52.

[g] Τουτέστι om. A.E.

[h] Καὶ τὸν ἴδιον οἶκον ἐσφ.] Hæc sunt verba Polybii, quæ leguntur in Excerptis a Valesio editis, p. 21. ubi locum integrum vide. Confer etiam Nostrum supra v. Ἐσφαλκέναι, ubi idem fragmentum legitur. KUST.

Προστασία: [i]Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος· A

Ταῦτα οὐχ ὁμολογουμένη προστασία.

Ἀντὶ τοῦ, βοήθεια, προϊσταμένου τινος καὶ ἐπικουροῦντος τῷ ἀδικουμένῳ. Αἰσχίνης ἐν τῷ [k]περὶ τῆς παραπρεσβείας·

Ὡς δεῖ τὰ τῆς τῶν Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείου.

Δίδυμος τὴν προστασίαν φησὶ κεῖσθαι ἀντὶ τῆς προστάσεως, τουτέστι, τῆς ὑπ' ἐνίων προστάδος καλουμένης. B

Προστάσσω: Δοτικῇ.

Προστατεύω: Γενικῇ.

Προστατεῖ: Αἰτιατικῇ. Προηγεῖται, προέστηκε, παρακολουθεῖ.

Προστατεία: Προστασία δέ.

Προστάτης: [l]Ἱκέτης, ὁ προεστηκὼς τῶν βωμῶν. C

[m]Ἔξοιδ' ἀκούων τῶνδ', ὅς ἐσθ' ὁ προστάτης.

Προστάτης: Οἱ τῶν μετοίκων Ἀθήνησι προεστηκότες Προστάται ἐκαλοῦντο. Ἀναγκαῖον γὰρ ἦν ἑκάστῳ τῶν μετοίκων πολίτην τινὰ Ἀθηναῖον νέμειν προστάτην.

[n]Ἐμοὶ δ' ἴσον μὲν τῆσδε τῆς χώρας μέτα,
ὅσον περ ὑμῖν· ἄχθομαι δὲ, καὶ φέρω
βάρεως τὰ τῆς πόλεως [[o]τοιαῦτα] πράγματα. D
Ὁρῶ γὰρ αὐτὴν προστάταισι χρωμένην
ἀεὶ πονηροῖς· κἂν τις ἡμέραν μίαν
χρηστὸς γένηται, δέκα πονηρὸς [p]γίγνεται.

Προστάτις δὲ, [q]θηλυκῶς, διὰ τοῦ ι. Προστάτιδος, ἡ γενική.

Προστατῶν: Ὁ ἐπιγινόμενος. [r]Σοφοκλῆς·

Ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
Νῦν δ' ἡμέρᾳ γὰρ τῇδ' ἀπηλλάγην [s]φόβου. E

Προστεθέντος: Συνευδοκήσαντος.

A Τοῦ δὲ [t]Εὐφημίου προστεθέντος τῷ ἀνδρὶ, καὶ δεδωκότος αὐτῷ τὴν τῶν ὑπηρετῶν ὑπουργίαν.

Προστέτηκεν: Προσκεκόλληται.

Προστηθιδίων:

[u]Ἐξελθόντες μεγάλοι δύο μετὰ τύπων καὶ προστηθιδίων, ἐδέοντο μηδὲν ἀνήκεστον βουλεύεσθαι περὶ τῆς πόλεως.

Τουτέστιν, εἰκόνες μέχρι στήθους.

Πρόστηθί μοι: Προστίθεμαι δὲ, δοτικῇ.

B Πρὸς τῇ πυλίδι Ἑρμῆς: [x]Δημοσθένης ἐν τῷ κατ' Εὐέργου. Φιλόχορός φησι περὶ τοῦ πρὸς τῇ πυλίδι Ἑρμοῦ, [y]ὡς ἀρξάμενοι τειχίζειν τὸν Πειραιᾶ οἱ ἐννέα ἄρχοντες, τοῦτον ἀναθέντες, ὑπέγραψαν οὕτως·

[z]Ἀρξάμενοι πρῶτοι τειχίζειν οἵδ' ἀνέθηκαν,
βουλῆς καὶ δήμου δόγμασι πειθόμενοι.

Προστήσας: Προαγαγών.

C Πρόστητ' ἀναγκαίας τύχης: Ἐπίκουροι γίνεσθε τῆς κατεπειγούσης συντυχίας.

Προστιβάδες:

[a]Ὁ δὲ κατῴκει ἐν σπηλαίῳ, προστιβάδας ἐντετμημένας ἔχοντι κατὰ τὴν πέτραν.

Πρὸς τιμῆς:

Ἦν δὲ ὁ φιλόσοφος πρὸς τιμῆς τῷ βασιλεῖ.

Πρόστιμα: Ἐπίχειρα.

D Τοιάδε μὲν τοῖς [b]κακῶς βουλευομένοις δίδωσι τὰ πρόστιμα ἡ δικη.

Καὶ πρόστιμον. Ζημία, ἐπιτίμιον, παραγραφή. [c]Πολύβιος·

Παρὰ Ῥωμαίοις θάνατος ἦν πρόστιμον τῆς ἐφεδρείας [d]λιπόντι τὴν τάξιν.

Καὶ αὖθις·

E Οἱ δὲ ἔδωκαν τῷ βασιλεῖ πεντήκοντα τάλαντα πρόστιμον τῆς ἁμαρτίας.

Προστιμήματα: Ἔστι μέν τινα ἐν τοῖς νόμοις



ΠΡΟΣΤΑΣΙΑ: Δημοσθένης ἐν τ.] Ex Harpocratione. KUST.

i Δημοσθένης] P. 872, 6.

k περὶ τῆς] τῆς om. A. τῷ παρὰ τῆς πρεσβείας V. περὶ τῆς πρεσβείας E.M. Æschinis locus est p. 42, 2. ed. Steph.

ΠΡΟΣΤΑΣΣΩ] Hanc et seq. gl. A. in marg.

ΠΡΟΣΤΑΤΕΙ] Vid. Ἀρκεῖν. HEMST.

ΠΡΟΣΤΑΤΗΣ: Ἱκέτης. Ὁ πρ.] Ex Scholiasta Sophoclis ad Œdip. Colon. 1171. ut Portus monuit. Sed ibi legitur, ὁ προσεστηκὼς τῷ βωμῷ, quod magis placet. KUST.

l Ἱκέτης] οἰκέτης V. Post προστάτης A.B.V.E. et edd. vett. addunt βούλομαι.

m Ἔξοιδ' ἀκ.] Senarius hic legitur apud Sophoclem loco laudato. KUST.

ΠΡΟΣΤΑΤΗΣ: Οἱ τῶν μετ.] Ex Harpocratione. Confer etiam Nostrum supra v. Νέμειν προστάτην. KUST.

n Ἐμοὶ δ'] Hæc sunt verba Aristophanis Eccles. 173. Vide Nostrum supra, v. Μέτα, ubi paulo emendatiores leguntur isti senarii. TOUP.

o τοιαῦτα om. A.B.V.E.

p γίνεται] γίγνεται A.E.

q θηλυκῶς] θηλυκὸν V.

r Σοφοκλῆς] Electr. 781. Σοφοκλῆς om. A.E.

s φόβων] φόβου A. φόβῳ V.

t Εὐφημίου] Εὐθυμίου A.

u Ἐξελθόντες μεγάλοι δ.] Fragmentum hoc ex Polybio sumptum esse arbitror. Pro μεγάλοι autem scribendum esse Γάλλοι, ex sequentibus illis, μετὰ τύπων καὶ προστηθιδίων, haud obscure colligi potest. Solebant enim Galli matris Idææ τύπους et προστηθίδια, sive imagines pectoribus affixas gestare, ut tum ex aliis scriptorum locis constat, tum etiam ex ipso Suida supra v. Γάλλος, quem locum confer. KUST. Scribe ἐξελθόντες δὲ Γάλλοι δύο, vel μὲν Γάλλοι. TOUP. Προστηθιδίων—τύπων om. V. Vid. Polybium Schweighæuseri T. V. p. 41.

ΠΡΟΣΤΗΘΙ] Προστίθεμαι δοτικῇ. Προστῆθί μου δὲ A. Gl.
F om. V.

ΠΡΟΣ ΤΗΙ ΠΥΛΙΔΙ ἙΡΜ.] Ex Harpocratione. Confer etiam Nostrum supra v. Ἑρμῆ, ὁ πρὸς τῇ πυλ. KUST.

x Δημοσθένης] P. 1146, pen.

y ὡς ἀρξάμενοι] ἀρξάμενοι om. A.B.V.

z Ἀρξάμενοι om. E. edd. vett. Photii ms.

ΠΡΟΣΤΗΤ' ἈΝΑΓΚ.] Sophocl. Aj. 803. Πρόστητ' ἀναγκαίας τύχης. Scholiasta: Πρόστητ' ἀναγκ. τ. ἐπίκουροι γίνεσθε τῆς κατεπειγούσης δυστυχίας. KUST.

a Ὁ δὲ κατῴκει ἐν σπηλαίῳ] Notandum verbum Προστιβάδες, quod haud alibi occurrit. Sunt autem hæc verba
G Diodori Sic. lib. XVII. c. 85. ubi ita legitur: Τοῦ δὲ Ἀλεξάνδρου κατασκεψαμένου τὴν δυσχωρίαν, καὶ τὴν ἐκ βίας ἅλωσιν ἀπογνόντος, ἧκέ τις πρὸς αὐτὸν πρεσβύτης μετὰ δυοῖν υἱῶν· οὗτος δ' ὢν πένης παντελῶς, καὶ πολὺν χρόνον ἐντεθραμμένος τοῖς τόποις, κατῴκει μὲν ἔν τινι σπηλαίῳ ΤΡΕΙΣ ΣΤΙΒΑΔΑΣ ἔχοντι κατὰ τὴν πέτραν ἐντετμημένας· ἐν αἷς ὁ γέρων μετὰ τῶν υἱῶν ἐναυλιζόμενος ἐμπειρίαν περιεπεποίητο τῶν τόπων. TOUP.

b κακοῖς] Leg. κακῶς. Videtur Æliani. VALCK. κα-
H κῶς A.V.

c Πολύβιος] Lib. I. c. 17. ubi sic legitur: Τὸ γὰρ πρόστιμον παρ' αὐτοῖς (Ῥωμαίοις) θάνατός ἐστι τῷ προεμένῳ τὸν τόπον, καὶ φυγόντι τοπαράπαν ἐξ ἐφεδρείας. Confer etiam Nostrum supra v. Ἐφεδρεία. KUST.

d λιπόντι] λείποντι V.E.

ΠΡΟΣΤΙΜΗΜΑΤΑ: Ἔστι μέν τ.] Ex Harpocratione.

*ὡρισμένα κατὰ τῶν ἀδικούντων,* [e *ὥσπερ*] ἡ ἐπωβελία· ἔστι δὲ καὶ ἄλλα, ἃ προστιμᾶται τὸ δικαστήριον, ὡς δείκνυσι Δημοσθένης ἐν τῷ f κατὰ Τιμοκράτους.

Πρὸς τὸν σωρὸν ἀμᾶσθαι: Πρὸς τοὺς μεγάλοις ἔργοις ἐπιτιθεμένους. Ἢ ἐπὶ τῶν παρεγγυώντων.

Πρόστωον: Τὸ ἔμπροσθεν τῆς στοᾶς.

Προστρέπεσθαι: Ἀποπέμπεσθαι, τρέπεσθαι g ἐφ' ἑαυτοῦ.

Προστρέπω: Παρὰ Σοφοκλεῖ. Ἀντὶ τοῦ ἱκετεύω.

> h Μή μ' ἀτιμάσῃς,
> τοιόνδ' ἀλήτην, ὧν σε προστρέπω φράσαι.

Προστρέχω: Δοτικῇ.

Προστρίβεται: i Ἀριστοφάνης·

> Πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.

Τουτέστιν, ὕβρεις k καὶ κακὰ πράγματα κατασκευάζει καὶ μηχανᾶται καὶ περιποιεῖται.

Προστρόπαιον:

> Ἡ δὲ ζῶσα βίαν τὸν προστρόπαιον γυναικί.

Ἀντὶ τοῦ, l ἱκετικόν.

Προστρόπαιον: Τὸ m ἄγος, μίασμα. Οὕτως n Αἰσχίνης. Καὶ προστροπὴ δὲ λέγεται. Ἐν γοῦν τῷ κατὰ Κτησιφῶντος ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ.

Προστρόπαιος: o Προστετραμμένος, ἱκέτης, παρακαλῶν. p Σοφοκλῆς·

> Θάκει δὲ προστρόπαιος, ἐν χεροῖν ἔχων
> κόμας ἐμάς, καὶ τῆσδε, q καὶ σαυτοῦ τρίτου,
> ἱκτήριον θησαυρόν.

r Ἤτοι, ἱκέσιον κτῆμα· ὅ ἐστι τὰς τρίχας. Καὶ αὖθις·

> s Καὶ προστροπαίους τῶν δι' ἐκεῖνον ἠτυχηκότων.

Πρὸς t τρόπον αὐτῷ: u Πολύβιος·

> Ὁ δ' Ἀντίοχος πρὸς τρόπον αὐτῷ καὶ παραδόξου γενομένης τῆς ἐπαγγελίας, ὑπερχαρὴς ὤν, πάνθ' ὑπισχνεῖτο.

Πρόστροποι: Προσπεπτωκότες, προστετραμμένοι. x Σοφοκλῆς·

> Ἱκετευόμέν σε πάντες y οἵδε πρόστροποι,
> ἀλκήν τιν' z εὑρεῖν ἡμῖν, [εἴτε τοῦ θεῶν.]

Προστυχής: Ὁ κατὰ a τύχην ἐντυχών.

Πρόσοικος: Οἰκειότερον μᾶλλον b τὸ ὅμορος. Ἐπὶ γὰρ ὅρων τοῦτο λαμβάνεται.

Πρὸς οἰωνοῦ δεξιοῦ τιθέμενος ἐν πολεμίῳ χάρακι σταθμεῦσαι:

Πρόσοιτο: c Προσδέξοιτο, ἐπισπάσοιτο.

> d Οὐδὲ γὰρ πρόσοιτο ἀναβάτην ἡ κάμηλος οὐδένα ὑπ' αὐθαδείας καὶ ἀσυνηθείας.

Καὶ αὖθις Δαμάσκιος·

> e Ἦν δὲ ἱκανὸς ἰδεῖν ὅπῃ τε f σαθρὸν φθέγγηται ὁ λόγος, καὶ ὅπῃ ὑγιές· ἵνα τὸ μὲν πρόσοιτο, τὸ δὲ ἐξελέγξειε.

Καὶ αὖθις·

> g Εἰ μετάνοιαν ἁμαρτωλοῦ πρόσοιτο.

Προσύμβολα:

> Ἀλλὰ ταῦτα μὲν εἰρήσθω προσύμβολα, ὥς φασι.

Προσφερεῖς: Ὁμοίας.

> Ὁ δὲ ἀπαντήσας τοῖς βαρβάροις πυρὶ h προσφερής, ἔργα ἐπεδείκνυτο χεῖράς τε ἀνθρώπου καὶ i τόλμαν παρατρέχοντα.

Προσφέρω: Δοτικῇ.

Προσφέρονται: Ἀντὶ τοῦ, προστεθῶσι.

Προσφεύγω: Δοτικῇ.

Προσφθέγγομαι: Αἰτιατικῇ.

Προσφορά: Προσθήκη, πρόσδοσις.

---

KUST. Vid. Herald. adv. Salmas. p. 204. Meier. Hist. jur. Att. p. 108.

e *ὥσπερ* om. A.B.V.E.M. Photius, Harpocr. ms. Pal.

f *κατὰ Τιμοκράτους*] Ipso fere orationis initio.

ΠΡΟΣΤΡΕΠΕΣΘΑΙ] Similia habet Schol. Platon. p. 235.

g *ἐφ' ἑαυτοῦ*] Sic habent mss. Paris. itemque Photius in Lexico ms. At priores editt. *ἀφ' ἑαυτοῦ*. KUST.

h *Μή μ' ἀτιμ.*] Sophocl. Œdip. Colon. 50.

ΠΡΟΣΤΡΕΧΩ A. in marg.

i *Ἀριστοφάνης*] In prologo Equitum, ubi de Cleone verba fiunt. KUST.

k *καὶ κακὰ*] *καὶ* om. V. Ante *περιποιεῖται* omnes inserunt *καί*.

l *ἱκετικὸν*] *οἰκετικὸν* V.

m *ἄγος*] *τὸ ἄγος* A.V. Photius.

n *Αἰσχίνης*] P. 49, 22. ed. Steph. *Προστροπὴ* ib. p. 69, 11. Vid. Herald. adv. Salmas. p. 598.

ΠΡΟΣΤΡΟΠΑΙΟΣ] Mss. Paris. habent, *προστροπαῖος*, cum circumflexo in penultima. KUST.

o *Προστετραμμένος*] *τετραμμένος* E. Mox *οἰκέτης* B.

p *Σοφοκλῆς*] Aj. 1173.

q *καὶ σαυτοῦ*] *καὶ* om. A.

r *Ἤτοι* om. A.B.

s *Καὶ προστροπαίους τῶν δι' ἐκ.*] Locus integer Polybii, ex quo fragmentum hoc decerptum est, exstat in Excerptis a Valesio editis, p. 117. KUST. *καὶ* om. V.

t ΤΡΟΠΩΝ] *τρόπον* A.B.V. hic et infra. Mox *τε* V. pro *τῆς*.

u *Πολύβιος*] Lib. VIII. c. 14. KUST. c. 19. ed. Schweigh..

x *Σοφοκλῆς*] Œdip. Tyran. 41.

y *οἵδε*] *ὧδε* A.B.V.E.M.

z *εὑρεῖν ἡμῖν*] *ἡμῶν εὑρεῖν* V. Tum *οὔτε τοῦ θεῶν* om. A.B.V.E.

a *τύχην*] *τὴν τύχην* V.

b *τὸ*] *τῷ* E.

ΠΡΟΣ ΟΙΩΝΟΥ] Dion. Halic. p. 145. v. *Ἐπιστεφέας*. TOUP. Hæc post *προσκώπους* in V.

ΠΡΟΣΟΙΤΟ] In ms. A. legitur, *προσοῖτο*, cum circumflexo in penultima: non solum hic, sed etiam in sequentibus. KUST.

c *Προσδέξοιτο*] *προδέξαιτο* V. *προσδέξαιτο* A.B.

d *Οὐ γὰρ*] *οὐδὲ γὰρ* A.V.

e *Ἦν δὲ ἱκανὸς ἰδ.*] Prior fragmenti hujus pars legitur etiam apud Photium in Excerptis ex Damascio, p. 1036. ut Pearsonius recte observaverat. Ibi autem pro *θησαυρὸν* ex hoc loco Suidæ reponendum est, *σαθρόν*. KUST. Vid. Kuhn. ad Polluc. VIII. 104.

f *σαθρὸν*] *σαθρὸς* V. Tum *φθέγγεται* A.

g *Εἰ μετάνοιαν*] *ἡ μετάνοι'* V.

ΠΡΟΣΥΜΒΟΛΑ] *Πρὸς σύμβολα* V. bis. Post h. gl. delevi ΠΡΟΣΦΑΤΟΣ: *Κυρίως ἐπὶ τοῦ νεωστὶ πεφονευμένου· ἐκ τοῦ φῶ, τὸ φονεύω. Ἐξ οὗ τὸ, Πέφαται δ' ἄριστος Ἀχαιῶν**. *Καὶ* ΑΡΗΙΦΑΤΟΣ. ΠΡΟΣΦΑΤΟΝ: *Τὸ ἀρτίως γινόμενον.* *Καὶ* ΠΡΟΣΦΑΤΩΣ, *ἀντὶ τοῦ, νεωστί.* cum A.B.V.E. Quæ Zonaræ sunt.

h *προσφερὴς*] *προσφερεῖς* V.E.

i *τόλμαν*] *τόλμα* V.

ΠΡΟΣΦΕΡΟΝΤΑΙ] Ex interpretatione subjuncta colligitur, scribendum potius esse *προσφέρωνται*, per *ω*. KUST. Sic A.V.

ΠΡΟΣΦΕΡΩ] A. in marg.

ΠΡΟΣΦΕΥΓΩ A. in marg.

ΠΡΟΣΦΘΕΓΓΟΜΑΙ A. in marg.

* Homerus Il. ε'. 689. apud quem secundum leges metri recte legitur: *Πέφαται δ' ἄριστος Ἀχαιῶν*. KUST.

[k] *Ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται.*

**Προσφορά**: Πρόσοδος. Ἀντιφῶν.

**Πρόσφορα**: Χρήσιμα.

[l] *Δράσω καὶ τάδε, καὶ πάνθ' ὅσα πρόσφορ' [m] ὑμῖν πρὸς χάριν.*

**Πρόσφορον**: Οἰκεῖον, ἁρμόδιον, ἐπιτήδειον.

[n] *Οὐ γὰρ διὰ τὴν τύχην τῶν συμβεβηκότων ἀθετήσεις τῆς ἀξίας ἢ τῆς προσηγορίας τὸ πρόσφορον.*

Χοσρόης φησὶ πρὸς Μαυρίκιον.

**Προσφυές**: Προσοικειούμενον.

**Προσφυῶς**: Οἰκείως, ἀκολούθως.

**Πρόσφυξ**: Ὁ αὐτόμολος.

**Προσφύς**: Προσπλακείς. [[o] Καὶ **Προσφῦναι**, καὶ **Προσφύντος**.]

**Προσχαιρητήρια**: Ἑορτὴ παρ' Ἀθηναίοις [p] γραφομένη, ὅτε δοκεῖ ἀπιέναι ἡ κόρη.

**Πρόσχημα**: Παρακάλυμμα τοῦ ἤθους, ἢ πρόφασις.

[q] *Πατὴρ γάρ, οὐδὲν ἄλλο σοι πρόσχημ' ἀεί,*
*ὡς ἐξ ἐμοῦ τέθνηκεν.*

*Αὐτὸν γὰρ ἐν προσχήματος μοίρᾳ ἐξιόντα, μήτε Οὔννοις, μήτε τοῖς ἐκείνων συμμάχοις ἐς χεῖρας ἰέναι.*

**Πρόσχημα**: Παρακάλυμμα. [r] Σοφοκλῆς·

*Πρόσχημ' ἀγῶνος, Δελφικῶν ἄθλων χάριν.*

Ὡς οὔπω ὄντος τοῦ γυμνικοῦ ἀγῶνος.

*Προσχήματι οἰκονομίας βαρβαρικῆς [s] ἐχόμενοι σμικρολογίας.*

**Πρόσχορδα**: Σύμφωνα.

[**Προσχῶν**:

**Προσχωρῶ**: Δοτικῇ.]

**Πρόσχωροι**: [t] Περίοικοι.

[**Προσψαύσασαι αἱ σάρκες τοῦ μάρτυρος τῷ πυρί**:]

[**Προταλαιπωρῶ**: Γενικῇ.]

**Προταμών**: Κόψας.

A **Πρόταξις φιλῶν**: Ὅταν τῶν ἄλλων ἐν πολέμῳ οὗτοι [u] προτάττωνται· **Ὑπόταξις** δὲ, ὅταν ὑποτάττωνται· **Προσένταξις** δὲ, ὅταν καὶ ἐμπλεκόμενοι τῇ φάλαγγι παρ' ἄνδρα τάττωνται. Λέγεται δὲ καὶ **Παρένταξις** τοῦτο.

**Πρότασις**: Ὅτι πρότασις ἐστὶ [x] λόγος ἐξ ὅρων δύο, τῷ σημαινομένῳ τι περί τινος δηλῶν, ἢ ὡς ὑπάρχον, ἢ ὡς οὐχ ὑπάρχον. Τρόπος δὲ ἁπλῶς, δύο προ-
B τάσεων ἁπλῆ κοινωνία τρεῖς ὅρους ἐχουσῶν, ἐξ ὧν ἀνάγκη τὸν ἕνα δίς τε εἰλῆφθαι, καὶ ἐν ἀμφοτέραις ὑπάρχειν. Σχῆμα δὲ, τρόπος ὡδὶ τὸ μέσον [y] ἔχων.

**Πρότασις**: Ἡ προτεινομένη ἐρώτησις· [z] **Πρόβλημα**, τὸ προβληθὲν ἐρώτημα. Διαφέρει δὲ τῷ τρόπῳ μόνον· συνίσταται [a] δὲ καὶ ἐξ ἀντιφάσεων.

Ὅτι **Πρόβλημα** καὶ **Πρότασις** τῶν αὐτῶν εἰσὶ δηλωτικά, καὶ ἐν τοῖς αὐτοῖς· τῷ δὲ τρόπῳ τῆς ἐκ-
C φορᾶς τῆς κατὰ τὴν λέξιν μόνον αὐτοῖς ἡ διαφορά. Τὸ γὰρ αὐτὸ ἐρώτημα μετὰ μὲν τοῦ [b] πότερον λεγόμενον, πρόβλημά ἐστι· μετὰ δὲ τοῦ ἆρά γε, πρότασις. Καί εἰσιν αὐτὰ διαλεκτικὰ προβλήματα, καὶ [c] διαλεκτικαὶ προτάσεις. Πρόβλημα μὲν, οἷον, Πότερον ὁ κόσμος σφαιροειδής, ἢ οὔ; πρότασις δὲ, Ἆρά γε ὁ κόσμος σφαιροειδής ἐστι; τοῦ ἢ οὒ οὐ προστιθε-
D μένου.

**Προτέγειον**:

**Προτέλεια**: **Πρωτόλειον** δέ.

**Προτέλεια**: Ἡμέραν οὕτως ὀνομάζουσιν, ἐν ᾗ εἰς τὴν ἀκρόπολιν τὴν γαμουμένην παρθένον ἄγουσιν οἱ γονεῖς εἰς τὴν θεόν, καὶ θυσίας [d] ἐπιτελοῦσι.

**Προτέλεια**: Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας. Τὰ πρὸ τοῦ τελεσθῆναί [e] τι τῶν εἰς [f] τὸ θεῖον ἀναφερο-
E μένων γιγνόμενα, ἢ διδόμενα.

**Προτέλειον**: Ἡ προπαιδεία.

Τουτέστιν, ἑταιρῶν.

**Σάββατον**: Ἑβδόμη ἡμέρα ἐτύγχανε τοῦ κυκλικοῦ διαστήματος τῆς [s]ἑβδομάδος, τοῦ Ῥωμαϊκοῦ τὴν

B ἡμέραν γεραίροντος, πόνων ἀνάπαυλαν, αἰδοῖ τοῦ σεβάσματος. Ἀντὶ δὲ Ῥωμαϊκοῦ, Ἰουδαϊκοῦ γραπτέον. Ἀργίαν δὲ εἶχε τὸ σάββατον· ἀλλὰ τὴν πνευματικὴν ἐργασίαν πολλαπλασίονα ἐπετέλουν.

**Σάββατον**: Ἀργία, κατάπαυσις. [t]**Σάββατον δὲ δευτερόπρωτον**, ἐπειδὴ δεύτερον μὲν ἦν τοῦ Πάσχα· πρῶτον δὲ τῶν Ἀζύμων. Εἰ οὖν σάββατον εἴρηται, μὴ θαυμάσῃς· σάββατον γὰρ πᾶσαν ἑορτὴν ἐκάλουν.

C Καὶ διὰ τοῦτο εἴρηται, [tt]**σάββατον σαββάτων**. Ὀψὲ **δὲ σαββάτων**, καὶ οὐ σαββάτου λέγει ὁ Εὐαγγελιστής, διότι σάββατα πᾶσαν τὴν [u]ἑβδομάδα ἔλεγον, ἵνα τὴν ἑσπέραν τῆς ἡμέρας ἐκείνης δηλώσῃ. Καὶ γὰρ ἔθος ἐστὶν ἡμῖν λέγειν, "ὀψὲ τῆς ὥρας [x]ἦλθες·" "ὀψὲ "τοῦ καιροῦ." Ἐκ τούτου δηλοῦται τὸ πόρρω καὶ βραδὺ τῆς περαιωθείσης ἑβδομάδος. Πληροῦται δὲ ἡ ἑβδομὰς ἑκάστη ταῖς μετὰ τὸ σάββατον [y]τοῦ ἡλίου

D δυσμαῖς.

**Σαββάτου ἔχον ὁδόν**: [z]Δισχιλίων πήχεων ἦν. Τοσοῦτον γὰρ ἡ κιβωτὸς διάστημα προελάμβανε τὴν

---

e Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 22.

f Καὶ αὖθις—ἔρως post gl. seq. collocant A.V.E.G. ἐκ Κολοφῶνος om. A.B.V.E. Tum ἃς A.B.V.E. ἐπιρρυτίδων A. ἐπιρρυτίδα V.

g Ἀρχεάνασσαν ἔχ.] Anthol. [Pal. VII. 217.] itemque apud Laërtium in Platone, segm. 31. et Athen. lib. XIII. c. 6. p. 589. KUST.

h Πορφύρεον χαίτας] Anthol. Pal. VI. 207.

i ῬΥΤΗΡΣΙ] Ῥυτεῖσιν V.

ῬΥΤΕΙΟΝ] Ῥύτιον A.V.B.H. m. s. E.

ῬΥΦΩ om. A. post v. s. V.

ῬΥΧΑΧΕΤΟΝ] Vox hæc diversimode apud veteres scribitur. Apud Aristophanem enim in Lysistr. 170. unde sequens fragmentum depromptum est, legitur ῥυγχάχετον. Hesychius vero in serie sua habet, ῥυάχετον. Harum autem lectionum quænam vera sit, haud facile dictu est. KUST. Ῥυάχετον Photius.

k Ἀριστοφάνης] Loco laudato: ubi versus ultimus sic legitur: Πᾶ, καὶ τίς ἂν πείσειεν αὖ μὴ πλαδδικῶ. Cetera recte: nisi quod pro πλαδδικῶ Suidas rectius habet, πλαδδιεῖν. KUST. καὶ αὖθις Ἀριστοφάνης A.

l πείσειε] πείσει B. πείσοι E.G.H. et mox πλαδδεῖν G.

m δισυλλάβως σῶοι] Ita etiam Photius. Piersonus ad Mœrin p. 348. reponit μονοσυλλάβως σῶι, vel, deleto δισυλλάβως, σῶι. Vid. infra v. Σῶι. Schol. Platon. p. 210. Σᾶ τὰ σῶα μονοσυλλάβως φασὶν Ἀττικοί, καὶ τὸν σῶον σῶν· καὶ ἡ σόα σᾶ παρ' αὐτοῖς.

n Ἐκ Σάβα ἥξει om. A.V. Esaias LX. 6. πάντες ἐκ Σάβα ἥξουσι.

ΣΑΒΑΖΙΟΣ: Ὁ αὐτός ἐστι τῷ Διον.] Ex Schol. Aristoph. Av. 874. KUST.

o αὐτῷ] αὐτῶν A.

p καὶ τοὺς Βάκχους] Idem docet Plutarchus Sympos. IV. [p. 671 E.] Σάββους γὰρ καὶ νῦν οἱ πολλοὶ τοὺς Βάκχους καλοῦσιν, &c. KUST.

q Τρυγόνιον, Σαβ.] Anthol. Pal. VII. 222.

r ἄνθεμα h. l. est flos, i. e. quæ tenet primas inter Dionysiacas. REINES.

s ἑβδόμης] ἑβδομάδος A. et sic conj. Portus.

t ΣΑΒΒΑΤΟΝ δὲ δευτερόπρωτον, ἐπειδὴ δ.——πᾶσαν ἑορτὴν ἐκάλουν] Hæc sunt verba Isidori Pelus. lib. III. Epist. 110. ut Pearsonius observaverat. Ceterum, de Sabbato

E δευτεροπρώτῳ propediem expectamus dissertationem viri doctiss. Caroli Daubuz, in qua de argumento hoc accurate tractabitur. KUST. Similia habet Theophylactus ad Lucæ VI. 1. ubi mentio fit τοῦ σαββάτου δευτεροπρώτου. Ergo ille ita: Οἱ Ἰουδαῖοι πᾶσαν ἑορτὴν σάββατον ὠνόμαζον· ἀνάπαυσις γὰρ τὸ σάββατον. πολλάκις οὖν ἀπήντα ἡ ἑορτὴ ἐν παρασκευῇ, καὶ ἐκάλουν τὴν παρασκευὴν σάββατον διὰ τὴν ἑορτήν. εἶτα τὸ κυρίως σάββατον ὠνόμαζον δευτερόπρωτον, ὡς δεύτερον ὂν προηγησαμένης ἄλλης ἑορτῆς καὶ σαββάτου. Alias veterum de ea re sententias recenset Casaubonus Exerc. XIV. adv. Baronium, et prædicat Scaligeri explicationem, quam

F declaravit in lib. VI. de Emend. Temp. p. 557. Is igitur dictum nomen docet a δευτέρα et πρῶτον, ut sit sabbatum secundo primum, illud sabbatum quod secundam Paschatis proxime sit secutum. Quoniam nimirum dies secundus festi Paschalis inprimis erat insignis propter primitias messis hoc die oblatas (Levit. XXIII. 6.) ideo ab hoc secundo die numerabant Judæi septem sabbata usque ad Pentecosten, uti jubetur Levit. XXIII.

G 15. Itaque, Scaliger ait, hebdomades omnes et sabbata omnia a Paschate ad Pentecosten sumunt appellationem suam ἀπὸ δευτέρας τοῦ Πάσχατος. ERNEST.

tt ΣΑΒΒΑΤΟΝ] σάββατα V.

u ἑβδομάδα] ἑβδόμην V.

x ἦλθες] ἦλθε A.

y τοῦ ἡλίου] τοῦ om. A.V.

ΣΑΒΒΑΤΟΥ ἜΧΩΝ ὉΔΟΝ] Actor. I. 12. sed ubi legitur ἔχον, genere neutro. Refertur enim ad ὄρος, quod ibi præcedit. KUST. Ex Origene περὶ Ἀρχῶν IV. vel

H Theophylacto in Actt. Apost. c. 1. vel Œcumenio ista desumta sunt. Selden. de Jur. Nat. gent. et civ. sec. Ebr. c. 6. p. 315. Serar. ad Joseph. III. 4. et Clem. Alex. Strom. V. ista citare Suidam ait: nominat tamen etiam Œcumen. et Theophyl. REINES. ἔχον A.V.

z Δισχιλίων πήχεων ἦν. Τοσοῦτον γ.] Hæc apud Œcumenium in c. 1. Actor. rectius et plenius sic leguntur:

παρεμβολὴν, [a]καὶ ἀπὸ τοσούτου διαστήματος [b]ἐκίνουν, A
οἷς ἐξῆν προσκυνεῖν τὴν σκηνὴν ἐν σαββάτῳ βαδίζειν.

Σαβέκ: [c]Ἄφεσις. Ἀπὸ τῆς Σύρας. . . .

Σαβέλλιος: Ὄνομα κύριον. Ὁ αἱρεσιάρχης.

Σάβειροι: Ὄνομα ἔθνους.

[d]Νεμεσᾷ τε καὶ ἀγανακτεῖ ὁ Καῖσαρ, ὅτι μὴ ἀνέστησαν ἀπαξάπαντας Σαβείρους τε καὶ Ἀλβανούς.

Σαβῖνος, σοφιστὴς, γεγονὼς ἐπὶ Ἀδριανοῦ Καί- B
σαρος. Ἔγραψεν [e]Εἰσαγωγὴν καὶ [f]ὑποθέσεις [g]μελετητικῆς ὕλης, εἰς βιβλία δ', Εἰς Θουκυδίδην, καὶ Ἀκουσίλαον, καὶ ἄλλους ὑπομνήματα· καὶ ἕτερά τινα ἐξηγητικά.

Σάβοι: Δημοσθένης [h]ὑπὲρ Κτησιφῶντος. Οἱ μὲν Σάβους λέγεσθαι τοὺς τελουμένους τῷ Σαβαζίῳ, τουτέστι, τῷ Διονύσῳ· καθάπερ τοὺς τῷ Βάκχῳ Βάκ-
χους. Τὸν αὐτὸν δὲ εἶναι Σαβάζιον καὶ Διόνυσον C
φασίν. Οὕτως δὲ [i]φασὶ καὶ τῶν Ἑλλήνων τινὰς τοὺς Βάκχους Σάβους καλεῖν. Μνασέας δὲ ὁ [k]Πατρεὺς υἱὸν εἶναι φησὶ τοῦ Διονύσου Σαβάζιον.

Σαγαλλησός: Πόλις Πισιδίας.

Σαγγάριος: Ποταμὸς Λυδίας καὶ Φρυγίας.

Ὅτι [l]Γάϊος Ὕπατος Ῥωμαίων, διερχόμενος ἐγεφύρωσε τὸν Σαγγάριον ποταμὸν, τελέως κοῖλον ὄντα καὶ δύσβατον, καὶ παρ'
αὐτὸν τὸν ποταμὸν ἐστρατοπεδεύσατο. D

Σάγαρις: Κοπὶς, ἡ πέλεκυς. Λέγεται καὶ σάγαρι, χωρὶς τοῦ σ. [m]Ξενοφῶν·

Ὁ δὲ ἄνδρα συλλαβὼν, ἧκεν ἄγων ἔχοντα τόξον Περσικὸν, καὶ φαρέτραν, καὶ [n]σάγαριν, οἵαν περ αἱ Ἀμαζόνες ἔχουσι.

[o]Σάγαρις.

[oo]Λυσιφλεβῆ τε [p]σάγαριν.

Ἡ τὰ ἐκ χειρὸς ὅπλα.

Σάγη: Τὸ τοῦ ὄνου ἐπίθεμα.

Ἐπ' αὐτὸν ἐτίθει τὸν γόμον, τήν σάγην τε τοῦ κτήνους.

[q]Ἰώσηπος·

[r]Ῥαχήλα δὲ κατατίθησι τοὺς τύπους εἰς τὴν σάγην τῆς φερούσης αὐτὴν καμήλου.

Σαγηνέων: Ἀνθρώπων.

Σαγηνέτω: Αἰτιατικῇ.

Σαγηνεύς: Ὄνομα κύριον.

Σαγηνεία: Ἡ [s]ἀλεία. [t]Σαγήνη καὶ σαγηνευτὴρ, ὁ ἁλιεύς.

[u]Αἰγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν
δῶρα [x]παρακταίης σοὶ τάδ' ἀπ' ὠφελίης.

[y]Καὶ δῶρα βασιλεῖ [z]Νομάδων, σάγων πορφυρῶν πλῆθος, καὶ πόρπας χρυσείας.

Σάγμα: Ἡ θήκη τοῦ ὅπλου. Σάγη δὲ, τὸ ὅπλον. Καὶ πανσαγία, ἡ πανοπλία. Ἀριστοφάνης Ἀχαρνεῦσι·

Τίς Γοργόν' ἐξήγειρεν ἐκ τοῦ σάγματος;

Ἐν γὰρ τῇ ἀσπίδι [a]ἐνετετύπωτο ἡ Γοργώ. Λέγει οὖν,
D Τίς ἐξήγαγεν ἐκ τῆς θήκης τὸ ὅπλον; καὶ [b]Σοφοκλῆς·

Κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασι.

Σαγμάρια: Τὸ παρ' ἡμῖν λεγόμενον [c]τοῦλδον.

---

Μίλιον ἓν, ἡ τοῦ σαββάτου ὁδὸς, ὥς φησιν Ὠριγένης ἐν τῷ πέμπτῳ Στρωματεῖ, δισχιλίων πηχῶν ὑπῆρχε. Καὶ μᾶλλον ἡ ἁγία σκηνὴ καὶ κιβωτὸς τοσοῦτον διάστημα προελάμβανε τὴν παρεμβο-
λὴν, καὶ ἀπὸ τοσούτου διαστήματος ἐσκήνουν. Ὃ διάστημα E
ἐξῆν τοῖς προσκυνοῦσι τὴν ἁγίαν σκηνὴν βαδίζειν ἐν σαββάτῳ. Hinc Suidam emendabis. KUST.

[a] καὶ ἀπὸ τοσούτου] Verte: *et tanto intervallo ii, quibus licebat, vel quos oportebat in Sabbato adorare tabernaculum, ire incipiebant.* REINES.

[b] ἐκίνουν] ἐκείνου E.

[c] Ἄφεσιν] ἄφεσις A.V.E. Lex. Seg. Post Σύρας V. addit γλώσσης, Lex. Seg. διαλέκτου. Vid. Schleusner. Lex. V. T.

[d] Νεμεσᾷ τε καὶ] Hæc sunt verba Menandri in Ex- F
cerptis Hœschelii, p. 134. Atque huc respicere videtur Suidas supra: Νεμεσᾷ: Μέμφεται. TOUP.

ΣΑΒΙΝΟΣ] Vid. Σέργιος Ζευγματεύς. HEMST.

[e] Εἰσαγωγὴν καὶ ὑπόθεσιν μελετ.] Locus hic suspectus mihi est. Forte Suidas scripserat, Εἰσαγωγὴν καὶ ὑπόθεσιν * * Περὶ μελετητικῆς ὕλης, &c. Post ὑπόθεσιν enim videtur excidisse vox aliqua, sive nomen operis cujus εἰσαγωγὴν et ὑπόθεσιν Sabinus scripserat. KUST.

[f] ὑπόθεσιν] ὑποθέσεις A.B.V.E.

[g] μελετητικῆς ὕλης] Opus hoc laudatur a Laërtio in G
Platone, segm. 47. KUST. Μελετικῆς A.V.E. et sic Laërtii ed. Froben.

ΣΑΒΟΙ: Δημοσθένης ἐν τ.] Ex Harpocratione: ad quem vide Maussacum. Ceterum in loco Demosthenis, ad quem nota hæc referenda est, pro Σάβοι, hodie legitur Σαβοῖ; ut Portus etiam monuit. Confer Nostrum supra v. Εὐοί. KUST.

[h] ἐν τῷ ὑπὲρ] ἐν τῷ om. A.V. Photius. Demosth. p. 313, 26.

[i] φασὶ—τινας] φ—τινες A.E. Photius. φασὶ τοὺς Ἕλληνας τινες Harpocr.

[k] Παταρεὺς] Πατρεὺς A.V. Photius, Harpocr. ms.

ΣΑΓΑΛΛΗΣΟΣ] Plin. V. 27. Sagalessos. REINES. Statim delevi ΣΑΓΑΠΗΝΟΝ: Ὀπός ἐστιν, οἷον νάρθηκος, θερμὸς, καὶ λεπτομερής. Ἔχει δέ τι καὶ ῥυπτικόν· ὡς καὶ ταῖς ἐν ὀφθαλμοῖς οὐλαῖς τε καὶ ὑποχύσεσιν ἁρμόττειν, cum A.B.V.E. quæ Paulli Æginetæ sunt VII. p. 252.

[l] Γάϊος, Ὕπατος Ῥωμ.] Fragmentum hoc (quod Vale-
E sius ad Polybium refert) auctius legitur supra v. Γάλλος. KUST. Deest A.

ΣΑΓΑΡΙΣ] Plautus in Persa servum introducit, cui nomen Sagaristio, ut in Rudente alium, cui nomen Sceparnio, a σκέπαρνον *ascia*. REINES. Gl. Herodot. I. 215. Σαγάρεις: πελέκεις, τὰ ἐκ χειρὸς ὅπλα.

[m] Ξενοφῶν] Lib. IV. de Expedit. Cyri, p. 328. sed ubi legitur σάγαριν. KUST. IV. 4, 16.

[n] σάγαρι] σάγαριν A.B.V.E.

[o] ΣΑΓΑΡΙΣ—ὅπλα om. B.E.

F [oo] Λυσιφλεβῆ τε σάγαριν] Anthol. Pal. VI. 94.

[p] σάγαριν] σάγαριν θῆκεν A.V. Redeat ἀμφιθηγέα ex Anthol.

[q] Ἰώσηπος] T. I. p. 56. ed. Haverc. ubi nonnulli male sollicitant κατατίθησι. TOUP. Ant. Jud. I. 19, 11.

[r] Ῥαχίλα] Ῥαχήλα A.V.

ΣΑΓΗΝΕΩΝ] Leg. Σαγ. ἁλιέων. Plutarch. Pompeio p. 658. ἐν καλυβίῳ τινὶ σαγηνέων. Procop. p. 59. TOUP.

ΣΑΓΗΝΕΤΩ om. A.V.

ΣΑΓΗΝΕΥΣ—ἀλεία om. B.

G [s] ἀλεία] Puto leg. ἁλιεία, *piscatio*, quanquam supra legatur Ἀλεία. Vid. ad v. Κτένα. TOUP.

[t] ΣΑΓΗΝΗ addunt A.B.V.E.

[u] Αἰγιαλῖτα Πρίηπε, σαγ. Anthol. Pal. VI. 33.

[x] παρακταίης—δῶρα om. A.B.V.E.M.

[y] Καὶ δῶρα βασιλεῖ Νομ.] Exemplum hoc pertinet ad vocem σάγον, non vero σαγηνεία. KUST.

[z] Νομάδων] Νομάδι A.V.

ΣΑΓΜΑ: Ἡ θήκη τοῦ ὅπλ.] Ex Schol. Aristoph. Acharn.
H 573. Confer etiam Nostrum supra v. Πασσαγίην. KUST.

[a] ἐνετετύπωτο] ἐντετύπωτο A. Mox Γοργὼν E.

[b] Σοφοκλῆς] Euripid. Androm. 618. Suidæ errorem castigavit H. Steph. Thesaur. L. G. T. III. p. 746 B. Mox τεύχε' ἔχων pro τεύχη δ' A.V.

ΣΑΓΜΑΡΙΑ] Confer Nostrum supra v. Ἀποσκευή. Vide etiam Dufrenium in Glossario Græco. KUST. Leg.

Τὰ βαστάζοντα τὴν ἀποσκευὴν, καὶ τὴν μετακομιδὴν τῶν ἐπιτηδείων. A

Σαγχωνιάθων, Τύριος, φιλόσοφος, ὃς γέγονε κατὰ τὰ Τρωϊκά. Περὶ τῆς Ἑρμοῦ φυσιολογίας, ἥτις μετεφράσθη· [d]Πάτρια Τυρίων, τῇ Φοινίκων διαλέκτῳ· Αἰγυπτιακὴν Θεολογίαν· καὶ ἄλλα τινά.

Σαδόκ: Ὄνομα κύριον.

Σαδδουκαῖος: [e]Ἀπὸ τόπου.

[Σαδυάττης: Ὁ Ἄρδυος.] B

Σαθρός: Ἀπὸ τοῦ σείεσθαι [f]ῥᾳδίως. Ἢ ἀπὸ τοῦ σείεσθαι τὰ ἄρθρα.

Σαθρωθῆναι: Σαλευθῆναι.

[g]Τὰς μὲν ἐπάλξεις καταρραχθῆναι ταῖς βολαῖς, καὶ τὸν τοῖχον ἅπαντα τοῦ πύργου σαθρωθῆναι τῇ βίᾳ.

Μένανδρος φησί.

Σαθροί: Παλαιοὶ, φθαρέντες.

Σάκανδρος: Τὸ γυναικεῖον αἰδοῖον. C

Σάκας: Ὄνομα κύριον. Τραγῳδίας ποιητής. Καὶ Σάκαι, ἔθνος Θρακικόν. [h]Ἀριστοφάνης·

[i]Νόσον νοσοῦμεν τὴν ἐναντίαν Σάκᾳ.

Οὕτως ἐκαλεῖτο ὁ Ἀκέστωρ διὰ τὸ ξένος εἶναι. Ὁ αὐτὸς Ἀριστοφάνης,

Ὁ μὲν γὰρ [k]ὢν οὐκ ἀστὸς, εἰσβιάζεται.
Ἡμεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι,
ἀστοὶ μετ' ἀστῶν, οὐ σοβοῦντος οὐδενὸς
ἀνεπτόμεσθ' [l]ἕκαστος ἐκ τῆς πατρίδος.

Ὅτι [m]Ἀμμώνιος, ὁ φιλόσοφος Ἀλεξανδρεὺς, ὁ ἐπικληθεὶς [n]Σάκας, ἀπὸ Χριστιανῶν γέγονεν Ἕλλην, ὥς φησι Πορφύριος.

Σακέλλιον: [o]Βαλάντιον, μαρσίπιον. Ἐξ οὗ καὶ Σακελλάριος.

Σακέρδως σακέρδωτος. Ὁ ἱερεύς.

Σακεσπάλος: Ὁ πολεμικός.

Σακεσφόροι: Ὁπλοφόροι, [p]ἀσπιδηφόροι.

Σακεύουσι: Τὸ ὑλίζουσι. Παρ' [q]Ἡροδότῳ.

Σάκκος: Καὶ [r]σακκίον.

B [s]Ὁ δὲ Ἰακὼβ σακκίον ἐξαψάμενος καὶ τῇ λύπῃ βαρὺς ἐκαθέζετο.

Σάκος: Ὅπλον, ἀσπίδα. Καὶ σάκος, [t]ἀρσενικῶς, δι' ἑνὸς κ.

[u]Σάκους ἔχων καὶ [x]κωρύκους.

Ἀντὶ τοῦ θυλάκους. Κώρυκος δὲ, πλέγμα δεκτικὸν ἄρτων.

Σάλα: Ἡ φροντίς.

C Σαλάγγωνος:

Σαλαΐζειν: Θρηνεῖν.

Σαλάκων: Προσποιούμενος πλούσιος εἶναι, πένης ὤν. Καὶ σαλακωνία, ἀλαζονεία ὑπὲρ τὸ δέον. Καὶ [y]σαλακωνίσαι, [z]ἀλαζονεύεσθαι. Ἀλαζόνας δὲ ἔλεγον τοὺς ψεύστας, καὶ μεγαλαύχους.

Σαλαμάνδρα: Ζῶον, ὡς σαύρα τὸ μέγεθος, ψυχρότατον τὴν φύσιν, ὡς καὶ τὸ πῦρ εἰσδυόμενον τὴν φλόγα [a]σβεννύναι, καὶ αὐτὸ μὴ πίμπρασθαι. D

Σαλαμινία ναῦς: Δύο ἦσαν νῆες [b]παρὰ τοῖς Ἀθηναίοις ὑπηρέτιδες [c]ταχυδρόμοι, ἡ Πάραλος, καὶ ἡ

---

Σαγμάρια, τὰ βαστ. τὴν ἀπ. τὸ παρ' ἡ. λ. τ. nisi mavis ad finem rejicere. HEMST.

[c] τοῦλδον] τοῦλ A. τοῦλδῖ V.

ΣΑΓΧΩΝΙΑΘΩΝ] De hoc vide omnino Euseb. lib. I. Præpar. Evang. c. 9. et Vossium in opere de Hist. Gr. Ceterum fragmenta Sanchoniathonis hujus ex interpretatione Philonis Byblii habes apud eundem Euseb. lib. I. Præp. Evang. c. 10. KUST. E

ib. Σαγχονιάθων A.

[d] Πάτρια] πάτριά τε A. Post h. art. addit V. Σαγχωνιάθης Σιδώνιος σοφὸς τοῖς χρόνοις κατὰ Σεμίραμιν· ἔγραψε τῇ Φοινίκων διαλέκτῳ φυσιολογίαν καὶ ἄλλα τινα.

[e] Ἀπὸ τόπου] Hoc falsum est. Nam τὸ Σαδδουκαῖος non esse nomen gentile, sed nomen sectæ Judaicæ, notissimum est. Vide Drusium De trib. Sect. Judæorum, lib. III. c. 4. KUST. Drusius leg. ἀπὸ τρόπου, vel ἀπὸ Δοσιθέου. Epiphan. enim Hæres. 14. sic: Σαδδουκαῖοι ἀπόσπασμα ὄντες ἀπὸ Δοσιθέου. REINES. F

ΣΑΔΥΑΤΤΗΣ] Ex Herodot. I. p. 6. TOUP. Deest gl. A.V.

[f] ῥᾳδίως—σείεσθαι om. V.

[g] Τὰς μὲν ἐπάλξεις] Hæc ad senarios reducere tentavit Schurzfleisch. ad Longinum, p. 43. Perperam omnino et iratis Musis. Sunt enim proculdubio verba Menandri Historici, quem passim laudat noster Suidas. Vide supra ad v. Αἴσιος, ubi Portum recte castigat Kusterus. TOUP. G

ΣΑΚΑΝΔΡΟΣ] Aristoph. Lysistr. 824.

ΣΑΚΑΣ] Sacas eunuchus in aula regis Babyl. ap. Phot. c. 94. REINES.

[h] Ἀριστοφάνης] Sub initium Avium. Confer Nostrum supra v. Νομάδες, ubi idem fragmentum legitur. KUST.

[i] Νόσον—Σάκᾳ om. B.E. Post Σάκας addidi οὕτως—Ἀριστοφάνης cum A.V. H

[k] ὢν] οὖν V.

[l] ἕκαστος addit A.

[m] Ἀμμώνιος] Vide Nostrum supra h. v. KUST. Desunt hæc A.

[n] Σάκας] Σάκκας V.

ΣΑΚΕΛΛΙΟΝ] Vide de hac voce Dufrenium in Glossario Græco. KUST.

[o] Βαλάντιον] βαλλάντιον V. Mox ἐξ οὗ etc. om. A. Schol. Gregor. Naz. Stelit. I. p. 77. Σακέλλιον Ῥωμαϊκὴ λέξις ἐστὶ, φυλάκην τῶν χρημάτων σημαίνουσα, ὅθεν καὶ Σακελλάριον καλοῦσι τὸν ταμίαν καὶ φύλακα τῶν χρημάτων.

ΣΑΚΕΡΔΩΣ] Ex A.B.V.

ΣΑΚΕΣΠΑΛΟΣ] Est vox Homerica, Il. ε'. 126. Ceterum in mss. Paris. vox hæc παροξυτόνως scripta est. At in prioribus editt. προπαροξυτόνως: quod minus placet. KUST.

[p] ἀσπιδοφόροι] ἀσπιδηφόροι A. Photius. ἀσπιδιφόροι E.

[q] Ἡροδότῳ] IV. 23. ubi σακκέουσι.

[r] ΣΑΚΚΙΟΝ] τὸ σακκίον V.

[s] Ὁ δὲ Ἰακὼβ] Hæc verba leguntur apud Josephum, Antiq. Jud. lib. II. 3. p. 72. TOUP.

[t] ἀρσενικῶς] ἀρσενικὸν V.

[u] Σάκους ἔχων καὶ κωρύκους] Aristoph. Lysistr. 1213. Σάκκους V.

[x] κωρύκους] Sic mss. Paris. et Aristoph. loco laudato. At in prioribus editt. minus recte legitur κορύκους, per ο in syllaba prima. KUST. καρύκους B.E.M.

ΣΑΛΑ] Vid. not. ad Hesych.

ΣΑΛΑΙΖΕΙΝ: Θρηνεῖν] Vide Salmasium ad Æl. Lampridium. KUST. p. 181.

ΣΑΛΑΚΩΝ] Vide Henricum Steph. in Animadversionibus ad Adag. Erasmi, p. ult. KUST.

[y] ΣΑΛΑΚΩΝΙΣΑΙ] Confer Nostrum supra v. Διασαλακωνίσαι. KUST.

[z] ἀλαζονεύεσθαι] ἀλαζονεῦσαι E.

ΣΑΛΑΜΑΝΔΡΑ] Vide Scholiastam Nicandri, p. 64. KUST.

[a] σβεννύειν] σβεννύναι A.B.V.

ΣΑΛΑΜΙΝΙΑ ΝΑΥΣ: Δύο ἦσαν ν.] Ex Schol. Aristoph. Av. 147. Confer etiam Nostrum supra v. Πάραλος. KUST. Vid. supra Δηλιὰς, Θεωρὶς, Ἄμμωνις, et Πάραλος. De Salaminia et Paralo navibus ὑπηρετίσι vid. supra in Ἄπειρος. REINES.

[b] παρ'] παρὰ τοῖς A.V.

[c] καὶ ταχύδρομοι] καὶ om. B.V.E. edd. ante Kuster.

Σαλαμινία· ὧν ἡ μὲν Σαλαμινία τοὺς [d]ἐγκαλουμένους εἰς κρίσιν ἦγεν· ἣν καὶ ἐπὶ Ἀλκιβιάδου φησὶ πεμφθῆναι Θουκυδίδης. Ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγε· τουτέστι, τὰ εἰς θυσίαν πεμπόμενα.

Σαλαμίνιος: Ὡς ναυτικῶν ὄντων τῶν Σαλαμινίων καὶ κατωφερῶν, δύναται δὲ καὶ ἀπὸ τῆς Σαλαμινίας νεὼς νοεῖσθαι τὸ Σαλαμίνιος· ὡς ἀπὸ τῆς Παράλου, Παράλιος.

Σαλαμῖνος: Μετὰ Μαραθῶνα Σαλαμῖνος μέμνηται, ὅπου ναυμαχία Περσῶν ἐγένετο· ἐν Μαραθῶνι δὲ, πεζομαχία. Κεῖται δὲ ἡ Σαλαμὶς ὀλίγον πρὸ τῆς Ἐλευσῖνος πόλεως, ἱερᾶς [e]Δήμητρος καὶ Κόρης, πλήρης κατορθωμάτων Ἑλληνικῶν. Καὶ γὰρ ἐν ταύτῃ πολλὰς τῶν Περσῶν [f]κατεναυμάχησαν Ἀθηναῖοι τριήρεις ὀλίγῳ ἀριθμῷ, Θεμιστοκλέους στρατηγοῦντος. Ἔνθα καὶ πέτρα ἐστὶν Εἰρεσία οὕτω καλουμένη, ὥσπερ διὰ τοῦ ὀνόματος τρόπαιον οὖσα. Ἔστι δὲ καὶ Ἀγέλαστος πέτρα καλουμένη παρὰ τοῖς Ἀθηναίοις, ὅπου καθίσαι φασὶ Θησέα μέλλοντα καταβαίνειν εἰς ᾅδου· ὅθεν καὶ τοὔνομα. Ἢ ὅτι [g]ἐκεῖ ἐκαθέσθη ἡ Δημήτηρ κλαίουσα, ὅτε ἐζήτει τὴν κόρην. [h]Ἀριστοφάνης·

*Ἐπὶ ταῖς πέτραις οὐ [i]φροντίζει σκληρῶς σε καθήμενον οὕτως· οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι [k]τουτὶ φέρω. Ἀλλ' ἐπαναίρου, κᾆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι.*

Σαλαμωνεύς:

Σαλανίωνος:

Σαλεύει: Ζῇ, διάγει.

*Τὸν τῆς οἰκουμένης δεσπότην, ἐν ᾧ σαλεύει τὰ πάντα.*

Καὶ αὖθις·

*Ὥσπερ οὖν οὐχ [l]ὑπὲρ τῶν ἐσχάτων σαλεύουσα, ἀλλ' ἐφειμένη δρᾶν ὅ τι καὶ θέλει.*

A Καὶ αὖθις·

*[m]Σαλευόντων ἐπὶ λεπταῖς ταῖς ἐλπίσι πολλῶν.*

Σαλεύσας: Βουλευσάμενος.

*Πολλὰ δὴ καθ' ἑαυτὸν σαλεύσας, ἀνέρριψεν ἐκ τῶν παρόντων εὐτυχῆ κύβον.*

Καὶ αὖθις·

*[n]Τοὺς δὲ ἄλλους [o]ἐποψίας τῆς ἀκμῆς σαλεύσας, καὶ μέντοι τῷ ἀπολέσθαι ὁμοῦ εἶναι.*

B Καὶ αὖθις·

*Ἡνίκα ἑώρα σαλεύουσαν αὐτῇ τὴν τύχην πᾶσαν.*

[p]Ἀντὶ τοῦ μεταπίπτουσαν.

Σαλήμ: Ὄνομα πόλεως. Ἡ Ἱερουσαλήμ.

Σάλης: Ὄνομα ποταμοῦ.

Σαλμωνεύς: Οὗτος [q]Αἰόλου μὲν υἱὸς, [r]βασιλεὺς δὲ Θετταλῶν· ὃς ἀσεβὴς γεγονὼς, διὰ μηχανῆς ἤστραπτεν, ἐβρόντα, συνεκύκα τὰς τῶν ὑπηκόων ψυ- C χάς. Ὅθεν καὶ δίκην ἔδωκε τῆς ἀσεβείας, θεόθεν κεραυνόβλητος γεγονώς.

Σαλομών: Ἀπὸ τοῦ Σαλήμ· ὅ ἐστιν, [s]εἰρήνη. Ἐν γὰρ τοῖς [t]χρόνοις αὐτοῦ εἰρήνη ἦν.

Σάλος: [u]Σαλευμὸς, τάραχος. Καὶ ἡ φροντίς.

*[x]Κατέλαβον πολισμάτιον ἀλίμενον μὲν, [y]σάλους δὲ ἔχον, καὶ προβολὰς περικλειούσας ἐκ τῆς γῆς εὐφυεῖς.*

D Καὶ αὖθις·

*[z]Ἐν τῷ σάλῳ συνίζανον ἐποίουν [a]αὐτὸ στεριφώτερον.*

Σάλουσα: Φροντίζουσα. Σάλα γὰρ, ἡ φροντίς.

Σαλούστιος, σοφιστής. Ἔγραψεν εἰς Δημοσθένην καὶ Ἡρόδοτον ὑπόμνημα· καὶ ἄλλα.

Σαλούστιος Μοψεάτης, ἰατρὸς, ἐπὶ Τιβερίου Καίσαρος. Ἔγραψεν Ἰατρικά.

E

[d] καλουμένους] ἐγκαλουμένους A.B.V.E. ἐκκαλουμένους Schol.

ΣΑΛΑΜΙΝΙΟΣ: Ὡς ναυτικῶν ὄντ.] Aristoph. Eccles. 38. Σαλαμίνιος γάρ ἐστιν, ᾧ ξύνειμ' ἐγώ. Τὴν νύχθ' ὅλην ἤλαυνέ μ' ἐν τοῖς στρώμασι. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

ΣΑΛΑΜΙΝΟΣ: Μετὰ Μαραθ.] Ex Schol. Aristoph. Equit. 782. KUST.

[e] Δήμητρος] Δημητρας A. (sine acc.)

[f] κατεναυμάχησαν Ἀθηναῖοι] Ἀθηναῖοι κατεναυμάχησαν A.

[g] ἐκεῖ om. V. Mox Δήμητρα A.V.E. edd. ante Kuster. qui recepit tacite correctionem Porti. Tum ὅτι V.

[h] Ἀριστοφάνης] Equit. 780.

[i] φροντίζε] φαντάζει B.E. Mox σε om. A.B.V. et οὕτως A.B.V.E. καθήμενος E.

[k] τοῦτο] Aristoph. habet τουτί: uti etiam hic metri gratia scribendum est. KUST. τουτὶ A.V.

ΣΑΛΕΥΕΙ] Vid. Bergler. ad Alciphr. III. 38. Suidam supra v. Ἐσάλευε.

[l] ὑπὲρ τῶν ἐσχ.] Ita p. 233. TOUP. v. Πυθαγ. p. 3170 C.

[m] Σαλευόντων ἐπὶ λεπ.] Vid. Τεθνεῶτα. HEMST.

[n] Τοὺς δὲ ἄλλους etc.] τὰς δὲ ἄλλας ὑποψίας τῆς ἀρχῆς σ. κ. μ. τ. τὸ τῷ—ἀντιμεταπίπτουσαν. HEMST.

[o] ἐποψίας] ἐποψία V.

Τοὺς δὲ ἄλλους ἐποψίας τῆς ἀκμῆς σαλεύσας] Locus conclamatus. Interpres ne vertit quidem: quod hominis prudentis est. Repono, Τοὺς δὲ ἄλλους ἘΠ' ὈΨΙΑΣ τῆς ἀκμῆς ΣΑΛΕΥΣΑΝΤΑΣ, καὶ μέντοι τῷ ἀπολέσθαι ὁμοῦ εἶναι. *Ceteros autem cum jam advesperasceret in discrimine versatos, et jam jam perituros.* Ἀκμὴ βίου, ἀκμὴ καιροῦ, ἀκμὴ γήρως, Græcis usitatissima. Ἐπ' ὀψίας τῆς ἀκμῆς, *In the dusk of the evening.* Eleganter Damascius apud Photium, p. 1065. Ἀλλὰ τοῦτο συμβέβηκε νῦν ἐπὶ ξυροῦ ἑστάναι οὐ τῆς ἀκμῆς, τοῦ δὲ ἐσχάτου γήρως ὡς ἀληθῶς. Recte autem, τῷ ἀπολέσθαι ὁμοῦ εἶναι. *Cum in eo essent, ut perirent.* Menander apud Schol. ad Apollon. Rhod. II. 121. Ὁμοῦ δὲ τῷ τίκτειν παρεγένεθ' ἡ κόρη. TOUP. ἐπ' ὀψίας ἀκμῆς correxerat Portus.

[p] Ἀντὶ τοῦ μετ.] ἀντιμεταπίπτουσαν V.

ΣΑΛΜΩΝΕΥΣ] Vid. Εὐτρόπιος et Χρῆμα. HEMST. Ex Æliano de Providentia. TOUP. Æliano tribuit etiam Valckenærius.

F [q] Αἰόλου] Apollodor. et Tzetz. ad Lycophr. 175. Ἀλκίδης υἱὸς, βασιλεὺς Θεττ. alii Elidis regem vocant. Cf. Apollod. I. 9, 7. Manil. I. v. 91. Hygin. fab. 61. Bocacc. Geneal. D. XVII. c. 52. Greg. Nazianz. in Jul. IV. s. 2. Σαλμωνεὺς ἦν τις ἐκ βύρσης βροντῶν, fingebatur enim ex alia machina fulgurare, ex alia tonare. REINES.

[r] βασιλεὺς δὲ] δὲ om. A.V.

ΣΑΛΟΜΩΝ] Σαλαμὼν ὁ A.

G [s] εἰρήνη] Conf. 1 Paralipom. XXII. 9, 10. quem locum laudans Theodoretus ad Cantic. III. 7. ait: τὸ Σολομὼν εἰρηνικὸς προσαγορεύεται etc. ERNEST.

[t] ἐκείνου χρόνοις] χρόνοις αὐτοῦ A.V. χρόνοις ἐκείνου E.

[u] Σαλευμός] Sic etiam Photius in Lex. ms. At est vox suspecta, vel verius adulterina. Dicendum enim potius erat σαλευσμὸς, si talis formatio ὀνομάτων ῥηματικῶν in usu esset. KUST.

[x] Κατέλαβον πολισμάτιον ἀλίμενον μὲν, σάλ.] Hæc sunt verba Polybii lib. I. c. 53. KUST.

H [y] σάλους] σάλος E. Mox προσβολὰς E.

[z] Ἐν τῷ] καὶ τῷ A.B. ἐν τῷ σάλῳ om. V.

[a] αὐτῷ] αὐτὸ A.V.E. Tum στεριφώτερον A.

ΣΑΛΕΥΟΥΣΑ] Σάλουσα A.V. Photius.

ΣΑΛΟΥΣΤΙΟΣ σοφ.] Meminit Schol. Aristoph. Plut. v. 725. TOUP. Vid. Hemsterhus. ad eum locum.

ΣΑΛΟΥΣΤΙΟΣ ΜΟΨ.] Deest artic. V.

Σαλοτστιος: Οὗτος εἰς Ἀλεξάνδρειαν ἧκεν Ἀθήνηθεν σὺν Ἰσιδώρῳ τῷ φιλοσόφῳ. Παράδοξος δὲ ὁ τρόπος Σαλουστίου πᾶσιν ἀνθρώποις, τὰ μὲν φιλοσοφοῦντος ἐπὶ τὸ [b]καρτερώτερον, τὰ δὲ παίζοντος ἐπὶ τὸ γελοιότερον· ἑκάτερον, οἶμαι, πέρα τοῦ μετρίου. [c]Καὶ δεῖ κρίσεως, εἴπερ τινὶ ἄλλῳ, καὶ τῷδε τῷ βίῳ. Καὶ δὴ Σαλούστιος τὰ μὲν πατρόθεν ὥρμητο ἀπὸ Συρίας, τὰ δὲ πρὸς μητρὸς, [d]Ἐμισηνὸς ἐγεγόνει. Ὁ πατὴρ δὲ αὐτῷ Βασιλίδης ὠνομάζετο, Θεόκλεια δὲ ἡ μήτηρ. B Εὐφυὴς δὲ ἐπὶ [e]πολλὰ γεγονὼς, καὶ τὸ ἦθος αὐστηρὸς καὶ φιλότιμος, τὰ μὲν πρῶτα ἀπέβλεπεν εἰς τὴν [f]πολυάρατον δικανικήν· καὶ ἐπαιδεύετο λόγοις ῥητορικοῖς ὑπὸ Εὐνοΐῳ σοφιστῇ, τότε ὄντι κατὰ [g]Ἔμισαν. Ὕστερον δὲ [h]οὐκέτι τῷ δικανικῷ, ἀλλ' ἤδη τῷ σοφιστικῷ βίῳ προσεῖχε τὸν νοῦν, καὶ ἐπὶ τούτῳ διεμελέτα τοὺς λόγους, οὐδὲν ἧττον τῆς φύσεως ἐπὶ τοῖς πόνοις C θαυμαζόμενος· τοὺς μὲν γὰρ δημοσίους τοῦ Δημοσθένους λόγους ὁμοῦ πάντας ἐξέμαθεν. Ἀλλὰ πρὸς τούτῳ καὶ λέγειν ἦν ἱκανὸς, [i]οὐ τοὺς νεωτέρους ἐκμιμούμενος σοφιστὰς, ἀλλὰ πρὸς τὸν [k]ἀρχαῖον [l]πίνον τῆς λογογραφίας ἁμιλλώμενος. Ἀμέλει καὶ ἔγραψε [m]λόγους, οὐ πολύ τι ἐκείνων [n]ἐκλειπομένους. Τὸν δὲ ἡμέτερον πολίτην Μάρκελλον, ἑταῖρον τοῦ Εὐνοΐου, καὶ τοῦτον ἐκμαθόντα μὲν ἀπεμνημόνευε τὰ [o]ὀκτὼ D βιβλία τῆς Θουκυδίδου ἱστορίας, οὐ μήν τι καὶ λέγοντα ἄξιον ἀκοῆς· καὶ Νόννον δέ φασιν ἐκμαθόντα ἑξάκις ὅλον τὸν Δημοσθένην, μὴ δὲ διᾶραι τὸ στόμα δύνασθαι πρός γε λόγων ἐπιεικῶν σύνθεσιν· οὐ γάρ ἐστι ταυτὸν ἐς πλῆθος [p]ἀποστηθίζειν, καὶ γράφειν ἐς κάλλος. Ὁ δὲ Σαλούστιος, ἁδρότερον [q]ἤδη ἁπτόμενος A τῆς τέχνης, ἐλάττω ἢ καθ' ἑαυτὸν ὑπολαβὼν τὸν Εὐνόϊον, ἀπῆρεν εἰς Ἀλεξάνδρειαν, καὶ ἀπεπειρᾶτο τῶν ῥητορικῶν [r]διδασκαλιῶν.

Σαλοτστιος φιλόσοφος· ὃς ἔφη ἀνθρώποις οὐ ῥάδιον εἶναι φιλοσοφεῖν, ἀλλὰ καὶ ἀδύνατον. Τοῦτον ἀκούσας ἀπέστυξα [s]δή ποτε τὸν λόγον, ὡς οὔτε ἀληθῆ λεγόμενον, οὔτε λέγεσθαι ἄξιον. Ἀλλὰ γὰρ ὁ Σαλούστιος ᾔδει τὸ ἐνὸν εἰπεῖν. Οὐ γὰρ διεβέβλητο B πρὸς τοὺς φιλοσόφους ἁπλῶς, ἀλλὰ φύσει μισοπόνηρος ἦν, καὶ κατὰ τὸν Ἡράκλειτον, [t]ὀχλολοίδορος, καὶ πᾶσιν ἐπιτιθέμενος τοῖς ἁμαρτάνουσι, καὶ ὁπωσοῦν, ἐκ πάσης προφάσεως ἐλέγχων [u]ἑκάστους καὶ διακωμῳδῶν· ἐνίοτε μὲν σπουδάζων, τὰ δὲ πολλὰ τῷ γελοίῳ χαίρων ἤθει, καὶ φιλοσκώμμονι. Καὶ γὰρ ἦν ὁ Σαλούστιος εὐτράπελος ἱκανῶς, καὶ σκώπτειν εὐφυέστατός τε καὶ προχειρότατος, [x]ἐξαιρέτους μὲν ἔχων αὐτὸς, C ἐκ γένους δὲ ὅμως τὰς τοιαύτας χάριτας. Ὁ γάρ τοι πέμπτην ἀρετὴν ὀνομάσας τὴν περὶ θεῶν δόξαν ἀληθῆ, δοκοῦσαν ἐνεῖναί ποτε [y]τοῖς πονηροτάτοις, Σαλούστιός ἐστιν. Ἔτι δὲ πρὸς ἐνίους [z]τῶν ἀλλοφύλων, τὰ μὲν ἄλλα αὐτοῦ ἐπαινοῦντας, ἓν δὲ [a]αὐτῷ λείπειν εἰρηκότας, τὸ μὴ δοξάζειν περὶ θεῶν τὰ αὐτὰ τοῖς πολλοῖς· Ἐᾶτε, ἔφη, τοῦτό γε διὰ τὴν νέμεσιν προσεῖναί μοι. D Τῷ δὲ [b]Παμπρεπίῳ μέγιστον ἤδη δυναμένῳ ἐντυχὼν, ἐπειδὴ ἐκεῖνος ὡραϊζόμενος, Τί θεοὶ πρὸς ἀνθρώπους, ἔφη; Τίς δὲ, ἔφη, οὐκ οἶδεν, ὡς [c]οὔτ' ἐγὼ πώποτε θεὸς ἐγενόμην, οὔτε σὺ ἄνθρωπος. Ταῦτα περὶ Σαλουστίου. Κυνικώτερον δὲ ἐφιλοσόφει.

Ὅτι [d]Σαλοτστιος, ὁ τῆς αὐλῆς ἔπαρχος ἐπὶ Ἰουλιανοῦ, [e]ἀνὴρ ἦν διαφερόντως περιττὸς εἰς φιλανθρω-

ΣΑΛΟΤΣΤΙΟΣ: Οὗτος εἰς Ἀλεξ.] Totum hunc articulum E de Salustio philosopho ex Damascio depromptum esse, patet ex Photio, apud quem in Excerptis ex Damascio, Cod. CCXLII. p. 1067. nonnulla eorum, quæ Suidas hic habet, αὐτολεξεὶ quoque leguntur: ut recte monuit Pearsonius. Ceterum, Salustii hujus meminit etiam Suidas supra v. Ἀθηνόδωρος, v. Ἀπῆγε, et v. Μαρκελλῖνος: itemque Simplicius in Commentar. in Epictetum, sic inquiens: Ἐὰν γυμνάζηταί τις πρὸς ἀλγηδόνας, ἀνάγκη ζηλοῦν τὸν ἐφ' ἡμῶν Σαλλούστιον, ἄνθρακα πεπυρακτωμένον ἐπιθέντα F γυμνῷ τῷ μηρῷ, καὶ φυσῶντα αὐτὸν, καὶ δοκιμάζοντα ἑαυτὸν μέχρι πόσου δύναται καρτερεῖν. Hinc autem discimus, Salustium et Simplicium eodem tempore vixisse. Porro, ex scriptis Salustii hujus nihil, quod sciam, ad ætatem nostram pervenit, præter libellum Περὶ Θεῶν καὶ Κόσμου, qui exstat inter Opera Mythologica a Thoma Galeo edita. KUST. Galeo debentur Præf. ad Opusc. Myth. HEMST. Οὗτος om. A.

[b] καρτερώτατον] καρτερώτερον A.V.

[c] Καὶ δεῖ] καὶ δὴ A.V. Mox καὶ ante τῷδε ex A.B.V. G

[d] Ἐμεσηνὸς] Ἐμισηνὸς A. Utramque scripturam in usu fuisse testatur Steph. Byz.

[e] πολλὰ] λλὰ V.

[f] πολυήρατον] πολυάρατον A.B.V.E.M.

[g] Ἔμεσαν] Ἔμισαν A.V.

[h] οὐκέτι δικανικῷ——ἐκείνων λειπομένους] Hæc ad verbum etiam leguntur apud Photium loco laudato. KUST. τῷ δικ. A.B.V.E.

[i] οὐ τοὺς νεωτέρους ἐκμιμ.——ἁμιλλώμενος] Confer Nostrum supra v. Πίνος: ubi eadem leguntur. KUST. H

[k] ἀρχαῖον πίνον] Apud Photium p. 570, 16. legitur τὸν ἀρχαῖον πίνον, pro quo ex aliis adnotatur τόνον. Hanc lectionem tolerabilem etsi Holstenius quoque sit secutus ad Salustium de Diis et mundo, longe tamen est præferendus Suidæ πίνος, ut ostendit Kuster. ad Jamblich. Vit. Pyth. §. 157. HEMST.

[l] πίνον] ἤγουν ῥύπον suprasc. in V.

[m] τοὺς λόγους] τοὺς om. A.B.V.

[n] λειπομένους] ἐκλειπομένους A.B.V.E.M. Mox iidem ἕτερον pro ἑταῖρον.

[o] ὀκτὼ] ν' A. Sæpe commutantur ν' et η'.

[p] ἀποστηθίζειν] Wolfius ἀποστοματίζειν. Recte quidem alias, at nunc nihil mutandum. Utrumque legitur in lexicis. Et Eustath. Il. ξ'. p. 974, 7. et 9. agnoscit τὸ ἀποστηθίζειν et ἐκστηθίζειν, et interpretatur ἀπὸ στήθους λέγειν. *Expectorare* dicunt et Latini. Festus *expectorat, et pectore ejicit.* Opponit huic verbo τὸ ἀπὸ βιβλίου λέγειν, i. e. ex libro, ex scriptis, non memoriter aliquid dicere. Sic et apud Ciceronem *memoriter dicere, pronunciare, recitare, de scripto dicere.* PORTUS.

[q] ἤδη om. A.

[r] διδασκάλων] διδασκαλείων A. διδασκαλιῶν V.

ΣΑΛΟΤΣΤΙΟΣ φιλόσ.] Et hunc articulum ex Damascio descripsit Suidas. KUST. Vid. Μαρκελλῖνος. HEMST.

[s] δὴ om. E. Tum τοτε A. pro τοῦτον. Mox ἐμὸν M.

[t] ὀχλολοίδορος] Laërt. in Heraclito. (IX. 6.) TOUP.

[u] ἑκάστους] ἑκάστη B.E.

[x] ἐξαιρέτους] ἐξαιρέτως E.M. Mox δὲ om. A.

[y] τοῖς πονηροτάτοις] τρῖς πονηρότατος V.

[z] τῶν ἀλλοφύλων] Christianos intelligit. HEMST.

[a] αὐτῷ] τῷ αὐτῷ V. Mox τὸ om. M.

[b] Παμπρεπίῳ] Παμπρέπῳ V.

[c] οὐκ] οὔτε A. οὔτ' V.B. οὔ ποτ' E.

[d] ΣΑΛΟΤΣΤΙΟΣ, ὁ τῆς αὐλῆς Ἔπ.] Totum hunc locum ex Eunapio excerptum esse suspicatur Valesius ad Amm. Marcell. lib. XXII. p. 229. qui recte etiam monuit, Suidam hic omnia confundere, et ad Salustium male referre ea, quæ Juliano conveniant. KUST.

ΣΑΛΟΤΣΤΙΟΣ ὁ τῆς] Salustius secundus præfectus an. Chr. 362. REINES. Eunapii fr. 9. ὁ om. A.

[e] ἀνὴρ ἦν διαφερόντως περιττ.] Fragmentum hoc legitur etiam supra v. Περιττός. KUST.

πίαν· ᾧ γε τοσοῦτον [f]ἡμερότητος καὶ πραότητος ὑπῆρ- A χεν εἰς ἅπαντας, [g]ὥστε καὶ τὸν [h]Μάρκελλον ἐκεῖνον, τὸν, ἡνίκα ἦν Καῖσαρ, ὑβριστικῶς αὐτῷ χρησάμενον, πάνυ περιδεᾶ ὄντα διὰ τὰ προγεγενημένα· καίτοι τοῦ παιδὸς ἐλεγχθέντος ἐπανίστασθαι διὰ τὴν πρὸς Κωνστάντιον φιλίαν, τῷ νεανίσκῳ [i]τὴν δίκην ἐπέθηκε· τὸν δὲ Μάρκελλον καὶ διαφερόντως ἐτίμησε.

Σαλούστιος, ἔπαρχος πραιτωρίων· ὃς [k]προεβάλετο βασιλέα Βαλεντινιανόν. Ὁ δὲ βασιλεύσας, διεδέ- B ξατο [l]αὐτὸν, καὶ ἔθηκε προθέματα, ἵνα, εἴ τις τὶ ἠδίκηται παρ' αὐτοῦ, προσέλθῃ τῷ βασιλεῖ. Οὐδεὶς δὲ προσῆλθεν· ἦν γὰρ ἁγνότατος ὁ Σαλούστιος. Οὗτος δὲ ὁ Βαλεντινιανὸς τὸν πραιπόσιτον [m]Ῥοδανὸν, ἀδικήσαντα [n]Βερονίκην τινὰ χήραν, ἧς προσελθούσης τῷ βασιλεῖ, ἔδωκε δικαστὴν Σαλούστιον. Ὁ δὲ κατεδίκασε τὸν πραιπόσιτον· καὶ τούτου καταφρονήσαντος, C τὸν πραιπόσιτον ἐν τῷ ἱππικῷ πυρὶ παραδίδωσι, καὶ τὴν [o]κτῆσιν πᾶσαν τοῦ ἀρχιευνούχου τῇ χήρᾳ δίδωσι· καὶ φοβηθέντες πάσης ἀδικίας ἀπέσχοντο.

Σαλώμη: Ὄνομα κύριον.

Σάλπιγξ: [p]Ἱερατικὸν τοῦτο τὸ [q]ὄργανον. Ἱερεῖς γὰρ ἐχρῶντο τῇ σάλπιγγι.

Σαλπιγγολογχυπηνάδαι: [r]Σάλπιγγας καὶ λόγχας καὶ ὑπήνας ἔχοντες. Τοῦτο δὲ εἰς τὸν Φορμίωνα D ἀνατείνει, ὡς μέγαν ἔχοντα πώγωνα. Εἶπε δὲ συνθέτως, τὸ μὲν ἀπὸ τοῦ πολέμου, τὸ δὲ ἀπὸ τοῦ πώγωνος. Ἀριστοφάνης.

Σάλπιγξ:

Σάλπιγξιν Ἰνδοὶ οὐ χρῶνται, ἀλλ' ἀντὶ σάλπιγγος [s]αὐτοῖς εἰσὶν αἱ μάστιγες, ἃς ἀποκτυποῦσιν εἰς τὸν ἀέρα· καὶ τύμπανα φρικώδη τινὰ βόμβον ἐξ ἑαυτῶν ἀνιέντα.

Σαμαρεύς: Ὁ πολίτης.

Ἐντεῦθεν ἐχωρίσθησαν ἀπὸ τῶν Ἰουδαίων οἱ Σαμαρεῖται.
Πολλαῖς δὲ ἐχρήσατο τύχαις ἡ Σαμάρεια.

Σαμαρείτης: Ἀρσενικῶς. Σαμαρῖτις δὲ, ἡ B γυνή.

Σάμβαλα: Ὑποδήματα.

Σαμβάρης: Ὄνομα κύριον.

Σαμβύκαι: Ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους ᾖδον. Οἱ δὲ, ἰαμβύκαι. Ταύτην τὴν [t]σαμβύκην πρῶτος [u]Ἴβυκος ἐφεῦρεν. Ἔστι δὲ εἶδος κιθάρας τριγώνου.

[x]Οἱ δὲ προσεβοήθουν ἐπὶ τὸ διατείχισμα, καὶ πρὸς τοὺς ἀπὸ τοῦ C λιμένος, ἀπὸ τῶν ὑπερειδόντων ἐπὶ τὸ τεῖχος [y]τοὺς σαμβύκας.

Σάμβυκες: [z]Γένος μηχανήματος πολιορκητικοῦ, [a]ὥς φησι Πολύβιος. Περὶ δὲ τῆς κατασκευῆς αὐτοῦ γέγραπται [b]ἐν [c]τῷ περὶ Ἐκφράσεως.

Σάμη: [d]Εἶδος πάθους [e]Σαμιακοῦ. Περιέστιξαν γὰρ οἱ Ἀθηναῖοι τοὺς ἁλόντας Σαμίων· μετὰ δὲ ταῦτα οἱ Σάμιοι τοὺς Ἀθηναίους.

Σαμίων ἄνθη: Ἐπὶ τῶν ὑστάταις ἡδοναῖς χρω- D μένων.

Σαμίων ὁ δῆμος: Ἀριστοφάνης Βαβυλωνίοις, ἐπισκώπτων τοὺς ἐστιγμένους. Οἱ γὰρ Σάμιοι κατα-

[f] ἡμερότητος] ἡμερώτατ' V. qui mox πραότ'.

[g] ὥστε] ὥστε καὶ A.V.

[h] Μάρκελλον] De eo vid. supra in Ἐξιστάμενος, et de Marcello magistro equit. Amm. Marcell. XVI. p. 61. ubi E Valesius notat hæc ex Eunapio sumsisse Suidam. Salustius an. Christ. 395. Olybrio et Pulvino Coss. Romæ, et an. 397. Cæsario et Attico coss. Constantinopoli recognovit libros Apuleii: ita enim subscriptum vidit in singulorum fere librorum fine Curt. Pichena præf. Append. not. in Tacitum. REINES.

[i] τὴν δίκην] τὴν om. E.

ΣΑΛΟΥΣΤΙΟΣ, ἔπαρχος πραιτ.] Confer Suidam supra v. Προθέματα, et v. Πραιπόσιτος. KUST. Vid. de eo Eunap. in Max. p. 106. ubi de ejus remotione facta a Va- F lente, et Chron. Alex. sub Ol. 287. Zonar. VI. p. 26. e quo narrationem istam mutilam corrigit et supplet Sylburg. not. ad Hist. R. Scriptores Græcos p. 879. REINES.

[k] προεβάλλετο] προεβάλετο A.B.V.

[l] αὐτὸν] αὐτὴν E. edd. vett. ἀρχὴν corrigit Portus.

[m] Ῥοδανόν] Supra v. Προθέματα. Præpositus hic vocatur Χρυσάφιος. KUST.

[n] Βερενίκην] Βερονίκην A.V. Mox ἧς καὶ E.

[o] κτῆσιν] κτῆσιν πᾶσαν A.B.V.E. G

[p] Ἱερατικὸν τοῦτο ὄργ.] Confer Artemidorum lib. I. c. 58. KUST.

[q] ὄργανον] τὸ ὄργανον A.V.

[r] Σάλπιγγα] σάλπιγγας A.V.

ΣΑΛΠΙΓΞΙ] Vid. in Τύμπανα. REINES.

[s] αὐτοῖς εἰσὶν] εἰσὶν αὐτοῖς V. Mox κτυποῦσιν A. Deinde τινα φρικώδη ἐξ ἑαυτῶν ἀνιέντα βόμβον. V. ἑαυτῶν A.B. pro αὐτῶν.

ΣΑΛΠΙΓΓΟΛΟΓΧΥΠΗΝΑΔΑΙ: Σάλπιγγ.] Ex Schol. A- H ristoph. Ran. 997. KUST.

ΣΑΜΒΑΛΑ: Ὑποδ.] Hesychius: Σάμβαλα: σάνδαλα. KUST. Vid. in Ἀνθεμίδων. HEMST.

ΣΑΜΒΥΚΑΙ: Ὄργανα μουσ.] Vide supra v. Ἰβύκινον, et v. Ἴβυκος. KUST. Plutarch. Ag. et Cleom. p. 821. Polyb. V. p. 534. quem exscripsit Plutarch. TOUP.

[t] ἰαμβύκην] σαμβύκην A.B.V.E.

[u] Ἴβυκος] Ὄργανον τὸν καλούμενον λυροφοίνικα, σαμβύκην invenit Ibycus Rheginus poëta, et barbiton Anacreon. E Athen. IV. p. 175. e Neanthis Cyziceni primo ὡρῶν, nisi legendum χορῶν. REINES.

[x] Οἱ δὲ προσεβοήθ.] Fragmentum hoc est calx absque arena: cujus proinde versionem consulto prætermisi. KUST. Corrige, καὶ πρὸς τοὺς ἀπὸ τοῦ λιμένος ἐπερείδοντας ἐπὶ τὸ τεῖχος τὰς σαμβύκας, et verte, *Illi vero ad defendendum murum adcurrerunt, adversus eos, qui a portu sambucas ad murum adplicabant.* Ac satis adparet, fragmentum hoc, quod Polybianum esse videtur, non spectare ad illam notionem primitivam vocabuli σαμ- F βύκη, de qua dicere ingressus erat Suidas, sed ad alteram, quæ post prædictum fragmentum his verbis exponitur. Σάμβυκες—Πολύβιος. SCHWEIGHÆUSER. Apud quem vide plura.

[y] τὰς σαμβύκας] τοὺς σαμβύκας A.E. edd. vett. Portus annotavit: "Lege τοὺς σάμβυκας vel τὰς σαμβύκας."

ΣΑΜΒΥΚΕΣ] Scribe, σαμβύκη, vel σαμβύκαι. Ceterum, descriptionem machinæ hujus, Polybii, ut puto, verbis, habes apud Plutarchum in Marcello, p. 306. Vide G etiam Lipsium in Poliorcet. lib. I. dial. VI. et Rigaltium in notis ad Onosandri Strateg. p. 59. KUST.

[z] Εἶδος] γένος A.B.V.

[a] ὥς φησι Πολύβιος] Locum Polybii, ad quem Suidas respexit, tangit Athenæus lib. XIV. p. 634. KUST.

[b] ἐν τῷ περὶ Ἐκφράσεως] Intellige Titulum Collectaneorum Constantini, in quo variarum rerum descriptiones continebantur. Vide Valesium in Præfat. ad Collectanea Constantini de Virt. et Vit. KUST.

[c] τῷ—ἐκφράσεως] τῇ—ἐκφρ' V.

[d] Εἶδος πάθους Σαμιακοῦ] Confer Nostrum infra v. Τὰ H Σαμίων. KUST. Vid. Plutarch. Pericl. p. 166. TOUP.

[e] Σαμιακοῦ] Σαμικοῦ V. Mox περιέστηξαν B.

ΣΑΜΙΩΝ ΑΝΘΗ] Vide Miscell. Lips. VI. 511. Athen. p. 540. F. Libanium Ep. p. 142. TOUP.

ΣΑΜΙΩΝ Ὁ ΔΗΜΟΣ] Locus hic Aristophanis est mutilus et mancus, qui sic suppleri debet: Σαμίων ὁ δῆμος

A πονηθέντες ὑπὸ [f]τῶν τύραννων, σπάνει τῶν πολιτευομένων, ἐπέγραψαν τοῖς δούλοις ἐκ ε´ στατήρων τὴν ἰσοπολιτείαν· ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ. Ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρώτοις τὰ κδ´ γράμματα ὑπὸ Καλλιστράτου· ὡς Ἄνδρων ἐν Τρίποδι. [g]Τοὺς δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς [h]τῶν Ἰώνων γράμμασιν [i]Ἀρχίνου [k]δ᾽ Ἀθηναίου ἐπὶ ἄρχοντος Εὐκλείδου. Τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ Καλλιστράτου Ἀριστοφάνης, [l]ἔτεσι πρὸ τοῦ Εὐκλείδου καὶ ἐπὶ Εὐκλέους. B Περὶ δὲ τοῦ πείσαντος ἱστορεῖ Θεόπομπος. Οἱ δὲ, [m]ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ Σαμίους ἔστιζον γλαυκί, [n]Σάμιοι τῇ σαμαίνῃ· (ὅ) [o]ἐστι πλοῖον δίκροτον, ὑπὸ Πολυκράτους πρῶτον [p]κατασκευασθὲν, τοῦ Σαμίων τυράννου· ὡς Λυσίμαχος ἐν δευτέρῳ Νόστων. Τὸ δὲ πλάσμα Δούριδος. [q]Οἱ δὲ τὴν σάμαιναν νόμισμα εἶναι. Τάττεται δὲ ἐπὶ τῶν δεδιότων C τινὰς ἀνηκέστους κακῶν συμφορὰς, παρόσον Ἀθηναῖοι τοὺς Σαμίους ἔστιξαν.

Σαμνῖται: Ὄνομα ἔθνους.

Σαμοθρᾴκη: Νῆσος· κεῖται δὲ καταντικρὺ τῆς Θρᾴκης. Φασὶ δὲ Σαμίους [s]οἰκήσαντας αὐτὴν, τὸ ὄνομα θέσθαι τοῦτο· καὶ ἔστι παρὰ Ἀντιφῶντι ἐν τῷ Σαμοθρᾳκικῷ λόγῳ οὕτως [t]εἰρημένον·

A Καὶ γὰρ οἱ τὴν ἀρχὴν οἰκήσαντες τὴν νῆσον, ἦσαν Σάμιοι· [u]ἐξ ὧν ἡμεῖς ἐγενόμεθα. Κατῳκίσθησαν δὲ ἀνάγκῃ, οὐκ ἐπιθυμίᾳ τῆς νήσου. [x]Ἐξέπεσον γὰρ ὑπὸ τυράννων ἐκ Σάμου, καὶ τύχῃ ἐχρήσαντο ταύτῃ· [y]καὶ λείαν λαβόντες ἀπὸ τῆς Θρᾴκης, ἀφικνοῦνται εἰς τὴν νῆσον.

> [z]Ἀλλ᾽ εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ [[a]τυγχάνει]
> μεμυημένος, νῦν ἐστιν εὔξασθαι καλόν·
> ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε.

B Ἐν Σαμοθρᾴκῃ ἦσαν [b]τελεταί τινες, ἃς ἐδόκουν τελεῖσθαι πρὸς ἀλεξιφάρμακα κινδύνων τινῶν. Ἦν δὲ ἐκεῖσε καὶ τὰ [c]τῶν Κορυβάντων μυστήρια, καὶ τὰ τῆς Ἑκάτης, [d]καὶ τὸ Ζήρινθον ἄντρον, ἧ κύνας ἔθυον. Ἐν κινδύνοις οὖν [e]γινόμενοι ἐπεκαλοῦντο τοὺς δαίμονας ἐπιφανῆναι καὶ ἀλεξῆσαι. Ἐδόκουν δὲ οἱ μεμυημένοι ταῦτα [f]ἐκ τῶν δεινῶν σώζεσθαι, καὶ ἐκ χειμώνων. Ἀποστραφῆναι δὲ, ἀντὶ τοῦ, διακλασθῆναι τοῦ μετι- C όντος τὸν δοίδυκα· ἢ ἐναντίαν αὐτῷ τὴν εἰς τὸ δεύτερον γενέσθαι ὁδὸν, [g]ὥστε μηκέτι αὐτὸν ὑποστρέψαι.

[Σαμόσατα: Πόλις. Καὶ Σαμοσατεὺς, ὁ ἐκ τούτων.]

Σαμουήλ, ὁ προφήτης. Τοῦτον ἐγέννησεν Ἄννα εὐξαμένη πρὸς [h]Κύριον· ὃν Σαμουὴλ ἐκάλεσε Θεαίτητον, ὡς ἂν τις εἴποι. Καὶ ἀναμνησθεῖσα [i]ἡ μήτηρ

D

ἐστὶν ὡς πολυγράμματος. Sic enim fragmentum hoc citatur a Plutarcho in Pericle, p. 166. et Hesychio, v. Σαμίων. Redditur autem in sequentibus ratio, quare Samii a Comico dicti fuerint πολυγράμματοι: unde apparet, vocem illam salvo sensu ab hoc loco abesse non posse. Confer Salmasium ad Inscript. Vet. p. 234. KUST. ὡς πολυγράμματος addit Photius.

[f] τῶν τυράννων] τῶν om. V.

[g] Τοὺς δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τῶν Ἰώνων γρ.] Vide E Petitum Miscell. Var. lib. I. c. 3. et in Commentario ad Leg. Att. p. 118. itemque Salmasium ad Inscript. Vet. p. 235. KUST.

[h] τῶν] τοῖς τῶν A.V. Photius.

[i] Ἀρχίνους ὁ Ἀθηναίου] Sic ed. Bas. Ἀρχίνου δ᾽ Ἀθηναίου A.B.V.E.M. ἄρχειν οἱ δ᾽ Ἀθηναίοις Photius. Ἀρχίνος ὁ Ἀθηναίου Apostolius. Ἀρχῖνος ὁ Ἀθηναῖος Taylor. Vit. Lysiæ p. 142. 143. ed. Reisk.

[k] ὁ Ἀθηναίου] An potius, Ἀθηναῖος. KUST.

[l] ἔτεσι πρὸ τοῦ Εὐκλείδου καὶ ἐπὶ Εὐκλέους] Sic habent F mss. itemque editt. Mediol. et Ald. At editt. Basil. et Genev. pro καὶ exhibent κα´, i. e. XXI. sed absque ulla codicum mss. auctoritate. Apud Michaelem Apostolium locus hic ita legitur: Ἔτεσι πρὸ τοῦ Εὐκλείδου καὶ Ἐπικλέους κ´. *Annis ante Euclidem et Epiclem viginti.* Salmasius vero ad Inscript. Vet. p. 235. locum hunc ita refingit: Ἔτεσι πρὸ τοῦ Εὐκλείδου κβ´, ἐπὶ Στρατοκλέους. Id est: *Annis ante Euclidem XXII. sub Stratocle.* Sed emendationi huic obstat, quod sub Stratocle Aristophanes G Equites docuerit, teste Scholiasta in argumento illius fabulæ. Non ergo et Babylonios eodem tempore docere potuit. Confer Meurs. de Archont. Atheniens. lib. III. c. 4. KUST. Utrumque Suidæ et Apostolii locum bene sanavit Bouhier. Diss. de Pr. Gr. et Lat. lit. p. 573. b. HEMST. qui reponit κε̄ pro καί. Probat item Wesseling. ad Petit. LL. Att. p. 351. et ad Diod. Sic. XII. 53. κδ̄ Clintonus Fast. Hellen. ad an. 426. post Corsini F. A. t. III. p. 235. Vid. Dindorf. Fr. Aristoph. p. 56. H

[m] ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολ.] Contra Plutarchus in Pericle p. 166. refert, Samios Atheniensibus bello captis inussisse notam noctuæ; Athenienses vero Samiis, notam samænæ. Verba ejus hæc sunt: Οἱ δὲ Σάμιοι τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ἀνθυβρίζοντες, ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας· καὶ γὰρ ἐκείνους οἱ Ἀθηναῖοι σάμαιναν. KUST.

[n] Σάμιοι δ᾽ Ἀθηναίους σαμαίνῃ. Σάμαινα δ᾽ ἐστι] σάμιοι τῆς σαμεῦ ἐστι V. γλαυκισάμιοι τῆς σαμαίνης ἐστι A. σάμιοι. Σαμαίνης: ἔστι πλ. M. σάμιοι σαμαίνης ἐστι B.E. γλαυκισαμιοι τῇ σαμινης ἐστι ποιον Photii ms. Σάμιοι τῇ σαμαίνῃ, ὅ ἐστι Photii ed. Lectio vulgata debetur, ni fallor, Apostolio.

[o] Σάμαινα δ᾽ ἐστὶ πλοῖον δίκρ.] Samænam pluribus describit Plutarchus loco laudato: quem vide. KUST.

[p] κατασκευασθὲν] παρασκευασθὲν Photius.

E [q] Οἱ δὲ] οἱ δὲ ὅτι A.

[s] οἰκήσαντας] οἰκίσαντας E. qui infra οἰκήσαντες.

[t] εἰρημένῳ] εἰρημένον A.B.E. Supra Σαμοθρακινῷ A.

[u] ἐξ ὧν ἡμεῖς ἐγενόμεθα] Male hinc quidam colligunt, Suidæ patriam fuisse Samothraciam. Non enim hæc sunt verba ipsius Suidæ, sed alterius scriptoris, ex quo Suidas ista excerpsit. KUST. Sunt verba proculdubio Antiphontis.

[x] Ἐξέπεσον] ἐξέπεσαν E.

[y] καὶ λείαν] καὶ om. A.V.E. Tum ὑπὸ A. pro ἀπό.

F [z] Ἀλλ᾽ εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ τ.] Aristoph. Pac. 276. Vide ibi Scholiastam, cujus scrinia Suidas hic compilavit. KUST.

[a] τυγχάνει om. A.B.V.E.

[b] τελεταὶ] Vid. Meursius de festis Gr. pag. 174. REINES.

[c] τῶν Κορυβάντων] De Cabeiris Diis Varr. de LL. IV. pag. 17. et 104. ibi Scal. Gyrald. Hist. Deor. pag. 21. REINES.

[d] καὶ τὸ] καὶ om. A.V.

G [e] γινόμενοι] γενόμενοι A.V. Mox τούτους om. A.B.V.E. post ἐπεκαλοῦντο.

[f] ἐκ τῶν δεινῶν σώζεσθαι, καὶ ἐκ χειμ.] Vide, quæ notavimus supra ad v. Ἀλλ᾽ εἴ τις: ubi eadem leguntur. KUST.

[g] ὥστε] ὡς B. Mox αὐτὸν om. V.

ΣΑΜΟΣΑΤΑ] Deest articulus A.V. Qui tamen habent post Σαμωνᾶς, Σαμοσατεύς: ἀπὸ τόπου.

ΣΑΜΟΥΗΛ] Ex Josepho A. J. V. 10, 3.

H [h] Κύριον] Sic recte mss. Paris. At priores editt. male, Χριστόν: quod mendum ex compendio scripturæ procul dubio ortum est. Solet enim vox κύριον in mss. interdum sic scribi κν: at τὸ Χριστὸν ita, χν: inter quæ cum tenue admodum discrimen sit, non mirum est, ea a librariis interdum confundi solere. KUST.

[i] ἡ μήτηρ—ἀνατιθεῖσα om. A.

αὐτοῦ τῆς εὐχῆς, ἣν ηὔξατο πρὸς Ἡλεὶ τὸν ἀρχιερέα, παρεδίδου Ἡλεὶ [k] ἀνατιθεῖσα, προφήτην τῷ Θεῷ γενησόμενον. Κόμη [l] τε οὖν αὐτῷ ἀνεῖτο, καὶ ποτὸν ὕδωρ ἦν, καὶ διῆγεν ἐν τῷ ἱερῷ τρεφόμενος. [m] Ἐλκάνῃ δ' ἐκ τῆς Ἄννης υἱοὶ γίνονται τρεῖς, καὶ θυγάτηρ. Σαμουὴλ δὲ πεπληρωκὼς ἔτος δωδέκατον, προεφήτευσε. Καί ποτε κοιμώμενον [n] ὀνομαστὶ ἐκάλεσεν ὁ Θεός. Ὁ δὲ νομίσας ὑπὸ τοῦ ἀρχιερέως πεφωνῆσθαι, [o] παραγίνεται πρὸς αὐτόν. Οὐ φαμένου δὲ καλέσαι τοῦ ἀρχιερέως, ὁ Θεὸς εἰς τρὶς τοῦτο ποιεῖ, καὶ Ἡλεὶ [p] διαυγασθείς φησι πρὸς αὐτόν· Ἀλλ' ἐγὼ μὲν, [q] ὦ Σαμουὴλ, σιγὴν ὡς καὶ τοπρὶν ἦγον· Θεὸς δ' ἐστὶν ὁ καλῶν. Ἀλλὰ σήμαινε πρὸς αὐτὸν, ὅτι παρατυγχάνω. Καὶ τοῦ Θεοῦ φθεγξαμένου πάλιν ἀκούσας, ἠξίου λαλεῖν ἐπὶ τοῖς χρωμένοις· οὐ γὰρ ὑστερήσειν αὐτὸν, ἐφ' αἷς ἂν θελήσειε διακονίαις. Καὶ ὁ Θεὸς, Ἐπεὶ παρατυγχάνεις, μάνθανε συμφορὰν Ἰσραηλίταις ἐσομένην, καὶ τοῦ Ἡλεὶ παῖδας μιᾷ ἡμέρᾳ τεθνηξομένους.

Σάμου ὑλήεσσης: [r] Οὐδέποτε κατὰ τὴν συνήθειαν λέγομεν Σαμοθράκην, ἀλλὰ διαλελυμένως· ὥσπερ ἐν πόλει ἄκρῃ, τῇ ἀκροπόλει.

Σαμωνᾶς: Ὄνομα κύριον.

Σαμύθας:

> [s] Κεκρύφαλον τόνδε λαβεῖν Σαμύθας.
> Δαιδάλεός τε γάρ ἐστι, καὶ ἁδύ τι νέκταρος ὄζει.

Ἐν Ἐπιγράμμασι.

Σαμφόρας: Εἶδος ἵππου ἐγκεχαραγμένου τὸ Σ σημεῖον. Οἱ δὲ Δωριεῖς τὸ Σ ΣΑΝ λέγουσι.

Σαμψῆραι: Σπάθαι βαρβαρικαί.

Δῶρα φέρει Τραϊανῷ ὑφάσματα σηρικὰ, καὶ σαμψήρας. [t] Αἳ δὲ εἰσὶ σπάθαι βαρβαρικαί.

Σαμψών: Παῖς Μανωὲ, κριτὴς Ἑβραίων, ἀνὴρ A ἰσχυρός. Ἄχρι μὲν οὖν οὗτος ἐκράτει τῶν τοῦ σώματος ἡδονῶν, τῶν πολεμίων κατεδυνάστευεν· ἐπειδὴ δὲ ὑπὸ [u] Δαλιλᾶς τῆς πόρνης ὑπεκλάπη τὸν νοῦν, ἅμα καὶ τῆς σωφροσύνης καὶ τῆς ἰσχύος ἐξέπεσεν· ὑπό τε τῶν ἐναντίων ἁλοὺς, δέσμιος ἐς Γάζαν ἀπήχθη, καὶ τῶν ὄψεων στερηθεὶς, ἐδόθη ἀλήθειν ἐν μύλωνι. Διὸ [x] δὴ συμπεσὼν τοῖς τοῦ ἱεροῦ κίοσι, συναπώλετο τοῖς ἐναντίοις, εἰπὼν, Ἀπελθέτω δὴ Σαμψὼν μετὰ τῶν ἀλλο-
B φύλων. Καὶ ὁ μὲν οὕτω διεφθάρη, κρίνας τὸν λαὸν ἔτη κ'.

Σαμψών: Ὅτι [y] ἐπὶ Σαμψὼν ἀνήρ τις πορευόμενος ἐν πόλει φυλῆς Βενιαμὶν, ὑπὸ τῶν ἐμφυλίων ἁρπαγεῖσαν τὴν ἑαυτοῦ [z] γαμετὴν ἐθεάσατο, καὶ καταισχυνθεῖσαν ὑπὸ πλήθους ἀπέλαβε νεκράν· αὐτὸς δὲ κατατεμὼν αὐτὴν ἐπὶ τὰς ιβ' ἐξαπέστειλε φυλὰς, εἰς μαρτύριον τῆς ἀνομίας Βενιαμίν. Καὶ οἱ μὲν παρα-
C χρῆμα λαβόντες αὐτὴν, ἀναβάντες ἐπὶ τὰς πόλεις, [a] ἐξεῖλον τὴν φυλὴν Βενιαμὶν, ὀγδοήκοντα καὶ ἑπτὰ καταναλώσαντες χιλιάδας.

Σανατρούκης, Ἀρμενίων βασιλεὺς, ὃς τὸ μὲν σῶμα ξύμμετρον εἶχε, τὴν γνώμην δὲ μέγας ἐτύγχανεν εἰς [b] ἅπαντα, οὐχ ἥκιστα δὲ εἰς τὰ ἔργα τὰ [c] πολεμικά. Ἐδόκει δὲ καὶ τοῦ δικαίου φύλαξ ἀκριβὴς
D γενέσθαι, καὶ τὰ εἰς τὴν δίαιταν ἴσα καὶ τοῖς κρατίστοις Ἑλλήνων τε καὶ Ῥωμαίων κεκολασμένος.

Σάνδων, Ἑλλανίκου, φιλόσοφος. Ἔγραψεν ὑποθέσεις εἰς Ὀρφέα, βιβλίον α'.

Σάνδυξ: Χρῶμα κόκκινον.

Σανὶς, σανίδος.

Σαννυρίων, Ἀθηναῖος, κωμικός. Δράματα αὐτοῦ ἐστι ταῦτα· Γέλως, Δανάη, Ἰὼ, Ψυχασταί· [d] ὡς
E Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

[k] ἀνατιθεῖσα] ἀνατεθεῖσα V. Tum τῷ θεῷ προφήτην A.

[l] τε οὖν] οὖν om. A.

[m] Ἐλκάνῃ] Ἀλκάνῃ A.B.V.E. nonnulli codd. Josephi. ἀσκάνῃ M. Mox υἱεῖς A.B. Tum γείνονται A. Deinde καὶ θυγάτηρ om. B.E.M.

[n] ὀνομαστὶ] ὀνομαστὸν V. ὀνομαστοὶ E.

[o] παρεγένετο] παραγίνεται A.B. Joseph. παρεγίνετο V.

[p] διαγασθεὶς] διαυγασθεὶς B.V.E. Joseph.

[q] ὦ Σαμουὴλ] ὦ om. A.

ΣΑΜΟΥ ὙΛΗΕΣΣΗΣ] Addendum est Θρηϊκίης. Referenda enim est hæc nota ad locum illum Homericum Il. ν'. v. 12. Ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης Θρηϊκίης. KUST.

[r] Οὐδέποτε κατὰ τὴν συνήθ.] Imo contra potius. Nam κατὰ συνήθειαν semper dici solet Σαμοθράκη, voce composita. At Homerus eandem insulam διαλελυμένως semper Σάμον Θρηϊκίην appellat. Confer Hesychium. KUST. Hoc falsum: quod et recte adnotavit Kusterus. Sed res facile restituenda est. Scribendum, λέγει μὲν Σαμοθράκην. Homerus scilicet, de quo sermo est. *Nunquam dicit poeta* Σαμοθράκην, *ut nos plerunque dicimus, sed* Σάμον Θρηϊκίην. Quod omnino verum est. Nobiscum facit Hesychius: Σάμου ὑληέσσης Θρηϊκίης, τῆς Σαμοθράκης. —Πάντοτε αὐτὴν Σάμον ΚΑΛΕΙ, καὶ οὐδέποτε Σαμοθράκην κατὰ σύνθετον. Respexit uterque ad Homer. Il. ν'. 12. Ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης Θρηϊκίης. TOUP. Pro συνήθειαν lege σύνθεσιν. Vide supra ad v. Θρήνους p. 1913 F. Pro λέγομεν Porsonus em. λέγει Ὅμηρος.

ΣΑΜΩΝΑΣ] Σαμονᾶς V.

ΣΑΜΥΘΑΣ] Deest gl. A.

[s] Κεκρύφαλον τόνδε λαβ.] Anthol. Pal. VI. 275.

ΣΑΜΦΟΡΑΣ] Confer Scholiastam Aristophanis ad verba illa Comici in Nub. 23. Ὅτ' ἐπριάμην τὸν κοππατίαν· οἴμοι τάλας. Vide etiam Nostrum supra v. Κοππατίας: itemque Scaligerum ad Euseb. p. 116. et Salmasium ad Solinum. KUST. Mox ὄνομα ἵππου M.

ΣΑΜΨΗΡΑΙ] Omnino vide Joseph. A. J. XX. 2. §. 3. Thom. Reines. Ep. ad Rupert. p. 78. HEMST. Joseph. Ant. XX. 20. Dioni tribuit. Full. Miscell. I. 17. p. 120. REINES.

F [t] Αἳ δὲ εἰσὶ etc. om. A.

ΣΑΜΨΩΝ: Παῖς Μανωὲ, κριτὴς Ἑβραίων, ἀνὴρ ἰσχ.] Hæc, et quæ sequuntur, sunt verba Joannis Antiocheni, quæ leguntur in Excerptis a Valesio editis, p. 781. KUST.

[u] Δαλιλᾶς] Δαλιδᾶ A. Δαλιδᾶς V.E. edd. vett. Δαλιδὰ Excerpt. Correxit Portus.

[x] δὴ καὶ] καὶ om. A.V. Excerpt.

[y] ἐπὶ Σάμψων] Immo post Sampsonis mortem. Vid. Judic. 19. 20. Joseph. A. J. V. 2, 8.

[z] γαμετὴν] γυναῖκα A.

G [a] ἔξειλον] ἐξείλοντο E.

ΣΑΝΑΤΡΟΥΚΗΣ, Ἀρμενίων βασιλ.] Hæc Valesius in Excerpt. p. 776. ad Dionem refert. KUST. Vid. Reimar. ad LXXV. 9. p. 1264.

[b] ἅπαντα] ἅπαντας V.

[c] πολεμικὰ] πολέμια A.B. πολέμια V.

ΣΑΝΔΥΞ] Vid. Salmas. ad Vopisc. p. 369. Casaubon. ibid. p. 230.

ΣΑΝΝΥΡΙΩΝ] Vide Meursium in Bibliotheca Attica.
H KUST.

[d] ὡς Ἀθήναιος] Atqui apud Athenæum Sannyrion semel tantum, et quidem ἐν Γέλωτι laudatur. Vide Casaub. ad Athen. lib. VII. c. 9. KUST. Sannyrionis Γέλως laudatur ab Athenæo VII. p. 286 C. XII. 551 C. Io ex certissima Porsoni emendatione VI. p. 261 F. Vide Meinekii Quæst. Scen. Spec. 2. p. 63.

[Σάος, καὶ Δράος, ποταμοὶ, περιλαμβάνοντες τὴν δευτέραν Παιονίαν, εἰς τὸν ποταμὸν Ἴστρον καταφέρονται.]

Σάου: Σῶζε, φύλαττε. Ἐν [e] Ἐπιγράμμασι·

> Ἄρτεμι, . . . . .
> Τόξῳ μὲν κλῶπας βάλλε, σάου δὲ φίλους.

Καὶ αὖθις·

> [f] Τὸν μὲν, ἵνα ψυχήν· τὸν δ', ἵνα σῶμα σάοι.

Σαοὺλ, βασιλεὺς τῶν Ἰουδαίων, ὃς ὑπὸ δαίμονος κατείχετο, καὶ οὔτε ἐκάθευδεν, οὔτε ἐκοιμᾶτο· ὅντινα ὁ Δαβὶδ ταῖς μελῳδίαις κατέθελγε.

Σαοὺλ ἐν προφήταις: Οὗτος ἐχρίσθη ὑπὸ Σαμουὴλ εἰς βασιλέα καὶ προφήτην· καὶ ἰδών αὐτόν τις, ἔφη· Καὶ Σαοὺλ ἐν προφήταις; καὶ ἐγένετο ὁ λόγος οὗτος εἰς παραβολήν. Τὰς γὰρ ὄνους τὰς ἀπολωλυίας ζητῶν, βασιλείαν εὗρε.

Σαοῦλος: Ὅτι Σαούλῳ τῷ Ἰουδαίων βασιλεῖ ἀρχὴ τῆς παρὰ πάντων τιμῆς πρὸς Ναασῆν [g] τὸν Ἀμμανιτῶν βασιλέα γίνεται. Οὗτος γὰρ πολλὰ κακὰ [h] τοὺς Ἰουδαίους διατίθησι, καὶ πρὸς τοῖς ἄλλοις κακοῖς, ὅσους ἐχειροῦτο πολέμου νόμῳ, τοὺς δεξιοὺς ὀφθαλμοὺς ἐξέκοπτεν, ὅπως τῆς [i] ἀριστερᾶς αὐτοῖς ὄψεως ὑπὸ τῶν θυρεῶν σκεπομένης, ἄχρηστοι παντελῶς εἶεν. Τοῦτον οὖν ὁ Σαοῦλος κατηγωνίσατο.

Σαώτερος: Σῶος.

Σάπειρ: Ὅτι κατὰ τὴν πολιορκίαν [k] τῆς πόλεως τῶν Περσῶν [l] Βειουδαὲς, ἣν ἐπολιόρκει Ἡράκλειος, ὁ [m] Ἡρακλείου τοῦ βασιλέως πατὴρ, Σάπειρ [n] ἦν τις ἀνὴρ, τὸ μὲν σῶμα, ὡς ὁ [o] παρὰ τῷ Ὁμήρῳ Τυδεὺς ἀνυμνούμενος, τὴν δὲ γνώμην, καὶ περαιτέρω Τυδέως. Ἡρακλῆς γὰρ ἦν τὴν ψυχὴν, καὶ εἴ τις τούτου ἐγεγόνει ποτὲ ἀλκιμώτερος, (οὐ γὰρ [p] ἀποκνέω τῷ μεγέθει τῆς ἀρετῆς τὸν Ἡρακλέα ἐν δευτέροις τιθεὶς, εἰ καὶ [q] τῷ παραλλήλῳ λειπόμεθα,) σκόλοπας [r] ὀξεῖς ἐπιφερόμενος, ἐνάλλεται τῷ [s] ἐχυρώματι, καὶ [t] μετεωροπορεῖ,
A τὸν μὲν ἕνα σκόλοπα ἐνείρας τῷ πύργῳ ἀνὰ τὰς ἁρμογὰς τοῦ οἰκοδομήματος, (ἦν γὰρ λίθῳ [u] ξηρῷ διεσκευασμένον τὸ φρούριον,) ἐπιβαίνει ἐπὶ τοῦ σκόλοπος τῷ ποδί· εἶτα τὸν ἕτερον [x] αὖθις ὥσπερ ἐγκεντρίσας σκόλοπα, [y] τὸν λειπόμενον τοῖν ποδοῖν ἐπερείδει, καὶ τῶν ἐξηρτημένων λίθων ἐπειλημμένος, ἀπρὶξ εἴχετο ταῖς χερσὶν, [z] οὕτω τε τὴν ἄνοδον ἐσοφίζετο. Τῶν δὲ πολιορκουμένων [a] τὴν θέαν τῶν βελῶν μὴ ὑπομένειν οἵων τε
B ὄντων, ἰσχυρῶς εἴχετο τῆς ἐπάλξεως [b] ὁ Σάπειρ ἐκεῖνος ἀνήρ. Καὶ ἂν ἥλω κατὰ τὴν πρώτην ἐκείνην ἐπιβολὴν τὸ [c] ἐχύρωμα, εἰ μή τις τῶν τῆς Περσικῆς συμμορίας ἀθρόον ἐπιφανεὶς, ἑνὶ τῶν θυρεῶν, τῶν προβεβλημένων τοῦ ἐχυρώματος, ἐκεῖνον [d] αὐτὸν τὸν ἀριστέα ἐξώθησεν. Ὁ δὲ κατολισθήσας, εἰς τὸ κάτω ἐφέρετο μετὰ τοῦ θυρεοῦ,

> Κύμβαχος ἐν κονίῃσιν ἐπὶ [e] βρεχμόν τε καὶ ὤμους,

C Ὁμηρικῷ τῷ συμπτώματι· ὅμως οὐ διόλωλεν. Ὑποδέχονται γὰρ αὐτὸν ταῖς ἀσπίσιν οἱ συμπονοῦντες, καὶ τραυματίαν διεσώζοντο. Προσνύττουσι γὰρ αὐτὸν τὰ τῶν ἀκοντίων σιδήρια [f] μικρὸν κομιδῇ. Ὁ δὲ καρτερικὸς αὖθις ἐπ' ἐκεῖνο τὸ ἔργον ἐχώρει, καὶ [g] αὖ πάλιν ἀνέθορε, τῇ ἐπάλξει τὰς χεῖρας [h] περιβαλὼν, οἷα πολύπους ἀφύκτους πλεκτάνας τινὰς, καὶ εἴχετο [i] καρ-
D τερᾷ τινα λαβῇ τῆς ἐπάλξεως. Ὁ δ' ἀντίπαλος Πέρσης ἀδελφὴν τῆς ἑτέρας [k] ἐπιβουλῆς ἐξειργάσατο, καὶ σαθρωθείσης ἔναγχος τῆς ἐπάλξεως ταῖς Ῥωμαϊκαῖς προσβολαῖς, μετ' ἐκείνης τὸν ἀριστέα ἀνατρέψας, παρεία εἰς τὸ κάτω χωρεῖν· καὶ τοίνυν [l] κατήγετο ὁ στρατιώτης ὁ φιλοκίνδυνος [m] μετὰ τῆς εἰρημένης ἐπάλξεως. Τὸ δὲ συμμαχικὸν τὴν προτέραν σωτηρίαν ὀρέγουσι μετὰ φοβεροῦ τοῦ θεάματος τῷ πάντα τολ-
E μηρῷ. [n] Ἀτὰρ ἐξάντης τοῦ πτώματος ὁ τραυματίας γενόμενος, καὶ τρίτον ἆθλον ἀσπάζεται, ὥσπερ ἀμάχου τινὸς καὶ θείας δυνάμεως ἐς τὸν πόνον παροτρυνούσης αὐτόν. Ἐπεὶ δ' ἀνείρπυσε, τῆς στεφάνης τοῦ ἕρκους

ΣΑΟΣ ΚΑΙ ΔΡΑΟΣ, *ποταμ.*] Confer Nostrum supra v. *Δράος*, ubi eadem leguntur. KUST. Hunc articulum habet A. in marg. Et fortasse male repetitus est ex p. 1060 C.

[e] *Ἐπιγράμμασι*] Anthol. Pal. VI. 157.

[f] *Τὸν μὲν, ἵνα ψυχ.*] Anthol. Pal. VII. 109.

ΣΑΟΥΛ, *βασιλεὺς τῶν Ἰουδ.*] Hæc leguntur apud Joannem Antiochenum, in Excerptis a Valesio editis, p. 781. KUST.

ΣΑΟΥΛ ΈΝ ΠΡΟΦΗΤΑΙΣ] Sic rescripsi auctoritate mstorum Paris. Ante enim minus recte legebatur, *Σαοὺλ ὁ προφήτης*. KUST. Vid. 1 Samuel. X. 11. 12.

ΣΑΥΛΟΣ] *Σαοῦλος* A.B.V.E. Mox *τῷ* A.E. pro *τῶν*. Ceterum hic articulus ex Josepho excerptus est A. J. VI. 5, 1.

[g] *τὸν Ἀμανιτῶν*] *τῶν Ἀμμανιτῶν* V. *τὸν Ἀμμανιτῶν* A.

[h] *τοὺς Ἰουδαίους*] *τοῖς Ἰουδ* A.

[i] *ἀριστερᾶς*] *ἀρίστης* B.V.E. Mox *τῶν* ante *θυρεῶν* A.B.V.E. Tum *σκεπτομένης* V.

ΣΑΩΤΕΡΟΣ] Il. *α'*. 32.

ΣΑΠΕΙΡ. ὍΤΙ *κατὰ τ.*] Totus hic articulus sumptus est ex Theophylacti Simoc. Histor. Maur. lib. II. c. 18. ut Pearsonius etiam observaverat. KUST. *ἐκ τῶν Θεοφυλάκτου σιμοκάτου* A. in marg.

[k] *τῆς πόλεως* om. A.

[l] *Βειουδαὶς*] *Βεϊουδαὲς* A.B.E.M. Theophyl.

[m] *Ἡρακλείου*] *Ἡρακλεῖτον* B.E.M.

[n] *ἦν τις*] *τις ἦν* A.

[o] *παρ' Ὁμήρῳ*] *παρὰ τῷ Ὁμήρῳ* A.V. Mox *καὶ περαιτέρω* —— *ψυχὴν* om. A.

[p] *ἀποκναίω*] Scribe *ἀποκνέω*, ut habet Theophylactus. Vel potius, *ἀποκνῶ*. Confer Nostrum supra v. *Ἀποκνέω*, ubi idem fragmentum legitur. KUST. *ἀποκναίων* V.

[q] *ἐν τῷ*] *ἐν* om. A. Theoph.

ΣΙΦΝΙΑΖΕΙΝ: 'Επὶ τῶν] *Siphnii* et *Lesbii* ob venerem sinistram et præposteram infames. H Quod passim notatum. Hesychius: Σιφνιάζειν, καταδακτυλίζειν. Idem: Σίφνιος δηλοῖ οὖν τὸν διὰ δακτυλίου αἰδούμενον. Quæ corrupta sunt atque ita rescribenda: τὸν διὰ δακτύλου 'ΑΝΑΙΔΕΥΟΜΕΝΟΝ. Hesych. Λιραίνει, 'ΑΝΑΙΔΕΥΕΤΑΙ. Utrosque tum *Siphnios*, tum *Lesbios*, tangit Libanius, Invect. in Florent. p. 430. Περὶ Λέσβου δὲ, εἴ τις ἔλεγεν ἃ καὶ ἡ παροιμία, τύπτεσθαι χρή. Περὶ Σίφνου δὲ ῥᾴδιον ἂν εἴη καὶ νῦν λέγειν τοὺς κινηθέντας οὐ κατὰ κόσμον, καὶ διαφθείραντας τοῦ θεάτρου τὴν χάριν. Ita legendus videtur iste locus, qui vulgo inquinatissimus est. Ceterum isto quoque nomine male audiebant *Cretenses, Lacones, Lydi,* alii bene multi. Quod ex Comicis et Grammaticis notum. Quin et *Phœnices* ob αἰσχρουργίαν imprimis notati. Hesych. Σκύλαξ, σχῆμα ἀφροδισιακὸν, ὡς καὶ τὸ τῶν Φοινικιζόντων. Legendum, σχῆμα 'ΑΦΡΟΔΙΣΙΟΝ. Nam catuli *cunnilingi*. D Hinc vox σκύλαξ sive σκυλακίζειν usurpatur de iis, qui in hoc negotio *canes* imitantur. Quod *Phœnices* fecerunt scilicet. Hinc Φοινικίζειν, *Phœnices* in hoc commercio imitari. Lucian. in Pseudologista: Πρὸς Θεῶν εἰπέ μοι τί πάσχεις, ἐπειδὰν κἀκεῖνα λέγουσιν οἱ πολλοὶ, ΛΕΣΒΙΑΖΕΙΝ σε καὶ ΦΟΙΝΙΚΙΖΕΙΝ; Galen. de Simp. Med. X. 1. Καὶ τῶν αἰσχρουργῶν μᾶλλον βδελυττόμεθα τοὺς ΦΟΙΝΙΚΙΖΟΝΤΑΣ τῶν Λεσβιαζόντων. Nimirum *Lesbii* ore morigerabantur; *Phœnices* vero, dii boni! τὴν ἀπόπτυστον δρόσον, ut ait E ille, amabant unice. Quare *Phœnices* magis infames quam *Lesbii*. Quæ Galeni sententia est. In istum locum Galeni consulendus Hieronymus Mercurialis in Var. Lect. lib. IV. 13.—Hinc ΦΟΙΝΙΚΙΣΤΗΣ apud Etymol. Mag. v. Γλωττοκομεῖον. Nec Latini harum deliciarum expertes. Virgilius, sive nescio quis, in Catalectis Scaligeri, p. 435. edit. nov. *Et æstuantes nocte solvens pantices, Os usque lambis suaviis.* Ita scribendus iste locus. *Os usque*, i. e. ἐς ὄστεον ἄχρις. Interpretes de *ore* acceperunt: in quo falsi et futiles sunt. Atque F hinc intelligendus locus Aristophanis, quem viri docti legunt, sed legunt frustra. Est autem in Eccles. 915. Δοκεῖς δέ μοι καὶ ΛΑΒΔΑ κατὰ τοὺς Λεσβίους. Ubi Schol. Λειχάζουσιν οἱ Λεσβίοι, ἀπὸ τοῦ πρώτου στοιχείου. Quod plane ridiculum est. Magno tamen Scaligero ad Priapeia fraudi fuit. Nimirum illud Λάβδα omnes interpretes fugit. Est autem Λάβδα, quod jam moneo, σχῆμα ἀφροδίσιον. Nam Λάπτειν *canum* sive σκυλάκων est. Ut a κύπτειν, κύβδα, de quo nos supra ad v. Κλεισθένους, sic a λάπτειν, λάβδα. Hinc vox non raro usurpatur de *Lesbiis*, G cæterisque male natis homunculis, qui ore allaborabant. Ausonius, Epigramm. 120. *Cui ipse linguam cum dedit suam*, Λάβδα est. Sed de ista spurcitie plura addere nostri pudoris non est. Nam Græci homines in hujusmodi rebus ingeniosissime et impudentissime nequam. TOUP.

[l] 'Επὶ—λεσβιάζειν om. V.

[m] δὲ καὶ] δὲ om. A. Photius.

[n] νήσου om. A. Mox καὶ τῆς Λέσβου et mox ἀπὸ τῆς Κρήτης om. A.V. Photius. H

[o] Καὶ τὸ] τὸ om. Photius.

[p] ΣΙΦΝΙΟΣ δὲ 'ΑΡΡΑΒΩΝ] Confer Hesych. v. 'Αρραβῶνα, et v. Σίφνιος. KUST.

[q] τὸ τῷ] τὸ om. V. Neutram habet Photius.

ΣΙΦΝΙΟΙ] Vid. Herodot. III. p. 182. Supra v. 'Ισουφεῖς. TOUP. Stylus Ælianum prodit, nec dubitandum

λον εὐτάκτως, καὶ ἐπείθοντο τῷ χρησμῷ τῷ τοῦτο προστάξαντι, [qq]τὰ τοῦ πλούτου αὐτοῖς ἐπίδοσιν εἶχε, φανέντων ἀργυρείων μετάλλων. Ἐπεὶ δὲ τὴν φορὰν τὴν τῆς ἀπαρχῆς ἐξέλιπον, θάλασσα ἐπιρρεύσασα καὶ ἐπικλύσασα ἠφάνισεν αὐτοῖς τὴν τοῦ πλούτου χορηγίαν, περιῆλθόν τε εἰς πενίαν [r]νησιωτικὴν καὶ ἀπορίαν δεινήν.

[s]Ἐκ τῶν Ἴωνος Φρουρῶν. Φησὶ δὲ καὶ Ἀριστοφάνης·

> Ποθεῖ μὲν, ἐχθαίρει δὲ, βούλεται δ' ἔχειν.

Τουτέστιν, ἡ πόλις τῶν Ἀθηναίων ποθεῖ μὲν ὡς δραστήριον τὸν Ἀλκιβιάδην· μισεῖ δὲ, ὡς τυραννικόν. Ἐπιφέρει γὰρ,

> Μισῶ πολίτην, ὅς τις [t]ὠφελεῖν πάτραν
> βραδὺς φανεῖται, μεγάλα δὲ βλάπτειν ταχύς·
> καὶ [u]πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον.

Καὶ τοῦτο περὶ Ἀλκιβιάδου, βραδέως μὲν ὠφελοῦντος τὴν πατρίδα, ταχέως δὲ βλάπτοντος.

**Σιφωνίζειν**: [x]Κυρίως ἐπὶ τῶν ὑγρῶν, τὸ ἀποσπᾷν. [y]Ἀριστοφάνης δὲ κατεχρήσατο, εἰπὼν,

> Σιφωνίζομεν τὸν σῖτον.

**Σθεναρός**: Ἰσχυρός.

**Σθένει**: [z]Δύναται. **Σθένει** δὲ, δοτική.

**Σθενέβοια**: Προίτου γυνή. Αὕτη φιλήσασα τὸν Βελλεροφόντην, καὶ μὴ ἐπιτυχοῦσα [a]διὰ τὴν τούτου σωφροσύνην, τοὐναντίον διέβαλεν αὐτὸν τῷ Προίτῳ, ὡς βουλόμενον αὐτὴν μοιχεῦσαι. Καὶ ἀγανακτήσας ὁ Προῖτος, ἔπεμψεν αὐτὸν τῷ Ἰοβάτῃ, τῷ πατρὶ τῆς Σθενεβοίας, ἵνα ἐκεῖνος αὐτὸν φονεύσῃ. Ὁ γὰρ Προῖτος ἀνελεῖν αὐτὸν οὐκ ἠβουλήθη, ἐπειδὴ ἐν τάξει τέκνου ἀνεθρέψατο αὐτόν. Αἰσθόμενος δὲ ὁ Ἰοβάτης ὅτι ψευδής ἐστιν ἡ κατ' αὐτοῦ κατηγορία, ἐφείσατο

A τοῦ Βελλεροφόντου. Μετὰ δὲ τὴν βασιλείαν τοῦ Προίτου Ἀκρίσιος ἐβασίλευσε.

**Σθένης**: Ἰσχυρὸς, καρτερός. [b]**Σθένις** δὲ, Σθένιδος, ὄνομα κύριον.

**Σθένος**: Δύναμις. Καὶ ἡ δοτικὴ, τῷ σθένει.

**Σκάζει**: Χωλεύει.

**Σκάλα**: Ῥωμαϊστὶ ὁ ἀναβολεύς.

**Σκαλαθῦραι**: Συνουσιάσαι. [c]Ἀριστοφάνης·

B

> Ἢν [d]μεῖραξ' ἰδὼν ἐπιθυμήσῃ, καὶ βούληται σκαλαθῦραι.

**Σκαλαθυρμάτια**: Σκιάς τινας. Καὶ **σκαλεύματα**. Ἔγκειται δὲ [e]τὸ ἄθυρμα, οἷον παίγνιον, καὶ οὐδὲν ἀξιόπιστον. Τουτέστι, λεπτὰ, καὶ παντάπασι μικρὰ νοήματα, καὶ μαθήματα, σκαριφεύματα.

**Σκαλεύειν**: Ἀνακινεῖν, διαξαίνειν. [f]Ἀριστοφάνης·

> Ἐν εἰρήνῃ διάγειν [g]ἔχονθ' ἑταίραν, καὶ σκαλεύει τοὺς ἄνθρακας.

C Ἀντὶ τοῦ, [h]ζωπυρεῖ τοὺς ἄνθρακας· ἢ ἐνθάδε τὸ γυναικεῖον αἰδοῖον ἄνθρακας εἶπεν· ἢ ἀντὶ τοῦ, ἐν ἀγρῷ [i]διατρίβειν· ἐπεὶ οὗτοι ὀπτῶσι βαλάνους, καὶ σκαλεύουσι τοὺς ἄνθρακας ἐν τῷ [k]ὀπτᾷν.

**Σκαληνός**: Ἄνισος. Καὶ **σκαληνὸν**, σχῆμα γεωμετρικὸν, δίκην [l]σκάλας.

**Σκάλλοντες**: Σκάπτοντες.

**Σκάλοπας**: Μύας τινὰς, οὓς φαμὲν ἀσπάλακας.

D

**Σκάμανδρος**: Ποταμός. Καὶ **Σκαμανδριαίους**, ποταμιαίους. Καὶ [m]**Σκαμάνδριον ῥεῦμα**.

**Σκαμβή**: Διεστραμμένη.

**Σκάμων**: Ὄνομα κύριον.

**Σκαμωνία**: Εἶδος βοτάνης.

**Σκαμμωνίδαι**: Δῆμος τῆς Λεοντίδος.

**Σκανδάληθρα**: Τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ

E ξύλα. Ἀπὸ τοῦ [n]σκάζοντα συμπίπτειν, καὶ κρατεῖν

---

quin hæc ex ejus π. Προνοίας libris sint desumpta. HEMST. Pausanias, X. 11, 2. Σιφνίοις ἡ νῆσος χρυσοῦ μέταλλα ἤνεγκε, καὶ αὐτοὺς τῶν προσιόντων ἐκέλευσεν ὁ θεὸς ἀποφέρειν δεκάτην ἐς Δελφούς· οἱ δὲ τὸν θησαυρὸν ᾠκοδομήσαντο καὶ ἀπέφερον τὴν δεκάτην. Ὡς δὲ ὑπὸ ἀπληστίας ἐξέλιπον τὴν φορὰν, ἐπικλύσασα ἡ θάλασσα ἀφανῆ τὰ μέταλλά σφισιν ἐποίησεν.

[qq] τὰ τοῦ πλούτου] Strab. X. p. 484. REINES. τοῦ om. V. qui mox ἀργυρίων. Infra ἐπιρεύσασα A.

[r] νησιωτικὴν] νησιῶται V.

[s] 'Ἐκ τῶν Ἴωνος Φρουρῶν. Φησὶ δὲ κ.] Hæc nihil ad rem faciunt; nec video quare ea compilator huc attulerit. Sumpta autem sunt ex Schol. Aristoph. Ran. 1472. KUST. Pars prior hujus vocis datur, male disjuncta, v. Σιγῶ. BURN.

[t] ὠφελεῖν] ἐπωφελεῖν E.

[u] πόριμον] περὶ V. qui mox 'Αλκιβιάδῃ.

ΣΙΦΩΝΙΖΕΙΝ] Confer Nostrum supra v. 'Εκσιφωνισθείη. KUST. Arati Schol. p. 98. TOUP.

[x] κυρίως] κυρίως μὲν V.

[y] 'Αριστοφάνης] Thesmoph. 564. ubi v. Schol. (ed. Bekker. 557.)

ΣΘΕΝΑΡΟΣ] Dorville ad Charit. p. 455. TOUP.

ΣΘΕΝΕΙ] Soph. Aj. 488. TOUP.

[z] ῥῆμα ἀντὶ τοῦ δύναται] ῥῆμα ἀντὶ τοῦ om. A.V. Seqq. om. V. Post δοτικὴ delevi ἀντὶ τοῦ ἰσχύϊ cum A.

ΣΘΕΝΕΒΟΙΑ, Προίτου γυνή. Αὕτη φιλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Joannis Antiocheni, quæ leguntur in Collectaneis Constant. a Valesio editis, p. 782. Confer etiam Schol. ad Ran. 1075. et Nostrum supra v. 'Ιοβάτης. KUST.

[a] οὐ ἤρα, διὰ] οὐ ἤρα om. A.B.V. Excerpt.

[b] ΣΘΕΝΙΣ] Plutarch. Lucullo p. 506. TOUP.

ΣΚΑΛΑ] Confer Nos supra ad v. 'Αναβολεύς. KUST.

[c] 'Αριστοφάνης] Eccles. 607.

[d] μεῖρακ'] μειράκιον V. μεῖρακος E.M.

ΣΚΑΛΑΘΥΡΜΑΤΙΑ: Σκιάς τινας. ΣΚΑΛ.] Ex Schol. Aristoph. Nub. 630. KUST.

[e] τὸ ἄθυρμα, οἷον] οἷον τὸ ἄθυρμα V.

[f] 'Αριστοφάνης] Pac. 438. Μὰ Δί' ἀλλ' ἐν εἰρήνῃ διάγειν με τὸν βίον Ἔχονθ' ἑταίραν, καὶ σκαλεύοντ' ἄνθρακας. KUST.

[g] ἔχονθ'] ἔχωνθ' V.E. Mox καὶ om. A.V. Tum σκαλεύτους V.

F

[h] ζωπυρεῖ] ζωπυροῦντα V.

[i] διατρίβειν] διατρίβων A.V.

[k] ὀπτᾷν] ὀπτεῖν A.B.V.

ΣΚΑΛΗΝΟΣ] Vid. Schol. Platon. p. 328. ed. Bekker.

[l] σκάλας] Statim delevi ΣΚΑΛΜΙΔΑ: 'Ασπαζόμεθ' ἐρετμὰ καὶ σκαλμίδα. Φησὶν ὁ κωμικὸς, cum A.B.V. ubi E. bis σκαλμίδια. Vide supra in 'Ασπάζεσθαι. Meinekius ad Menand. p. 160. malit ἐρέτμια.

G ΣΚΑΛΟΠΑΣ] Ex Schol. Aristoph. Ach. 879. ubi leg. σπάλακας.

[m] ΣΚΑΜΑΝΔΡΙΟΝ] Σκαμάνδρειον A.V.

ΣΚΑΜΒΗ] Ps. C. 5. καρδία σκαμβή. ERNEST. Statim delevi cum A.V. ΣΚΑΜΒΟΝ: Ξύλον οὐδέποτ' ὀρθόν. quæ tamen habet A. in marg. præfixo παροιμία. Kusterus citat Nostrum supra v. Ξύλον ἀγκύλον, et infra v. Τὸ σκαμβόν.

ΣΚΑΜΩΝ] Σκάμμων V.

ΣΚΑΜΩΝΙΑ] Vide supra v. 'Ασκαμωνία. KUST. 'Α-

H σκαμμωνία V.

ΣΚΑΜΩΝΙΔΑΙ] Ex Harpocratione: sed apud quem legitur, Σκαμβωνίδαι. KUST. Σκαμμωνίδαι A.B.V.E. Photius.

ΣΚΑΝΔΑΛΗΘΡΑ: Τὰ ἐν τ.] Ex Schol. Aristoph. Acharn. 687. KUST.

[n] σκάζοντα om. A.B.V.E.M. sed præbet Scholiastes.

τὸ ἐμπεσόν. Τὰ πέταυρα τῶν [o]παγίδων, ἃ Ἀρχίλοχος ῬΌΠΤΡΑ ἐκάλεσεν. Ἀριστοφάνης·

> Κᾆτ' ἀνελκύσας ἐρωτᾷ, σκανδάληθρ' ἱστὰς ἐπῶν.

Ἀντὶ τοῦ, ἐρείσματα λόγων καὶ βάρη.

ΣΚΆΝΔΕΙΑ: [p]Πόλις.

ΣΚΆΝΔΙΞ: Θηλυκῶς, ἄγριον λάχανον· παρ' ὃ καὶ [q]σκανδικοπώλην τὸν Εὐριπίδην λέγουσιν· ἐπεὶ λαχανοπωλητρίας υἱὸν αὐτὸν εἶναί φασι.

> [r]Σκάνδικά μοι δὸς, μητρόθεν δεδεγμένος.

> Καὶ μή μοι τὰ τοῦ σκανδικοπώλου παρατραγῴδει, σεμνὸν τὸ τῆς [s]Πειρήνης ὕδωρ ἀποκαλοῦντος.

ΣΚΆΝΔΙΚΑ οὖν, λάχανα, οὐ τὰ ἐκ τῶν κηπίων, ἀλλὰ τὰ αὐτομάτως φυόμενα, ὥς φησιν Ἀνδοκίδης.

> Μὴ γὰρ ἴδοιμέν ποτε πάλιν ἐκ τῶν [t]ὀρέων τοὺς ἀνθρακευτὰς ἥκοντας, καὶ πρόβατα, καὶ βοῦς, καὶ τὰς ἁμάξας εἰς τὸ ἄστυ, καὶ γύναια, καὶ πρεσβυτέρους ἄνδρας, καὶ ἐργάτας ἐξοπλιζομένους· μηδὲ ἄγρια λάχανα καὶ σκάνδικας ἔτι φάγοιμεν.

ΣΚΑΠΆΝΗ: [u]Σκάφιον, ὀρύγιον, δικέλλιον· [ὁ παρ' ἡμῖν τζόκος λεγόμενος.]

ΣΚΑΡΔΑΜΎΤΤΕΙ: Πυκνὰ τοὺς [x]ὀφθαλμοὺς κλείει καὶ ἀνοίγει.

ΣΚΑΡΙΦΙΣΜΟΙ͂Σ: [y]Οἷον σκαρισμοῖς, καὶ λεπτολογίαις, εὐτελείαις, σκιαγραφίαις. ΣΚΑΡΙΦΕΎΕΙΝ γὰρ, τὸ τοὺς ζωγράφους ὑποτυπῶσαι πρῶτον τοὺς γραφομένους.

ΣΚΑΦΕΊΑ: Ἡ σκάφευσις. Καὶ [z]ΣΚΑΦΕΊΔΙΟΝ,
A τὸ [a]λισγάριον. Καὶ ΣΚΑΦΕΙ͂ΟΝ, ὁμοίως.

ΣΚΆΦΗ: Πόλις. [b]ΣΚΆΦΗ δὲ, τὰ κοιλώματα τῶν νηῶν, ἃ ἡμεῖς γάστρας καλοῦμεν. Ἀντὶ τοῦ, γαστέρας.

ΣΚΑΦΗΦΌΡΟΙ: Δείναρχος ἐν τῷ κατὰ [c]Ἀγησικλέους φησίν·

> Οἱ ἀντὶ σκαφηφόρων ἔφηβοι εἰς τὴν ἀκρόπολιν ἀναβήσονται, οὐχ ὑμῖν ἔχοντες χάριν τῆς πολιτείας, ἀλλὰ τῷ ἀργυρίῳ.

B [d]Οὗτοι γὰρ ἐσκαφηφόρουν Ἀθήνησι. Δημήτριος γοῦν ἐν γ' Νομοθεσίας φησὶν, ὅτι προσέταττεν ὁ νόμος τοῖς μετοίκοις ἐν ταῖς πομπαῖς, αὐτοὺς μὲν [e]σκάφας φέρειν, τὰς δὲ θυγατέρας αὐτῶν ὑδρεῖα καὶ [f]σκιάδεια.

ΣΚΆΦΙΟΝ: [g]Εἶδος κουρᾶς. [h]Ἀριστοφάνης·

> Σὺ δὲ κοψίχῳ ἔοικας σκάφιον ἀποτετιλμένῳ.

ΣΚΑΙΑ͂Ι: Τῇ ἀριστερᾷ.

ΣΚΑΙΕΜΒΑΤΕΙ͂Ν: Τὸ σκαιῶς καὶ ἀρρύθμως ἐμβαί-
C νειν ὀρχούμενον· τὸ ἐν τῇ συνηθείᾳ κενεμβατεῖν.

ΣΚΑΙΌΣ: Ἀριστερὸς, ἄφωνος, ἀπαίδευτος, κακός. Οὕτως ἐκάλουν τοὺς ἀμαθεῖς, καὶ [i]δυσπαρακολουθήτους, καὶ τοὺς μωρούς· ἀπὸ τῆς σκαιᾶς. [k]Ἀριστοφάνης Νεφέλαις·

> Οὐκ εἶδον οὕτως ἄνδρ' ἀγροῖκον οὐδένα,
> οὐδ' ἄπορον, οὐδὲ σκαιὸν, οὐδ' ἐπιλήσμονα.

D Καὶ αὖθις [l]Ἀριστοφάνης·

> Οὐ σκαιὸς ἦν ἄνθρωπος· ἀλλ' ἠπίστατο
> γραὸς καπρώσης τἀφόδια κατεσθίειν.

---

[o] παγίδων] παγιδίων A.B.V.

[p] ὄνομα πόλεως] πόλις A. Delevi ἐν Κυθήροις cum A.B.V.

[q] σκανδικοπώλην τὸν Εὐρ.] Vide nos supra ad v. Εὐριπίδης. KUST.

[r] Σκάνδικά μοι δὸς, μητρ.] Aristoph. Acharn. 477.

[s] εἰρήνης ὕδωρ] Πειρήνης ὕδωρ A.B.V.E. Et sic Euripid. Med. 68.
E

[t] ὀρέων] ἀέρων V.

ΣΚΑΠΑΝΗ] Conf. Schol. Theocrit. IV. 19.

[u] Σκαφεῖον] Vetus ms. Epit. Σκαπάνη· σκαφίον, ὀρύγιον, δικελλα. REINES. σκάφιον A.B.V.E. Photius. ὁ παρ'— λεγόμενος om. A. Photius. λεγόμενος om. V.

ΣΚΑΡΔΑΜΥΤΤΕΙ] Vide Erotianum v. Καρδαμύσσειν. KUST.

[x] ὀφθαλμοὺς] Statim delevi μύει ἤγουν cum A.V. et Pho-
F tio. Et mox Παρὰ τὸ σκαίρειν καὶ μύειν τοὺς ὀφθαλμούς. Καὶ πυκνῶς βλεφαρίζειν, cum A. et Photio, quorum παρὰ τὸ σκαίρειν tantum habet V.

ΣΚΑΡΙΦΙΣΜΟΙΣ: Οἷον σκαρ.] Ex Schol. Aristoph. Ran. 1545. KUST.

[y] Οἷον σκαρισμοῖς inter lineas in V. Post h. gl. delevi ΣΚΑΡΙΦΟΝ: Τὸ κάρφος, καὶ φρύγανον. Καὶ ΣΚΑΡΙΦΗΣΑΣΘΑΙ ἐστὶ, τὸ ἐπισεσυρμένως τι ποιεῖν, καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν, quæ habent A.V. tantum in marg. Le-
G guntur supra p. 982 B. Sequentia ΣΚΑΡΟΣ: Ὄνομα ἰχθύος. Αἰλιανός· Μόνος ὁ θαλάσσιος σκάρος τὴν τροφὴν ἀναπολεῖ, ὥσπερ καὶ τὰ βληχητὰ, ἃ δὴ μηρυκᾶται. ἈΝΑΠΟΛΕΙ οὖν, ἀναπτύσσει, μηρυκίζεται, habent A.V. in marg. rectius supra collocata p. 308 B. Bochart. Hieroz. Lib. I. p. 43. citat Hemsterhusius.

[z] ΣΚΑΦΙΔΙΟΝ] σκαφείδιον A.V.

[a] λισγάριον] Sic mss. Paris. At priores editt. minus recte, λιγάριον. Est autem λισγάριον vox recentiorum Græcorum, de qua vide Dufrenium in Glossario Græco. KUST.
H

ΣΚΑΦΗ: Πόλις] Videtur Suidas respexisse ad locum illum Aristoph. in Vesp. 29. Περὶ τῆς πόλεως γάρ ἐστι τοῦ σκάφους ὅλου. Scholiasta: Ἀεὶ οἱ ποιηταὶ τὰς πόλεις πλοίοις παραβάλλουσι. Vel, quod potius crediderim, Suidas scripserat, Σκάρφη, πόλις. Σκάρφη enim esse nomen proprium urbis, quæ etiam Σκάρφεια dicebatur, testatur Eustathius ad Homer. p. 265. KUST. Hoc mavult Vossius ad Hesych.

[b] ΣΚΑΦΗ δὲ] Seqq. sunt ex Schol. Thucyd. I. 50.

ΣΚΑΦΗΦΟΡΟΙ: Δείν.] Ex Harpocratione. KUST.

[c] Ἀγησικλέους] Ἀγησιλάου V. Tum φησὶν om. A.V.

[d] Οὗτοι γὰρ] Supple ex Harpocratione, ἀντὶ τοῦ μέτοικοι. Οὗτοι γὰρ ἐσκαφηφόρουν Ἀθήνησι.

[e] σκάφας φέρειν] Vide Meursium Panathen. c. 21. KUST.

[f] σκιάδεια] σκιάδια A.

[g] Εἶδος κουρᾶς] Quamvis Suidæ succinant Hesychius et Harpocratio, non vereor tamen cum Salmasio ad Solinum p. 448. edit. Ultraj. asserere, interpretationem istam in subjuncto loco Aristophanis locum habere non posse, sed in eo σκάφιον significare *caput*. Nam τὸ κόψιχος σκάφιον ἀποτετιλμένος vix sane aliter interpretari possis, quam, *copsichus caput vulsum*, seu, *pennis nudatum habens*. Copsichus enim est genus avis. Τὸ σκάφιον autem significare *caput*, clare testatur Pollux lib. II. c. 4. ubi ad significationem istam probandam adducit versum illum Aristophanis, Ἵνα μὴ κατεαγῇς τὸ σκάφιον πληγεὶς ξύλῳ. Id est, *Ne tibi percussum fuste frangatur caput*. Polluci adde Suidam v. Κεφαλὴ, qui testatur, caput a medicis appellari solere σκαφεῖον. KUST. Schol. ad Thesm. 838. Σκάφιον: εἶδος κουρᾶς δουλικῆς. Grammaticos injuria culpare videtur Salmasius, eumque secutus Kusterus. Interpretandus est Aristophanes, *Tu similis es copsicho caput deplumato ad instar istius tonsuræ quæ σκάφιον audit*. Et in altero loco apud Pollucem σκάφιον non est caput simpliciter, sed caput tonsum δουλικῶς.

[h] Ἀριστοφάνης] Av. 807.

ΣΚΑΙΕΜΒΑΤΕΙΝ] Aliud est σκαιεμβατεῖν, aliud κενεμβατεῖν, ut ex posterioris verbi interpretatione, quam suo loco Suidas dedit, satis patet. HEMST.

ΣΚΑΙΟΣ] Vid. Ὗς διὰ ῥόδων. HEMST. ἀπαίδευτος om. V.

[i] δυσπαρακολουθήτους] De hac voce vide Gatak. ad Marc. Anton. lib. V. §. 5. KUST.

[k] Ἀριστοφάνης Νεφέλαις] Ver. 928. KUST. Νεφέλαις om. A. ubi mox οὐκ οἶδ'—οὐδαμοῦ. Etiam V. οὐδαμοῦ.

[l] Ἀριστοφάνης] Plut. 1024. KUST.

Ἀντὶ τοῦ κολακεύειν, καὶ ἐσθίειν τὰ ἀναλώματα. Καὶ A αὖθις·

[m]Ὁ μὲν ἐν ταῖς ἐντεύξεσι σκαιὸς ἦν· ἐν δὲ ταῖς πράξεσι καὶ μάλα ἐς τοὐναντίον ἤπιος, καὶ τὸ ἀγχίνουν ἀποχρώντως ἔχων.

Καὶ ΣΚΑΙΟΘΕΝ, ἐπίρρημα. Λέγεται καὶ ΣΚΑΙΟΣΥΝΗ παρὰ Ἀριστοφάνει.

ΣΚΑΙΟΤΑΤΟΝ: Ἀπαίδευτον. Ἀριστοφάνης [n]Νεφέλαις·

Σκαιότατον γερόντιον.

ΣΚΑΙΟΤΗΣ: Μωρία, ἀπαιδευσία, ἀγριότης, ἀπάτη.

ΣΚΑΙΩΡΙΑ: Ἡ κακὴ [o]βουλή.

ΣΚΑΙΡΟΝΤΕΣ: Χορεύοντες, σκαρίζοντες.

ΣΚΕΔΑΖΕΙ: Σκορπίζει.

[ΣΚΕΔΑΝΝΥΣΘΑΙ: Σκορπίζεσθαι.]

ΣΚΕΛΕΤΟΣ: Ὁ ξηρός.

ΣΚΕΛΛΙΟΥ ΥΙΟΣ: [p]Ἀριστοκράτης. [q]Φησὶν οὖν Ἀριστοφάνης·

Καὶ τὸν Σκελλίου βδελύττομαι.

Ἤγουν, τὸν Ἀριστοκράτην. Διὰ τὸν Ἀριστοκράτην δὲ οὕτω φησὶ, μισῶ τὴν ἀριστοκρατίαν, ὅτι καὶ τὸν Ἀριστοκράτην μισῶ· ὅτι [r]κέκληται τῷ ὀνόματι τούτῳ.

ΣΚΕΜΜΟΥΣ: Βουλὰς, σκέψεις.

[s]Τούτῳ δὲ τοῦ [t]βασιλέως [u]κατεμήνυον τοὺς σκεμμούς.

ΣΚΕΠΑΝΟΝ: Σκέπη.

[x]Καὶ πῖλον [y]κεφαλᾶς οὐχ ὁσίας σκέπανον.

Λέγεται καὶ ΣΚΕΠΑΣ.

[z]Καυσίη, τὸ πάροιθε [a]Μακηδόσιν εὔκολον ὅπλον,
καὶ σκέπας ἐν νιφετῷ, καὶ κόρυς ἐν πολέμῳ.

ΣΚΕΠΕΙΝΟΣ ΤΟΠΟΣ:

ΣΚΕΠΗ: Παρὰ [b]Ἡροδότῳ, [c]θήκη, δέρμα.



A ΣΚΕΡΒΟΛΛΕ: Λοιδόρει.

[d]Μὴ σκέρβολλε [e]πονηρά.

Τουτέστι, μὴ λοιδόρει πικρὰ, μὴ ποίκιλλε. Δηλοῖ δὲ ἡ λέξις καὶ τὸ κερτομεῖν.

ΣΚΕΥΗ: Ὅπλισις, ἡ στολή.

[f]Ὁ δὲ ἱερεὺς σκευὴν ἐσκευάζετο τὴν τοῦ δημίου, μεταλαβὼν ἀντὶ τῶν σεμνοτάτων τὰ οἴκτιστα.

Τὰ δὲ πολλὰ τῶν θηρίων εἰς βάθος νηξάμενα, τῆς θαλάσσης B αὐτοῖς εἰς τὰς σκευὰς ἐμπεσούσης, ἀπεπνίγη.

Ὁ δὲ [g]Καρτερὸς [h]τῆς τε σκευῆς τῇ λαμπρότητι διαφέρων ἦν.

ΣΚΕΥΟΣ: Χωρητικόν τινος εἴδους ἀγγεῖον. Πολύβιος·

[i]Ἦν δὲ ὁ Δαμοκλῆς σκεῦος εὐφυὲς, πολλὰς [k]ἔχων ἀφορμὰς εἰς πραγμάτων οἰκονομίαν.

Καὶ, [l]ΣΚΕΥΟΠΟΙΟΥΝΤΑ ΤΟ ΠΡΑΓΜΑ: Ὑπερίδης ἐν τῷ κατὰ Ἀντιθέτου. Ἀντὶ τοῦ, σκευωρούμενον, καὶ C κατασκευάζοντα, καὶ πλαττόμενον.

ΣΚΕΥΟΦΟΡΕΙΟΝ [m]καὶ ΣΙΤΟΦΥΛΑΚΕΙΟΝ: ΣΚΕΥΟΦΥΛΑΚΙΟΝ δὲ, καὶ ΧΑΡΤΟΦΥΛΑΚΙΟΝ.

ΣΚΕΥΩΡΙΑ: Κατασκευὴ, ἐπιβουλὴ, βλάβη.

ΣΚΕΙΡΩΘΕΝΤΟΣ ΗΠΑΤΟΣ: ΣΚΕΙΡΩΜΑ γὰρ πάθος [n]περὶ τὸ ἧπαρ ἀνίατον.

ΣΚΕΙΡΩΝΟΣ: Ὄνομα λῃστοῦ. (Καὶ ΣΚΕΙΡΩΝΙΔΗΣ, ὄνομα [o]πατρωνυμικόν. [p]Καὶ ΣΚΕΙΡΩΝΙΣ ΠΕ- D ΤΡΑ, ἡ τραχεῖα.) Καὶ διφορεῖται.

ΣΚΗΝΗ: [q]ΣΚΗΝΗ ἐστιν ἡ μέση θύρα τοῦ θεάτρου. ΠΑΡΑΣΚΗΝΙΑ δὲ, τὰ ἔνθεν καὶ ἔνθεν τῆς μέσης [r]θύρας. Ἵνα δὲ σαφέστερον εἴπω, μετὰ τὴν σκηνὴν εὐθὺς καὶ τὰ παρασκήνια, ἡ ὀρχήστρα. Αὕτη δὲ ἐστιν ὁ [s]τόπος, ὁ ἐκ σανίδων ἔχων τὸ ἔδαφος· [t]ἀφ' οὗ θεατρίζουσιν οἱ

---

[m] ὁ δὲ ἐν μὲν] Ex Damascii v. Isidori, opinor. TOUP. Ὁ μὲν ἐν A.

[n] Νεφέλαις] Ver. 788.

ΣΚΑΙΩΡΙΑ] Imo, σκευωρία. Vide infra h. v. KUST. Male. HEMST. Σκαιωρία] Ita quoque male Sozomen. p. 78. TOUP.

[o] βουλὴ] ἀπατὴ huc revocandum ex præc. HEMST.

ΣΚΑΙΡΟΝΤΕΣ] Il. σ'. 572.

ΣΚΕΔΑΝΝΥΣΘΑΙ] A. in marg. σκορπίζεσθαι om. B.V.

ΣΚΕΛΕΤΟΣ] Plutarch. Anton. p. 950. TOUP.

[p] Ἀριστοκράτης] ὁ Ἀριστοκράτης V. Mox διὰ τὸν—ἀριστοκρατίαν habet A. in marg.

[q] Φησὶν οὖν Ἀριστοφάνης] Av. 126. Vide ibi Scholiastam. KUST.

[r] κέκληται] κέκτηται B.E. pr.

[s] τοῦτο] τοῦτ A. τούτω B.V.E. Mox τοῦ V.

[t] βασιλείους] βασιλέως A.V. βασιλέους E.

[u] κατεμήνυε] κατεμήνυον A.B.V.E.M. Tum τοὺς σκεμμοὺς A.V.

[x] καὶ πῖλον] Anthol. Pal. VI. 298.

[y] κεφαλῆς] κεφαλᾶς A.V.

[z] Καυσίη, τὸ πάρ.] Scribe Καυσίη, ἡ τὸ πάροιθε Μακηδόσιν εὔκολον, &c. Sic enim recte legitur in Anthol. KUST. Pal. VI. 335.

[a] Μακεδόσιν] Μακηδόσιν A.E.

ΣΚΕΠΕΙΝΟΣ] Deest A.

[b] Ἡροδότῳ] Vid. gl. ad I. 185. ubi monet Wesseling. Suidam prætervidisse caput glossæ, quod Ἔλυτρον est. Vid. supra p. 1210 C.

[c] θήκη] ἡ σκέπη, θήκη A.

[d] Μὴ σκέρβολλε πονηρά] Aristoph. Equit. 818. Vide ibi veterem Enarratorem. KUST.

[e] πονηρὰ] πολλὰ E. Mox μικρὰ V.

ΣΚΕΥΗ—στολὴ] Ex gl. Herodot. I. 24. ubi καὶ στολή. Conf. Hemsterhus. ad Lucian. Dial. Marin. VIII. 1.

[f] Ὁ δὲ Ἱερεὺς] Ex Jamblichi Babylonicis. Vid. Photii E Bibl. p. 245. Rochetti Miscell. t. I. p. 80.

[g] Καρτερὸς] Lego Κρατερὸς, ut sit nomen proprium Crateri, qui erat unus ex ducibus Alexandri Magni. KUST. Κρατερὸς scribendum est. HEMST. Scribendum Κρατερός. Idem mendum apud Suidam v. Ὄγκος. Confer Nostrum v. Κρατερὸς, unde uterque locus ampliari poterit. TOUP. Καρτερὸς et Κρατερὸς confunduntur in ms. A. plus semel supra p. 2193.

[h] τῆς τε σκευῆς om. B.E.M.

[i] Ἦν δὲ ὁ Δαμοκλῆς σκ.] Fragmentum hoc Polybii legi- F tur etiam supra v. Εὐφυᾶ. KUST.

[k] ἔχων] ἔχον A.

[l] ΣΚΕΥΟΠΟΙΟΥΝΤΑ ΤΟ ΠΡ.] Ex Harpocratione: sed apud quem pro Ἀντιθέτου legitur Μαντιθέου, uti etiam hic apud Suidam scribendum est. Oratio enim Hyperidis κατὰ Μαντιθέου laudatur etiam ab Athenæo. KUST. Ἀντιθέου Photii ms. et Harpocr. ms. Pal.

[m] καὶ ΣΙΤΟΦΥΛΑΚΕΙΟΝ] Seqq. om. A.

ΣΚΕΥΩΡΙΑ] Deest gl. A.

G ΣΚΙΡΩΘΕΝΤΟΣ] Σκειρωθέντος V. et A. qui in marg. διὰ τοῦ ῑ γραπτέον. Et mox σκείρωμα. Series literarum diphthongum postulat. Post ἀνίατον addit V. διὰ τοῦ ῑ γραπτέον. Καὶ Σκιρρωνὶς πέτρα ἡ τρ. κ. δ.

[n] περὶ τὸ ἧπαρ] Sic rectius ms. A. quam priores editt. quæ habent παρὰ τὸ ἧπαρ. KUST. παρὰ B.E.

[o] πατρωνυμικὸν om. A.

[p] καὶ Σκιρωνίδης—τραχεῖα habet A. in marg.

[q] ΣΚΗΝΗ ἐστιν ἡ μ.] Confer cum loco Suidæ Pollucem lib. IV. c. 19. KUST.

H ib. ΣΚΗΝΗ—θεάτρου] σκηνὴ δὲ αὕτη ἐστὶν ὁ τόπος ὁ ἐκ σανίδων ἔχων τὸ ἔδαφος E. σκηνὴ—ὀρχήστρα om. B. qui παρασκήνια—ἔδαφος habet post ἔδαφος.

[r] θύρας] χώρας E. Mox δὲ om. M.

[s] τόπος] ὡς εἴρηται addit E.

[t] ἀφ' οὗ] Lego potius, ἐφ' ᾧ. KUST.

μῖμοι. Ἔστι μετὰ τὴν ὀρχήστραν βωμὸς τοῦ Διονύσου, [u]ὃς καλεῖται θυμέλη· παρὰ τὸ θύειν. Μετὰ δὲ τὴν θυμέλην ἡ κονίστρα, τουτέστι, τὸ κάτω ἔδαφος τοῦ θεάτρου. Καὶ [x]ΣΚΗΝΊΤΗΣ, ὁ ἐπὶ τῇ σκηνῇ. A

[y]Αἰεί τοι λιπαρῷ ἐπὶ σήματι, δῖε Σοφόκλεις,
σκηνίτης μαλακοὺς κισσὸς ἄλοιτο πόδας.

ΣΚΗΝΊΤΗΣ: Ἰσοκράτης [z]Τραπεζιτικῷ·

Πυθόδωρον γὰρ τὸν Σκηνίτην καλούμενον.

Ἔοικε δὲ [a]ἐπωνύμιον εἶναι. Μήποτε δὲ [b]ὡς εἰς ἀγοραῖον λεγόμενον· ἐπεὶ ἐν σκηναῖς ἐπιπράσκετο πολλὰ τῶν ὠνίων.—Καὶ ΣΚΗΝΊΤΗΣ ΒΊΟΣ, ὁ ἀπερινόητος.—Καὶ, B

[c]ΣΚΗΝΗΝ δὲ, ἣν ἔχουσιν. Οὐδὲ γὰρ ταύτην λαβόντες ἀναφέρουσιν.

[d]Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν. Ἔοικε δὲ σκεῦός τι εἶναι· ὅπερ οἱ μὲν κόσμον τινὰ γυναικεῖον εἶναι φασίν· οἱ δὲ, [e]σκιάδειον. Καὶ, ΣΚΗΝῊΝ ἘΠΉΞΑΤΟ: Τουτέστι, τένδαν, κατὰ γλῶσσαν. C

ΣΚΗΝΗΜΆΤΩΝ: Τῶν οἰκήσεων.

[f]Χειμέριον νύκτα τηρήσαντες ἐξῆλθον, ἐν ᾗ οὐδ' ἄν τις τῶν βαρβάρων τῶν ἠθάδων ἄνευ τινὸς ἐξαισίου ἀνάγκης ἔξω τῶν [g]σκηνημάτων ἐγένετο.

[h]Καὶ ΣΚΗΝΊΤΗΣ, ὁ ἐπὶ τῇ σκηνῇ.

ΣΚΗΝΟΡΡΆΦΟΣ: Ὁ [i]δέρματα συρράπτων.

ΣΚῆΝΟΣ: Σκήνωμα. ΣΚΉΝΩΜΑ ΤΟῦ ΘΕΟῦ, ὁ ναὸς τοῦ Θεοῦ. D

ΣΚΗΠΆΝΙΟΝ: Σκῆπτρον.

ΣΚΉΠΙΟΣ: Ὁ προφασιζόμενος.

ΣΚΗΠΊΩΝ: Ὅτι Σκηπίων ὁ Ῥωμαίων στρατηγὸς πρὸς Ἀννίβαν τὸν Καρχηδονίων στρατηγὸν ἐποιεῖτο συμβάσεις. Ἦν δὲ δὴ συνελθόντων ἰδεῖν τὸν μὲν Σκηπίωνα [k]ἐκπρεπῆ τε τὸ σῶμα, καὶ ὑψηλόφρονα, καὶ πρὸς τὸ χάριεν μᾶλλον ἢ φοβερὸν πεφυκότα· [l]Ἀννίβᾳ δὲ κάλλος καταπληκτικὸν ἦν τῷ δεινῷ τε καὶ συνεστραμμένῳ τοῦ προσώπου μεμιγμένον. Οὐ συμβαινόντων δὲ ἐπὶ τοῖς εἰρημένοις, ἀλλὰ τάχος συμπίπτειν τοῖς Ῥωμαίοις διεκελεύοντο. E



[m]Ὅτι ἄνδρες τινὲς [n]τῶν Καρχηδονίων, [οἱ] ἐπὶ κατασκοπῇ τῶν ἐναντίων σταλέντες ὑπὸ Ἀννίβου, τοῖς Ῥωμαίοις περιπίπτουσιν· οὓς ἀχθέντας ὡς αὐτὸν ὁ Πόπλιος κακὸν μὲν οὐδὲν εἰργάσατο, περινοστῆσαι δὲ κελεύει τὸ στρατόπεδον, καὶ δεῖπνον ἑλομένους, [o]ὑποχωρεῖν σώους, ἀπαγγελοῦντας Ἀννίβᾳ τὰ περὶ τὴν στρατιὰν ὡς [p]ἔχοι Ῥωμαίοις. B

ΣΚΉΠΩΝ: Ῥόπαλον· παρ' ὃ καὶ [q]ΣΚΗΠΆΝΙΟΝ.

[r]Ἦπου σοφὸς ἦν, ὃς ἔφασκε πρὶν ἂν ἀμφοῖν [s]μῦθον [t]ἀκούσῃς,
οὐκ ἂν δικάσαις. Σὺ δ' ἤδη πολλῷ νενίκηκας.
Ὥστ' ἤδη τὴν ὀργὴν χαλάσας, τοὺς σκήπωνας καταβάλλω.

ΣΚΉΠΤΕΤΑΙ: Προφασίζεται.

ΣΚΗΠΤΌΜΕΝΟΣ: Ἐπερειδόμενος, στηριζόμενος.

ΣΚΗΠΤΌΣ: Κεραυνὸς ἄνωθεν [u]διάπυρος. C

[x]Ὥσπερ τις λαίλαψ ἐπιθαλάττιος ἢ ῥαγδαῖος σκηπτὸς ἐξαπιναίως ἐπεφοίτησε.

Καὶ αὖθις·

Σκηπτοὶ τοίνυν κατηνέχθησαν, καὶ τὸ στρατόπεδον κατέπρησαν.

Καὶ αὖθις·

Νέφη συνέδραμε, καὶ [y]ὑετοὶ πολλοὶ καὶ σκηπτοὶ κατώλισθον.

ΣΚΗΠΤΟῦΧΟΣ: Βασιλεὺς [z]σκηπτροφόρος.

ΣΚῆΠΤΡΟΝ: Βασιλικὴ ῥάβδος. D

ΣΚΗΡΙΠΤΌΜΕΝΟΣ: Ἐπερειδόμενος, στηριζόμενος.

ΣΚΉΡΩΝ: Ὄνομα ἔθνους. Καὶ ΣΚΗΡΩΝΕΎΣ, ἐθνικόν.

ΣΚῆΤΙΣ, Σκήτεως. [a]Ὄνομα τόπου.

ΣΚΉΨΑΣ: [b]Ἐπιβαλὼν, ἐπιφέρων. [c]Σοφοκλῆς·

Ἐν δ' ὁ πυρφόρος θεὸς
σκήψας, ἐλαύνει λοιμὸς ἔχθιστος πόλιν. E

Καὶ σκηψαμένων τινῶν προδοσίαν ὁμογλώσσων τοῖς Σκύθαις, τοῖς καλουμένοις [d]Γρουθίγγοις.

---

[u] ὃς καλεῖται] ὃ καλεῖται A.V. Post θυμέλη conspicitur in A. talis figura □

[x] ΣΚΗΝΙΤΗΣ] Sic non solum legitur in ms. A. sed etiam in Anthologia Epigrammatum; unde sequens fragmentum depromptum est. At mss. B. et C. [et V. E.] itemque priores editt. habent σκηνήτης, per η: quod minus placet. KUST. F

[y] Αἰεί τοι λιπαρ.] Anthol. Pal. VII. 36.

ΣΚΗΝΙΤΗΣ: Ἰσοκρ.] Ex Harpocratione. KUST. Σκηνήτης B.V. et in seqq.

[z] Τραπεζιτικῷ] P. 365 C.

[a] ἐπώνυμον] ἐπωνύμιον A.B.E. Photius.

[b] ὡς εἰς] ὡς om. B.E.M. εἰς om. Harpocrat. ed. sed habet ms. Pal. Tum ἐπειδὴ Photius cum Harpocrat.

[c] ΣΚΗΝΗ] Σκηνὴν A.V. Photius. οὐδὲ γὰρ—ἐπήξατο om. V. G

[d] Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν] P. 650. KUST. 1031, 10. Reisk.

[e] σκιάδειον] σκιάδιον A.

[f] Χειμέριον νύκτα τηρ.] Fragmentum hoc legitur etiam supra v. Ἠθάδων. KUST.

[g] σκηνημάτων] σκηνωμάτων V.

[h] Καὶ ΣΚΗΝΙΤΗΣ] Seqq. om. A.

ΣΚΗΝΟΡΡΑΦΟΣ] Σκητοράφος A. ex em. Erat Σκηνοράφος. H

[i] δέρματα] τὰ δέρματα V.E. Tum ῥάπτων (συρ) A. qui ὁ τὰς σκηνὰς συρ. in marg. et alio in loco σκητορράφος δέ.

ΣΚΗΝΟΣ] Ex Ps. XIV. 1. ubi Theodoretus, σκήνωμα τὸν τοῦ Θεοῦ προσαγορεύει ναόν. ERNEST.

ΣΚΗΠΙΩΝ] Σκήπίων A.B.E. Σκιπιων V. et sic infra. Hunc locum Polybio tribuit Valckenærius. Sed vid. Polyb. XV. 5.

[k] εὐπρεπῆ] ἐκπρεπῆ A.B.V.E.

[l] Ἀννίβᾳ δὲ] Ἀννίβᾳ δὲ κάλλος A.V.

[m] ὍΤΙ ἄνδρες] Conf. Polyb. XV. 5. Appian. VIII. 39.

[n] τῶν Καρχηδονίων οἱ] τῶν om. A. Tum οἱ om. A.B.E. ὑπὸ Ἀννίβου post σταλέντες om. A. Mox ἐκπίπτουσιν M. F

[o] ὑποχωρεῖν] ἀποχωρεῖν B.V.E.

[p] ἔχει] ἔχοι A.V.

[q] ΣΚΑΠΑΝΙΟΝ] σκηπάνιον A.

[r] Ἦπου σοφὸς ἦν, ὃς ἔφ.] Aristoph. Vesp. 724. sed ubi versus secundus rectius sic legitur: Οὐκ ἂν δικάσαις· σὺ γὰρ οὖν νῦν μοι νικᾶν πολλῷ δεδόκησαι. KUST.

[s] τὸν μῦθον] τὸν om. A.B.V.E. Tum μύθων E.

[t] ἀκούσῃς] ἀκούσαις A. ἀκούσας B.V.E. Mox οὐ δ' V. pro σὺ δ'. G

ΣΚΗΠΤΕΤΑΙ] Vid. Ruhnken. ad Tim. p. 232. et not. ad Hesych.

ΣΚΗΠΤΟΜΕΝΟΣ] Vid. Il. ξ'. 457. et Schol. Tum delevi καὶ σκηριπτόμενος ὁμ. cum A. Vide infra.

[u] διὰ πυρὸς] Lego una voce, διάπυρος. KUST. Et sic Photius e corr.

[x] Ὥσπερ τις λαίλαψ ἐπιθ.] Fragmentum hoc excerptum est ex Theophylacti Simoc. lib. II. c. 7. KUST.

[y] ὑετοὶ] ὑετὸν V.

[z] σκηπτροφόρος] σκηπτοφόρος A.V. Sed σκηπτροφόρος Schol. Il. α'. 279. et Hesych. H

ΣΚΗΡΙΠΤΟΜΕΝΟΣ] Homer. Od. λ'. 594.

[a] Ὄνομα τόπου om. B.V.

[b] Ἐπιβαλὼν] ἐπιβάλλων A.V. Infra ἔχθιστον V.

[c] Σοφοκλῆς] Œdip. Tyran. 28. KUST.

[d] Γρουθίγγοις] Στρουθίγγοις V. Γρουθίγγοις B.E.

Σκῆψις: [e]Περικάλυμμα, πρόφασις, ἡ φροντὶς, ἀναβολή. Καὶ σκήπτομαι. Ἀριστοφάνης [f]Πλούτῳ·

Ναὶ σκήπτομαί γ', ὅταν τύχω.

Ἀντὶ τοῦ, προφασίζομαι. Καὶ [g]Σοφοκλῆς·

Ἀλλ' εἰσόρα, μὴ σκῆψιν οὐκ οὖσαν τίθης.

Σκῆψις: Πόλις ἐστὶν ἐν τῇ Τροίᾳ· ἧς μνημονεύει [h]Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους.

[Σκιά: Ζήτει ἐν τῷ Δεκάπους σκιά.

Σκιαγραφῶ: Αἰτιατικῇ.]

Σκιάδειον: [i]Κατασκεύασμά τι, [k]ὅπερ ἐφόρουν αἱ κανηφόροι ἀπιοῦσαι εἰς τὰ Ἐλευσίνια, [l]ἕνεκεν τοῦ μὴ καίεσθαι ὑπὸ τοῦ ἡλίου· ἢ ὅπερ ἡμεῖς [m]καμηλαύκιον λέγομεν.

Σκιαδείων: [n]Καρουχίων.

Σκιὰ θανάτου: Οἱ πρὸς θάνατον ἄγοντες κίνδυνοι.

Σκίαθος: Νῆσός ἐστι πλησίον Εὐβοίας, ἧς μέμνηται [o]Δημοσθένης ἐν Φιλιππικοῖς.

Σκιαμαχῶ: Ἐπὶ τῶν ἀδυνάτων. Τῇ σκιᾷ μάχομαι.

Σκιὰ ὀνείρων: Ἐπὶ τῶν ἀδήλων πραγμάτων. Δαμάσκιος·

Ὅταν ἀντὶ πραγμάτων γεγενημένων εἴδωλα ἄττα συγγραφώμεθα, σκιὰν ὀνείρων, κατὰ [p]Πίνδαρον.

Σκιάποδες: Ἐν Λιβύῃ ἔθνος, πλατεῖς ἔχον τοὺς πόδας· οἳ ἐν τῷ καύματι ἐκ τῶν ποδῶν ἑαυτοῖς σκιὰν ποιοῦσιν, παρὰ τὸν δυτικὸν ὠκεανὸν, πρὸς τῇ κεκαυμένῃ ζώνῃ.

A Σκιάποδες: Τούτους ἔχειν [q]βήματά φασι τοῦ παντὸς σώματος μείζονα. Διὰ δὲ τὸ μὴ ἔχειν οἴκους, ἀλλ' ὑπὸ τοῦ καύματος ἀναλίσκεσθαι, [r]τετραποδηδὸν βαδίζοντας, ἀνορθοῦν τὸν ἕτερον τῶν ποδῶν, καὶ [s]κατασκιάζειν τὸ λοιπὸν σῶμα. [t]Τοῦτο γὰρ αὐτοῖς ἐχαρίσατο ἡ φύσις, ἴσης οὔσης τῆς γῆς αὐτῶν, καὶ τραχείας, καὶ κατάδυσιν μὴ ἐχούσης εἰς ἀποφυγὴν τοῦ καύματος.

B Σκιάποδες: Ἀντιφῶν ἐν τῷ Περὶ Ὁμονοίας. Ἔθνος ἐστὶ Λιβυκόν. Κτησίας ἐν τῷ [u]Περίπλῳ Ἀσίας φησίν·

Ὑπὲρ δὲ [x]τούτων Σκιάποδες· οἳ τούς τε πόδας ὡς χῆνες ἔχουσι κάρτα πλατέας, καὶ ὅταν θέρμη ᾖ, ὕπτιοι ἀναπεσόντες, ἄραντες τὰ σκέλη, σκιάζονται τοῖς ποσί.

Σκιάς: Ἀναδενδράς. Σημαίνει δὲ καὶ [y]τὴν παρὰ Ἀθηναίοις λεγομένην θόλον.

C Σκιδνάμενος: Σκορπιζόμενος.

Σκιερά: [z]Ἀριστοφάνης·

Πάρες, ὦ σκιερά.

Σκίλλα: Εἶδος βοτάνης πικρᾶς καὶ θανατηφόρου τοῖς ἐσθίουσι.

Σκιμαλίσω: Ἐξουδενώσω, χλευάσω, [a]τῷ μικρῷ δακτύλῳ ὡς [b]τῶν γυναικείων πυγῶν ἅψομαι. Λέγεται
D [c]δὲ καὶ σκιμαλίζειν κυρίως, τὸ τῷ μικρῷ δακτύλῳ ἀποπειρᾶσθαι, εἰ ὠοτοκοῦσιν αἱ ἀλεκτορίδες.

[d]Δυοῖν ὑπερανακειμένοιν ἐν [e]πότῳ τοῦ Ζήνωνος, καὶ τοῦ [f]ὑπ' αὐτὸν τὸν ὑφ' ἑαυτὸν σκιμαλίζοντος τῷ ποδὶ, αὐτὸς ἐκεῖνον τῷ γό-

---

[e] Περικάλυμμα] παρακάλυμμα A. Schol. Soph. El. 584.

[f] Πλούτῳ] Ver. 905. ναὶ om. A.V.

[g] Σοφοκλῆς] El. 584. Mox τιθεὶς V.

ΣΚΗΨΙΣ: Πόλις ἐστὶν ἐν τῇ Τρ.] Ex Harpocratione. KUST.

[h] Δημοσθένης] P. 671, 8.

ΣΚΙΑ] Deest articulus A.V. Seq. art. om. V. Habet A. in marg. qui præterea, Σκιαγραφία: ἡ προτύπωσις.

ΣΚΙΑΔΙΟΝ: Κατασκ.] Aristoph. Av. 1508. Τουτὶ λαβών μου τὸ σκιάδειον ὑπέρεχε. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST. Σκηάδειον V. Σκιάδειον E.

[i] Κατασκεύασμα] κατασκεύασμα A. (σκο written above)

[k] ὅπερ ἐφόρουν αἱ κανηφόροι] Alibi tamen legas, non ipsas canistriferas, sed pedissequas earum in pompis sacris umbellas gestasse. Aristophanes in eadem fabula, v. 1549. Φέρε μοι σκιάδειον, ἵνα με κἂν ὁ Ζεὺς ἴδῃ Ἄνωθεν, ἀκολουθεῖν δοκῶ κανηφόρῳ. Scholiasta ad eum locum: Ταῖς γὰρ κανηφόροις σκιάδειον καὶ δίφρον ἀκολουθεῖ τις ἔχουσα. Quæ totidem verbis repetit Suidas v. Δίφρος. Confer Meursii Panathenæa, c. 23. KUST.

[l] ἕνεκεν] καὶ A.V.

[m] καμηλαύκιον] καμελαύκιον A.

ΣΚΙΑΔΕΙΩΝ] Σκιαδίων A. et Photius pr.

[n] Καρουχίων] Carrucha, i. e. currus tectus, vehiculum umbram faciens suo tegmine. cf. Meurs. Gloss. Καρροῦκα. REINES. Adde Du Cangium p. 594.

ΣΚΙΑ ΘΑΝΑΤΟΥ] Psalm. LXXXVII. 6. KUST. Ex Theodoreto ad Ps. XLIII. 20. ERNEST.

ΣΚΙΑΘΟΣ: Νῆσ.] Ex Harpocratione. KUST.

[o] Δημοσθένης] P. 49, 4.

ΣΚΙΑΜΑΧΩ] Vide Philostrat. p. 676. ubi σκιὰς γυμνάζεσθαι non intellexere interpretes. TOUP.

[p] Πίνδαρον] Pyth. VIII. 136. Σκιᾶς ὄναρ ἄνθρωποι. TOUP.

ΣΚΙΑΠΟΔΕΣ] Σκιόποδες V. qui mox σκαύματι σκιὰν ἐκ τῶν ποδῶν ἑαυτοῖς.

ΣΚΙΑΠΟΔΕΣ: Τούτους] Depromptus est hic locus ex Schol. ad Aristoph. Av. 1552. ubi vox ἴσης, non sine sententiæ dispendio, omittitur. Terra enim Sciapodum *plana* et sine refugio. Quæ causa fuit, ut natura pedes pro umbraculo dederit. Vide Nostrum infra, v.
E Τετραποδηδόν. TOUP. Desunt τετραποδηδὸν—ἴσης Schol. edd. vett. Scholiasten ex Suida supplevit Kusterus.

[q] βήματα—σώματος] βήματι—βήματος E.

[r] τετραποδηδὸν βαδ.] Confer Nostrum infra v. Τετραποδηδὸν, ubi hæc repetuntur. KUST.

[s] σκιάζειν] κατασκιάζειν A.B.V.

[t] Τοῦτο γὰρ] Seqq. in A. sic: τραχείας οὔσης τῆς γῆς καὶ μὴ ἐχούσης καταδύσεις· τοῦτο γὰρ αὐτοῖς ἐχαρίσατο ἡ φύσις εἰς ἀποφυγὴν τοῦ καύματος.

ΣΚΙΑΠΟΔΕΣ: Ἀντιφ.] Ex Harpocratione. KUST.

[u] Περίπλῳ] περὶ πόλεων A. Περίπλῳ sine τῷ Photius et
F Harpocrat. Ἀντιφῶν—σκιάποδες om. V.

[x] τούτων] τούτους E. τοῦτον Photius, qui mox in ms. οἷον τούς τε πόδας οἱ χ.

ΣΚΙΑΣ] Confer omnino Hesychium et Etymologum h. v. KUST.

[y] τὸν—λεγόμενον] τὴν—λεγομένην A.B.V.E. Photius. Vid. Harpocrat. v. Θόλος.

[z] Ἀριστοφάνης] Vesp. 754.

G ΣΚΙΜΑΛΙΣΩ——ὠοτοκοῦσιν] Ex Schol. Aristoph. Acharn. 443. Idem Enarrator ad Pac. 548. vocem σκιμαλίζειν sic explicat: Σκιμαλίσαι ἐστὶ κυρίως, τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου βαλεῖν. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὅταν βουλόμενοι ἐφυβρίσαι τινὰ, τὸν μέσον δάκτυλον ἐντείνοντες, δείξωσιν αὐτῷ. Confer etiam Suidam supra v. Ἐσκιμάλισε. KUST.

[a] τῷ μέσῳ δακτύλῳ] Hanc lectionem ex ms. A. revocavi. Antea enim minus recte legebatur, τῷ μικρῷ δακτύλῳ. Et sic paulo post. KUST. μικρῷ diserte utro-
H bique A.B.V.E. cum Schol. Aristoph. tum δακτυλίῳ Schol.

[b] τῶν] ὡς τῶν A.V. Schol.

[c] δὲ καὶ] δὲ om. E. καὶ om. A.E.

[d] Δυοῖν ὑπερανακειμένοιν ἐν π.] Hæc, et quæ sequuntur, sunt verba Laërtii in Zenone Citt. lib. VII. 17. ut Pearsonius observaverat. Pro ὑπερανακειμένοιν vero, ut legi-

*νατι. Ἐπιστραφέντος δὲ, Τί οὖν, οἴει, τὸν ὑποκάτω σου πάσχειν ὑπὸ σοῦ;* A

Σκίμπους: [g]Κράβατος· ἢ σκάμνος. Καὶ σκίμποδος. Ἱερὸν σκίμποδα φησὶν Ἀριστοφάνης ἐν Νεφέλαις, ἢ τὴν τῶν φιλοσόφων καθέδραν, ἢ τὸν κράβατον. Φασὶ δὲ σκιμπόδιον ἰδίως λέγεσθαι τὸ [h]χωλοκράβατον. Σκιμβάζειν γὰρ τὸ χωλαίνειν παρὰ τοῖς παλαιοῖς. Ἢ [i]τὸν σκαμβοὺς ἔχοντα πόδας.

Σκινδάλαμοι: Τὰ τῶν καλάμων ἀποξύσματα, ἢ σκόλοπες. Ἡ ἐπεξεργασία τῶν ἀκριβῶν. B

Σκινδάλαμοι: Τοῦτο δὲ ἐπὶ μὲν εὐθείας, ὀξύνεται· ἐπὶ δὲ τῶν πλαγίων, παροξύνεται. Σκινδαλάμους οὖν, λεπτολογίας. [k]Ἀριστοφάνης Νεφέλαις·

*Λόγων ἀκριβῶν σκινδαλάμους μαθήσομαι.*

Καὶ, [l]Σκινδαλμῶν παραξόνια. [m]Σκινδαλμὸς δὲ κυρίως, τὸ [n]περὶ τὸν φλοιὸν τοῦ καλάμου ξέσμα. C Παραξόνια δὲ, οἷον κινδυνώδη καὶ παράβολα, [o]περὶ τὸν τροχὸν ἑλκόμενα.

Σκινδαψός: Ὄργανον μουσικόν. Περὶ Ζήνωνος τοῦ Κιτιέως·

*[p]Ὁ δ᾽ ἔρρει γύργαθος αὐτοῦ*
*μικρὸς ἰών· νοῦν δ᾽ εἶχεν ἐλάσσονα σκινδαψοῖο.*

Σκινδαψὸς, [q]ἀφάνα. D

Σκινθίζεται: Λακτίζεται.

Σκιόεις, σκιόεντος κλίνεται. Καὶ σκιόεντα, τὰ [r]σύσκια.

Σκιόθηρα: Εἶδος πλοίου.

Σκιώνην:

*[s]Ἦ μοι κρεῖττον ἦν*
*τηρεῖν Σκιώνην ἀντὶ τούτου τοῦ πατρός.*

Σκιωρεῖται: Λόχος ἀνδρῶν χ´ [t]Ἀρκαδικὸς, ὁ ἀρχόμενός τε ἐν τοῖς [u]πολέμοις, καὶ τελευταῖος ἀναχωρῶν.

[Σκιπίων: [x]Οὗτος στρατηγὸς γέγονε Ῥωμαίων, ὃς χρησμὸν εἴρηκεν, οὐ λόγον. Καὶ γὰρ μετὰ τὴν
B τῆς Καρχηδόνος καθαίρεσιν θαρσούντων Ῥωμαίων, ὡς ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ τὸ λοιπὸν διάξονται τοῦ χρόνου, παρελθὼν εἰς μέσους, Νῦν μέντοι χρὴ νομίζειν, ἔφη, πολέμων ἀρχὰς τὰ παρόντα· κινδυνεύσομεν γὰρ μήτε οὓς φοβήσομεν, μήτε οὓς φοβηθῶμεν ἀπολελοιπότες. Ἀλλὰ Ῥωμαίοις μὲν, καὶ Καρχηδονίων ἀνῃρημένων, ἐπικλυσθέντες ἕτεροι πόλεμοι πρὸς τὸ σωφρονεῖν [y]ἤρκεσαν.

C [z]*Τῷ γὰρ βασιλεῖ ἐς ἄδειαν προσελθόντι τοῦ ποιεῖν ὅ τι ἂν βούληται, παράλογοί τινες ἀρχαὶ παθῶν τὴν ψυχὴν [a]ὑπολαβοῦσαι, πρὸς ὑπερορίους ἔτι καὶ ἀτοπωτέρας ὁρμάς τε καὶ ἐνεργείας τὴν ὅλην βασιλείαν ἐξέωσαν.*]

Σκίρρα: Γῆ λευκὴ, ὥσπερ γύψος.

Σκίπωνος: Τῆς ῥάβδου. Καὶ σκίπτωνος.

Σκιράδος: Τῆς Ἀθηνᾶς.

D Σκιραφεῖον: Κυβευτήριον. Ἐπειδὴ διέτριβον [b]ἐν Σκίρῳ οἱ κυβεύοντες, ὡς Θεόπομπος.

Σκίρρον:

*[c]Κυνῶν ἁπάντων [[d]ἄνδρα] μονοφαγίστατον,*

---

tur etiam apud Laërtium, sensus suadet, ut scribatur ὑπανακειμένοιν. KUST. Ita fere Menagius.

[e] πότῳ] πόντῳ B.E. suprasc.

[f] ὑπ᾽ αὐτὸν] ὑφ᾽ αὐτὸν A. Tum τὴν B.E. σκιμαλίζοντες E. ἐκείνων E. Mox οὖν om. A. Dein εἴη τῶν E. ὑπὸ κάτω A. παράσχειν V.

ΣΚΙΜΠΟΥΣ: Κράβ.] Eadem fere leguntur apud Schol. Aristoph. Nub. 254. KUST.

[g] Κράβατος] κράββατος A.B.V. (cum Photio) et mox κράββατον.

[h] χωλοκράβατον] χωλοκράββατον A.V. χωλὸν κραβάτιον Schol.

[i] τὸν] τὸ E.

[k] Ἀριστοφάνης Νεφέλαις] Ver. 130.

[l] ΣΚΙΝΔΑΛΜΩΝ ΠΑΡΑΞΟΝΙΑ] Aristoph. Ran. 835.

[m] ΣΚΙΝΔΑΛΜΟΣ: Δὲ] δὲ om. A.

[n] περὶ] παρὰ Schol.

[o] περὶ] παρὰ V. Mox πύργαθος V. et in v. seq. σκινδαψοῖς A.V.

[p] Ὁ δ᾽ ἔρρει γύργ.] Est fragmentum Timonis sillographi, quod exstat apud Laërtium in Zenone Citt. lib. VII. segm. 15. unde id Suidas mutuatus est. Ibi autem G rectius sic legitur: Ὁ δ᾽ ἔρρει γύργαθος ὥς τις, Μικρὸς ἐὼν, &c. Vide ibi interpretes. KUST.

[q] ἀφάνα] Potius, ἀφάννα. Vide Stephanum Byzantium v. Ἀφάνναι. KUST. Vid. Salmas. ad Trebell. Poll. p. 283 E. HEMST. Cangius: Ἄφανα genus plantæ similis hederæ.

[r] σύσκια] τὰ σύσκια A.

ΣΚΙΩΝΗΝ] Σκιώνη A.

[s] Ἦ μοι κρεῖττ.] Aristoph. Vesp. 210. τούτου om. M.

ΣΚΙΩΡΕΙΤΑΙ] Hi Σκιρῖται appellantur a Xenophonte, H Thucydide, et Diodoro Siculo: quæ lectio præferenda est. Hesychius: Σκειρίτης λόχος, οὕτω καλούμενος, ὁ προκινδυνεύων. Ἦν δὲ Ἀρκαδικός. Etymologus: Σκίρτης λόχος, ἀνδρῶν ἑξακοσίων, οἱ αὐτοὶ καθ᾽ αὑτοὺς ἐστρατεύοντο, καὶ οὐχ ἅμα τοῖς ἄλλοις Λακεδαιμονίοις. Scribe Σκιρίτης. Confer Meurs. Lect. Attic. lib. I. c. 16. KUST. Gl. Timæi est, ubi vid. Ruhnkenius.

[t] Ἀρκαδικός] Imo, Λακωνικός. Sciritarum enim cohorte E Lacedæmonios olim usos fuisse, scriptores uno ore testantur. Scholiasta Thucydidis ad lib. V. c. lxvii. Σκιρῖται. Λόχος Λακωνικὸς οὕτω λεγόμενος. Vide Meursium loco laudato. KUST. Mutari nihil opus est: quamvis enim Lacedæmoniorum hæc sit cohors, jure tamen dici potest Ἀρκαδικός: nam Σκίρος, notante Stephano, Ἀρκαδίας κατοικία. HEMST.

[u] πολέμοις] πολεμίοις A.B.V.E. Phot. ms.

ΣΚΙΠΙΩΝ] Deest hic articulus A. qui tantum in marg. Σκιπίων στρατηγὸς Ῥωμαίων. Ὃς χρησμὸν—Ῥωμαίων
F om. B.E. ἐν ante εἰρήνῃ om. V.

[x] Οὗτος στρατηγὸς γέγ.] Confer Nostrum infra v. Χρησμὸς, ubi eadem leguntur. KUST.

[y] ἤρκεσαν] αὐτοὺς addunt B.V.E.

[z] Τῷ γὰρ βασιλεῖ εἰς ἄδ.] Quid hæc ad v. Σκιπίων faciant, haud sane video. KUST.

[a] ὑπολαβοῦσαι om. V.

ΣΚΙΡΡΑ] Schol. Aristoph. Vesp. 921. Λέγεται καὶ γῆ σκιρρὰς, λευκή τις ὡς γύψος: Notavit Abreschius. Hanc G gl. habet A. in marg.

ΣΚΙΠΩΝΟΣ] Σκήπωνος A.

ΣΚΙΡΑΔΟΣ] Gl. om. A. Vid. mox Σκίρον.

ΣΚΙΡΑΦΕΙΟΝ: Κυβευτ.] Ex Harpocratione: sed apud quem pro ἐν Σκίρῳ legitur ἐν Σκίρωνι; minus recte. Stephanus Byzantius v. Σκίρος: Τὸ σκιράφιον δηλοῖ τὸν τόπον, εἰς ὃν οἱ κυβισταὶ (scribe, κυβευταὶ) συνίασι. Καὶ ὁ σκιροφόρος σημαίνει τὸν ἀκόλαστον καὶ κυβευτὴν, ἀπὸ τῶν ἐν Σκίρῳ διατριβόντων. Vide etiam Pollucem, et Eustath. ad Odyss. p. 1397, 25. KUST. Vid. Isocrat. Areop. p. 149 C.
H necnon de Antid. p. 491 s. 306. ed. Bekker. Ceterum Σκύρῳ præbet Harpocr. ms. Pal.

[b] ἐν Σκύρῳ] ἐν om. A.E. κίρῳ M.

ΣΚΙΡΡΟΝ] Confer Hesych. v. Σκεῖρος. KUST. Σκίρον A.B.

[c] Κυνῶν ἁπάντων ἄνδ.] Aristoph. Vesp. 918.

[d] ἄνδρα om. A.V.E.

> ὅστις περιπλεύσας τὴν θυείαν ἐν κύκλῳ,
> ἐκ τῶν πέλεων τὸ σκίρρον ἐξεδήδοκε.

[[e]Τουτέστι, τὸ ῥυπῶδες τὸ ἐπὶ τῶν τυρῶν.]

Σκιρρόν: Τὸ ξηρόν.

Σκίρον: [f]Σκίρα, ἑορτὴ παρ' Ἀθηναίοις, ἀφ' ἧς καὶ ὁ μὴν Σκιροφοριών. Φασὶ δὲ οἱ γράψαντες περί τε μηνῶν καὶ ἑορτῶν τῶν [g]Ἀθήνησιν, ὡς τὸ σκίρον σκιάδειόν ἐστι, μεθ' οὗ [h]φερόμενοι ἐξ ἀκροπόλεως εἴς τινα τόπον, καλούμενον Σκίρον, πορεύονται ἥ τε τῆς Ἀθηνᾶς ἱέρεια, καὶ ὁ τοῦ Ποσειδῶνος ἱερεὺς, καὶ ὁ τοῦ Ἡλίου. Κομίζουσι δὲ [i]τοῦτο Ἐτεοβουτάδαι. Σύμβολον δὲ τοῦτο γίνεται τοῦ δεῖν οἰκοδομεῖν καὶ σκέπας δὲ ποιεῖν, ὡς τούτου τοῦ χρόνου ἀρίστου ὄντος πρὸς οἰκοδομίαν· καὶ Ἀθηνᾶν δὲ Σκιράδα τιμῶσιν Ἀθηναῖοι, ἣν Φιλόχορος μὲν ἐν β' Ἀτθίδος ἀπὸ Σκίρου τινὸς Ἐλευσινίου μάντεως κεκλῆσθαι· Πραξίων δὲ, ἐν β' Μεγαρικῶν, ἀπὸ Σκίρωνος.

Σκίρος: [k]Σκιάδειον. Ἑορτή τις ἀγομένη τῇ Ἀθηνᾷ, ὅτε σκιαδείων ἐφρόντιζον ἐν ἀκμῇ τοῦ καύματος. Σκίρα δὲ, τὰ σκιάδεια. Οἱ δὲ οὐ διὰ τοῦτό φασιν, ἀλλὰ διὰ τὴν ἀπὸ Σκίρων Ἀθηνᾶν, ἣν Θησεὺς ἐποίησεν, ὅτε ἐπανῄει [l]ἀποκτείνας τὸν Μινώταυρον. Ἡ σκίρα δέ ἐστι γῆ λευκὴ, ὥσπερ γύψος. Οἱ δὲ φασὶν ἀπὸ Σκίρου τοῦ [m]Ἐλευσινίου μάντεως γενέσθαι τὴν ἐπωνυμίαν ταύτην. Ἄλλοι δὲ, ἀπὸ Σκίρου τοῦ συνοικίσαντος Σαλαμῖνα.

Σκίρρος: Ὁ γύψος.

Σκιροφοριών: Μὴν Ἀθηναίων δωδέκατος. Ὠνομάσθη δὲ ἀπὸ τῆς Σκιράδος Ἀθηνᾶς. Ζήτει ἐν τῷ Διὸς κώδιον.

Σκίρωμα: Πάθος περὶ τὸ ἧπαρ ἀνίατον. Ὅθεν καὶ ἧπαρ [n]τὸ σκιρωθὲν τῇ πάθους ἀχθηδόνι.

[Σκιρτάλος: Ὅτι Διογένης ὁ Σινωπεὺς γηραιὸς γεγονὼς ὑπὸ πειρατοῦ Σκιρτάλου ἐλήφθη.]

Σκίταλοι: Παρὰ Ἀριστοφάνει οἱ εὐτελεῖς καὶ
A πονηροί. Ἦν Σκίτων κναφεύς τις, καὶ εὐτελὴς, ἐπὶ πονηρίᾳ κωμῳδούμενος. [o]Ἀριστοφάνης·

> Ἄγε δὴ σκίταλοί τε, καὶ [p]φένακες, ἦν δ' ἐγὼ,
> [q]Βερέσχεθοί τε, καὶ κόβαλοι, καὶ μόθωνες,
> ἀγορά τ', ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην ἐγώ·
> νῦν μοι [r]θράσος καὶ γλῶτταν εὔπορον δότε,
> φωνήν τ' ἀναιδῆ.

[s]Ὠνοματοποίησεν ἀναπλάσας δαίμονάς τινας ἀναιδεῖς
B ἐπὶ χλεύῃ, καὶ [t]προφέρεται αὐτὰ ὡς θεῶν· οἷον προτρεπόμενος αὐτὸν καὶ [u]θαρσύνων εἰς εὐτολμίαν καὶ ἀναίδειαν. Σκίταλοι μὲν οὖν, οἱ εὐτελεῖς καὶ πονηροί· ἦν γὰρ Σκίτων κναφεύς τις ἐπὶ πονηρίᾳ κωμῳδούμενος. Βερέσχεθοι δὲ, οἱ ἀνόητοι· πέπλασται [x]δὲ ἡ λέξις. Κοάλεμοι δὲ, οἱ ἀνόητα κοοῦντες καὶ νοοῦντες. Μόθων δὲ, ὁ εὐτελής. Μόθωνας γὰρ ἐκάλουν οἱ Λάκωνες τοὺς παρεπομένους τοῖς ἐλευθέροις. Ἔστι καὶ
C γένος ὀρχήσεως. Τὸ δὲ, ἦν δ' ἐγὼ, ἀντὶ τοῦ, ἔφην δὲ ἐγὼ, ὡς παρὰ Πλάτωνι.

Σκίφη:

> [y]Καί τινος ποιητοῦ τοὺς στίχους ἔφη Κράντωρ ὁ φιλόσοφος σκίφης εἶναι μεστούς.

Σκίφος: Τὸ ξίφος.

Σκὶψ καὶ σκνίψ: Εἴδη ζωϋφίων. Καὶ αἱ σκνί-
D πες.

Σκλαβηνόν: Ἔθνος τὸ πέραθεν τοῦ Ἴστρου.

Σκληρὰ βροντή:

> Καὶ ἐν τούτῳ βροντάς τε σκληρὰς κτυπεῖν, καὶ [z]ὕδωρ λαβρὸν ἐξ οὐρανοῦ ἐμπίπτον χαλάσαι τοῖς βαρβάροις τὰς νευράς.

Σκληρᾶς ἀοιδοῦ: Τῆς Σφιγγός. Τουτέστι, τῆς δυσκόλου, διὰ τὸ αἴνιγμα. Ἢ τῆς φοινικῆς.

> Ὅς γ' ἐξέλυσας ἄστυ Καδμεῖον μολὼν
> E σκληρᾶς ἀοιδοῦ δασμὸν, ὃν παρείχομεν.

Σκληραύχενας: Ἀκαμπεῖς.

Σκληροί: Αἰλιανός·

[e] [Τουτέστι] Hæc om. A.V.E.B. Sed leguntur apud Scholiastem. τῷ τυρῷ M.

ΣΚΙΡΟΝ] Schol. Aristoph. Eccl. 18. HEMST.

[f] Σκίρα, ἑορτὴ παρ' Ἀθ.] Ex Harpocratione. Confer Meurs. in Græc. Fer. v. Σκίρα. KUST.

[g] Ἀθήνησιν] τῶν Ἀθήνησιν A.V.E. Photius. Tum σκιάδειον B.V.E. Photius.

[h] φερόμενοι] φερομένου ed. Photii, ubi ms. φερομένῳ.

[i] τοῦτο] δὲ τοῦτο A.B.V.E. Phot. Mox σύμβουλον A.E. pr. M.

ΣΚΙΡΟΣ] Sic rectius mss. Paris. [et Photius] quam priores editt. quæ habent σκίρις. KUST.

[k] Σκιάδιον] σκιάδειον B.V.E.

[l] ἀποκτείνας] ἀποκτεῖναι B.E. Supra ἐποίησεν om. E.

[m] Ἐλευσινίου] Ἐλευσίου A.B.

ΣΚΙΡΡΟΣ] Vid. Ἐνεσκιρρώθη. TOUP. Hanc gl. habet A. in marg.

ΣΚΙΡΟΦΟΡΙΩΝ] Schol. Platon. p. 231. Deest A.

ΣΚΙΡΩΜΑ] Deest A.V. Vid. supra in v. Σκειρωθέντος.

[n] τὸ σκιρρωθὲν] ἀποσκιρρωθὲν οὕτω σκιρρωθὲν E.

ΣΚΙΡΤΑΛΟΣ] Hæc A. in marg. om. V. Vide supra p. 1005 A.

[o] Ἀριστοφάνης] Equit. 631. Ἀριστοφάνης om. E.

[p] φένακες] φεόνακ V.

[q] Βερέσχεθοί τε, καὶ K.] Versus hic claudicat, quem Bisetus sic in ordinem redigit, Βερέσχεθοί τε, καὶ Μόθωνες, καὶ κόβαλοι. Sed nec sic metro satis consuluit, quoniam syllaba secunda in κόβαλοι longa est; ut patet ex alio versu Aristophanis in Equit. 415. Καὶ νὴ Δί', ἄλλα γ' ἐστί μου κόβαλα παιδὸς ὄντος. Quare scribendum est, Βερέσχεθοί τε, καὶ Κόβαλοι, καὶ Μόθων. Certe Scholiastam hic legisse Μόθων, non vero Μόθωνες, ex ejus interpretatione patet. KUST. Βερέσχελοι B.E. Ver. seq. ἐγὼ om. A. V.E.M.

F [r] θράσος] θράσος τε A.V.E. Ver. seq. τ' om. A.

[s] Ὠνοματοποίησεν] ὠνοματοποιήσας V.

[t] προφέρεται αὐτὰ] προσφέρεται αὐτὰς A.

[u] θρασύνων] θαρσύνων A. Qui mox post πονηροί addit, ἦν γὰρ σκίτων κναφεύς τις καὶ εὐτελὴς ἐπὶ πονηρίᾳ κωμῳδούμενος.

[x] δὲ] γὰρ A. Mox δὲ E. pro γάρ.

ΣΚΙΦΗ] Quid vox ista significet, non constat, Grammaticis de ea tacentibus. KUST. σκίφης interpretatur Kuhnius μικρολογίας et minutiarum, probante Hemster-
G husio ad Aristoph. Plut. p. 191.

[y] Καί τινος ποιητοῦ τοὺς στ.] Hæc sunt verba Laërtii in Crantore, segm. 27. KUST.

ΣΚΙΦΟΣ] Delevi statim Ὁ παρ' ἡμῖν λεγόμενος σκνιπός. Ἢ cum A.V. Vide Hesychium.

ΣΚΝΙΨ] κνὶψ V. qui statim εἶδος ζωϋφίου.

ΣΚΛΑΒΗΝΟΝ] Menander Hist. BURN. Deest gl. A.

ΣΚΛΗΡΑ ΒΡΟΝΤΗ] Arrian. Exped. pag. 50. Peripl. p. 116. TOUP. Joseph. A. J. II. 16, 3.

[z] ὕδωρ] ὕδωρ λαβρὸν A.B.V.E. In fine νεβράς V.

H ΣΚΛΗΡΑΣ ἈΟΙΔΟΥ: Τῆς Σφιγγ.] Ex Schol. Sophocl. Œdip. Tyr. 35.

ΣΚΛΗΡΟΙ: Αἰλιανός· Οἱ ἄν.] Locum hunc ex mss. supplevi. Ante enim legebatur, Σκληροί τε καὶ ἐχθροὶ παραχρῆμα, &c. Ceterum, fragmentum hoc Æliani ampliari potest ex ipso Suida supra v. Ἐστόρεσεν: quem locum confer. KUST.

Οἱ ἄνεμοι οἱ σκληροί τε καὶ ἐχθροὶ παραχρῆμα [a]ἐκόπασαν· τὸ δὲ κῦμα ἐστορέσθη.

Καὶ παροιμία·

[b]Σκληρότερον ὑλακτῶν Ἠπειρώτου κυνὸς, συμφορὰς προσετρίβετο, καὶ [c]ἐμεμήνει.

[Σκληρόκηροι δέλτοι, αἳ μόλις μὲν γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα.]

Σκληφρός: Ὁ σκληρὸς καὶ παρηβηκὼς, ὁ τὰ σκληρὰ φέρειν δυνάμενος.

B Σκνίψ: Ζῶον κωνωπῶδες.

[d]Καὶ σκνίπες [dd]ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.

Καὶ παροιμία· [e]Σκνὶψ ἐκ [f]χώρας. Ἐπὶ τῶν ταχὺ [g]μετακινούντων ἡ παροιμία. Ἔστι γὰρ ὁ σκνὶψ ζῶον μικρὸν ξυλοφάγον.

Σκοΐπας: Ὄνομα κύριον, [καὶ [h]Σκόπας.]

Σκολιά:

C [[i]Σκολιῶν] Μελήτου, Καρικῶν αὐλημάτων.

Ὁ Μέλητος οὗτος [k]τραγικὸς ἦν ποιητὴς, ὁ Σωκράτην γραψάμενος. Κωμῳδεῖται δὲ ὡς ψυχρὸς ἐν τῇ ποιήσει, καὶ ὡς πονηρὸς τὸν τρόπον. Τὰ δὲ Καρικὰ αὐλήματα, μέλη θρηνώδη ἐστί.

Σκολιόν: Ἡ παροίνιος ᾠδή. Ὡς μὲν Δικαίαρχος ἐν τῷ Περὶ μουσικῶν ἀγώνων, [l]ὅτι [m]τρία γένη ἦν ᾠδῶν· τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ' ἕνα ἑξῆς· τὸ δ' ὑπὸ τῶν συνετωτάτων, ὡς ἔτυχε, τῇ τάξει· ὃ δὴ καλεῖσθαι διὰ τὴν τάξιν σκολιόν. Ὡς δ' Ἀριστόξενος

A καὶ Φύλλις ὁ μουσικὸς, ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες, παρὰ μέρος ἑξῆς [n]μυρρίνας ἔχοντες ᾖδον γνώμας καὶ ἐρωτικὰ σύντονα. Ἡ δὲ περίοδος σκολιὰ [o]ἐγίνετο, διὰ τὴν [p]θέσιν τῶν κλινῶν.

Σκολιόν: Ὑπόμνημα ἔγραψεν Τυραννίων περὶ τοῦ σκολιοῦ μέτρου, ὃ [q]προετέθη αὐτῷ ὑπὸ Γαΐου Καίσαρος.

B Σκολιόν: [r]Τὸ ῥᾴδιον, κατ' ἀντίφρασιν. Μέλος τι ὀλιγόστιχον.

[s]Τῶν ἀγαθῶν τῶν ἀνθρωπικῶν τὸ μὲν πρεσβύτερον, τὸ δὲ, δεύτερον· ὡς καὶ [t]Πλάτων φησὶ, καὶ [u]τὸ Σκολιὸν ᾄδει.

Οἷον πλοῦτος, καὶ ὑγίεια.

Σκολιόν: Τιμοκρέων ὁ Ῥόδιος, [x]ἐποποιὸς, τοιοῦτον ἔγραψε σκολιὸν κατὰ τοῦ πλούτου, οὗ ἡ ἀρχή·

[y]Ὤφελες, ὦ τυφλὲ Πλοῦτε,
C μήτε ἐν γῇ, μήτε ἐν θαλάττῃ,
μήτε ἐν ἠπείρῳ φανήμεναι·
ἀλλὰ Τάρταρόν τε ναίειν,
κἀχέροντα· διὰ σὲ γὰρ πάντ'
ἐν ἀνθρώποις κακά.

Τούτοις ἔοικε τὰ ὑπὸ Περικλέους εἰσηγηθέντα. Ἔγραψε γὰρ ψήφισμα [z]τοιοῦτον ὁ Περικλῆς· Μεγαρέας μήτ' ἀγορᾶς, μήτε θαλάττης, μήτ' ἠπείρου μετέχειν· [a]ὅμοια τιθεὶς [b]σκολιὰ τοῖς τοῦ Τιμοκρέοντος.

D Καὶ αὖθις·

Νόμους ἐτίθει ὥσπερ σκολιὰ γεγραμμένους.

ib. ΣΚΛΗΡΟΙ—ἄνεμοι οἱ σκληροὶ habent B.E.M. tanquam alia gl. post v. Σκληρόκηροι. Deest caput glossæ A. Σκληροὶ—ἄνεμοι om. V.

[a] ἐκόπασαν] Ælianum imitari Herodotum monet Valckenærius. Vid. Wesseling. ad eum scriptorem VII. 191.

[b] Σκληρότερον ὑπάρχων] Male Synesium exscripsit lib. De Providentia [p. 92 D.] cujus hæc sunt: Ὁ γέ τοι χαῦνος εὐθὺς ἐμεμήνει, καὶ σκληρότερον ὑλακτῶν Ἠπειρώτου κυνὸς συμφορὰν προσετρίβετο τὴν μὲν ἰδιώτῃ, τὴν δὲ οἰκίᾳ. SCHOTT. Vide et H. Junii Adag. V. 14.

[c] ἐμεμήνει] ἐμεμηνίνει A. Supra συμφορᾶ ἐπετρίβετο M.

ΣΚΛΗΡΟΚΗΡΟΙ Δ.] Ex Laërtio VII. 37. VALCK. Hunc art. præbet A. in marg. Et forte huc invectus est ex p. 885 D.

ΣΚΛΗΦΡΟΣ] Ex Timæo p. 233. ubi vid. Ruhnkenius. Statim delevi Ἐκωμῳδοῦντο οἱ Ἀχαρνεῖς ὡς ἄγριοι καὶ σκληροί. Καὶ ζήτει ἐν τῷ ΔΡΑΧΑΡΝΕΥ, cum A.V.

ΣΚΝΙΨ] Σκὶψ A. Vid. Lobeck. ad Phrynich. p. 400.

[d] Καὶ σκνίπες ἐν τοῖς ὁρίοις αὐτῶν] Hæc sunt verba Davidis, Psalm. CIV. 31. secundum versionem LXX. Interpretum. KUST.

[dd] ἐν τοῖς] ἐν πᾶσι τοῖς A.V.

[e] ΣΚΙΨ 'ΕΚ Χ.] Confer Erasm. Adag. III. 2, 15. REINES. Adde Zenob. V. 35.

[f] ΧΩΡΑΣ] χώρας αὐτῶν V.

[g] μετακινούντων] μεταπηδώντων Photius.

[h] ΣΚΟΠΑΣ] Scopas Cranonius dives et amicus Simonidis poetæ Cei, Κρέοντος καὶ Ἐχεκρατίας υἱὸς, Schol. Theocrit. XVI. 36. et Athen. X. p. 438. Ælian. V. H. XII. 1. Scopas Cranonius Socratem ad se vocavit, qui venire renuit. Diog. Laërt. in Socr. II. 5. Scopas Parius ex ære in Elide fecit Venerem πάνδημον Pausan. in Att. et Nat. Com. Myth. VII. REINES. Καὶ Σκόπας om. A.B.V.

[i] Σκολιῶν Μελίτου] Aristoph. Ran. 1337. sed ubi minus recte legitur,——καὶ Καρικῶν αὐλημάτων. Particula enim καὶ, ut superflua et metro versus repugnans, expungenda est. KUST. Σκολιῶν om. A.B.V.E. Tum Μελήτου A. et mox Μέλητος.

[k] τραγικὸς ἦν] ἦν om. A.V.

ΣΚΟΛΙΟΝ: Ἡ παροίνιος ᾠδή. Ὡς μὲν Δικ.] Hæc omnia etiam leguntur apud Scholiastam Aristophanis loco citato. KUST. Et Schol. Platon. p. 103.

[l] ὅτι τρία γένη ἦν ᾠδῶν] Confer omnino Athen. lib. XV. p. 694. KUST.

[m] τρία γένη] Vid. Plutarch. in Sympos. 1. qui hæc omnia plenius tradit, et Athen. XV. c. 14. ibique Casaub. REINES.

[n] μυρσίνας] μυρρίνας A.V. μυρίνας E.

[o] ἐγίνετο] ἐγένετο A. Schol. Platon.

[p] θέσιν τῶν κλινῶν] σύνθεσιν τῶν κλινῶν ἐπὶ οἰκημάτων πολυγωνιῶν οὐσῶν· καὶ τούτῳ καὶ τὰς ἐπ' αὐτὰς κατακλίσεις παραβύστους γίνεσθαι. Οὐ διὰ τὴν μελοποιΐαν οὖν, διὰ δὲ τὴν μυρρίνης σκολιὰν διάδοσιν, ταύτῃ καὶ τὰς ᾠδὰς σκολιὰς καλεῖσθαι. Schol. Platon.

[q] προετέθη] προετάθη A.V. Hinc Santenius ad Terent. Maur. p. 91. conj. προσετάχθη. Sed cum vulg. consentit Schol. Aristoph.

[r] Τὸ ῥᾴδιον, κατ' ἀντίφρασιν] Negat hoc Proclus apud Photium, Cod. CCXXXIX. p. 988. KUST. Usque ad ὀλιγόστιχον Schol. Aristoph.

[s] Τῶν ἀγαθῶν τῶν ἀνθρ.] Hæc leguntur etiam supra v. Ἀρχίας: ubi Nos vide. KUST.

[t] Πλάτων φησί] In Gorgia, p. 283. KUST.

[u] τὸ Σκολιὸν ᾄδει] Verba ipsa Scolii habes apud Athenæum loco ante laudato. KUST.

ΣΚΟΛΙΟΝ: Τιμοκρέων ὁ Ῥόδ.] Ex Schol. Aristoph. Acharn. 531. KUST. Mox τὸ ante σκολιὸν om. A.

[x] ἐποποιὸς] μελοποιὸς Schol. μελῶν ποιητὴς Suidas infra.

[y] Ὤφελες. Ὦ τυφλὲ πλ.] Scolium hoc Timocreontis in divitias legitur etiam apud Schol. Aristoph. Ran. 1337. Ejusdem quoque meminit Isidorus Pelusiota lib. II. Epist. 146. p. 173. sic inquiens: Ἔθος γὰρ ἦν παλαιὸν, μετὰ τὴν συνεστίασιν ἅπτεσθαι λύρας, καὶ ᾄδειν· Ἀπόλοιο, ὦ πλοῦτε, καὶ μήτε ἐν γῇ φανείης, μήτε ἐν θαλάσσῃ. KUST.

[z] τοιοῦτο] τοιοῦτον A.V.E.

[a] ὅμοια τιθεὶς σκολιὰ τοῖς τοῦ Τιμ.] Locus hic ita scribendus est, Ὁμοίους τιθεὶς νόμους τοῖς σκολιοῖς τοῦ Τιμοκρέοντος. Φησὶ γὰρ Ἀριστοφάνης· Νόμους ἐτίθει, &c. KUST. Scholiastes: ἐπεὶ οὖν ὅμοια τοῖς Τιμοκρέοντος ἔγραψε, διὰ τοῦτο εἶπεν, ἐτίθει νόμους ὥσπερ.

[b] σκολιὰ—ἐτίθει om. V.

Περὶ Περικλέους. [c]Ὃς ἦν Ῥόδιος, [d]καὶ μελῶν ποιητής. Καὶ σκολιὸς, ὁ πανοῦργος.

Σκολόπενδρα: Ἑρπετόν.

Σκόλοψ: Ξύλον ὀξύ. [e]Καὶ οἱ τῶν [f]φοινίκων. [g]Σκόλοψ αὐτοῖς καὶ σχοῖνος ἀντεμπαγῶ. Παροιμία. Σχοῖνος, εἶδος φυτοῦ, κατὰ τὸ ἄκρον ὀξέος. Λέγει οὖν, ὅτι τρώσω αὐτοὺς ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρός. Ἐπειδὴ [h]εἰώθασι σκόλοπας ἐγκρύπτειν ἐν ταῖς B ἀμπέλοις, ἵνα μηδεὶς ἐξ ἐπιδρομῆς καὶ [i]εὐχερῶς κακουργῇ. Σκόλοψ αὐτοῖς καὶ σχοῖνος ἀντεμπαγῶ· ἵνα μηκέτι [k]πατῶσι τὰς ἀμπέλους τὰς ἐμάς.

Καὶ τοὺς σκόλοπας, οἳ ἀνεῖχον ἀπὸ τῆς ὑλοτομίας, προσεκκόπτειν, καὶ τὰ ἐδάφη ὁμαλίζειν.

Σκολύθρια: Ὑποπόδια.

Σκόλυθρον: Σκνιπὸν, καὶ ἀνελεύθερον.

Σκομβρίζει: Γογγύζει.

C Σκομβρίσαι: Παρὰ Ἰόβᾳ ἐν [l]δευτέρῳ [m]φθορᾶς λέξεως [n]παιδιᾶς ἀσελγοῦς εἶδος ἀποδίδοται, καὶ κατὰ τὸ ἦτρον πλατεῖ τῷ ποδὶ πλήσσοντος, ὡς ψόφον ἐργάσασθαι.

Σκόπας, Αἰτωλῶν στρατηγὸς, ὃς ἀποτυχὼν τῆς ἀρχῆς, ἧς χάριν ἐτόλμα γράφειν τοὺς νόμους, μετέωρος ἦν [o]εἰς τὴν Ἀλεξάνδρειαν, ταῖς ἐκεῖθεν ἐλπίσι πεπεισμένος ἀναπληρώσειν τὰ λείποντα τοῦ βίου, καὶ τὴν D τῆς ψυχῆς πρὸς τὸ πλεῖον ἐπιθυμίαν. [p]Ἀλλ' ἀκόρεστος ἦν. Ἀφικομένῳ γὰρ εἰς Ἀλεξάνδρειαν, [q]πρὸς ταῖς ὠφελείαις, ὧν ἦν αὐτὸς κύριος, διὰ τὸ πιστεύεσθαι περὶ τῶν ὅλων, καὶ τῆς ἡμέρας ἑκάστης ὀψώνιον ἐξέθηκεν ὁ βασιλεὺς αὐτῷ δεκαμναιαῖον· τοῖς δὲ ἐπί A τινος ἡγεμονίας μετὰ ταῦτα τεταγμένοις, μναιαῖον. Ἀλλ' ὅμως οὐκ ἠρκεῖτο τούτοις· [r]οἷς τὸ πρότερον προσκαρτερῶν [s]τῷ πλείονι διετέλεσε, [t]μέχρι διὰ τὴν ἀπληστίαν, καὶ παρ' αὐτοῖς τοῖς διδοῦσι φθονηθεὶς, τὸ [u]πνεῦμα προσέθηκε τῷ χρυσίῳ.

Σκόπας: [v]Ὄνομα κύριον.

[x]Ὁ μὲν Σκόπας ἠδόξει, τῆς πολιορκίας ῥεμβώδους γενομένης.

Τουτέστιν, ἠμελημένης.

B Σκοπελιανὸς, Κλαζομένιος, σοφιστὴς, γεγονὼς ἐπὶ Νέρβᾳ, σοφιστεύσας ἐν Σμύρνῃ. Ἀκροατὴς δὲ ἐγένετο Νικήτου, συγχρονῶν Ἀπολλωνίῳ τῷ Τυανεῖ· πρὸς ὃν καὶ ἐπιστολὰς ἔγραψεν Ἀπολλώνιος.

Σκοπέλῳ: Ὑψηλῷ τόπῳ.

Σκοπιά: Ὑψηλὸς τόπος.

Καὶ ἕτεροι τὰς ὑπερδεξίους τῶν πεδίων καταλαμβάνουσι σκοπιάς.

Αἰλιανός·

C Οὐκ ἐπαινεῖ θεὸς οὐδὲ τοὺς τὰ [y]μέτρα πατοῦντας, γλιχομένους γε μὴν τῶν ὑπὲρ ἑαυτούς τε, καὶ ὑψηλὰς σκοπιάς.

Σκοπιάζων: Σκοπῶν, ἀποβλέπων. Καὶ σκοπιαζέμεν.

Σκοπιήτης: Κατάσκοπος. Ἐν Ἐπιγράμμασι·

> [z]Σοὶ τάδε, Πὰν σκοπιῆτα, παναίολα δῶρα σύναιμοι
> τρίζυγες ἐκ τρισσῆς θέντο λινοστασίης.

D [Σκοπιμώτατον: Ζήτει ἐν τῷ Γεννητική.]

Σκοπιωροῦνται: Φυλακτικῶς σκοποῦσιν ἀπὸ μετεώρου.

Σκοπόν: Τύπον, ᾧ στοιχοῦσι καὶ ἀκολουθοῦσι.

Σκοπός: Κατάσκοπός τις, καὶ ἔφορος, καὶ ἀποσκοπῶν τὰ πόρρω.

---

ΣΥΝΕΔΡΊΑ: †Ἡ καθέδρα.

ΣΥΝΈΘΕΙ: Συνέτρεχεν.

ΣΥΝΈΘΗΚΕΝ: †Ὑπέλαβεν, ὑπενόησε.

Τοῦτο συνέθηκεν ὁ βασιλεὺς, καὶ ἐκ λογισμῶν εἴκασε τὸ γινόμενον.

ΣΥΝΕΘΊΖΩ: Δοτικῇ.

ΣΥΝΕΚΔΟΧΙΚΩ̂Σ: Συλληπτικῶς.

ΣΥΝΕΚΌΜΙΣΑΝ: Συνήγαγον.

ΣΥΝΕΚΠΟΤΈ ἘΣΤΊ ΣΟΙ ΚΑῚ ΤῊΝ ΤΡΎΓΑ: †Ἐπὶ τοῦ ἀρξαμένου τινὸς πράγματος, εἶτα ὀλιγωρήσαντος. [i]Πολλάκις δὲ τρύγα καὶ τὸν νέον οἶνον ἐκάλουν· νῦν δὲ τὴν ὑποστάθμην.

ΣΥΝΕΚΤΙΚΏΤΑΤΑ: Κεφαλαιωδέστατα.

ΣΥΝΈΧΟΝΤΑ: Διακρατοῦντα.

ΣΥΝΕΚΎΡΗΣΕ: Συνέτυχε.

ΣΥΝΕΛΈΞΑΤΟ: Ἀνεκτήσατο.

Ὥστε ἐπὶ [k]τῷδε τὸν θυμὸν συνελέξατο ὁ βάρβαρος, καὶ [l]τοῦ πάλλεσθαι ὑπὸ τοῦ τρόμου ἔληξε.

ΣΥΝΕΛΌΝΤΙ ΦΡΆΣΑΙ: Συντόμως εἰπεῖν.

ΣΥΝΕΛΌΧΙΣΕ: Συνήθροισε.

ΣΥΝΈΜΠΟΡΟΣ: Συνοδοιπόρος.

ΣΥΝΕΝΗΝΕΓΜΈΝΟΙ: [m]Συνελθόντες.

[ΣΥΝΈΝΤΕΣ καὶ ΣΥΝΙΈΝΤΕΣ:]

ΣΥΝΕΟΡΤΆΖΩ: Δοτικῇ.

ΣΥΝΕΩΣΜΈΝΟΥΣ: Συγκεκλεισμένους.

Ἠπόρουν τὸ τί χρὴ πράττειν εἰς ὀξὺν οὕτω καιρὸν [n]συνεωσμένους.

ΣΥΝΈΠΑΙΝΟΙ: Συγκατατιθέμενοι. [o]†Ἡρόδοτος·

A Συνέπαινοι γὰρ ἦσαν οἱ Πέρσαι.

Τουτέστιν, ὁμόφρονες. Καὶ αὖθις·

[p]Δεῖ δὲ καὶ αὐτὸν βασιλέα συνέπαινον γίνεσθαι.

ΣΥΝΈΠΕΣΕ ΓΕΝΈΣΘΑΙ: Ἀντὶ τοῦ συνέβη. Οὕτως [q]†Ἰσοκράτης.

Καὶ ἐξ ἀμφοτέρων τῶν μερῶν φόνος συνέπιπτε πολὺς, φύρδην ἐπ' ἀλλήλοις μαχομένων.

Καὶ,

B Συνέπεσε τῷ στρατηγῷ πρὸς τὰ γόνατα.

Ἀντὶ τοῦ προσέπεσε. Καὶ αὖθις·

[r]Τοῖς μὲν πρὸς τὰ γόνατα πιπτόντων.

ΣΥΝΕΠΙΛΑΜΒΆΝΟΜΑΙ: Γενικῇ.

ΣΥΝΕΠΙΣΠΕΥ̂ΣΑΙ: Συνεπιταχῦναι.

[s]Ὁ δὲ ἐκέλευε τοὺς κρατίστους συνεπισπεῦσαι τὰς ἁμάξας.

ΣΥΝΕΠΊΣΤΑΜΑΙ: Δοτικῇ.

C ΣΥΝΕΠΙΣΧΎΣΑΣ: Συναγωνισάμενος, δύναμιν παρασχών.

[t]Κωλύειν δὲ τὸν Ἀντίοχον παραπλεῖν, οὐκ ἀπεχθείας χάριν, ἀλλ' ὑφορώμενος μὴ Φιλίππῳ συνεπισχύσας, ἐμπόδιον γένηται τῇ τῶν Ἑλλήνων ἐλευθερίᾳ.

ΣΥΝΕΠΛΉΘΥΣΕΝ: †Ἐπλημμύρησε.

Χειμὼν ἐξαίσιος νυκτὸς γενόμενος τὸ ῥεῦμα συνεπλήθυσε.

ΣΥΝΕΠΝΕΥΣΆΤΗΝ: †Ὁμόφρονες ἐγένοντο.

D [u]Χαρίτων καὶ Μελάνιππος εἰς ἔρωτα ἀλλήλοιν συνεπνευσάτην· ὁ μὲν [x]ἐραστὴς, ὁ δὲ ἐρώμενος.

ΣΥΝΕΡΡΆΓΗ:

[y]Ἐπὶ τῶν Φαβίων πόλεμος συνερράγη Ῥωμαίοις πρὸς Τυρρηνοὺς μέγιστος τῶν πρὸ αὐτοῦ.

ΣΥΝΕΡΑΝΊΖΕΤΑΙ: Συνεισφέρεται.

ΣΥΝΕΡΓΩ̂: Δοτικῇ.

ΣΥΝΈΡΕΣΘΑΙ: Συνερωτᾶν.

E ΣΥΝΕΡΊΖΩ: Τὸ φιλονεικῶ. Δοτικῇ.

ΣΥΝΈΡΙΘΟΣ: Συνεργὸς, συνυφαίνουσα. Λέγεται δὲ καὶ ἐπὶ ἄρρενος.

[z]Ὁ δὲ Χαγάνος παράδοξόν τι ἕρμαιον τὴν σωτηρίαν εὐτύχησε, καὶ φυγῇ συνέριθος ἦν. Ἐλάνθανε γὰρ νῆσος ἐν τῇ λίμνῃ τὸν βάρβαρον διασώζουσα.

---

[f] ὅσον] ὃ A.

ΣΥΝΕΒΗΣΑΝ] Vide supra v. Ξυνέβημεν. KUST.

[g] ἀφανῆ] Ms. A. [et V.] ἀπαθῆ: quod magis placet. KUST.

[h] ὑπεξελθόντα] ὑπεξελθόντας A.B.E.M. Statim delevi ΣΥΝΕΓΟΜΦΟΥ: Ἔστιν ἐν τῷ ΦΡΑΒΙΘΟΣ, cum A. et fere V.

ΣΥΝΕΚΠΟΤΕ' 'ΕΣΤΙ Σ.] Aristoph. in Plut. 1086. KUST. Συνεκπομπεύειν ἐστι καὶ τὴν τρύγα σοι A.V. Ubi A. in marg. γρ. συνεκποτέστι σοι καὶ τὴν τρύγα. quæ verba in ipso contextu addit V. Hinc suspicatur Hemsterhusius ad Aristoph. Plut. p. 410. quædam interiisse: συνεκπομπεύειν (inquit) certe ordini literarum accurate respondet: exciderítque forte quod huic verbo confirmando adjectum erat exemplum; quo factum est, ut initium sequentis articuli aliquantulum turbaretur.

[i] παλαιοὶ] πολλάκις A.B.V.E.M. Schol.

[k] τῷδε] τόνδε V.

[l] τοῦ πάλλεσθαι—τοῦ τρόμου] τῷ π. A.V. Tum τῷ τρόμῳ A.B.V.E.

ΣΥΝΕΛΟΧΙΣΕ] Vid. Hunt de ling. Arab. in Addend. TOUP. Συνελόχησεν Photius.

ΣΥΝΕΜΠΟΡΟΣ] Ex Timæo, ubi v. Ruhnkenius p. 242.

[m] Συνελθόντες] συνελόντες V. Seq. gl. om. A.V.

[n] συνεωσμένους] συνεωσμένοι E.M.

[o] Ἡρόδοτος] V. 20. et 31 fin.

[p] Δεῖ] Δεῖ δὲ V.

F ΣΥΝΕΠΕΣΕ] Ab h. v. usque ad Συνίζησις inclusive nil habet A. in contextu; nonnulla tamen in marg. unde haustæ sunt, quas enotavi, variæ lectiones.

[q] Ἰσοκράτης] Philip. p. 100 B. ἅπασι συνέπεσεν ἐξ ἀδόξων μὲν γενέσθαι λαμπροῖς.

[r] Τοῖς μὲν] Ex Diodor. Legat. uti monuit Wesseling. p. 631. ubi leg. πίπτων. TOUP.

ΣΥΝΕΠΙΛΑΜΒΑΝΟΜΑΙ] Vid. Hemsterhus. ad Lucian. Prometh. c. 13.

G [s] Ὁ δὲ ἐκέλευε τοὺς κρ.] Polybii esse vult Valesius. KUST. Immo Xenophontis esse Anab. I. 5, 8. docuit Abreschius. Supra συνεπιτραχῦναι M.

ΣΥΝΕΠΙΣΧΥΣΑΣ] Sic recte mss. Paris. A. Antea vero male legebatur, συνεπισχήσας. KUST. Hoc non fefellerat Casaubon. ad Fragm. Polyb. p. 1540. HEMST. συνεπισχήσας bis E. Deest gl. A.

[t] Κωλύειν] κωλύειν δὲ V. Vide Polybium ed. Schweighæuser. XVIII. 24. et adnotationem.

ΣΥΝΕΠΛΗΘΥΝΕΝ] Polyb. Vide v. Ἐξαίσια. TOUP.

H [u] Χαρίτων καὶ Μελάν.] Ex Æliano, ut puto. Confer Nostrum v. Ἀναβολὴ, et v. Φάλαρις. KUST.

[x] ἐρασθεὶς] ἐραστὴς B.V.

[y] Ἐπὶ τῶν Φαβίων ... πρὸς Τυρρήνους—αὐτοῦ om. A.

ΣΥΝΕΡΙΘΟΣ] Vid. Ruhnken. ad Tim. p. 242.

[z] Ὁ δὲ Χαγάνος παρ.] Hæc sunt verba Theophyl. Simoc. lib. II. c. 10. KUST.

Συνερκτικός: Συνείρειν τοὺς λόγους καὶ συντιθέναι δυνάμενος εὐκόλως. A

Συνερρώγει: Εἰς χεῖρας [a]ἦλθε.

*Πόλεμον συνῆψε τὰ στρατόπεδα, ὅσοι οὔπω συνερρώγει, περὶ πλήθουσαν ἀγοράν· καὶ [b]ἀκροβολισμοί τινες τῶν ψιλῶν ἐγίνοντο, βέλη τε ἐξικνεῖτο, καὶ ἀσπὶς ἐψόφει.*

Συνέρχομαι: Δοτικῇ.

Συνέσιος, Πενταπόλεως τῆς ἐν Λιβύῃ Θηβαΐδος, φιλόσοφος, ἐπίσκοπος Πτολεμαΐδος, τῶν ἱερατικῶν B γενόμενος. Ἔγραψε βιβλία διάφορα, γραμματικά τε καὶ φιλόσοφα· [c]καὶ λόγους βασιλικούς, πανηγυρικούς, ἢ ἐπιδεικτικούς· [d]Ἐγκώμιόν τε φαλάκρας, καὶ περὶ Προνοίας λόγον θαυμάσιον, Ἑλληνικῷ χαρακτῆρι· καὶ ἄλλα πλεῖστα καὶ διάφορα βιβλία συνέταξε· καὶ τὰς θαυμαζομένας Ἐπιστολάς.

Συνεσκευάσθαι: Συνεπιφέρεσθαι.

C [e]*Ὄψα δὲ χρὴ συνεσκευάσθαι, ὅσα ἐστὶν ὀξέα, καὶ δριμέα, καὶ ἁλμυρά· ταῦτα γὰρ ἐπὶ σῖτόν τε ἄγει, καὶ ἐπὶ πλεῖστον ἀρκεῖ.*

Συνεσπειραμένοι: [f]Συγκεκλεισμένοι.

*Εἰς στενότητα συνεσπειραμένοι ἀμύνεσθαι οὐκ ἠδύναντο, οὔτε τοξεύειν αὐτοῖς εὐπετὲς ὑπῆρχε, τῷ μηδὲ χώραν εἶναι τοῖς βέλεσι.*

Καὶ αὖθις·

*Εἰσὶ δὲ οἳ καὶ συσπειραθέντες ἀναχωρῆσαι σῶοι πάλιν ἐς τὸ στρατόπεδον ἠδυνήθησαν.* D

Ἀντὶ τοῦ, συστραφέντες, συνελιχθέντες. Καὶ αὖθις·

[g]*Τό τε πυκνὸν καὶ συνεσπειραμένον ἐπὶ ταῖς ἀνελίξεσιν οὐκ ἔξω τινὸς ἀπονοίας καὶ τόλμης κατεφαίνετο· ταραχή τε ἐπεῖχε, καὶ παρακελευσμὸς τοῖς κατ' οὐρὰν τεταγμένοις, αἵ τε ἀναστροφαὶ τῶν κοντοφόρων, ἄλλοτε ἀλλαχοῦ [h]τὰς ἐμβολὰς ποιούμεναι, πολυσχιδῆ καὶ ποικίλον ἀπειργάζοντο τὸν πόλεμον.*

Συνεστιᾶται: [i]Συναριστᾷ. E



Συνετάττετο: A

*Πᾶσι συνετάττετο ποιήσασθαι τοὺς χρηματισμούς.*

Ἀντὶ τοῦ, καθυπέσχετο.

Συνετίζω: Αἰτιατικῇ.

Συνετιμήθη: Πολλῆς τιμῆς ἐγένετο τὰ ὤνια. Καὶ συντιμηθῆναι. [k]Δημοσθένης [l]ἐν τῷ πρὸς Διονυσόδωρόν φησιν·

B *Οἱ μὲν γὰρ αὐτῶν ἀπέστελλον ἐς τὴν Αἴγυπτον τὰ χρήματα· οἱ δ' ἔπλεον τοῖς ἐμπόροις· οἱ δ' ἐνθάδε μένοντες συνετίμων τὰ ἀποστελλόμενα.*

Συνετρίβησαν ταῖς ψυχαῖς: Ἀντὶ τοῦ, ἐθορυβήθησαν, συνεχύθησαν.

Συνευνέτης: Σύγκοιτος.

Συνεύνιον: Σύγκοιτον.

Συννέφεια: Ἡ ταραχή.

Συνεφόρει: Ἐσώρευεν.

C *Ὁ δὲ συνεφόρει χοῦν [m]αὐτόθεν ἀπὸ τῶν ἐρριμμένων οἰκοδομημάτων ἐν τῷ κόλπῳ φέρων.*

Συνεχές: Τὸ συνεχὲς ποσὸν ἐπὶ πλειόνων κατηγορεῖται· γραμμῆς, ἐπιφανείας, σώματος, χρόνου, τόπου· [n]τὸ δὲ μὴ ἐξ ἐχόντων θέσιν, κατὰ τριῶν, ἀριθμοῦ, χρόνου, λόγου.

Συνέχεια: Ἡ πυκνότης.

Συνεχῆ: Ἀκατάπαυστον.

D [nn]*Συνεχεῖς δὲ φύλακας ἐπιστήσας, ἐξετρύχωσεν ἄρα ἐς τοσοῦτον, ὡς βρόχῳ τὰς κόρας τὸν λιμὸν ἀποδράναι.*

Συνεχόμενος: Ἀρρωστῶν, ἢ κρατούμενος.

Συνέχον:

*Τὸ συνέχον ἡγεμόνα καὶ προστάτην ἀξιόχρεων.*

Ἀντὶ τοῦ, κατεπεῖγον, τὸ ἀναγκαιότερον. Καὶ αὖθις·

E [o]*Ἦν δὲ τὸ συνέχον τῆς ὑποθέσεως αὐτῶν, ὡς οὔτε φρουράν,*

---

ΣΥΝΕΡΚΤΙΚΟΣ: Συνείρ.] Ex Schol. Aristoph. Equit. 1375. ut Portus etiam observaverat. Ceterum, scribendum potius est, συνειρκτικός, per diphthongum ει. Est enim a συνείρω. KUST. Συνεκτικὸς V. Mox συνερεῖν B.

ΣΥΝΕΡΡΑΓΗ] Sic mss. A. Paris. At priores editt. minus recte συνερρώγη, per ω in syllaba penultima. KUST. Συνερρώγει V. et in exemplo. Hoc verum esse ostendit literarum ordo.

[a] ἦλθε] ἦλθον V. qui mox σύνηψαν.

[b] ἀκροβολισμοὶ] ἀκροβολιασμοὶ V.

ΣΥΝΕΣΙΟΣ, Πενταπόλ.——Πτολεμαΐδος] Sic melius mss. Paris. quam priores editt. in quibus immutato verborum ordine locus hic ita legitur: Συνέσιος, Ἐπίσκοπος Πτολεμαΐδος, Πενταπόλεως τῆς ἐν Λιβύῃ Θηβαΐδος, φιλόσοφος, τῶν ἱερατικῶν, &c. KUST. Ἐπίσκοπος Πενταπόλεως E. qui addit a m. sec. Πτολεμάϊδος ἐκ. omissis Ἐπίσκ. Πτολ. infra. Συνέσιος ἐπίσκοπος ἐκ Πτολεμαΐδος Πενταπ. Eudocia.

[c] καὶ λόγους βασιλικοὺς] Harum orationum una fuerit G elegantissima oratio de Regno, ad Arcadium Imperatorem habita, quæ hodie adhuc exstat. KUST.

[d] Ἐγκώμιόν τε φαλάκρας, καὶ περὶ Προν.] Hæc opuscula itidem hodie adhuc exstant. KUST.

[e] Ὄψα δὲ] Xenoph. Cyrop. VI. 2, 31. ABRESCH.

[f] Συγκεκλεισμένοι εἰς στενότητα. Συνεσπειράμενοι] Hæc male distincta sunt. Scribendum: Συνεσπειράμενοι. Συγκεκλεισμένοι. Εἰς στενότητα συνεσπειράμενοι ἀμύνεσθαι οὐκ ἠδύναντο. Ita enim legitur apud Agathiam, lib. V. p. 159. H unde hoc fragmentum descripsit Suidas. TOUP. Recte distinguunt edd. vett. Mox πειραθέντες M.

[g] Τό τε πυκνὸν καὶ συνεσπ.] Fragmentum hoc Valesius Polybio tribuit. KUST.

[h] τὰς ἐμβολὰς π.] Polyb. p. 368. 370. TOUP.

[i] Συναριστᾶται] συναριστᾷ V. Photius.

ΣΥΝΕΤΙΖΩ] Psalm. CXIX. 125. 130. Daniel. X. 14. ἦλθον συνετίσαι σε. Theophyl. Ep. p. 24. 31. TOUP. Deest gl. V.

[k] Δημοσθένης] P. 1285, 9.

[l] ἐν τῷ πρὸς Διόδωρον] Scribendum est, ἐν τῷ πρὸς Διονυσόδωρον. In ea enim oratione, haud procul initio, locus a Suida hic citatus occurrit: quamvis nonnulla aliter F ibi legantur. Nam pro ἔπλεον τοῖς ἐμπόροις, illic habetur, ἐπέπλεον ταῖς ἐμπορίαις: utrumque, ut puto, mendose. Scribendum enim existimo, ἐπέπλεον τοῖς ἐμπορίοις, i. e. *ad emporia naves appellebant.* Deinde, pro συνετίμων, cujus verbi gratia locum hunc adduxit Suidas, apud Demosthenem legitur, διετίθεντο, i. e. *distrahebant*, vel *vendebant.* Vox συνετιμήθη autem exiguo intervallo post sequitur, ubi orator inquit, Ὅθεν περ οὐχ ἥκιστα συνετιμήθη τὰ περὶ τὸν σῖτον. Quem locum Demosthenis Suidas forsan in animo habuit. Vide etiam infra v. Συντιμηθῆναι. G KUST. Διονυσόδωρον V.

ΣΥΝΕΤΡΙΒΗΣΑΝ] Vid. Schleusner. lexico utroque.

ΣΥΝΕΥΝΙΟΝ: Σύγκοιτον] Scribendum, Σύνευνον, σύγκοιτον. Respexit Suidas ad Sophocl. Aj. 1319. Ἴσχει ΣΥΝΕΥΝΟΝ μητέρ'——TOUP.

[m] αὐτόθεν—φέρων om. A.

[n] τὸ δὲ μὴ ἐξ ἐχόντων θ.] Vide omnino Aristotelem in Categor. cap. de Quantitate, ubi pluribus hæc exponuntur. KUST.

[nn] Συνεχεῖς] 1mo, ut vox præscribitur leg. Συνεχῆ δὲ H φυλακήν. 2o. Malim et τὰς κόρας? 3o. Verba sunt Æliani quæ pleniora leguntur in Πυθαγόρας Ἐφέσιος. VALCK. p. 3170 C.

[o] Ἦν δὲ τὸ συνέχον] Ex Polybio, opinor, qui ista voce utitur VIII. p. 730. τὸ συνέχον τῶν δεδογμένων. Et p. 1135. 1249. 1250. TOUP.

A οὔτε ὕπαρχον εἰσδέξαιντο, καὶ τῆς κατὰ τοὺς νόμους πολιτείας οὐκ ἂν ἐκχωρήσειαν.

Συνεψήσθη: Συνελεπτύνθη.

Συνεψιάζουσα: Συμπαίζουσα. Ἐν Ἐπιγράμμασι·

p Ἐξότε μοι πίνοντι συνεψιάουσα Χαρικλώ.

Συνείδησις:

Συνείθισμαι: Δοτικῇ.

B Συνείκοντος: Ὑποκλινομένου.

Μελίνας εἶχον σαρίσσας, ἵνα συνείκοντος τοῦ ξύλου πρὸς τὴν πληγὴν, καὶ μὴ κλωμένου ῥᾳδίως.

Συνειλεγμένα: Συνηγμένα.

Συνειλόχασι: q Συνήθροισαν. Καὶ συνειλοχότες.

Συνεῖναι: Γενικῇ. Σύνειμι δοτικῇ.

Συνεῖναι: Νοῆσαι.

C r Ὁ δὲ Ἡραΐσκος ὁ Αἰγύπτιος ἦν μὲν συνεῖναι δεινότατος, s οὐκ ἀγωνιστὴς δὲ ὑπὲρ τῆς ἀληθείας ἰσχυρὸς, οὐδὲ τὰς ἔξω φερούσας ἀπὸ ταύτης ὁδοὺς ἀνιχνεῦσαι καὶ διεξελθεῖν. Οὗτος γὰρ ἐς τοὐναντίον ἐκεκλήρωτο τὴν εὐμοιρίαν.

Καὶ συνεῖναι, αἰσθανθῆναι. Καὶ συνῆκα δέ.

Συνείπετο: Συνηκολούθει.

Συνειπόντος:

[Συνείροντος: Συνάπτοντος. Καὶ] συνείρει, συνάπτει. Καὶ συνειρόμεθα, ἀντὶ τοῦ συναπτόμεθα. D

Ἴστε ὅτι πολὺ πλέον ἂν ὑμῖν ἐν ταῖς εὐτυχίαις συνειρόμεθα τῶν τότε τὰ ἐναντία t φρονούντων.

Καὶ αὖθις·

Ἐγκώμια τοῦ ἐρημικοῦ βίου πολλὰ συνείροντο.

Συνειρμένον: Συμπεπλεγμένον.

Συνεῖρκτο: Συνεφυλάττετο, συνεδέδετο.

Συνεισάκτους:

Συνεισέφρησε: Συνεισήνεγκε.

Συνεῖχεν: Ἐξήσκει, ἐγύμναζε. u Διόδωρος·

Ὁ δὲ συνεῖχεν αὐτοὺς εἶναι στρατιώτας, παράδειγμα ὑποθεὶς ἑαυτόν.

Συνηβολία:

B Συνήγορος: Προστάτης, ὑπέρ τινων λέγων. x Ἐοίκασι παρ' Ἀθηναίοις τινὲς χειροτονεῖσθαι συνήγοροι, ἐπὶ τῷ συναγορεύειν, ὡς Ἀντιφῶν φησι.

Συνηγορῷ: Δοτικῇ.

Συνῄδεσαν: Ἠπίσταντο.

Συνήδομαι: Συγχαίρω. Ἀππιανός·

Οἱ δὲ πρέσβεις ἔπεμψαν, συνηδόμενοι τῷ γεγονότι.

Συνῄεσαν: Συνῆλθον.

C Συνῆκεν: Ἐνόησε.

Συνήκμαζε: Συνηύξανε.

Συνηλλάγην σοι: Καὶ y Συνηλλάχθης ἐμοί: Ἀντὶ τοῦ, συναλλαγὰς ἔχεις, γάμῳ συνεζεύχθης.

Συνήλασε: z Συνεχώρησε, συνεδίωξε.

Συνηλίζοντο: Συνηθροίζοντο.

Συνηλωκότες:

Συνημερεύω: Δοτικῇ.

D Συνήμονας: [a Συνθήκας.] Ἤτοι παρὰ τὸ ἧσθαι, ἵν' ᾖ, συνέδρους· ἢ παρὰ τὴν ἔσιν, ἵν' ᾖ συναγωνιστὰς, ὃ καὶ βέλτιον. b Συνήθεις, καὶ ἑταίρους, καὶ ὁμοήθεις.

Συνημοσύνη: c Συμβουλία.

Συνήνεγκε: Λυσιτελέστερον γέγονε.

E

ΣΥΝΕΨΗΣΘΗ] Sic recte mss. Paris. itemque Hesychius et Photius in Lex. ms. At priores editt. male, συνεψηφίσθη. Confer Nostrum supra v. Συμψηθείς. KUST. Gl. pertinet ad Iesaiæ XXXI. 33. ed. Rom.

p Ἐξότε] Anthol. Pal. V. 288. Mox συνεψιάουσα V. cum Anthol. non συνεψιάζουσα. Vid. Ruhnkenii Ep. Crit. II. p. 214. Deest gl. A.

ΣΥΝΕΙΛΕΓΜΕΝΑ] Schol. Platon. p. 251. Συνειλεγμένων τὰς ἀφάς: συνηγμένων τὰς πληγάς.

F ΣΥΝΕΙΛΟΧΑΣΙ] Συνηλόχασι A. Συνηλίχασι V. Συνειλήχασι E. Mox συνηλιχότες V. deest v. A. Συνειλόχασιν: συνήθροισαν Photius. Vid. Hemsterhus. ad Thomam M. p. 320. Valckenær. ad Chrysost. Or. 1. in laudem Pauli Apost. p. xxxiv.

q Συνηθροίσθησαν] Scripserim potius sensu activo συνήθροισαν. Confer Nostrum infra v. Συνηλίχασι. KUST. συνήθροισαν A.V.

G r Ὁ δὲ Ἡραΐσκος ὁ Αἰγ.] Hæc sumpta sunt ex Damascio in vita Isidori; eademque leguntur supra v. Ἡραΐσκος. KUST.

s οὐκ ἀγωνιστὴς δὲ ὑπὲρ τῆς ἀληθείας ἰσχυρὸς] ἀγωνιστὴς δὲ οὐκ ἰσχυρὸς ὑπὲρ τῆς ἀληθείας V.

ΣΥΝΕΙΡΟΝΤΟΣ: Σ. K. om. B.V.

t φρονούντων] φορούντων V.

ΣΥΝΕΙΡΜΕΝΟΝ] Συνειρημένον A.V.

u Διόδωρος] Fr. 35. Mox παραθεὶς V.

H x Ἐοίκασι παρ' Ἀθηναίοις τινὲς χειρ.] Ex Harpocratione. Confer Petitum in Comment. ad Leg. Att. p. 259. KUST. ἐοίκασι post συνήγοροι V.

ΣΥΝΗΔΟΜΑΙ] Lex. Seg. Bekkeri p. 174. Συνηδόμενοι: γενικῇ. Ἀππιανὸς τετάρτῳ Αἰγυπτίων· Συνηδόμενοι τῶν γεγονότων.

y Συνηλλάχθης ἐμοί. ἀντὶ τ.] Sophocl. Aj. 493. Εὐνῆς τε τῆς σῆς, ᾗ συνηλλάχθης ἐμοί. Vide ibi Scholiastam, cujus scrinia Suidas hic compilavit. KUST.

z Συνεχώρησε] Interpretatio hæc mihi suspecta est; quamvis sic etiam habeant Hesychius, et Photius in Lex. ms. KUST. Gl. ad Act. Apost. VII. 26. spectare putat Bielius ad Hesych.

ΣΥΝΗΛΙΖΟΝΤΟ] Sic recte ms. A. At priores editt. συνηυλίζοντο, cui lectioni non solum sensus, sed etiam literarum series adversatur. Vide Nos supra ad v. Συναλισθείσης. KUST. Ex gl. Herodot. I. 62. Statim delevi ΣΥΝΗΛΙΧΑΣΙ: Συνήθροισαν. Καὶ ΣΥΝΗΛΙΧΟΤΕΣ, cum V. Ad quæ sic Kusterus: "Sic mss. Paris. At priores "editt. minus recte, συνειλίχασι. Τὸ συνηλίχασι autem est "a verbo συναλίζω, *congrego*." Iterata videntur ex superioribus.

ΣΥΝΗΛΩΚΟΤΕΣ] Hæc vox a præcedentibus separanda est, et seorsim ponenda. Est enim a συναλίσκω: nec cum superioribus quicquam commune habet. KUST.

a Συνθήκας] Hæc interpretatio non pertinet ad vocem συνήμονας, sed συνημοσύνας. Quare vocabulum hoc, ut supervacaneum, expungendum est. KUST. Leg. Συνήμονας: συνήθεις. (Vid. Schol. Apollon. Rhod. IV. 1210.) Tum Συνημοσύνας: συνθήκας. Schol. Homer. Il. χ'. 261. TOUP. Vulg. servat Photius, et fere Lex. Seg. ubi συνέδρους καὶ ὁμόηθεις, omissis ἢ παρὰ τὴν etc. Συνημοσύνας in Photio et Suida reposuerit Albertius ad Hesych. Delendum esse συνθήκας patebit consulenti Etymol. M.

b Συνήθεις, καὶ ἑταίρους, καὶ ὁμοήθεις] Hæc cum articulo superiore conjungi debent. Sunt enim interpretatio et explicatio vocis συνήμονας. Scholiastes Apollonii Rhodii ad lib. IV. 1210. Συνήμονας, τοὺς συνήθεις καὶ ἑταίρους. Vide etiam Etymologum v. Συνήμονας. KUST. Et junguntur in Photii ms. ἢ καὶ βέλτιον V.

c Συμβουλία] Hesychius, συμβόλαια, i. e. *pacta*: quod rectius puto. KUST. Etymologus: Συνημοσύνας: Ἰλιάδος χ'. συνθήκας. παρὰ τὸν ἥσω μέλλοντα, τὸ εἰς αὐτὸ ἀφικνεῖσθαι τὰ τῆς διανοίας.

Συνήνεγκε δὲ τοῦτο Ῥωμαίοις ἐς ὅ τι [d]μάλιστα.

Συνήορος: Συνηρμοσμένη, συνήθης.

Συνήρης:

Συνηρεφές: Τὸ ἐστεγασμένον.

Συνηιρημένον: Συνεστραμμένον.

Συνήρττες: Συνήρμοττες.

Συννήσας: Συσσωρεύσας. [e]Ἡρόδοτος·

Συννήσας πυρὴν μεγάλην, ἐσέβαλεν ἐς τὸ πῦρ.

Καὶ [f]Δαμάσκιος·

Καὶ ἄλλους ἐν μέσῳ τοῦ χρόνου πολὺν θησαυρὸν συννήσαντας.

Συνησθέντες: Συγχαρέντες.

Συνησθῶσι: Συγχαρῶσι.

Συνιδών:

Συνιέντες: Γενικῇ.

Συνίζησις:

Συνίεισαν: Ἐγίνωσκον. Συνίημι γὰρ, [g]τὸ συνιῶ νοῶ.

[h]Ἐπεὶ δ' ἔμπαλιν τῆς ἀληθείας συνίει τὰ λεγόμενα, καὶ τὸ ἑαυτῷ φίλον τε καὶ κεχαρισμένον ἑώρα μόνον, ἐπέθετο καταλῦσαι τὴν Περσῶν βασιλείαν.

[i]Καὶ αὖθις ἐπὶ τοῦ σκόπει, βλέπε.

[k]Συνίει δὲ, ὁποῖά σοι τῶν πραχθέντων ἕψεται τὰ ἐπίχειρα.

[Συνίημι: Γενικῇ.

[l]Εἶπες ἂν αὐτῷ τῶν τοῦ δεσπότου συνιέναι ἱματίων.

Αἰτιατικῇ δέ·

[m]Οὐ συνῆκας δεσμὸν Πλειάδος, ἢ φραγμὸν Ὠρίωνος.]

[Συνίημι: Ἐπὶ μὲν τῶν ἔξω, γενικῇ· ἐπὶ δὲ τῶν ἔσω, αἰτιατικῇ. Ὡς τὸ,

[n]Καὶ σὺ συνῆκας τοὺς διαλογισμούς μου.]

Συνιόντες: Συνερχόμενοι.

Συνισταμένους: Τουτέστι, συνηγόρους· ἢ, τοὺς συμπεπλεγμένους, καὶ πιλοῦντας· ἀπὸ μεταφορᾶς τῶν [o]ἐρίων. Ὥσπερ γὰρ πολλάκις τὸ ἕτερον τῷ ἑτέρῳ κολλᾶται ἐρίῳ, καὶ διαχωρίζουσιν αὐτὰ ἀπ' ἀλλήλων· οὕτως ἐπὶ τῶν κεκολλημένων ταῖς ἀρχαῖς ὀφείλετε ἀποχωρίζειν, καὶ εὔνοιαν πρὸς ἀλλήλους ἔχειν ἅμα.

[Συνίστη:

Ὁ γὰρ Ἄβελ τὰ πρωτότοκα καθιερῶν τῷ Θεῷ, φιλόθεον μᾶλλον ἢ φίλαυτον ἑαυτὸν συνίστη.]

Συνιστορεῖ: Σύνοιδε.

Συνίστωρ: Συνόμιλος, γνωστὸς, μάρτυς, συνειδὼς ἐπὶ [p]πράγματι. Ἀππιανός·

Ὁ δὲ συνίστορας ἡγούμενος αἰσχροῦ φόβου, καὶ [q]ἑτέροις ἐπεξαγγέλλειν, ἀπέκτεινεν ἀθεμίστως.

Σύνθακος: Σύνθρονος.

Σύνθεμα:

Πρὸς τοῖς ἄλλοις τὸ μήτ' εὐδιάλλακτον, μήτ' ἄλλο μηδὲν [r]εἰδέναι σύνθεμα φιλανθρωπίας.

Σύνθεο: [s]Ἄκουσον.

Συνθεσία: Συνθήκη, ἀσφάλεια. Ἐν Μυθικοῖς·

Μετὰ δὲ σφίσι πιστώσαντο
συνθεσίην.

Συνθῆκαι: Αἱ πίστεις, αἳ διὰ τριῶν ἐτελοῦντο· λόγων, ἔργων, χειρῶν. Λόγων μὲν, οἷον δι' ὅρκων· ἔργων δὲ, οἷον, [t]διὰ τῶν ἐν τοῖς βωμοῖς θυσιῶν· χειρῶν δὲ, [u]ἐπειδὴ αἱ πίστεις διὰ χειρῶν ἐγίνοντο. Καὶ [x]Ὅμηρος·

Καὶ δεξιαὶ, ᾗς ἐπέπιθμεν.

Καὶ τρία ἐγκλήματα παραβασίας, βωμὸς, πίστις, ὅρκος.

Συνθήκη: Ὁμολογία. [y]Ξενοφῶν·

Οἱ δὲ σὺν Κύρῳ ἀναβάντες Ἕλληνες πρὸς Πέρσας συνθήκας ἔθεντο, σφάξαντες ταῦρον, καὶ λύκον, καὶ κάπρον, καὶ κριόν· εἰς ἀσπίδα βάπτοντες, οἱ μὲν Ἕλληνες, ξίφος· οἱ δὲ βάρβαροι, λόγχην· [z]καὶ ὀμόσαντες, μὴ προδώσειν ἀλλήλους, σύμμαχοί τε ἔσεσθαι. Οἱ δὲ βάρβαροι προσώμοσαν, καὶ ἡγήσεσθαι ἀδόλως.

Συνθήκη: Συγκατάθεσις.

Ὥστε εἰρήνην κρατύνασθαι, ἢ τὰ εἰς τὸν πόλεμον ἐκ συνθήκης ἐξαρτύεσθαι.

Σύνθημα: Συνθήκη, σύσσημον, λόγος ἐν πολέμῳ [a]ἐπὶ γνωρισμῷ τῶν οἰκείων διδόμενος.

---

[d] μάλιστα] Addunt V.E. cum edd. vett. καὶ συνήνεγκε.

ΣΥΝΗΟΡΟΣ] Od. θ'. 99.

[e] Ἡρόδοτος] Lib. I. 86. Ibi autem sic legitur: Ὁ δὲ συννήσας πυρὴν μεγάλην, ἀνεβίβασεν ἐπ' αὐτὴν τὸν Κροῖσον, &c. KUST. Respexit Suidas Herodot. VII. 107.

[f] Δαμάσκιος] Δαμασην' V.

ΣΥΝΙΖΗΣΙΣ] Statim delevi Οἱονεὶ συγκάθησις, cum A. B.V. συγκάθησις οἱονεὶ E.

[g] τὸ νοῶ] τὸ συνιῶ νοῶ A.B.V. Photius.

[h] Ἐπεὶ δ' ἔμπαλιν] ἐπείδεσ τ' ἄπαλιν V. Hunc locum Æliano tribuit Valckenærius.

[i] Καὶ] καὶ αὖθις A.V.E.

[k] Συνίει δὲ] Συνίει δὴ A.E.

[l] Εἶπες ἂν αὐτῷ] εἴπαις ἂν αὐτῶν E. Deest gl. V. Habet A. in marg. Sequentem gl. om. V. usque ad αἰτιατικῇ habet A. marg.

[m] Οὐ συνῆκας δεσμὸν Πλ.] Job. XXX. 31. sed ubi absque negatione legitur, συνῆκας δεσμὸν, &c. KUST.

[n] Καὶ σὺ συνῆκας τοὺς διαλ.] Psalm. CXXXIX. 2. KUST.

ΣΥΝΙΟΝΤΕΣ] A. in marg.

ΣΥΝΙΣΤΑΜΕΝΟΥΣ: Τουτέστι, συνηγ.] Nota hæc referenda est ad locum illum Aristoph. Lysist. 577. Καὶ τούς γε συνισταμένους τούτους, καὶ τοὺς θλίβοντας ἑαυτοὺς Ἐπὶ ταῖς ἀρχαῖσι διαξῆναι, &c. Scholiastes ineditus in locum illum Lysistratæ eadem totidem pene verbis habet, quæ hic Suidas. KUST.

[o] ἐρίων] θηρίων V. qui mox om. πολλάκις.

ΣΥΝΙΣΤΗ] Hanc gl. om. V. Habet A. in marg.

[p] πράγματι] πράγματος V.

[q] ἑτέροις] ἑτέρους A.B.V.E.M. Tum ἐπαγγέλλειν A.

ΣΥΝΘΑΚΟΣ] Potius σύνθωκος. REINES. Et sic V. sed repugnante literarum serie. Σύνθακος Soph. Œd. Col. 1267.

[r] εἰδέναι] εἶναι B.V.E.

[s] Ἄκουσον] νόησον Hesych. Vid. Il. α'. 76.

ΣΥΝΘΗΚΑΙ: Αἱ πίστεις, αἳ δ.] Ex Schol. Aristoph. Acharn. 307. KUST.

[t] διὰ τῶν] διὰ om. A.E.

[u] ἐπειδὴ] ἐπεὶ A.V.E.

[x] Ὅμηρος] Il. β'. 341.

[y] Ξενοφῶν] Lib. II. Ἀναβ. p. 276. ut Pearsonius observaverat. KUST. II. 2, 8.

[z] καὶ ὀμόσαντες] καὶ om. A.B.V.E.

ΣΥΝΘΗΚΗ] V. addit συγκατάθεσις.

ΣΥΝΘΗΜΑ] Schol. Gregor. Naz. Stelit. 2. p. 85. Ἔστι σύνθημα κυρίως τὸ σημεῖον τὸ παρὰ τοῦ στρατηγοῦ τοῖς στρατιώταις διδόμενον, ὥστε ἀλλήλους κατὰ τὴν μάχην μὴ ἀγνοεῖν· ἔστι δὲ καὶ καταχρηστικῶς σύνθημα, ὃ συνθέμενος λέγει ἢ πράττει· παρὰ γὰρ τὸ συνθέσθαι εἴρηται.

[a] ἐπὶ γνωρισμῷ——ὥσπερ τὸ κηρύκειον] Insignem hujus loci lacunam ex optimo msto A. supplevi. In prioribus enim editt. [et B.E.] desunt omnia hæc verba, γνωρισμῷ τῶν οἰκείων διδόμενος. Σύνθημα φιλίας ἦν τοῖς βαρβάροις συναντᾶν στεφάνους ἔχοντας καὶ θαλλοὺς, ὥσπερ τὸ κηρύκειον. Portus non animadvertens locum hunc esse hiulcum, ἀσύγ-

[b]Σύνθημα φιλίας ἦν τοῖς βαρβάροις συναντᾶν στεφάνους ἔχοντας καὶ θαλλοὺς, ὥσπερ τὸ [c]κηρύκειον τοῖς Ἕλλησι, διασαφοῦντες, ὅτι πάρεισι διὰ ταῦτα, βουλόμενοι μήτε ποιῆσαι, μήτε παθεῖν τι δυσχερὲς μηδέν.

[d]Αἱ δὲ ἀθρόαι ὑφ' ἑνὶ συνθήματι ἐπὶ τὸν Βάττον ἦξαν, ἵνα [e]αὐτὸν ἀφέλωνται τὸ ἔτι εἶναι ἄνδρα.

Οἱ δὲ δι' ἀλλήλων ἐποιοῦντο, καὶ τὸ σύνθημα μετὰ σπουδῆς ἕκαστος [f]τὸν πλησίον ἐπηρώτα.

Συνθηματιαίους: Οὓς ἡμεῖς λέγομεν [g]ἐκδοτικούς. [h]Ἀριστοφάνης· B

> Δεῖ γὰρ ἀνδράσι
> [i]πλέξαι στεφάνους συνθηματιαίους εἴκοσι.

Συνθηματικῶς: Συμβολικῶς.

[k]Ἐπιστολὰς ἔγραψε συνθηματικῶς, καθάπερ ἔθος ἦν αὐτοῖς· ὥστε τὸν κυριεύσαντα τῆς ἐπιστολῆς μὴ δύνασθαι γνῶναι μηδὲν τῶν ἐν [l]αὐταῖς γεγραμμένων.

Καὶ αὖθις·

C Τὸν Αὔγουστον ἐπευφημῶν πολλάκις, καὶ τοῖς ἄλλοις τοῦτο διδοὺς σύνθημα.

Συνευμενεῖν: [m]Συνοργίζεσθαι, ἢ συμψυχεῖν.

Συνοδεία: Τὸ μετά τινος συμπεριπατεῖν. Συνῳδία δὲ, ἡ [n]ψαλμῳδία.

Συνόδοντα ζῷα: Βοῦς, πρόβατον, αἶξ, καὶ εἴ [o]τι συμβέβηκεν ἄλλο στέαρ ἔχειν, ἀλλ' οὐ πιμελήν.

Σύννομε: Ὡς μετέχουσα τοῦ αὐτοῦ βίου, καὶ D

A τῆς αὐτῆς νομῆς. Τοῦτο δὲ ὡς ἐπὶ ὀρνέων. Λέγει δὲ τοῦτο ὁ ἔποψ πρὸς τὴν [p]ἀηδόνα.

Συννόμων: Μεγάλων, ὁμοίων.

[q]Ἐξηριθμήσατο τοὺς δόμους· ἦν γὰρ ἐκ [r]συννόμων λίθων ᾠκοδομημένος· ὥστε καὶ λίαν εὐσυλλόγιστον εἶναι τὴν ἀπὸ γῆς τῶν ἐπάλξεων [s]ἀπόστασιν.

Συνόμωσις: Συνωμοσία δέ.

Σύννομοι: [t]Ἀδελφαὶ, ἢ γυναῖκες.

B

> [u]Αἱ σύννομοι
> τὰ ἔξω βίου [x]τροφεῖα πορσύνουσ' ἀεί.

Συνορία: [y]Ἡ πλησιότης.

Συνουσία: [z]Τὸ συνεῖναι μετὰ ἀλλήλων. [a]Πολύβιος·

Ὡς ἂν ὑποκρινόμενοι τοὺς ἐκ συνουσίας ἐπαναγαγόντας, ἔτι δὲ μᾶλλον ἠλλοιωμένους ὑπὸ τῆς μέθης.

Συνουσιασμός: Συμμιξία.

C Συνοχή: Εἶδος τῆς συνάψεως ἡ συνοχή· ὥστε ἁμαρτάνει ὁ τῆς συνάψεως γένος τὴν συνοχὴν [b]ἀποδιδούς. [c]Οὐ γὰρ πᾶν τὸ συναπτόμενον συνέχεται· συνάπτεται γὰρ καὶ τὰ ἁπτόμενα μόνον, οὐ μὴν καὶ συνέχεται. [d]Οὐ πᾶν μέντοι τὸ συνεχόμενον συνάπτεται· ὥστε ἐπὶ πλέον τὸ συνάπτεσθαι τοῦ συνέχεσθαι.

Συνοχωκότε: [e]Παρ' Ὁμήρῳ, διὰ τὸ μέτρον.

Σύνοψις: Ἡ κατὰ πρόσωπον ὁμιλία.

---

κλωστα συγκλώθειν conabatur: sed ei facile ignosco, quod absque ope mstorum sese ex hoc labyrintho extricare non potuerit. KUST.

[b] Σύνθημα φιλίας——δυσχερὲς μηδὲν] Polyb. lib. III. c. 52. Οἱ γὰρ συνήντων αὐτῷ, θαλλοὺς ἔχοντες, καὶ στεφάνους. Τοῦτο γὰρ σχεδὸν πᾶσι τοῖς Βαρβάροις ἐστὶ σύνθημα φιλίας, καθάπερ τὸ κηρύκειον τοῖς Ἕλλησι. Et mox: Τῶν δὲ φασκόντων E καλῶς εἰδέναι καὶ τὴν τῆς πόλεως ἅλωσιν, καὶ τὴν τῶν ἐγχειρησάντων κατ' αὐτοῦ ἀπώλειαν, καὶ διασαφούντων, ὅτι πάρεισι διὰ ταῦτα, βουλόμενοι μήτε ποιῆσαι, μήτε παθεῖν δυσχερὲς μηδὲν, &c. Hinc apparet unde Suidas locum hunc consarcinaverit. Confer etiam Nostrum supra v. Κηρύκειον, ubi eadem leguntur. KUST.

[c] κηρύκειον] κηρύκιον A. Tum ἐν τοῖς A.V.

[d] Αἱ δὲ ἀθρόαι ὑφ' ἑνὶ συνθ.] Locus hic auctior legitur infra v. Σφάκτριαι. KUST.

[e] αὐτὸν] ἑαυτὸν A.B.V.E.M. F

[f] τὸν πλησίον] πρὸς τὸν πλησίον V.

[g] ἐκδοτικοὺς] συνεκδοτικοὺς Schol. ed. Bekker. v. 458. ἐκδοσίμους Jungerman. ad Polluc. VII. 200.

[h] Ἀριστοφάνης] Thesmoph. 464.

[i] πλέξαι] πλέξας V.E.M.

[k] Ἐπιστολὰς ἔγραψε συνθημ.] Hæc sunt verba Polybii lib. VIII. c. 14. (19.) Confer Casaubonum in notis ad Æneam Tact. c. 31. KUST.

[l] αὐταῖς] αὐτῇ Polyb.

G

[m] Συνοργίζεσθαι] ὀργίζεσθαι V. Nil præter caput gl. agnoscit A.

ΣΥΝΟΔΕΙΑ] Sic rectius ms. A. quam priores editt. [et B.E.] quæ habent, συνοδία, per ι. Est enim a συνοδεύω. KUST. Joseph. Bell. Jud. p. 210. συνοδίαν. TOUP. Formam συνοδία defendit Bos citans Lucæ Evang. II. 44. Nehem. VII. 64. Plutarch. de Audit. p. 48. Galb. p. 1062. Plura Dorvillius ad Charit. p. 524=520.

[n] ψαλμῳδία] συμψαλμῳδία E.M. H

[o] τι—ἄλλο] Leg. τινι—ἄλλῳ. Vid. Μώνυχα. Ἀμφόδοντα. TOUP.

ΣΥΝΝΟΜΕ: Ὡς μετ.] Ex Schol. Aristoph. Av. 209.

[p] ἀηδῶνα] τὴν ἀηδόνα A.

ΣΥΝΝΟΜΩΝ] Vide Casaub. ad Strabonem, p. 270. KUST.

[q] Ἐξηριθμήσατο] Hoc fragmentum Polybio tribuit Schweighæuser. T. V. p. 32. et sic interpretatus est: *Numeravit ordines lapidum: erat enim ex similiter cæsis lapidibus (turris) ædificata, ita ut distantia pinnarum a terra facili ratione colligi posset.* Plura vide ibi in annotat. necnon in Opusc. Acad. T. II. p. 196.

[r] συννόμων] *Ejusdem magnitudinis.* Vid. Misc. Lips. Nov. V. 233. TOUP. Vid. Casaubon. ad Strabon. XVII. p. 1172. HEMST.

[s] ἀπόστασιν] ἀπότασιν V.E.

ΣΥΝΟΜΩΣΙΣ] Συνόμοσις A.B.E.

[t] Ἀδελφαὶ] ἀδελφοὶ A.B.E.

[u] Αἱ σύννομοι τὰ ἔξω β.] Sophocl. Œdip. Colon. 340. Ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας Θακοῦσιν ἱστουργοῦντες· αἱ δὲ σύννομοι Τὰ ἔξω βίου τροφεῖα πορσύνουσ' ἀεί. KUST.

[x] τροφεῖα] τραφεῖα V.E.

ΣΥΝΟΡΙΑ] Polyb. p. 10. TOUP.

[y] Ἡ πλησιότης] Sic recte ms. A. Priores vero editt. [et B.E.] inepte, ἡ πλουσιότης: quod Portus verterat, *opulentia*. KUST.

[z] Τὸ μετὰ ἀλλήλων συνεῖναι A. vulg. ordinem servat Photius. Post μέθης delevi Οἱ συνεχῶς συνουσιάζοντες, βλάπτονται. Καὶ ζήτει ἐν τῷ ΒΛΗΧΩΝΙΑ, cum A. quæ ponit V. post Συνουσιασμὸς, præfixo ὅτι. Vid. p. 749 A.

[a] Πολύβιος] Lib. VIII. c. 22. (29.) unde loci hujus emendatio petenda est. Confer etiam Nostrum infra v. Ὑποκρίνεσθαι, ubi fragmentum hoc auctius adducitur. KUST.

ΣΥΝΟΥΣΙΑΣΜΟΙ] Συνουσιασμὸς A.B.V. Photius. Iisdem auctoribus statim delevi συνουσία.

ΣΥΝΟΧΗ: Εἶδος τῆς συνάψεως ἡ συνοχ.] Hæc sumpta sunt ex Alex. Aphrodis. in lib. IV. Topic. p. 162. KUST.

[b] ἀποδιδοὺς] ἀποδοὺς V.

[c] οὐδὲ γὰρ] οὐ γὰρ A.B.V.E. Mox συνεχόμενον συνάπτεται E. pr. In fine τοῦ συνάπτεσθαι τὸ συνέχεσθαι B.E.

[d] Οὐ] Negatio hæc recte deest apud Alexandrum Aphrodis. KUST.

ΣΥΝΟΧΩΚΟΤΕ] Συνωχοκότε A.B.E.

[e] Παρ' Ὁμήρῳ] Il. β'. 218. KUST.

[f]Ὁ δὲ [g]ἐβουλεύετο καταστρατοπεδεῦσαι τοῖς Καρχηδονίοις ἐν συνόψει· μάλιστα γὰρ οὕτως ἐκφοβήσειν αὐτοὺς ὑπελάμβανε.

Συνῳδά: Σύμφωνα. [h]Μετὰ δοτικῆς. Καὶ συνῳδόν. Αἰλιανός·

[i]Ὁ δὲ ἀλεκτρυὼν συνᾴδειν ἐπειρᾶτο τῷ ὀρνιθείῳ μέλει, συνῳδόν τε καὶ συμμελὲς ἀναμέλπων.

Συνῳδικός: Συντραγῳδῶν.

[Συνῳδία: Ἡ ψαλμῳδία.]

Συνωθούμενος: Συνερχόμενος.

Συνῴκησε: Τὸ σύνοικον μετ' αὐτοῦ ἔλαβε· [k]Συνῳκίσατο δὲ, μεθ' ἑαυτοῦ ἦξε.

Συνωμοσάσῃ:

Συνωμοσία: Ἡ μεθ' ὅρκου φιλία. [l]Παρὰ δὲ Ἀττικοῖς συνωμοσία, τάξις τις.

Συνωμότης:

Συνωνή:

[m]Ὅτι ἐπὶ Ἰουστινιανοῦ ἡ τοῦ σίτου φορὰ ἐσπάνιζε, καὶ ἐνδεεστέρως ἢ κατὰ τὴν χρείαν ὁ σιταγωγὸς στόλος ἀφίκετο. Ἀπορούμενος δὲ τοῖς παροῦσιν, [n]ἔν τε Βιθυνίᾳ καὶ Φρυγίᾳ καὶ Θρᾴκῃ χωρίων [o]πειρᾶσθαι μέγα τι χρῆμα σίτου [p]ἠξίου. Ἦν τε ἀναγκαῖον τοῖς ταύτῃ οἰκοῦσι μέχρι μὲν εἰς τὴν θάλασσαν [q]πόνῳ πολλῷ τὰ φορτία φέρειν, ἐς Βυζάντιον δὲ ξὺν κινδύνῳ ταῦτα ἐσκομίζεσθαι, καὶ βραχέα μὲν τιμήματα δῆθεν τῷ λόγῳ πρὸς αὐτοῦ φέρεσθαι, τὴν ζημίαν δὲ αὐτοῖς ἐς τοσόνδε μεγέθους καθίστασθαι, ὥστε ἀγαπᾶν, ἦν τις αὐτοὺς ἐῴη τόν τε σῖτον [r]οἴκῳ δημοσίῳ χαρίζεσθαι, καὶ τίμημα ἕτερον ὑπὲρ αὐτοῦ κατατιθέναι. Τοῦτό ἐστι τὸ ἄχθος, ὅπερ [s]συνωνὴν καλεῖν νενομίκασι.

A Συνώνυμος: Συνώνυμος κατηγορία ἐστὶν, ὅτε τὸ ὄνομα καὶ τὸν ὅρον δέχεται [t]τὸν αὐτὸν τοῦ ὀνόματος. Οἷον, τὸ ζῶον κατηγορεῖται τοῦ ἀνθρώπου, καὶ δέχεται ὁ ἄνθρωπος καὶ τὸ ὄνομα καὶ τὸν ὅρον τοῦ ζώου. Ζῶον γάρ ἐστιν, οὐσία ἔμψυχος, [u]αἰσθητική· καὶ ὁ ἄνθρωπος ἐπιδέχεται τὸν ὅρον τοῦτον· καὶ οὐσία γάρ ἐστιν ὁ ἄνθρωπος, καὶ ἔμψυχος, καὶ αἰσθητική. Ὁμώνυμος δὲ κατηγορία, ὅτε τὸν μὲν ὅρον οὐ δέχεται, ἀλλὰ μό-
B νον τὸ ὄνομα· ὡς ἐπὶ τῆς εἰκόνος τοῦ ἀνθρώπου.

Συνωριγνώμενοι: Ἐπιθυμοῦντες, ἐπεκτεινόμενοι.

Οἱ δὲ τοῦ πλείονος καὶ πρόσω συνωριγνώμενοι, προῆγον ἐπὶ Παμφυλίας.

Συνωρίς: Συζυγία, δυάς. Κυρίως δὲ, [x]δύο ἵπποι συνεζευγμένοι. Κέλης δὲ, ὁ μόνος ἵππος.

Συνώσαντες: Συνεισφρήσαντες.

C [y]Ἐξ αὐτῆς δὲ συνώσαντες, ἐπὶ τὴν πυλίδα [z]ἐσῆλθον.

Σύνταγμα: Ἔνιοι παράταξιν. Αἱ δύο τάξεις, ἄνδρες [a]σνς'. καὶ ὁ ἡγούμενος, [b]Συνταγματάρχης. Τοῦτο δὲ ἔνιοι καὶ ξεναγίαν καλοῦσι, καὶ ξεναγὸν, τὸν ἡγούμενον.

Συντακτήριος:

Συντακτικὸς ὁ Ὠριγένης, διὰ τὸ πεποιηκέναι
D πολλὰ βιβλία.

Συντάξας: Ὁρίσας.

Συντάξας τοῖς κυβερνήταις ἀνακομίζειν τὰς ναῦς κατὰ δύναμιν εἰς τὴν Ἐλαίαν.

Συντάξας: Ἐντειλάμενος. [d]Πολύβιος·

Συντάξας ἐλαύνειν κατὰ σπουδὴν [e]ὅσον ἔχει δυνάμεως.

Σύνταξις: [f]Δύο πραγμάτων ἕνωσις. Καὶ τὸ

---

[f] Ὁ δὲ ἐβουλεύετο καταστρατοπ.] Fragmentum hoc legitur apud Polyb. lib. III. c. 66. KUST. Immo XIV. 10.

[g] ἐβουλεύετο] ἐβουλεύσατο A.B.V.E. Tum καὶ στρατοπεδεῦσαι B.E. cum Polybii libris.

[h] Μετὰ δοτικῆς om. V.

[i] Ὁ δὲ ἀλέκτρ.] Confer Nostrum supra v. Βουλυτός. KUST.

ΣΥΝΩΙΔΙΑ] Deest gl. A.V. Vide supra.

ΣΥΝΩΙΚΗΣΕ] Sic rectius mss. Paris. quam priores editt. quæ habent, συνῴκισε: quod est a συνοικίζω. KUST.

[k] ΣΥΝΩΙΚΙΣΑΤΟ] Συνωκήσατο E.

ΣΥΝΩΜΟΣΑΣΗΙ] Συνομοσάσῃ E.M.

ΣΥΝΩΜΟΣΙΑ] Schol. Thucyd. V. 83. Ξυνωμοσίαν: ἔνορκον φιλίαν.

[l] Παρὰ δὲ Ἀττικοῖς ΣΥΝΩΜΟΣΙΑ] Ex gloss. Herodot. I. 65. ubi συνωμοτία. Malit Ruhnkenius ad Timæum p. 107. παρὰ δὲ Τακτικοῖς συν.

ΣΥΝΩΜΟΤΗΣ om. A.

ΣΥΝΩΝΗ] Συνονὴ V. Συνώνὴ A. Delevi statim τὸ ἄχθος cum A.B.E. τὴν ante χρείαν posui cum A.B.V.E.

[m] ὍΤΙ ἐπὶ Ἰουστινιανοῦ ἡ τοῦ σίτου φ.] Hæc omnia sunt verba Procopii Hist. Arc. c. 22. Ceterum, Alemannus pro συνωνὴ legendum putat ἀννωνή. KUST.

[n] ἔν τε Βιθυνίᾳ, καὶ Φρυγίᾳ, καὶ Θρ.] Sensus et constructio claudicant. Quare legendum forte est, ἐκ τῶν ἔν τε Βιθ. καὶ Φρ. καὶ Θρ. χωρίων συνωνεῖσθαι μέγα τι χρῆμα, &c. KUST. ἐν τῇ B.V.

[o] πειρᾶσθαι] ἴσ. πριάσθαι Procopii margo.

[p] ἠξίου] ἠξίουν B.E.

[q] πολλῷ πόνῳ] πόνῳ πολλῷ A.E.

[r] οἴκοθεν τῷ] οἴκῳ A. Procop.

[s] συνωνὴν] συνονὴν V.

[t] τὸν αὐτὸν τοῦ] τὸν ἀντὶ τοῦ B.E. ἀντὶ τοῦ M. τοῦ αὐτοῦ V.

[u] αἰσθητική. Καὶ ὁ ἄνθρ.——καὶ αἰσθητικὴ] Insignem
E hujus loci lacunam ex ms. A. supplevi. In prioribus enim editt. desunt verba hæc, καὶ ὁ ἄνθρωπος ἐπιδέχεται τὸν ὅρον τοῦτον. Καὶ οὐσία γάρ ἐστιν ὁ ἄνθρωπος, καὶ ἔμψυχος, καὶ αἰσθητική. KUST.

ΣΥΝΩΡΙΓΝΩΜΕΝΟΙ] Sic ms. A. At priores editt. συνοριγνώμενοι, per ο in syllaba secunda: quæ lectio etiamsi ordini literarum adversetur, est tamen melior, si orthographiam spectes. Solet enim verbum hoc per ο scribi. Vide supra v. Ὀριγνηθῆναι. KUST. Συνοριγνόμενοι E. et
F in exemplo.

[x] ἵπποι δύο] δύο ἵπποι A. Post κέλης δὲ delevi ὁ ἐπὶ ἑνὸς ἵππου ὀχούμενος. Καὶ αὐτὸς, cum A.B.V.

[y] Ἐξ αὐτῆς] Suid. v. Ἐξ αὐτῆς. Xenoph. Œcon. p. 85. nov. ed. TOUP.

[z] ἐσῆλθον] ἦλθον V.

ΣΥΝΤΑΓΜΑ] Tacticus in Montfaucon. Bibl. Coisl. p. 506.

[a] σνς'] σθε V.

[b]ΣΥΝΤΑΓΜΑΤΑΡΧΗΣ] Lucian. Pseudol. p. 442. TOUP.

G ΣΥΝΤΑΚΤΙΚΟΣ] Συντάττεσθαι apud scriptores Græcos interdum accipitur pro *valedicere*. Unde λόγος συντακτήριος, vel συντακτικὸς, *oratio valedictoria*. Vide omnino Valesium ad Euseb. lib. III. de Vit. Const. c. 21. p. 226. et Suicerum in Thes. Eccles. v. Συντακτήριος. Quod autem Suidas addit, Origenem appellatum fuisse Συντακτήριον, in eo fallitur. Συντάκτης enim dictus fuit Origenes, auctore Epiphanio, non Συντακτήριος. KUST. A Συντακτήριος sejunxi. Vide supra p. 2791 D.

H [c] Συντάξας—Ἐλαίαν. Συντάξας om. E.

[d] Πολύβιος] Fr. gr. 120. Ab h. l. usque ad ὁμοῦ σκηνοῦν omnia scripta sunt in A. a manu recenti. Folium integrum veteris scripturæ periit.

[e] ὅσον] ὅσην B.E.

[f] Δύο] δευτέρων A.B.E. Photii ms. Lex. Seg. ἑτέρων V. Mox τοὺς στρατευομένους om. Photius, Lex. Seg.

λαμβάνειν, καὶ [g]ποιεῖν τὰ δέοντα τοὺς στρατευομένους.

Ἀποστερῶν τὰς συντάξεις ἁπάσας οὐκ ᾐσχύνετο.

Καὶ Μάλχος·

Τῶν συντάξεων στερηθέντες πολλάκις οἱ στρατιῶται, καὶ [h]παρακοπτόμενοι τῆς τροφῆς τῆς συνήθους, ἐς ἀπόνοιαν ἦλθον.

Καὶ αὖθις Μάλχος·

[i]Ὁ δὲ τὸν Παμπρέπιον λαμπρῶς τε ἐτίμησε, καὶ σύνταξιν [k]ἔδωκε.

[l]Προκόπιος·

Ἅμα δὲ καὶ μεμφόμενοι, ὅτι δὴ σφίσι χρόνου τὰς συντάξεις πολλοῦ τὸ δημόσιον ὦφλε.

Τουτέστι, τὰ διδόμενα.

ΣΎΝΤΑΞΙΣ: Ἡ συγγραφὴ, ἡ ἱστορία. [m]Πολύβιος·

Ταῦτα ἐν ταῖς πρὸ τοῦ συντάξεσι δεδηλώκαμεν.

ΣΎΝΤΑΞΙΣ: Ἀντὶ τοῦ συντεταγμένη [n]οἴκησις. [o]Δημοσθένης Φιλιππικοῖς·

Καὶ μίαν σύνταξιν εἶναι τὴν αὐτὴν τοῦ τε λαμβάνειν καὶ τοῦ ποιεῖν τὰ δέοντα.

[p]Ἔλεγε δὲ ἑκάστους φόρους συντάξεις, ἐπειδὴ χαλεπῶς ἔφερον οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα, Καλλιστράτου οὕτως καλέσαντος. Καὶ Ὑπερίδης δέ φησι·

Σύνταξιν ἐν τῷ παρόντι οὐδενὶ διδόντες· ἡμεῖς δέ ποτε ἠξιώσαμεν λαβεῖν.

ΣΥΝΤΆΣΣΟΜΑΙ: Δοτικῇ.

ΣΥΝΤΕΘΕῖΣΘΑΙ: Καὶ ΣΥΝΤΈΘΕΙΚΑ: Συνεθέμην.

ΣΥΝΤΕΚΜΗΡΆΜΕΝΟΣ: Συμβαλὼν, καταστοχασάμενος. [q]Εὐνάπιος·

Τὸν πάντα βίον αὐτοῦ συντεκμηράμενος ἐκ τῶν ἐναργῶν περὶ αὐτὸν συμβόλων τε καὶ σημείων.

ΣΥΝΤΈΛΕΙΑΙ: Αἱ παντοδαπαὶ τιμωρίαι. Δαβίδ·

Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται ἐν συντελείᾳ.

ΣΥΝΤΈΛΕΙΑ: Πᾶν τὸ πρὸς ζωήν. [r]Ἰώβ·

Ἐπ' αὐτοὺς ἀπώλετο συντέλεια.

Ἀντὶ τοῦ, οὐδέποτέ τι χρηστὸν συνετέλεσαν.

ΣΥΝΤΕΛΕῖΣ: [s]Ὅτε οἱ τριηραρχοῦντες νεὼς μιᾶς

A ἅμα ἐπεμελοῦντο, ΣΥΝΤΕΛΕῖΣ ἐλέγοντο. ΣΥΝΤΕΛΕῖΣ οὖν, οἱ συνδαπανῶντες, καὶ συνεισφέροντες· τὸ δὲ πρᾶγμα ΣΥΝΤΈΛΕΙΑ καλεῖται.

ΣΥΝΤΕΛΉΣ: Χρήσιμος.

ΣΥΝΤΈΜΝΩ: Αἰτιατικῇ.

ΣΥΝΤΈΡΜΩΝ: Πλησιόχωρος.

ΣΥΝΤΕΤΑΓΜΈΝΩΣ: Ἀριστοφάνης Πλούτῳ. Ἀντὶ τοῦ γοργῶς, καὶ μετὰ συγκροτήματός τινος.

B

Ἀσπάζομαι δ', ὅτιὴ προθύμως ἥκετε,
καὶ [t]συντεταγμένως.

ΣΥΝΤΕΤΑ͂ΣΘΑΙ: Διατετᾶσθαι.

ΣΥΝΤΈΤΗΚΕΝ: Ἀντὶ τοῦ συγκεκόλληται, συμπέπηγε.

Ψευδὴς ἀντ' ἀληθοῦς συντέτηκε δόξα.

Καὶ ΣΎΝΤΗΞΙΣ, ἡ τοῦ σώματος [u]φθορὰ καὶ ἰσχνότης.

[x]Τοσαύτη δὲ ἄρα ἡ σύντηξις τοῦ σώματος ἦν αὐτῷ, ὡς ἀδύνατον
C εἶναι καὶ τὴν τῶν ἱματίων φέρειν ἐπιβολήν.

ΣΎΝΤΕΥΞΙΣ: Συντυχία.

ΣΥΝΤΕΎΞΟΜΑΙ: Συντύχω.

ΣΥΝΤΙΜΗΘΗ͂ΝΑΙ: Τὸ πολλῆς τιμῆς γενέσθαι τὰ ὤνια, συντιμηθῆναι. Οὕτω [y]Δημοσθένης.

ΣΥΝΤΟΜΆΧΗ:

Οἱ δὲ ἐκυρίευσαν τῆς Συντομάχης.

ΣΥΝΤΌΜΙΣΟΝ: Συνάγαγε συντόμως.

D ΣῪΝ ΤΩ͂Ι ΚΥΝῚ ΚΑῚ ΤῸΝ ἹΜΆΝΤΑ:

ΣΥΝΤΡΈΧΩ: Δοτικῇ.

ΣΎΝΤΡΗΤΟΣ. Καὶ ΣΥΝΤΡΊΒΩ: Αἰτιατικῇ.

ΣΥΝΤΡΟΧΆΣΑΙ: [z]Καταντλῆσαι, πληρωθῆναι, ἐκ μεταφορᾶς τῶν τροχῶν.

ΣΥΝΤΥΓΧΆΝΩ: Δοτικῇ.

ΣΥΝΤΥΡΟΎΜΕΝΑ: Συμπηγνύμενα.

E ΣΥΝΤΥΧΊΑ: Ἡ αἰφνίδιος τῶν πραγμάτων μεταβολή.

Ὑπολαβὼν οὖν οὐ κατὰ συντυχίαν ἀλλ' ὑπό τινος ἕξεως τοιαύτην εἶναι περὶ αὐτὸν διάθεσιν.

ΣΥΝΟΊΜΙΟΝ: Τὸ προοίμιον.

ΣΥΝΟΊΣΕΙΝ: [a]Συνεισενεγκεῖν.

[g] τὸ ποιεῖν] τὸ om. B.V.E. Photius, Lex. Seg.

[h] παρακοπτόμενοι] παρακοπτόμενος E. Mox στροφῆς V.

[i] Ὁ δὲ τὸν Παμπρ.] Vide supra v. Παμπρέπιος, ubi locus hic multo auctior legitur. KUST.

[k] ἐδωρήσατο] ἔδωκε A.B.V.E. suprasc.

[l] Προκόπιος] Lib. II. de Bello Pers. c. 7. KUST.

[m] Πολύβιος] Fr. gr. 121.

ΣΥΝΤΑΞΙΣ: Ἀντὶ τοῦ συντ.] Ex Harpocratione. KUST.

[n] οἴκησις] Scribendum puto, διοίκησις: quæ et Valesii conjectura est. KUST.

[o] Δημοσθένης Φιλιππ.] Olynth. I. p. 3. KUST. p. 14, 27.

[p] Ἔλεγε δὲ ἑκάστους] ἔλεγον δὲ καὶ τοὺς Valcken. Herodot. II. 109. p. 153. TOUP.

ΣΥΝΤΕΘΕΙΣΘΑΙ] Deest art. V.

[q] Εὐνάπιος] Fr. 62.

ΣΥΝΤΕΛΕΙΑΙ] Explicatio est Theodoreti ad Ps. LVIII. 13. ubi pro ἐν συντελείᾳ Rom. ed. habet συντέλειαι, estque hujus loci obscura versio, cum in Hebr. sit כַּלֵּה *consume:* quæ quidem vox pertinet ad v. 14. ERNEST. Συντέλεια B.V.E.

[r] Ἰώβ] Cap. XXX. 2. prior explicatio est ex versione Symmachi ad hunc locum. ERNEST.

ΣΥΝΤΕΛΕΙΣ] Confer Harpocrationem h. v. ex quo partem Eclogæ hujus Suidas excerpsit. KUST.

[s] Ὅτι] ὅτε B.V. Photius. Mox καὶ ante συντελεῖς om. A.B.V. Photius.

ΣΥΝΤΕΛΗΣ] Vid. Abresch. ad Æschyl. T. I. p. 303.

F ΣΥΝΤΕΤΑΓΜΕΝΩΣ] Male pro συντεταμένως. Vide notam sequentem. KUST.

[t] συντεταγμένως] Sic etiam hodie legitur apud Aristophanem in Plut. 325. Sed male. Tam enim sensus quam metrigratia scribendum est, συντεταμένως. KUST. καὶ om. B.V.

[u] φθορὰ] φορὰ V.

[x] Τοσαύτη δὲ ἄρα ἡ σύντ.] Hæc sunt verba Æliani de Epicuro, ut discimus ex ipso Suida supra v. Ἐπίκουρος, ubi integer locus adducitur. KUST.

G [y] Δημοσθένης] In orat. advers. Dionysodor. p. 739. Vide Nos supra ad v. Συνετιμήθη. KUST.

ΣΥΝΤΡΕΧΩ] συντρέχειν ταῖς ἀλόγοις ὀρέξεσιν Simplic. in Epictet. c. 13. i. e. *adsentiri, consentire.* REINES.

ΣΥΝ ΤΩΙ ΚΥΝΙ] Vid. Erasm. Adag. IV. 3, 26. PORTUS. Apostol. XVII. 63.

[z] Καταντλῆσαι] Sic etiam mss. At Hesychius, necnon auctor Etymologici, et Photius in Lexico ms. rectius, καταντῆσαι. KUST.

H ΣΥΝΤΥΡΟΥΜΕΝΑ] Aristoph. Equit. 477. Συντηρούμενα A.

ΣΥΝΟΙΜΙΟΝ] Aliter vocem hanc exponit Scholiastes Apoll. Rhod. ad lib. II. 161. KUST.

ΣΥΝΟΙΣΕΙΝ] Soph. Aj. 432. Vid. Schol. Sed leg. συνῴσειν. TOUP.

[a] Συνεισενεγκεῖν] Addit E. ἀπὸ τοῦ οἴω καὶ ὠφελήσειν.

Συνοῖσον: Συμφέρον.

[b]Ἐν ὑμῖν τε κείσθω προτιμῆσαι τὸ συνοῖσον, καὶ τὰ εἰρηναῖα πρὸ τοῦ πολέμου ἑλέσθαι.

Καὶ αὖθις·

[c]Αὐτός τε γὰρ τῷ ἐπιβόλῳ τῆς φύσεως ἐγίνωσκε τὸ συνοῖσον εὐστοχώτατα.

Συνοικήσεται: Συναναιρεθήσεται.

Συφορβία: Ἀγέλη χοίρων.

Συώδεις: [d]ἀπὸ τοῦ τοῖς ὑσὶν [e]ἐπιφωνουμένου.

Σύρα: Παρὰ Ῥωμαίοις ἡ θεία ἐπιστολή.

Συράκουσα: Πόλις Σικελῶν.

Συρακουσία τράπεζα: Ἡ πολυτελής· ἐδόκουν γὰρ οἱ Σικελιῶται ἁβροδίαιτοι εἶναι μᾶλλον πάντων. Καί, [f]Συρακουσίων δεκάτη.

Σύρβη: Τάραχος.

Συρβηνεύς: Ὁ ταραχώδης. Ἀπὸ τῶν αὐλούντων μετὰ θορύβου· ἤ, πένης, διὰ τὸ τὰς αὐλοθήκας καὶ φαρέτρας κενὰς [g]ἔχειν. Καί, Συρβηνέων χορός: Ὁ τεταραγμένος, καὶ συώδης· ἀπὸ τοῦ τοῖς ὑσὶν ἐπιφωνουμένου. Διὸ τάττεται ἡ παροιμία, [h]Συρβήνης χορός, ἐπὶ τῶν ἀτάκτων χορῶν.

Συριανός, Ἀλεξανδρεύς, [i]φιλόσοφος, ἡγησάμενος τῆς ἐν Ἀθήναις σχολῆς τε καὶ διατριβῆς, διδάσκαλος γενόμενος Πρόκλου, ὃς καὶ διάδοχος αὐτοῦ ἐγένετο. Ἔγραψεν εἰς Ὅμηρον ὅλον ὑπόμνημα ἐν βιβλίοις ζʹ, Εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δʹ, Εἰς τὴν Ὀρφέως Θεολογίαν βιβλία βʹ, [k]Εἰς τὰ Πρόκλου περὶ τῶν παρ' Ὁμήρῳ Θεῶν, Συμφωνίαν Ὀρφέως, Πυθαγόρου, καὶ Πλάτωνος, [l]Περὶ τὰ Λόγια, βιβλία δέκα· [m]καὶ ἄλλα τινὰ ἐξηγητικά.

A Ὅτι Ἰσίδωρος ὁ φιλόσοφος, ὥς φησι Δαμάσκιος, [n]πάντα τὰ τῶν παλαιῶν ἐξετάζων οὐκ ἀνίει πρὸς τὸ ἀκριβέστατον· προσεῖχε [o]δὲ τὸν νοῦν ἐς τὰ μάλιστα μετὰ Πλάτωνα τῷ Ἰαμβλίχῳ, καὶ τοῖς Ἰαμβλίχου φίλοις δὴ καὶ ὀπαδοῖς· ὧν ἄριστον εἶναι διϊσχυρίζετο τὸν ἑαυτοῦ πολίτην Συριανόν, τὸν Πρόκλου διδάσκαλον. Ἀτιμάζειν δὲ οὐδένα ἠξίου πρὸς συναγυρμὸν [p]ἀληθοῦς ἐπιστήμης.

B Συριγμός: Φωνὴ ἄσημος.

[q]Τοὺς δὲ συριγμοὺς τοὺς ἐν ταῖς κοιναῖς πανηγύρεσι, καὶ τοὺς χλευασμοὺς τίς [r]ἐξηγήσαιτο ῥᾳδίως;

Καὶ αὖθις·

Οἱ δὲ Ῥωμαῖοι κατεχειροτόνουν συρίττοντες, καὶ ταραχὴν ταῖς βοαῖς ἐνεποίουν.

Σύριγξ: Τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος· καὶ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτω καλεῖται. [s]Σοφοκλῆς·

C Κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων
[t]ἔχριμπτ' ἀεὶ σύριγγα.

Σύριγξ καὶ ἡ ἐπιμήκης διώρυξ.

Καὶ τούτους κελεύει σύριγγα βαθεῖαν [u]ὑπὸ τὸν λόφον τρήσασθαι.

Καὶ σύριγγος, αὐλοῦ, ἢ δορατοθήκης. [x]Πισίδης·

D Τίς τὴν μέλιτταν τὴν σοφὴν τὴν ἐργάτιν
γεωμετρεῖν ἔπεισεν [y]Εὐκλείδου νόμος,
ποιεῖν δὲ τὰς σύριγγας οὐκ ἐπ' εὐθείας;

Συρίσας: Ἀπὸ τοῦ συρίζω ἐνεστῶτος.

Συρμαΐζειν: Καθαίρειν πόματι ἐκ ζειῶν καὶ ὕδατος. [Οὕτως Ἡρόδοτος.] Καὶ συρμαίη παρὰ τῷ αὐτῷ, λάχανον σελίνῳ ἐοικός.

E [b] Ἐν ὑμῖν τε κείσθω] Hæc sunt verba Menandri in Excerptis Hœschelii, p. 91. TOUP.

[c] Αὐτός τε γὰρ τῷ ἐπιβόλῳ] Agathias, lib. V. p. 162. Αὐτός τε γὰρ ΟΙΚΟΘΕΝ τῷ ἐπιβόλῳ τῆς φύσεως εὐστοχώτατα ΔΙΕΓΙΝΩΣΚΕ τὸ συνοῖσον. Quæ haud paulo elegantiora sunt. Sed sic solet noster Suidas. TOUP. ἐπηβόλῳ A.E. In fine ἀστοχώτατα V.

[d] ἀπὸ τοῦ τοῖς ὑσὶν ἐπιφ.] Hæc nihil ad rem faciunt, et loco commodiore repetuntur paulo inferius v. Συρβηνεύς. KUST.

F [e] ἐπιφωνουμένου] ἐπιφωνουμένους A.

ΣΥΡΑ] Hanc gl. om. Portus.

ΣΥΡΑΚΟΥΣΙΑ ΤΡΑΠΕΖΑ] Vid. Athen. XII. p. 527 C.D.

[f] Συρακουσίων] Συρακουσία V.

ΣΥΡΒΗ] Zenobius VI. 1.

ΣΥΡΒΗΝΕΥΣ] A σύρβη, quod idem est ac τύρβη. Τὸ σ enim et τ non raro inter se commutantur. Quare ineptiunt Grammatici, qui a nomine σῦς etymologiam vocis hujus arcessunt. Vide Casaub. ad Athen. lib. XV. c. 16. KUST.

G [g] ἔχειν om. V. cum Photio et Etymol. M. p. 736, 21. Mox ἐπιφωνουμένοις V.

[h] ΣΥΡΒΗΝΗ ΧΟΡΟΣ] Scribe, ut paulo ante, συρβηνέων χορός. KUST. Συρβήνης A.B.V.E. cum Zenobio VI. 1.

ΣΥΡΙΑΝΟΣ] Philoxeni filius, Marinus in vita Procli p. 25. Cognatus ejus erat Ammonianus. Vid. supra ad Ἀμμωνιανός.—Διδάσκαλος Πρόκλου, vid. Marin. Vit. Procl. p. 25. REINES. Vid. Jonsii Hist. Scr. Phil. p. 300. Vales. de Crit. I. 19.

H ibid. Ὁ φιλόσοφος Συριανὸς ὕμνον εἰς τοῦτον τὸν ἥρωα γράφων, Achillem, cujus ante facta fuit mentio Zosim. IV. p. 222, 20. Vid. Πλούταρχος Νεστορίου. Πρόκλος ὁ Λύκιος. HEMST.

[i] φιλόσοφος] A.V.E. addunt ἰσοκρατίων, et B. suprasc. ζήτει.

[k] Εἰς τὰ Πρόκλου] Pro nota lectoris marginali habet Fabricius Bibl. Gr. V. 26. p. 450. nam Proclus Syriano junior, ejusque discipulus. Hunc tamen Procli de diis Homericis commentarium recenset Suidas. HEMST. εἰς τὰ Πρόκλου om. E.

[l] Περὶ τὰ Λόγια] Forte scribendum est, περὶ τῶν Λογίων. KUST.

[m] καὶ ἄλλα τ. ἐξ om. V.

[n] πάντα τὰ] τὰ om. A. πάντων παλαιῶν V.

[o] δὴ] δὲ V.

[p] τῆς ἀληθοῦς] τῆς om. A.B.V.E.

[q] Τοὺς συριγμοὺς τοὺς ἐν τ.] Hæc sunt verba Polybii in Excerptis a Valesio editis, p. 145. KUST. XXX. 20. δὲ addit A.

[r] ἐξηγήσαιτο] ἐξηγήσεται E.

ΣΥΡΙΓΞ: Καὶ ἡ] Ammian. Marcellin. XVII. 7. p. 183. et Lindenbrog. HEMST. Vid. Wesseling. Diod. Sic. II. 10. Adde Phrynichum Bekkeri p. 64, 12.

[s] Σοφοκλῆς] In Electr. 720.

[t] ἔχριμπτ'] ἔγχριπτ' A. ἔγχριμπτ' B.

[u] ὑπὸ—τρήσασθαι] ἀπὸ—πριήσασθαι V. qui mox αὐτοῦ.

[x] Πισίδης] In Hexaëmero, 1137. (1165.) et seqq. sed ubi locus hic ita legitur: Τίς τὴν μέλιτταν τὴν σοφὴν, τὴν ἐργάτιν, Γεωμετρεῖν ἔπεισε, καὶ τριωρόφους Οἴκους ἐγείρειν ἑξαγώνων κτισμάτων, Ποιεῖν δὲ τὰς σύριγγας οὐκ ἐπ' ὀρθίας Γραμμῆς διευθύνουσαν, &c. KUST.

[y] Εὐκλείδου νόμος om. V. Γεωμετρῶν ἐντεῦθεν Εὐκλείδη σκοπεῖ Pisides v. 1176. quem Suidas in brevius contraxit. Mox ποιεῖς E.

ΣΥΡΜΑΙΖΕΙΝ] Gl. Herodot. II. 77. Vulgo Συρμαΐζειν: καθαίρειν. Deinde Συρμαίη: πόμα ἐκ ζειῶν καὶ ὕδατος· οὕτως etc. Reposui lectionem omnium mss. nisi quod B.E. præbent πόματα. Tum omnes omittunt οὕτως Ἡρόδοτος. Seqq. sunt ex Gl. ad II. 125.

ΣΥΡΜΑΊΑ: Τὸ καθαρτικὸν δι᾽ ἐμέτων καὶ κοιλίας. A [z]Καὶ ΣΥΡΜΑΐΖΕΙΝ τὸ κενοῦσθαι, ἐκ ζειῶν καὶ ὕδατος. Οὕτως Ἡρόδοτος. Ἢ λάχανον σελίνῳ ἐοικός. Ἢ, βρῶμα διὰ στέατος καὶ μέλιτος.

ΣΥΡΜΌΣ: Τοῦ νιφετοῦ ἡ φορά.

[a]Οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
οὐ νιφετῶν συρμούς, οὐ [b]παταγεῦσαν ἅλα.

Περὶ Ὀρφέως ὁ λόγος.

ΣΎΡΩ: Τρέχω. [c]Πισίδης·

Σύρει πρὸς ἡμᾶς ὁ στρατὸς μετὰ δρόμου.

ΣΎΡΟΙ ΠΡΟΣ ΦΟΊΝΙΚΑΣ: Ἑκάτερα τὰ ἔθνη διαβέβληται ὡς πανοῦργα· ἢ ὅτι ἑκάστοτε ἀλλήλοις δι᾽ ἔχθρας ὄντα οὐδέποτε πιστῶς διαλλάττεται.

ΣΎΡΦΑΞ: Συρφετώδης, ὀχλώδης.

[d]Ἐξῆρε δὲ αὐτὸν πλείω πρὸς τοιαύτην μαίνεσθαι δόξαν, τὸ ὑπὸ δήμου σύρφακος ἐν εὐφημίαις ἀνακαλεῖσθαι Πύρρον. Ὃς εἰ μὲν οὕτως ἐβόα διὰ τὸ ἐρυθροπρόσωπον εἶναι, ἔλεγεν εἰκότα· [e]εἰ δὲ ὡς πρὸς ἔπαινον ἀνδρείας, ἔθελγεν ὡς νέον. Οὐ γὰρ ἥρωας ἔβαλλεν, [f]ὡς Πύρρος [g]ὁ Ἀχιλλέως, ἀλλὰ γυναικομανὴς ἦν ὡς Πάρις.

ΣΥΡΦΕΤΌΣ: Ἀγυρτώδης ὄχλος, ἢ λόγος· ἢ ἐξ ἀνέμου συλλεγομένη κόπρος, καὶ φρυγανώδης, ἤτοι κονιορτὸς μετὰ κοπρίων. Τινὲς δὲ χειμὼν, καὶ συρμός.

A Ταῦτα δὲ ἄγνωστα τῷ συρφετῷ.

ΣΥ͂Σ: Ὁ χοῖρος. Ὅτι ἡ σῦς ἐπὶ θηλείας· Σῦς δὲ, ἐπὶ ἄρρενος. [h]Κέχρηνται δὲ ἀδιαφόρως·

[i]Ὅπως δὲ δόξητ᾽ ἦμεν ἀγαθὰ συός.

ΣΥΣΣΕΙΣΜΌΣ: Λαίλαψ, συστροφὴ ἀνέμου.

ΣΥΣΣΗΜΑΊΝΕΣΘΑΙ: Ὃ καλοῦσι κατασφραγίσασθαι, τοῦτο οἱ ῥήτορες συσσημαίνεσθαι λέγουσι. [k]Λυκοῦργος ἐν τῷ Περὶ ἱερείας·

B Ὥστε προστεταγμένον ἐπὶ ψηφίσματος καὶ τὴν ἱέρειαν συσσημαίνεσθαι τὰ γραμματεῖα.

Καὶ ΣΎΣΣΗΜΟΝ, τὸ σημεῖον.

ΣΥΣΣΙΤΊΑ: Καὶ ΣΥΣΣΊΤΙΟΝ: Εὐωχία, ἄριστον.

ΣΎΣΣΙΤΟΣ: Σύντροφος, συνδιαιτητής.

Τοῦ δὲ κεκληκότος ἐφ᾽ ἑστίασιν τοὺς ὁμοτίμους, ἔτυχε κἀμὲ προτραπῆναι, ἐν τῷ συσσιτίῳ ἀμφὶ τὸ μέσον τοῦ δείπνου τῶν δαιτυμόνων τὸν ἑστιάτορα ἐκθειαζόντων.

C ΣΥΣΚΕΥΆΖΕΙ: Λόγῳ ἐπιβουλεύει. Καὶ ΣΥΣΚΕΥΗ, ἡ ἐπιβουλή. ΣΥΣΚΕΥΆΖΕΣΘΑΙ δὲ, τὸ πρὸς τὴν ὁδὸν εὐτρεπίζεσθαι.

[l]Ὄναρ [m]ἐφίσταται θεία τις ὄψις, καὶ λέγει, δεῖν συσκευάζεσθαι· καλεῖν γὰρ τὸ χρεὼν αὐτόν.

ΣΥΣΚΕΥΆΖΕΣΘΑΙ: Ἐπιφέρεσθαι. [n]Ξενοφῶν·

---

ΣΥΡΜΑΙΑ] Vide Erotianum, v. Ἀπὸ συρμαϊσμοῦ. KUST.

[z] Καὶ ΣΥΡΜΑΙΖΕΙΝ—ἐοικός] Hæc vulgo omissa inserunt omnes mss. Quomodo hæc emendanda sint, patet ex Photio, qui agnoscit Συρμαία: τὸ καθ.—οὕτως Ἡρόδοτος, omissis ἐκ ζειῶν καὶ ὕδατος. Lege igitur, sejunctis quæ male confusa sunt, primo, Συρμαΐζειν: καθαίρειν πόματι ἐκ ζειῶν καὶ ὕδατος. Καὶ Συρμαίη παρὰ τῷ αὐτῷ, λάχανον σελίνῳ ἐοικὸς, ἢ βρῶμα διὰ στέατος καὶ μέλιτος. Deinde, Συρμαία: τὸ καθαρτικὸν δι᾽ ἐμετῶν καὶ κοιλίας. Καὶ Συρμαΐζειν, τὸ κενοῦσθαι. Οὕτως Ἡρόδοτος. De συρμαία quædam habet Schol. E Aristoph. Pac. 1253.

[a] Οὐκέτι κοιμάσ.] Anthol. Pal. VII. 8.

[b] παταγεῦσαν] πατάγουσαν V.E.

[c] Πισίδης] Fr. Foggin. 147.

[d] Ἐξῆρε δὲ αὐτὸν πλ.] Hæc sunt verba scriptoris Anonymi de Harmato, ut discimus ex ipso Suida supra v. Ἁρμάτος, ubi locus hic auctior legitur. KUST.

[e] εἰ δὲ] εἰ δ᾽ ὡς A.B.V.

[f] ὡς Πύρρος] Apud Suidam v. Ἁρμάτος legitur: Οὐ γὰρ ἥρωας ἔβαλλεν ὡς Πύρρος, ἀλλὰ γυναιμανὴς ἦν ὡς Πάρις. Quod F omnino rectum. Ceterum hunc locum, qui in elegantissimis est, Henricus Valesius in notis ad Evagrium Damascii esse putat in vita Isidori. Ego Candido Historico adsignaverim, cujus Excerpta leguntur apud Photium. Quod, ut alia taceam, ex stilo verisimile est. Sed hoc est hariolari. Illud vero certissimum, nec Valesium, nec Kusterum, veram hujus scriptoris manum deprehendisse. Locum pulcherrimum adscribam: Ὁ δὲ Ἁρμάτος ἔκ τε φορᾶς χρημάτων, καὶ τιμῆς ἀπλέτου G τυφωθεὶς, οὐδένα αὐτοῦ ᾤετο διοίσειν ἐπ᾽ ἀνδρείᾳ, καὶ τοσοῦτον αὐτοῦ ἧδε ἡ ἄλη ἐπεκράτει, ὡς σκευὴν ἀναλαμβάνειν Ἀχιλλέως, οὕτω τε περιβαίνειν εἰς ἵππον, καὶ κατὰ τὸν ἱππόδρομον φρυάττεσθαι τοῦ οἴκου. Ἐξῆρε δὲ τοῦτον πρὸς τοιαύτην μαίνεσθαι δόξαν τὸ ὑπὸ δήμου σύρφακος ἐν εὐφημίαις ἀνακαλεῖσθαι Πύρρον. Hæc non uno malo laborare video. Primum Græci περιβαίνειν ἵππον dicunt, non περιβαίνειν εἰς ἵππον. Plutarch. in Pyrrho: Καὶ ΠΕΡΙΒΑΝΤΑ ΝΙΣΑΙΟΝ ἹΠΠΟΝ ἡγεῖσθαι. Idem in Alexandro: Μικρὰ δὲ οὕτω παρακαλπάσας καὶ καταψήσας ΤΟΝ ἹΠΠΟΝ, ὡς ἑώρα πληρούμενον θυμοῦ καὶ πνεύ- H ματος, ἀπορρίψας ἡσυχῇ τὴν χλαμύδα, καὶ μετεωρίσας αὐτὸν, ἀσφαλῶς ΠΕΡΙΕΒΗ. Heliodor. Æthiop. lib. IX. p. 432. ΠΕΡΙΒΑΙΝΕΙ ΤΟΝ ἹΠΠΟΝ οὐκ αὐτὸς ἐφαλλόμενος, ἀλλ᾽ ἑτέρων διὰ τὸ ἄχθος ἀνατιθεμένων. [Apion apud A. Gellium lib. VII. 8. Καὶ ἱππηδὸν περιβεβηκότα μέχρι διακοσίων ἀνῆγε σταδίων· ἐξεχεῖτο δ᾽ ἄρα ἡ Ῥώμη καὶ πᾶσα ἡ Ἰταλία θεάσα-

D σθαι ἰχθὺν νηχόμενον ὑπὸ ἔρωτος. Casaubonus ἀντὶ τοῦ, νηχόμενον, legit νικώμενον. Sed Jac. Gronovii est vera lectio, ἡνιοχούμενον. Quem vide.] Hinc Schol. ad Hom. Odyss. ε΄. 130. Περὶ τρόπιος βεβαῶτα. ΠΕΡΙΒΕΒΗΚΟΤΑ ΤΗΝ ΤΡΟΠΙΝ. Deinde verba illa φρυάττεσθαι τοῦ οἴκου corruptissima esse nemo non videt. Apud Suidam supra v. Ἄλη, legitur, φρυάττεσθαι τοῦ ἵππου· quod nihilo sanius est. Æmilius Portus, in hac palæstra princeps versatus, legendum putabat, φρυάττεσθαι τοῦ ἵππου τρόπον. Quod Ku-
E stero non displicebat. Equidem nullus dubito, quin ita auctor reliquerit: Καὶ κατὰ τὸν ἱππόδρομον ΚΑΤΑΦΡΥΑΤΤΕΣΘΑΙ ΤΟΥ ὈΧΛΟΥ. Quæ elegans et significantissima locutio. Καταφρυάττεσθαι τοῦ ὄχλου. *Ferocius atque insolentius se gerere adversus populum.* Nimirum Harmatus ita se efferebat, ut Achillis habitum indueret, et equo vectus per circum discurreret, et hominum capitibus insultaret. Hic sensus loci est. Verbum, quod rarius est, peropportune agnoscit Suidas: Καταφρυάττομαι· γενικῇ. TOUP.

F [g] ἢ Ἀχιλλέως] Lege, ὁ Ἀχιλλέως, i. e. *Achillis filius.* KUST. Sic B.V.E.

ΣΥΡΦΕΤΟΣ—φρυγανώδης leguntur in Schol. Platon. p. 117. Sequentia ita exhibentur ibid. p. 17. Συρφετῷ] κονιορτῷ τῷ μετὰ κόπρων· οἱ δὲ κοιμὼν, καὶ συρμὸς, καὶ σύρφη, φρύγανα.

[h] Κέχρηται] κέχρηνται A.B. seqq. om. V. Inserui mox δὲ ex A.

[i] Ὅπως δόξ.] Aristoph. Acharn. 741. Ὅπως δὲ δοξεῖτ᾽ ἦμεν ἐξ ἀγαθᾶς ὑός. KUST. Schol. ad eum locum de-
G scripsit Suidas.

ΣΥΣΣΕΙΣΜΟΣ] Vox τῶν ο΄ in variis locis obvia. ERNEST. Συσεισμὸς V.

ΣΥΣΣΗΜΑΙΝΕΣΘΑΙ] Confer Harpocrationem v. Σεσημασμένῳ. KUST.

[k] Λυκοῦργος δὲ] δὲ om. A.B.V.E.

ΣΥΣΚΕΥΑΖΕΙ] Memnon apud Phot. Bibl. in Clearcho. TOUP.

[l] Ὄναρ ἐφ.] Si conferas quæ scribit Xenophon Κ. Π.
H VIII. p. 138. [VIII. 7, 1.] hæc de Cyro dicta videbuntur ab alio quodam scriptore, qui Xenophontis verba paulisper immutavit. HEMST. Idem fere notavit Abreschius. Locum Æliano assignat Valckenærius.

[m] ἐφίσταται] ἐφίστασθαι E. Tum λέγειν A. λέγειν δὴ V.

[n] Ξενοφῶν] Lib. VI. de Institut. Cyri, p. 161. KUST. VI. 2, 26.

Ὁ Κῦρος ἔφη τοῖς στρατιώταις συσκευάζεσθαι σῖτα ἡμερῶν εἴκοσιν, [o]οἶνον δὲ τοσοῦτον ἕκαστον χρὴ, ὅσος ἱκανός ἐστιν ἐθίσαι ἡμᾶς αὐτοὺς ὑδροποτεῖν.

**Συσκηνία:** Συνοικία. [p]Ξενοφῶν·

Ὅτι ἐν τῷ ὁμοῦ σκηνοῦν τοὺς στρατιώτας ἐδόκουν ὠφελεῖσθαι πρὸς τὸν μέλλοντα ἀγῶνα. Ἑώρων γὰρ ἀλλήλους [q]ὁμοίως τρεφοσμένους, καὶ οὐκ ἦν πρόφασις μειονεξίας, ὥστε ὑφίεσθαί τινα κακιώτερον ἑτέρου εἶναι πρὸς τοὺς [r]πολεμίους. Καὶ ὅτι ἐγίνωσκον ἀλλήλους, καὶ τὸ αἰσχύνεσθαι πᾶσιν ἐδόκει ἐγγίνεσθαι· οἱ δὲ ἀγνοοῦντες, ῥᾳδιουργοῦσιν ὥσπερ ἐν σκότει ὄντες.

**Σύσκια:** Τὰ δασέα.

Πρῶτα μὲν τὰ σύσκια τῶν χωρίων [s]ἀνεκάθαιρεν· ἔπειτα τοὺς βασιλικοὺς παραδείσους [t]ἐξέτεμεν.

**Συσπειραθέντες:** Συστραφέντες.

Οἱ δὲ πρὸς [u]τὴν φήμην συσπειραθέντες καὶ διελιχθέντες, παρά τε ἀλλήλους ἔτρεχον καὶ συνίσταντο.

**Σύστασις:** Ἀγάπη, ὁμόνοια. Ἀπὸ μεταφορᾶς τῶν ἵππων τῶν ὁμοῦ ἱσταμένων, τῶν συντρόφων. [x]Πολύβιος·

Ὁ δὲ οἰκείως διέκειτο πρὸς τοὺς Καρχηδονίους, πατρικὴν ἔχων σύστασιν.

**Σύστασις:** Καὶ **Συσταθῆναι**, ὁμοδίαιτον καὶ [y]φίλον γενέσθαι.

[z]Ἐλθόντα δι' ἀπορίαν ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δ' Ἀριστίππου συσταθῆναι.

**Συστέλλω:** Αἰτιατικῇ.

**Συστήσας:** Παραδοὺς, προσμίξας. Πολύβιος·

Τοῦτον ἐξαπέστειλε, συστήσας ἱππεῖς [a]πεντακοσίους, δυναμένους ἔτι πονεῖν.

**Συστομώτερον [b]σκάφης:** Τάσσεται ἐπὶ τῶν διὰ τὸ [c]ἀγεννὲς σιωπώντων. Θεόφραστος [d]γὰρ ἐν τῷ περὶ Νόμων, εἰρῆσθαι ἀπὸ τοῦ τοὺς μετοίκους Ἀθήνησιν ἐν ταῖς δημοτελέσι πομπαῖς σκάφας φέροντας πομπεύειν· καὶ ὁπότε δὲ ἐβούλοντο μέτοικον δηλῶσαι, ἢ σκάφην ἔλεγον, ἢ σκαφηφόρον. [e]Διὰ δὲ τὸ ἀπαρρησίαστον εἶναι, συστομώτερον ποιήσειν [f]ἀπειλεῖν σκάφης.

**Συστρέμματα:** [g]Στασιαστῶν [h]πλῆθος.

**Συστροφή:** Ἡ ὁμόνοια, [i]καὶ ἡ ἐπὶ κακῷ συμφωνία. [k]Δαβίδ·

Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων.

**Σύστοιχα**, καὶ **Παρώνυμα**, καὶ **Πτώσεις**, [l]παρακαθῆσθαι μὲν ἀλλήλοις δοκοῦντα, διαφέροντα δέ. Σύστοιχα [m]λέγεται ἀλλήλοις καὶ τὰ ὁμοίως ἔχοντα πρός τινα, ἃ καὶ κατὰ ἀναλογίαν εἴη ἄν· ὡς ἐπιστήμη, καὶ αἴσθησις· ἑκάτερον γὰρ αὐτῶν ὁμοίως ἔχει πρὸς τὰ ὑφ' αὐτά. Ὁμοίως καὶ τὸ αἰσθητὸν, καὶ τὸ ἐπιστητόν· ἑκάτερον γὰρ αὐτῶν ὁμοίως ἔχει πρὸς τὰ ὧν ἐστί. Σύστοιχα λέγουσι καὶ πάντα τὰ ὁμοίως παρωνομασμένα ἀλλήλοις τε καὶ [n]ἐκείνῳ ἀφ' οὗ παρωνόμασται· οἷον, ἀπὸ τῆς δικαιοσύνης παρωνόμασται ὁ δίκαιος, [o]καὶ τὸ δίκαιον, καὶ τὸ δικαίως. Ταῦτα δὴ καὶ ἀλλήλοις ἐστὶ σύστοιχα, καὶ αὐτῇ τῇ δικαιοσύνῃ. Παρώνυμα δὲ [p]μόνα τὰ ἀπό τινος παρωνομασμένα, [q]ἐκείνῳ λέγουσιν, ᾧ παρωνόμασται, ἀλλ' οὐκ ἀλλήλοις, οὐδὲ ἐκεῖνα τούτοις· τῇ γραμματικῇ ὁ γραμματικός· οὐκέτι δὲ ἡ γραμματικὴ τῷ γραμματικῷ.

**Συστοιχία:**

[r]Ὁ δὲ ἐν τῇ [s]στάσει ἐγίνετο τῆς χείρονος συστοιχίας, ἀποστὰς μὲν ἀπὸ τῶν πρώτων μαθημάτων, προσφυεὶς δὲ τοῖς ἄλλοις.

---

[o] οἶνόν τε] οἶνον δὲ A.B.V. qui mox ἡμᾶς pro ὑμᾶς. Tum αὐτοὺς om. A.

[p] Ξενοφῶν] Lib. II. [1, 25.] de Instit. Cyri, p. 23. sed ubi sic legitur: Ἐν δὲ τῷ ὁμοσκηνοῦν ἐδόκουν μὲν αὐτῷ ὠφελεῖσθαι πρὸς τὸν μέλλοντα ἀγῶνα τοῦτο, ὅτι ἑώρων ἀλλήλους ὁμοίως τρεφομένους. Et, ὑφίεσθαί τε τινὰ, κακίω τε ἕτερον ἑτέρου εἶναι πρὸς τοὺς πολεμίους. Ὠφελεῖσθαι δὲ ἐδόκουν αὐτῷ καὶ πρὸς τὸ γιγνώσκεσθαι ἀλλήλους ὁμοσκηνοῦντες. Ἐν γὰρ τῷ γιγνώσκεσθαι καὶ τὸ αἰσχύνεσθαι πᾶσιν ἐδόκει μᾶλλον ἐγγίνεσθαι. Οἱ δὲ ἀγνοούμενοι ῥᾳδιουργεῖν πως μᾶλλον δοκοῦσιν, ὥσπερ οἱ ἐν σκότει ὄντες. Hinc Suidam emendabis. KUST.

[q] στρεφομένους ὁμοίως] ὁμοίως τρεφομένους A.B.V.

[r] πολεμίους] πολέμους B.V.E.

[s] ἀνεκάθαιρον] ἀνεκάθαιρεν A.B. ἀνεκάθευδον E.

[t] ἐξέταμον] ἐξέτεμε A.B. ἐξέτεμον V. ἐξέταμνον E.

ΣΥΣΠΕΙΡΑΘΕΝΤΕΣ] Confer Nostrum supra v. Συνεσπειραμένοι. KUST. Schol. Platon. p. 48. Συσπειρᾶται: συστρέφεται.

[u] τὴν φήμην συσπειραθέντες καὶ διελιχ.] τῇ φήμῃ συμπειραθέντες καὶ διελεχ. E. διαλεχθέντες M. Mox ἄλλας B.E.M. pro ἀλλήλους.

[x] Πολύβιος] Lib. I. c. 78. KUST. Πολύβιος om. A.

[y] φίλον] φίλιον V. Mox ἀπορίας V.

[z] Ἐλθόντα δι' ἀπορ.] Est apud Laërtium: sed locus nunc non succurrit. KUST. Legitur hic locus apud Laërtium in Æschine. Legitur etiam totidem verbis in Platone. Ita autem se res habet: Φασὶ δὲ αὐτὸν δι' ἀπορίαν ἐλθεῖν εἰς Σικελίαν πρὸς Διονύσιον, καὶ ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δὲ Ἀριστίππου συσταθῆναι. *Aiunt vero Æschinem inopia adactum, venisse in Siciliam ad Dionysium, atque a Platone despectum, ab Aristippo fuisse illi commendatum.* Notandus autem Suidas: Συσταθῆναι: Ὁμοδίαιτον καὶ φίλον γενέσθαι. Quæ interpretatio nulla est. Putabam aliquando nostrum lexicographum, ut est caput festivum, binas voces confudisse, συσταθῆναι et συνεστιαθῆναι. Quod et alibi non semel fecisse comperi. Sed jam intellexisse videor, quid homo voluerit. Nempe Aristippus ita commendabat Æschinem, ut dignum scilicet, qui in contubernium atque amicitiam Dionysii admitteretur. Quod unice verum, et ad mentem Suidæ adcommodatum. TOUP.

[a] πεντακοσίους om. V. Mox ἐπιπονεῖν pro ἔτι πονεῖν Schweigh. Polyb. Fr. gr. 122.

[b] ΣΚΑΦΗΣ] Sic rectius mss. Paris. [et Photius] quam priores editt. quæ habent partim σκάφους, ut Basil. et Genev. partim σκάφος, ut Mediol. et Ald. [et V.E.] Ceterum de proverbio hoc consule etiam Zenobium, Diogenianum, et Hesychium. KUST.

[c] ἀγεννὲς] ἀγενὲς V. et Photii ms.

[d] δὲ] γὰρ A.V. Photius.

[e] Διὰ τὸ ἀπαρρησ.] Lego et suppleo, διὰ οὖν τὸ ἀπαρρησίαστον εἶναι τὸν μέτοικον, συστομώτερον, &c. KUST. διὰ δὲ A.V. Photius.

[f] ἀπειλεῖ] ἀπειλεῖν A.B.V.E. ἀπειλὴν Photii ms.

ΣΥΣΤΡΕΜΜΑΤΑ] Vid. v. Στίφος. vel συστραφέντων πλ. Malchus p. 61. TOUP. cf. 2 Reg. IV. 2. 3 Reg. XI. 24. et v. Hesych. gl. sacr. in συστρεμμάτων. ERNEST.

[g] Στασιαστῶν] Sic antiquissimus ms. A. At mss. B. et C. [et E.] itemque priores editt. omnes habent, στρατιωτῶν: quod minus placet. KUST.

[h] πλήθη] πλῆθος A. πληθ Photius.

[i] καὶ ἡ] ἡ om. A.

[k] Δαβίδ] Psalm. LXIII. 3. et Theodoret. in eum locum. ERNEST.

ΣΥΣΤΟΙΧΑ καὶ ΠΑΡ.] Confer Alex. Aphrod. in Top. p. 105. KUST.

[l] παρακαθῆσθαι] παρακαλεῖσθαι A.V.

[m] λέγεται] λέγονται V.

[n] ἐκείνῳ ἀφ' οὗ] ἐκείνων ἀφ' ὧν E.

[o] καὶ bis accessit ex A. Mox τῇ post αὐτῇ om. A.

[p] μόνον] μόνα A.B.V.

[q] ἐκείνῳ] ἐκεῖνο E. Mox ᾧ A.B.V.E. pro ἀφ' οὗ.

[r] Ὁ δὲ] Damascii est, ni fallor. HEMST.

[s] συστάσει] στάσει A.

Σύτο: Ὡρμᾶτο, ἔτρεχε.

[t]Σύτο δέμας ἀκέντητον ἐν δρόμοις.

Σύφαξ: Ὄνομα. Ἀππιανός·

Σύφαξ δὲ τῶν γινομένων πυνθανόμενος, ἐπεχείρει διαιτᾶν διαλύσεις.

Καὶ αὖθις·

[u]Σύφακα δ' ἄρα τὸν δυνάστην ἔρως ἔκνιζε τῆς παιδός· οἱ δὲ Καρχηδόνιοι ἔδωκαν αὐτήν.

B Σύφαρ: [x]Τὸ δέρμα, ἡ [y]ἀνθρωπῆ.

[z]Ναὶ μὰ τὸ ῥικνὸν
σύφαρ ἐμὸν, [a]ναὶ τοῦτο τὸ [b]δένδρεον αὖον ἐόν περ.

[[c]Καλλίμαχος ἐν Ἑκάλῃ. Τὸ σύφαρ ἔνδυμα τοῦ ὄφεως, καὶ τοῦ τέττιγος, παρὰ τὴν λεπίδα.]

Συφεός: Τόπος ὅπου [d]οἱ σύες τρέφονται. Λέγεται δὲ καὶ συφεών. [e]Ἀγαθίας·

[f]Εἰ μὴ καταγέλαστον εἰπεῖν, ὥσπερ ἐν συφεῶσι καὶ μάνδραις
C τὰ τῶν Ῥωμαίων [g]μεμενήκει στρατεύματα.

Συφόλης, Συφόλου.

Συχέμ: Πόλις.

Συχνάζεις: Πυκνάζεις.

Συχναῖς: Συνεχέσι. Καὶ [h]συχνὴν οὐσίαν, τὴν πολλήν. Καὶ συχνὸς [i]χρυσὸς, ὁ πολύς.

[k]Καὶ τῆς οἰκίας οὐκ οὔσης μονήρους, ἀλλὰ συχνῆς ἀμηγέπη.

Καὶ [l]Ἰάμβλιχος·

D Παρεσκεύασε πομπὴν ἐπιφανῆ καὶ λαμπρὰν, ἐσθῆτα σοβαρὰν, καὶ θεραπείαν συχνὴν εὐνούχων τε καὶ θεραπαινίδων.

Συχνόν: [ll]Πολὺ, πυκνόν. [m]Ξενοφῶν·

A Ἅρματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων.

Ἀντὶ τοῦ πολύ.

Ὁ δὲ συχνοὺς τῶν ἐπισήμων τῆς βουλῆς ἐφόνευσε.

Ἀντὶ τοῦ πολλούς.

[o]Πίονα τυρὸν δρέψεσθε, αὖην
ἰσχάδα, καὶ δεῖπνον [n]συχνὸν ἀπὸ σκυβάλων.

Σφαγάς: Τὰς κατακλεῖδας. [p]Θουκυδίδης·

Καὶ οἰστοὺς καθίεσαν ἐς τὰς σφαγάς.

B Σφαγεῖον: [q]Τὸ τοῦ αἵματος δεκτικὸν ἀγγεῖον, ὃ εἶπεν [r]ὁ ποιητὴς [s]ἀμνίον.

Σφαγιάζειν: Τὸ θυσίας ἐπιτελεῖν. [t]Ἡρόδοτος·

Ὃς, ἐπεὶ ἐσφαγιάζετο Παυσανίης, καθήμενος ἐν τῇ τάξει, ἐτραυματίσθη τοξεύματι τὰ πλευρά.

Σφαγιαζόμενος: Διὰ σφαγίων θυσίαν ἐπιτελῶν.

Ὁ δὲ εἴτε [u]διοσημίαν οἰηθεὶς εἶναι, εἴτε σφαγιαζόμενος, οὐκ ἀγαθὴν τὴν ἀπόβασιν σημαίνειν λογιζόμενος τὰ θύματα, συμφέ-
C ρειν ἐλογίζετο [x]φυλάξασθαι τὸν καιρόν.

Σφαγίδιον: Τὸ τῶν μαγείρων μαχαίριον. Καὶ σφαγὶς, σφαγίδος, τὸ αὐτό.

Σφαδάζειν: [y]Θράσσειν, δυσθανατεῖν, ματαίως σπᾶσθαι, χαλεπαίνειν, μετ' ὀργῆς [z]στενάζειν. Σφαδάζειν καὶ τὸ πηδᾶν, ἀπὸ τοῦ σπᾶσθαι, καὶ σφακελίζειν.

D Σφαδάζοντες: Σπώμενοι, ἢ δυσφοροῦντες.

Καίπερ σφαδάζων ἔνδοθεν πολλοῖς λόγοις,
ὥσπερ τις ἀσκὸς δέσμιος γλεύκους ζέων.

Σφαδάζουσα: [a]Πανουργεύουσα.

---

[t] Σύτο δέμας ἀκ.] Hæc sunt verba Pindari Olympionic. Od. I. 32. 33. ubi locum integrum vide. KUST.

ΣΥΦΑΞ] Deest articulus A.

[u] Σύφακα δ' ἄρα τὸν δυν.] Hæc sunt verba Appiani in Iber. p. 462. eademque leguntur supra v. Ἔκνισεν. KUST.

ΣΥΦΑΡ] De hac voce egregia habet Etymologus, quem vide. KUST. Lycophr. 793. Nicand. Schol. Alexiphar. p. 70. Mox f. ἔκδυμα. Vid. Πέπορδα. TOUP.

[x] Τὸ δέρμα] Addit V. τοῦ ὄφεως καὶ τοῦ τέττιγος.

[y] ἀνθρωπῆ] ἀνθρ̃πῆ A. ἀνθρωπὴ V.

[z] Ναὶ μὰ τὸ ῥικν.] Fragmentum hoc legitur etiam supra v. Ναὶ μὰ τό· ubi Nos vide. KUST.

[a] καὶ τοῦτο] ναὶ τοῦτο A.B.V.

[b] δένδρον] Metri gratia scribendum est δένδρεον. KUST. Sic A.V.

[c] Καλλίμαχος] Seqq. om. A.V. Vid. supra p. 2566 B.

[d] οἱ σύες] αἱ σύες A.E. pr. Mox δὲ ante καὶ om. A.

[e] Ἀγαθίας] Lib. V. p. 157. KUST.

[f] Εἰ μὴ καταγέλαστον εἰπεῖν] Hic locus negligenter admodum descriptus est a compilatore nostro. Neque sane Kusterus Agathiæ librum, ex quo hæc deprompta sunt, inspexisse videtur. Ita autem legitur apud Agathiam lib. V. p. 152. ed. Vulc. Ἀλλὰ μήτε κυνῶν ὑλακὴν ἀκούεσθαι, εἰ μὴ λίαν καταγέλαστον εἰπεῖν, ὡς γοῦν ἐν συφεῶσι καὶ μάνδραις. Τὰ γὰρ τῶν Ῥωμαίων στρατεύματα οὐ τοσαῦτα διαμεμενηκότα, ὁπόσα τὴν ἀρχὴν ὑπὸ τῶν πάλαι βασιλέων ἐξεύρηται, ἐς ἐλαχίστην δέ τινα μοῖραν περιελθόντα, οὐκ ἔτι τῷ μεγέθει τῆς πολιτείας ἐξήρκουν. *Quinetiam ne canum quidem latratus audiebatur, nisi quod ridiculum dictu est, in suilibus aut ovilibus. Romanorum enim exercitus non tanti, atque olim sub veteribus imperatoribus fuerant, permanserunt; sed ad minimam quandam portionem redacti, non amplius magnitudini imperii pares erant.* Ad hunc locum respexit Suidas, sed ita ut Agathiam male repræsentaverit, et rem totam pessundederit. TOUP.

[g] μεμενήκει] μεμνήκει A.V.

ΣΥΦΟΛΗΣ] An corrupte scriptum pro Οἰφόλης? Nomen certe ejusmodi nullum occurrit. HEMST.

[h] ΣΥΧΝΗΝ ΟΥΣΙΑΝ] Aristoph. Plut. 754. Ὅσοι δ' ἐπλούτουν, ΟΥΣΙΑΝ τ' εἶχον ΣΥΧΝΗΝ. Ad hunc locum
E respexit Suidas. TOUP.

[i] ὁ πολὺς ΧΡΥΣΟΣ] χρυσὸς ὁ πολὺς A.V.

[k] Καὶ τῆς οἰκίας] Plenius in Ἐλευθεριότης, ubi versio melior, sensu interpretem adjuvante. HEMST.

[l] Ἰάμβλιχος] Vid. Rochetti Miscell. t. I p. 84.

[ll] πολὺν] Leg. πολύ. REINES. Sic V. qui mox διαλείπωνται σύχν'. In fine gl. ἀντὶ τοῦ πολλοὺς om. E.

[m] Ξενοφῶν] Anab. I. 8, 10.

[n] συχνὸν] ἰσχνὸν B.E.M.

[o] Πίονα τυρὸν δρ.] Scribe et supple, Οὗ καὶ πίονα τυρὸν
F ἀποδρέψεσθε, καὶ αὔην Ἰσχάδα, &c. Sic enim recte legitur Anthol. lib. I. c. 33. p. 70. [Pal. VI. 303.] ubi integrum epigramma vide. Confer etiam Nostrum supra v. Ἰσχάς. KUST. δρέψεσθε A. δρέψεσθαι B.V.E.

[p] Θουκυδίδης] Lib. IV. c. 48. ad quem locum Scholiastes: Ἐς τὰς σφαγάς: Ἤγουν, εἰς τὸ μέρος τοῦ σώματος, ἔνθα σφάττονται τὰ ζῶα. Σφαγὴν καλοῦσι τὸ κατὰ τὴν κλεῖδα τοῦ ἀνθρώπου μέρος, δι' οὗ καθιᾶσι τὰ σιδήρια οἱ θέλοντες ἑαυτοὺς ἀνελεῖν. KUST.

[q] Τὸ τοῦ αἵματος δεκτικὸν] τοῦτο αἱματοδεκτικὸν Schol. Ari-
G stoph. Thesm. 756. ed. Bekker. unde provenit gl.

[r] Ὁ Ποιητής] Odyss. γ'. 444. KUST.

[s] ἈΜΝΙΟΝ] Sic rectius mss. Paris. quam priores editt. [et E.] quæ habent, ἀμνεῖον, per diphthongum ει, in syllaba penultima. KUST.

[t] Ἡρόδοτος] Wesseling. Dissert. Herodot. p. 125. TOUP. IX. 72. ἐν ante τῇ τάξει ex B.V.E.

ΣΦΑΓΙΑΖΟΜΕΝΟΣ] Polyb. p. 1026. TOUP.

[u] διοσημείαν] διοσημίαν A.B.

H [x] φυλάξασθαι τὸν καιρὸν] τὸν καιρὸν φυλάξασθαι V.

[y] θράσσειν] Leg. βράσσειν ex Hesych. REINES. Ita etiam Ruhnkenius ad Tim. p. 243. φράσσειν Phot. ms. Lex. Seg. ms.

[z] στενάζειν] στυγνάζειν V. In fine gl. καὶ σφακελίζειν om. A. ubi V. σφακελλίζειν.

[a] Πανουργεύουσα] *In omnes partes versare.* Vid. v. Στρό-

A Σφακελίζοντες: Διασπῶντες, πηδῶντες, [b]ὑποτρέμοντες.

Σφακελισμός: [c]Παραπληξία. Καὶ σφάκελος, τὸ βέλος τὸ σφάζον.

Σφακελισμός: Ἡ σῆψις τοῦ μυελοῦ σφακελισμὸς καλεῖται. Γίνεται δὲ ἐκ τοῦ σφακελισμοῦ καὶ σπασμός. [d]Λέγεται καὶ ὁ σφυγμὸς, καὶ ὁ παλμός. Σφάκελον δ' ἔνιοι τὴν σῆψιν λέγουσι τῶν ὀστέων. Αἰλιανός·

B Καὶ ἀκούω [e]τὸν πόδα [f]ἐκεῖνον ἐς οἴδημα ἀρθῆναι, καὶ φλεγμήναντα σφακελίσαι, καὶ ἀποκτεῖναι τὸν ἄνδρα.

Λέγεται δὲ σφάκελος καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος. Καὶ παροιμία· [g]καὶ σφάκελοι ποιοῦσιν ἀτέλειαν. Πεισίστρατος γὰρ ὁ τύραννος δεκάτην τῶν γεωργουμένων ἀπῄτει τοὺς Ἀθηναίους. Παριὼν δέ ποτε, καὶ ἰδὼν [h]πρεσβύτην πέτρας ἐργαζόμενον καὶ
C τόπους λιθώδεις, ἤρετο τὸν πρεσβύτην, τίνας ἐκ τῶν [hh]τόπων κομίζοιτο τοὺς καρπούς· ὁ δὲ ἀπεκρίνατο, ὀδύνας καὶ σφακέλους, καὶ τούτων δεκάτην Πεισίστρατος φέρει. Θαυμάσας δὲ [i]ὁ Πεισίστρατος τὴν παρρησίαν αὐτοῦ, τῆς δεκάτης ἀτέλειαν ἔδωκε. Καὶ ἐκ τούτου [k]οἱ Ἀθηναῖοι τῇ παροιμίᾳ ἐχρήσαντο.

Σφάκον: Ἀντὶ τοῦ ἐλελίσφακον. [l]Ἀριστοφάνης·

Κᾆθ' ὁ μὲν ἔτριβε [m]κεδρίδας, ἄνηθον, σφάκον.

Ὡς [n]ἐπιτήδεια παῦσαι στρόφον.

Σφακτηρία: Τόπος στενὸς τῆς Λακωνικῆς, διείργων καὶ ἀποχωρίζων καὶ ἀποφράττων τὰς ἀπὸ τῆς Θεσσαλίας καὶ Λακεδαιμονίας εἰσβολάς. Ἔνθα καὶ Λεωνίδης πρότερον Λακεδαιμονίων βασιλεὺς [[o]ἀγωνιζόμενος τετελευτήκει.]

Σφάκτριαι: Ἱέρειαι.

[p]Μετὰ τῆς ἱερᾶς στολῆς ὅλαι τελούμεναι μυστικῶς σφάκτριαι καταλειφθεῖσαι, καὶ αἴρουσαι τὰ ξίφη γυμνὰ, καὶ αὗται καταπλέας ἔχουσαι τοῦ αἵματος τὰς χεῖρας, καὶ τὰ πρόσωπα μέντοι, [q]ἦσαν δὲ ἐκ τῶν ἱερείων χρισάμεναι, ἀθρόαι ὑφ' ἑνὶ [r]συνθήματι ἐπὶ τὸν Βάττον ᾖξαν, ἵνα αὐτὸν ἀφέλωνται τοῦ ἔτι εἶναι ἄνδρα.

Σφαλείς: Ἀποτυχών. Καὶ σφαλεῖεν.

Σφάλλω: Αἰτιατικῇ.

Σφάραγον: Ὁ [s]Ἀπίων, φάρυγγα. Ἀπὸ τοῦ περὶ αὐτὸν γινομένου ψόφου.

Σφᾶς: Ἑαυτούς· ἢ [t]τὰς ἑαυτῶν.

Σφαῖρα: Τὰ περιφερῆ καὶ στρογγύλα. Καὶ σφαιροπαικτεῖν, τὸ διὰ σφαίρας παίζειν.

[u]Καὶ σχίζας, καὶ σφαῖραν ἀείβολον.

Τὴν ἀεὶ βαλλομένην. Καὶ, σφαιρηδὸν, διὰ [x]σφαίρας.

D [[y]Τὴν σφαιριστικὴν ἔπαιξεν Ἀριστόνικος ὁ Καρύστιος, ὁ Ἀλεξάνδρου τοῦ βασιλέως συσφαιριστής.]

φιγξ. TOUP. Deest hæc gl. V. qui loco ejus præbet Σφαδάζειν καὶ τὸ πηδᾶν ἁ. τ. σπ. ut supra.

ΣΦΑΚΕΛΙΖΟΝΤΕΣ] Deest gl. V. Delevi Τὸ ΣΦΑΚΕΛΙΖΕΙΝ, φλεγμαίνειν ἐστὶν, καὶ διὰ τοῦτο σπᾶσθαι. Κρατῖνος, cum A. quæ supra leguntur p. 505 C.

[b] ὑποτρέμοντες] Ex Deut. XXVIII. 32. vid. Biel. Thes. ERNEST.

E ΣΦΑΚΕΛΙΣΜΟΣ] Schol. Platon. p. 209. Σφακελισμός ἐστι σῆψις μυελοῦ, καὶ Σφάκελος ἡ μετὰ σπασμοῦ τῆς χολῆς πρόεσις· ὁ δὲ σπασμὸς οὗτος μετὰ φλεγμονῆς. Ἰατροὶ δὲ, τὴν μελανίαν, ἢ τὴν σφοδρὰν ὀδύνην. Ἔνιοι δὲ, τὴν τῶν ὀστέων σῆψιν. Λέγεται δὲ καὶ ὁ σφυγμὸς, καὶ ὁ παλμός. Ἀλλὰ καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος.

[c] Παραπληξία] Et σφάκελος interdum hanc significationem habet. Æschylus Prometh. Vin. 877. Ὑπό μ' αὖ σφάκελος καὶ φρενοπληγεῖς Μανίαι θάλπουσι. Scholiastes: Σφάκελος: Σπασμὸς τοῦ ἐγκεφάλου. KUST.

F [d] Λέγεται καὶ] λέγεται δὲ καὶ V. qui addit καὶ ὁ σφυγμὸς post παλμὸς, et infra om. Αἰλιανὸς—τὸν ἄνδρα.

[e] τὸν πόδα] Sic recte ms. A. itemque ipse Suidas supra v. Οἴδημα: ubi hoc ipsum fragmentum legitur. At priores editt. [et E.] male, τὸν παῖδα. KUST.

[f] ἐκεῖνον] ἐκεῖνον αὐτὸν A.B.E. τὸν πόδα αὐτοῦ in v. Οἴδημα.

[g] Καὶ σφάκελοι ποιοῦσιν ἀτέλ.] Hæc omnia leguntur etiam supra, v. Καὶ σφάκελοι. KUST. Vid. Menag. ad Diog. Laërt. I. 53.

G [h] πρεσβύτην] δεσπότην B.E. τὸν πρεσβύτην om. V.

[hh] τόπων] πόνων conj. Pricæus ad Ev. Luc. VIII. 6.

[i] ὁ Πεισίστρατος] ὁ om. A. τὴν παρρησίαν αὐτοῦ om. V.

[k] οἱ Ἀθηναῖοι] οἱ om. A.E. ἐκ τούτου ἡ παροιμία, nec plura V.

[l] Ἀριστοφάνης] Thesmoph. 493. Schol. ed. Bekker. 486.

H [m] κεδρίδας] Sic recte ms. A. itemque Aristophanes loco laudato. At priores editt. inepte, κερκίδας. KUST. κεδρίσας B.E.

[n] ἐπιτήδεια] ἐπιτήδειον V.

ΣΦΑΚΤΗΡΙΑ] In his Laconica regio Thessaliæ pene jungitur, et in utriusque finibus Sphacteria collocatur præter omnium geographorum sententiam ipsiusque rei veritatem. Vide vero quid Suidam in hos errores implicuerit. Sphacteria insula est, Pylo Messenio adjacens et prætenta: Pylum Scholiastes Aristophanis ad Equit. 55. et Pylas seu Thermopylas, ad quas Leonidas fortissime pugnans cecidit, turpissimo peccato pro iisdem habuit. Ἐν τῇ Πύλῳ: Τόπος δὲ αὐτος τῆς Λακωνικῆς στενὸς, διείργων καὶ ἀποχωρίζων τὰς ἀπὸ Θεσσαλίας etc. Suidas cæcum hunc ducem secutus, Pylas Pylum et Sphacteriam permiscuit, et quod alter de Pylo, ipse secure de Sphacteria in lexicon suum transcripsit, facilique adeo labore Laconicam Thessaliæ admovit. WESSELING. Probab. c. 29. p. 257.

[o] ἀγωνιζόμενος τετελευτήκει om. A.B.V.

[p] Μετὰ τῆς ἱερᾶς] Hæc Æliano tribuit Valckenærius.

[q] ἦσαν δὲ agnoscunt omnes mss. et edd. ante Kuster.

[r] συνθήματι] Vid. Σύνθημα. TOUP.

[s] Ἀππίων] Ἀπίων A.V.E. Mox περὶ αὐτοῦ V. Deinde γενομένου Photius. Post h. gl. delevi ΣΦΑΡΑΓΕΥΝΤΟ: Ἦχον προΐεντο. Ὄνομα πεποιημένον. Ἡ φάρυγξ, ἔνθα ὁ βρόγχος, ᾗ τὴν φωνὴν ἀφιέμεθα, καὶ ἈΣΦΑΡΑΓΟΣ· καθ' ὃ καὶ ΣΦΑΡΑΓΙΖΩ, τὸ ἠχῶ, cum A.B.V.E. quæ Suidæ addita sunt ex Etymol. M. p. 737, ult.

[t] τὰς ἑαυτῶν] Hæc interpretatio pertinet ad σφὰς, quod cum acuto scribitur, a σφὸς, *suus*: non vero ad σφᾶς, quod circumflexo notatur, et contractum est ex σφέας. KUST. fere cum Porto.

[u] Καὶ σχίζας addidi cum A.B.V.E. Sumptus est locus ex Anthol. Pal. VI. 282.

[x] τῆς σφαίρας] τῆς om. A.B.V.E.

[y] Τὴν δὲ σφαιρικὴν ἔπαιζεν] Athen. lib. I. c. 15. p. 19. Ὅτι Ἀριστόνικον τὸν Καρύστιον, τὸν Ἀλεξάνδρου σφαιριστὴν, Ἀθηναῖοι πολίτην ἐποίησαν. Huc Suidas respexit. Confer etiam Suidam supra v. Ὄρχησις, ubi eadem leguntur. KUST. Ita locutus est Athenæus, lib. I. p. 14. Διαβόητοι δὲ ἐπὶ ΣΦΑΙΡΙΚΗΙ Δημοτέλης ὁ Θεόγνιδος τοῦ Χίου σοφιστοῦ ἀδελφὸς, καί τις Χαιρεφάνης. Perperam uterque. Aliud est σφαιρικὴ, aliud σφαιριστική. Quæ vox utrique redonanda est. Athenæus infra: Πολὺ δὲ τὸ σύντονον καὶ καματηρὸν τῆς περὶ ΤΗΝ ΣΦΑΙΡΙΣΤΙΚΗΝ ἁμίλλης. Confer Nostrum v. Ὄρχησις et v. Χορείαν, ubi recte legitur, τὴν δὲ ΣΦΑΙΡΙΣΤΙΚΗΝ ἔπαιζεν. Ludi ejus meminit Philosophus in Rhetor. I. 11. Ἐπεὶ δὲ τὸ νικᾶν ἡδὺ, ἀνάγκη καὶ τὰς παιδιὰς ἡδείας εἶναι, τὰς μαχητικὰς, καὶ τὰς αὐλητικὰς, καὶ ἐριστικὰς, (lege καὶ ΚΙΘΑΡΙΣΤΙΚΑΣ) καὶ ἀστραγαλίσεις, καὶ ΣΦΑΙΡΙΣΕΙΣ. Ita legendus et distinguendus est iste

[Σφαῖρα: [z]Ὅτι τὴν τῆς σφαίρας εὕρεσιν [a]Ἀνάγαλλις ἡ Κερκυραία, γραμματική, Ναυσικάᾳ τῇ Ἀλκινόου θυγατρὶ ἀνατίθησι.] A

Σφαιρίζω: Τὸ τῇ σφαίρᾳ παίζω.

[b]Φιλονείκως γὰρ οἱ σφαιρίζοντες παίζουσι.

Σφαιρωτήρ: Σανδαλίου [c]ζινίχιον. Οἷον, τὸ λωρίον τοῦ ὑποδήματος.

Σφεδανῶν: Στερρῶν, ἰσχυρῶν.

> [d]Ὄμμα δ' ἑλίξας B
> βρυχᾶτο σφεδανῶν ὄβριμον ἐκ γενύων.

Σφενδάμνινοι: Ἰσχυροί· [e]τοιοῦτον γὰρ τὸ τῆς σφενδάμνου ξύλον· ἀντὶ τοῦ σφενδονῆται. Τὸ δὲ σφενδάμνινοι ταυτόν ἐστι τῷ [f]πρίνινοι. Σφένδαμνος γὰρ εἶδος ξύλου [g]σκληροῦ. Ἔστι δὲ καὶ εἶδος καννάβεως ἡ σφένδαμνος. Ἡ γὰρ [h]σφενδόνη ἀπὸ καννάβεως γίνεται.

Σφενδονᾶσθαι: [i]Ἀπορρίπτεσθαι. C

Σφενδόνη: [k]Τοῦ δακτυλίου ἡ περιφέρεια· καὶ ἡ εἰς λίθου βολὴν ἐπιτηδεία χρῆσις.

[l]Ὅτι Κῦρος τοὺς πολλοὺς τῶν Λυδῶν σφενδονᾶν [m]ἐκέλευεν, ὡς τὸ ὅπλον τοῦτο δουλικώτατον εἶναι νομίζων. Σὺν μὲν γὰρ ἄλλῃ δυνάμει μάλα ἐστὶν ἔνθα [n]ἰσχυρῶς ὠφελοῦσιν σφενδονῆται [o]παρόντες· αὐτοὶ δὲ καθ' ἑαυτοὺς οὐδ' ἂν οἱ πάντες σφενδονῆται [p]μείνειαν πάνυ ὀλίγους ὁμόσε ἰόντας ὅπλοις ἀγχεμάχοις.

Καὶ σφενδονῶ, αἰτιατικῇ. D



[Σφενδονῆται:

[q]Βαλιαρίδων νήσων σφενδονῆται εὔστοχοι.]

Σφέτερα: Τὰ ἑαυτῶν.

Σφετερίζεται: Αἰτιατικῇ. Λαμβάνει, ἰδιοποιεῖται.

Σφέτερον: Τὸ ἑαυτῶν, ἢ τὸ ἴδιον. Καὶ σφετέρῳ, τῷ ἑαυτῶν.

Σφηκιά: [r]Εἶδος ζῴου. Καὶ παροιμία·

B [s]Ὥσπερ σφηκιὰν [t]βλίττῃ με κἀρεθίζει.

Ἀριστοφάνης. Ἀπὸ τῶν μελιττῶν μετενήνοχε. Βλίττειν γάρ, τὸ ἐκπιέζειν τὸ μέλι.

Σφηκώδεις: Σκληροί, κάτισχνοι τοῖς σώμασι· [u]καὶ γὰρ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνηγμένην ἔχουσιν. Ἀριστοφάνης Πλούτῳ·

> Μέγαν λαβόντες ἡμμένον σφηκίσκον.

C [[x]Ἤγουν,] [y]ξύλον ὠξυμμένον· ἐπεὶ καὶ ὁ σφὴξ ὀξὺς ἐκ τῶν ὄπισθεν. Ἐπιτετήδευται ἡ λέξις παρὰ τὸν σφῆκα. Τὰ γὰρ [z]μικρὰ τῶν ξύλων, καὶ εἰς ὀξὺ συνηγμένα, σφηκίσκους καλοῦσιν· ἐπεὶ καὶ τοὺς λαγαροὺς τοῖς σώμασιν ἀνθρώπους, καὶ μὴ προκοιλίους, σφηκώδεις φασί.

[Σφῆκες [a]φανέντες ατσμενῶν εἰσι βλάβαι.

D Ὅτι [b]ἵπποι μὲν σφηκῶν γένεσις, ταῦροι δέ, μελισσῶν.]

Σφήκωμα: Τὸ λεπτὸν σχοινίον.

---

locus: de quo non est quod dubitent viri eruditi. TOUP. Vid. Junii Catal. Artif. in *Timanthes.* HEMST. σφαιριστικὴν ἔπαιζεν V. Desunt hæc A.

[z] Ὅτι τὴν τῆς σφαίρας εὑρ.] Eadem tradit Suidas supra v. Ἀναγαλλίς. KUST. Hæc A. in marg.

[a] Ἀνάγαλις] Supra suo loco rectius, Ἀναγαλλίς. KUST.

[b] Φιλονείκως γὰρ οἱ σφ.] Ne Melampus quidem, vel si E quis Melampode μαντικώτερος, divinare queat, quid ista sibi velint, aut quare ea huc allata sint, nisi in promptu habeat locum scriptoris, ad quem Suidas respexit. Respexit autem ad Artemidori Oneirocr. lib. IV. c. 71. ubi inter alia et hæc leguntur: Δοῦλός τις ἔδοξε μετὰ τοῦ Διὸς σφαιρίζειν. Ἐφιλονείκησε τῷ δεσπότῃ. Ὁ μὲν γὰρ Ζεὺς τὸν δεσπότην ἐσήμαινεν· ὁ δὲ σφαιρισμὸς, τὴν ἐξ ἴσου ῥῆσιν καὶ φιλονεικίαν. Φιλονείκως γὰρ οἱ σφαιρίζοντες παίζουσι. Hinc apparet, compilatorem omisisse, sine quibus ea, quæ hic adducta sunt, intelligi non possunt. KUST. Nihil F aliud voluit Suidas, quam exemplum adferre propositi verbi σφαιρίζειν. HEMST.

ΣΦΑΙΡΩΤΗΡ] Joannes Chrysost. in Orat. in XL. Martyres: Σφαιρωτὴρ, τὸ παρὰ πολλοῖς λεγόμενον λωρίον. Σφαιρωτὴρ δὲ λέγεται, διὰ τὸ πολλάκις κυκλοειδὲς ἀπεργάζεσθαι τὸ δέρμα τὸν τεχνίτην, καὶ οὕτω τέμνειν. Τινὲς δέ φασι τὴν κλῆσιν λαβεῖν ἀπὸ τοῦ τὰ σφυρὰ τηρεῖν. Eadem ex Chrysostomo repetit Photius Cod. CCLXXIV. p. 1521. Ceterum, vox σφαιρωτὴρ aliquoties etiam occurrit apud LXX. Interpretes in Exodo, sed alio significatu. KUST. Genes. G XIV. 23. unde Cyrill. p. 18. ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος. TOUP. Notare debuisset Kusterus Genes. XIV. 23. ubi ἕως σφυρωτῆρος τοῦ ὑποδήματος. quo loco Alexand. cod. habet σφαιρωτῆρος, et Schol. σφυρωτῆρα explicat τὸν ἱμάντα τοῦ ὑποδήματος. BOS.

[c] ζινίκιον] ζινίχιον B.E. Photius, supra p. 1584 B.

[d] Ὄμμα δ'] Anthol. Pal. VI. 219. Mox ὄβριμον A.B. V.E. non ὄμβριμον.

ΣΦΕΝΔΑΜΝΙΝΟΙ: Ἰσχυροί. Τοιοῦτον γὰρ τ.] Ex Schol. H Aristoph. Acharn. 180. Ceterum, in prioribus editt. [et E.] desunt verba ista, ἀντὶ τοῦ σφενδονῆται. Τὸ δὲ σφενδάμνινον ταυτόν ἐστι τῷ πρίνινοι. Σφένδαμνος γὰρ εἶδος ξύλου ὑγροῦ, ξηροῦ: quæ ex mss. Paris. revocavi. Ultimis autem verbis, ξύλου ὑγροῦ, ξηροῦ, mendum inesse existimo; quæ sic rescripserim, ξύλου ἰσχυροῦ καὶ σκληροῦ. Lectio enim altera, ut contradictoria, stare non potest. KUST.

[e] τοιοῦτον] τοιοῦτο A.V. Mox τῆς om. V. Post ξυλὸν E. addit σκληρόν.

[f] πρινινοί] Julian. Misopog. p. 350. πρίνινον, σφενδάμνινον. TOUP.

[g] ὑγροῦ ξηροῦ] σκληροῦ A.B.V. ἰσχυροῦ Schol.

[h] σφενδόνη] σφενδάμη A.

[i] ἀπορρίπτεσθαι] ἀπορίπτεσθαι A.

[k] ἡ τοῦ δακτυλίου] τοῦ δακτυλίου ἡ A. Timæus p. 244. ἐπιτηδεία χρῆσις om. Timæus et Photius. Præterea Timæus λιθοβολήν.

[l] Ὅτι Κῦρος τοὺς πολλοὺς τῶν Λυδ.] Hæc sunt verba Xenophontis lib. VII. [4, 15.] de Instit. Cyri, p. 188. KUST.

[m] ἐκέλευεν] ἐκέλευσεν A.V.E.

[n] ὠφελοῦσιν ἰσχυρῶς] ἰσχυρῶς ὠφελοῦσιν A.

[o] παρόντες] Ita Xenophon. Libri Suidæ omnes παθόντες.

[p] μείνειαν] μεῖναν B.E. παθόντες μεῖναν M. μείνοιεν V. Mox ὁμόσε ὀλίγους A.V. Post h. gl. delevi ΣΦΕΝΔΟΝΗ ΓΥΓΟΥ. Ζήτει ἐν τῷ ΓΥΓΟΥ ΔΑΚΤΥΛΙΟΣ, cum A.V.

[q] Βαλλιαρίδων] Supra suo loco rectius legitur Βαλιαρίδων, per unum λ. KUST. Et sic V. Deest gl. A.

ΣΦΕΤΕΡΙΖΕΤΑΙ] Polyb. 1072. Vid. Πλεονεξία. TOUP.

[r] Εἶδος ζῴου] Interpretatio hæc potius convenit voci σφὴξ, quam σφηκιά. Quid autem σφηκιὰ significet, lexica vulgata docent. KUST.

G [s] Ὥσπερ σφηκιὰν βλ.] Aristoph. Lysist. 476. Ἤν μή τις ὥσπερ σφηκιὰν βλίττῃ με κἀρεθίζῃ. KUST.

[t] βλίττει] βλίττῃ A.V.

[u] καὶ οἱ] καὶ γὰρ οἱ A.B.E.

[x] Ἤγουν om. A.V.

[y] ξύλον ὀξυμμένον. Ἐπεὶ κ.] Ex Schol. Aristoph. Plut. 301. KUST.

[z] μικρὰ τῶν ξύλων] Sic etiam Scholiastes Aristophanis. At Hesychius, μακρὰ τῶν ξύλων, quod magis placet. H KUST.

ΣΦΗΚΕΣ ΦΑΝ.] Est versus oneirocriticus, qui legitur apud Astrampsychum. KUST. Om. V. Habet A. in marg.

[a] ΦΑΝΕΝΤΕΣ] φανεῖσαι A.B.

[b] Ἵπποι μὲν] Nicander Ther. 741.

ΣΦΗΚΩΜΑ] Vid. Phrynich. Bekkeri p. 64.

A Σφηκῶντες:

Σφήλας: Καταβαλὼν, προσουδίσας.

[c]Ὁ δὲ σφήλας ἐπὶ τὴν γῆν τὸν ἄνθρωπον, ἐπιβοηθησάντων ἐκείνῳ τῶν οἰκείων, [d]οὕτως αὐτὸς πάλιν ἐπανῆλθε πρὸς τοὺς Ῥωμαίους.

Σφῆλαι: Πλανῆσαι, βλάψαι, ἀπατῆσαι.

Σφῆλος: Ὄνομα κύριον.

Σφὴν, σφηνός. Τὸ σφηνάριον.

B Σφηνωθείς:

[e]Τιμαγένης οὗτος κληθεὶς ἐπὶ δεῖπνον, καὶ σφηνωθεὶς, ἀπέθανεν.

Καὶ σφηνούμενος, στρεβλούμενος, βασανιζόμενος.

Σφὴξ, σφηκός. Εἶδος μελισσῶν. [[f]Σφὶγξ δὲ, Σφιγγός.]

Σφῆισι: Θηλυκόν. Ἀντὶ τοῦ αὐταῖς. [Σφίσι δὲ, ἀρσενικόν.]

C Σφήττιος: Ὄνομα κύριον. [Καὶ [g]Σφήττιος, δῆμος.]

Σφῆττοι: [h]Δῆμος τῆς Ἀκαμαντίδος [i]ὁ Σφηττός.

Σφιγανόν: Πολεμικόν.

Σφιγγὸς πράγματα παρέχων πολλὰ, ἐπὶ πολλαῖς ταῖς ζητήσεσι τῶν ἀτόπων τούτων αἰνιγμάτων, οὐ τῆς Καδμείας Σφιγγὸς, ἀλλὰ Σφιγγὸς μέν τινος ἀτεχνῶς, D ἔτι δὲ θειοτέρας, καὶ πολὺ σοφωτέρας.

Σφίγγω: Αἰτιατικῇ.

Σφίν: Αὐτοῖς. Καὶ ἀντὶ τῆς οἱ ἀντωνυμίας παρὰ [k]Σοφοκλεῖ· [l]ἔδει γὰρ τελεσφόρον χάριν δοῦναι σφίσιν. Οἱ αὐτῷ.

Σφίσιν: Αὐτοῖς, ἢ τοῖς ἑαυτῶν.

Σφοδελὸν τὸν ἀσφόδελον καλοῦσι, τὸ ά ἀφαιροῦντες· ὥσπερ [m]καὶ ματρὸν τὸ ἀμαυρόν. E

A Σφοδρίας, στρατηγὸς [n]Λακεδαιμονίων. Φασὶ δὲ αὐτὸν εὐήθη τε εἶναι λίαν, καὶ κοῦφον πρὸς τὰς ἐλπίδας.

Σφοδροῦ: Λαμπροῦ, πολυδαπάνου.

[o]Σφοδροῦ τε πότου γενομένου, ἐνεδρεύων ὁ Παρσώνδης αὐτὸς μὲν ὀλίγον ἔπινεν, ἐκείνοις δὲ πολὺν ἐγχεῖν τῷ θεράποντι ἐκέλευε.

Σφῶε: Καὶ σφῶϊν.

Σφῶν: Αὐτῶν. [p]Ἢ, ὑμᾶς, [q]ἰδίους, ἰδίας.

B Σφωράκιος:

Σφραγὶς, σφραγῖδος. Τὸ ἐπισημαῖνον διὰ [r]χαρακτήρων τὰ φυλαττόμενα.

[s]Ὁρῶσα ἡ Ταρπηΐα σφραγῖδας ἀπὸ χρυσοῦ, καὶ [t]ψέλια ταῖς χερσὶν, ἐπεθύμησε τοῦ χρυσοῦ.

Καὶ [u]Σφραγιδονυχαργοκομήτας: Τοὺς κόμαις καὶ περιττοῖς δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, [x]ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι τοὺς C δακτύλους. Ἢ καὶ τοὺς τῶν ὀνύχων ἐπιμελουμένους, καὶ ὁσημέραι [y]ξέοντας αὐτοὺς, τοῦ ἐκλάμπειν ἄγαν· ὃ πάσχουσιν οἱ τῷ καλλωπίζειν [z]σχολάζοντες μόνον. Ἀριστοφάνης Νεφέλαις.

Σφριγῶν: Νεάζων, αὔξων, σφύζων, βράζων, εὐσωματῶν, ἀκμάζων, ἀνθῶν.

[a]Ὡς δ' εὐχροεῖς, ὡς δὲ σφριγᾷ τὸ σῶμά σου,
κἂν ταῦρον ἄγχοις.

D Ἀντὶ τοῦ, εὐσωματεῖς.

[b]Νεάζοντός τε καὶ τῇ ἀκμῇ τῆς ἡλικίας σφριγῶντος τὸ σῶμα.

Καὶ αὖθις·

[c]Οὕτω μὲν ἐσφρίγα ὁ πόλεμος.

Ἀριστοφάνης [d]Νεφέλαις·

Εὐσωματεῖ γὰρ καὶ σφριγᾷ.

Τουτέστιν, ἰσχυρότερός μου ἐστί. Καὶ σφριγῶντες, E ἀκμάζοντες.

---

c Ὁ δὲ σφήλας] Ex Josepho, opinor. Diodor. Sicul. t. I. p. 204. σφήλαντας ἐπὶ τὴν γῆν. TOUP.

d οὕτως] οὗτος A.V. Mox τοὺς om. V.

e Τιμαγένης κλ.] Vide infra v. Τιμαγένης, ubi eadem pluribus traduntur. Confer etiam Casaubonum ad Athen. lib. VI. c. 12. sed qui locum hunc Suidæ male interpretatur. KUST. οὗτος addunt A.V.E. Mox τὸ ante δεῖπνον om. A.V. F

f ΣΦΙΓΞ] Uncis inclusa om. A.

g ΣΦΗΤΤΙΟΣ] Lege Σφηττός: ut paulo post. KUST.

h Δημοσθένης. Τῆς Ἀκαμ.] Scribe δῆμος τῆς Ἀκαμαντίδος, &c. KUST. Et sic fere Harpocratio.

i ἡ Σφηττός] ὁ Σφ. B.V.E. Harpocr. ms. Pal.

ΣΦΙΓΑΝΟΝ] Minus recte pro σφριγανόν. Vide Hesych. v. Σφριγανόν. KUST. Corrupte positum pro Σφεδανὸν censet Ruhnkenius ad Tim. p. 244.

ΣΦΙΓΓΟΣ πράγματα] Hæc Æliano tribuit Valckenærius. Statim delevi ΣΦΙΓΞ: Ἐν τῷ Οἰδίπους, cum A.V. G

k Σοφοκλεῖ] Schol. ad Œd. Col. 1490. Ὅτι ἡ σφιν ἀντὶ τῆς οἱ ἀντωνυμίας κεῖται· ἔδει γὰρ, τελέσφορον δοῦναί οἱ χάριν. Hunc locum indicavit Abreschius.

l εἴδει] ἔδει A.B.V.E.

ΣΦΟΔΕΛΟΝ] Hanc gl. habet A. in marg.

m καὶ ἐπ' ἄλλων· μαυρὸν γὰρ] ἐπ' ἄλλων et γὰρ om. A.V. Post ἀμαυρὸν delevi Καὶ ΣΦΟΔΕΛΟΝ τὸν ἀσφόδελον καλοῦσι, cum V. Eustath. Od. λ'. p. 1698=456, 13. Τὸ δὲ κατ' ἀσφοδελὸν λειμῶνα οἱ μὲν συναλείφουσι καὶ φασὶ τετρασυλλάβως H ἀσφοδελὸν, εἰσὶ δὲ καὶ οἳ καὶ χωρὶς τοῦ ᾱ γράφουσι σφοδελόν· καὶ φέρεται ἀμφοτέρως, ὡς καὶ ἀσταφὶς καὶ σταφὶς, καὶ ἄσταχυς καὶ στάχυς.

ΣΦΟΔΡΙΑΣ, στρατ.] Ex Harpocratione. KUST.

n Λακεδαιμονίων] Λακεδαιμονίας V.

o Σφοδροῦ τε πότου γεν.] Vide Vales. in Not. ad Excerpta ex Nic. Damasc. p. 65. KUST. Supra v. Ποτός. TOUP.

p Σφᾶς αὐτοὺς, ἢ ὑμᾶς] Σφᾶς αὐτοὺς om. A.B.V. Photius, Lex. Seg.

q ἰδίους, ἰδίας] Hæc interpretatio nihil ad rem facit. Pertinet enim ad σφοὺς et σφάς: non vero ad σφᾶς. KUST.

F ΣΦΩΡΑΚΙΟΣ] Supra v. Σποράκις.

r χαρακτῆρος] χαρακτήρων A.B.V.

s Ὁρῶσα ἡ] Dionys. Hal. II. p. 105, 33. ed. Sylb. Τάρπεια—αὐτὴν ἔρως εἰσέρχεται τῶν ψαλίων, ἃ περὶ τοῖς ἀριστεροῖς βραχίοσιν ἐφόρουν, καὶ τῶν δακτυλίων· χρυσοφόροι γὰρ ἦσαν etc. ubi Suidæ non oblitus est Sylburgius.

t ψέλλια] ψέλια A.V.

u ΣΦΡΑΓΙΔΟΝΥΧΑΡΓΟΚΟΜΗΤΑΣ: Τοὺς κόμ.] Ex Schol. Aristoph. Nub. 33. Mox ὡς μέχρι M.

G x ὡς ὑπὸ] ὡς om. A.E.V.M.

y ξέοντας] ξύοντας Schol. ξύοντας E. Mox ὑπὲρ τοῦ Schol.

z προσέχοντες] σχολάζοντες A.B.V. Schol.

ΣΦΡΙΓΩΝ] Menander in Exc. Hœschel. p. 79. et p. 135. σφ. τὸ σῶμα. TOUP. Vid. Ruhnken. ad Tim. p. 244.

a Ὡς δ' εὐχροεῖς, ὡς δὲ σφρ.] Aristoph. Lysistr. 80. ib. Ὡς δὲ] δὲ om. V.

b Νεάζοντός τε] Conf. Menand. Protect. Exc. p. 100. H unde suspicari licet hæc ex integra ejus historia esse desumta. BURN.

c Οὕτω μὲν ἐσφρίγα] Fragmentum hoc extat in Theoph. Simoc. Ἱστορ. Πρεσβ. p. 58. Idem iterum Hist. III. 4. Ὁ δὲ Ῥωμαίων τε καὶ Περσῶν πόλεμος ἐσφρίγα καὶ ἐσφάδαζε. ABRESCH.

d Νεφέλαις] Ver. 797. Addunt A.B. περὶ τοῦ υἱοῦ αὐτοῦ.

Σφυγμός: Φλεγμονὴ, παλμὸς, ζέσις φλεβὸς, ἢ A ἀρτηρίας.

Σφύζει: Ἐπείγει· ἢ αἱ φλέβες ἅλλονται.

Ἐπὶ ταῦτα δὲ αὐτοῖς σφύζουσι καὶ ἀνεστηκόσι συνάπτουσι μάχην.

Καὶ [e]Πισίδης·

Σφύζεις, Ἀχιλλεῦ, καὶ μεθύσκῃ τὰς φρένας.

Σφυρά: Τὰ περὶ τοὺς ἀστραγάλους. [f]Σφῦρα δὲ, τὸ τεκτονικὸν ἐργαλεῖον.

B

[g]Δουριτυπῆ τε σφῦραν.

Σφυράδες: Τῶν αἰγῶν καὶ [h]τῶν προβάτων τὰ ἀποπατήματα. [i]Ἀριστοφάνης·

Ὄρτυγας οἰκογενεῖς, γυλιαύχενας ὀρχηστὰς, ναννοφυεῖς, σφυράδων ἀποκνίσματα, μηχανοδίφας.

[l]Καρκίνος ποιητὴς ἦν. Οἰκογενεῖς δὲ, ἀντὶ τοῦ, [m]ἐσκιατραφημένους· ὡς ἂν εἴποις, ὄρνιθας οἰκογενεῖς. C Ὄρτυγας δὲ, διὰ τὸ ἐριστικόν· τοιοῦτοι γὰρ οἱ ὄρτυγες. Γυλιαύχενας δὲ, τουτέστι, μακροτραχήλους. Γύλιος γὰρ στρατιωτικόν ἐστι πλέγμα, ἐπίμηκες, εἰς ὀξὺ λῆγον. Κολοβὸν οὖν εἰκὸς εἶναι [n]τὸ ὅλον σῶμα, καὶ μόνον τὸν τράχηλον μακρόν. Ἢ, αὐχένας οὐκ ἔχοντας· καθάπερ ὁ γύλιος. Ἢ [o]ὡς σμικροὺς καὶ γογγυλώδεις σκώπτει. Ἐχόρευον δὲ οὗτοι τῷ πατρί. D Ναννοφυεῖς δὲ, ὅτι νάννοι λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων. Οἱ δὲ κολοβοὶ τῶν ἵππων, [p]ἰννοί. Ὀρχηστὰς δὲ, [q]ἐπειδὴ εἰσέφερεν αὐτοὺς ὁ πατὴρ ἐν τοῖς δράμασιν ὀρχουμένους. Σφυράδων δὲ ἀποκνίσματα, ἀντὶ τοῦ ταπεινούς. Σφυράδες γὰρ, τὰ τῶν αἰγῶν καὶ τῶν [r]προβάτων ἀποπατήματα. Ἡ δὲ σφυρὰς κυάμου ἔχει τὸ μέγεθος. Ταύταις οὖν ἀπεικάζει αὐτούς· μᾶλλον δὲ οὐ ταύταις, ἀλλὰ τοῖς E ἀποκνίσμασιν αὐτῶν καὶ [s]ἀποτυχήμασιν. Εὐτελίζει οὖν αὐτοὺς διὰ τὸ βραχύ. Ἡ γὰρ τοῦ μικροῦ μερὶς, μικρὰ, [t]ἢ οὐδὲν ἂν εἴη. [u]Μηχανοδίφας δὲ, ἀπὸ μέρους. Ξενοκλῆς γὰρ, ὁ [x]Καρκίνου, δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασι. Πλάτων Δωδεκαμήχανον αὐτόν φησιν· ἐμιμεῖτο γὰρ θεοὺς ἀνερχομένους ἢ κατερχομένους.

Σφυρήλατος: [y]Σφύραις ἐληλαμένος.

Σφυρόμαχος: Οὗτος ψήφισμα εἰσηγήσατο, ὥστε τὰς γυναῖκας καὶ τοὺς ἄνδρας χωρὶς καθέζεσθαι.

Σχάδονας: Τὰ τῶν κηφήνων κηρία· καὶ ζῶον ἄπτερον, ἄπουν.

B Σχαλίσαι: Θηλάσαι. Καὶ ἀνίσχαλον, [z]τὴν ἄτοκον, καὶ ἀθήλαστον.

Σχάσαντα: Τεμόντα.

Ἔλεγον σχάσαντα ἐκ τῶν βραχιόνων τὰς φλέβας, λειποψυχήσαντα ἀποθανεῖν.

Οὕτως Ἀρριανός.

Σχάσον: Κατάπαυσον, μετάβαλε. [a]Ἀριστοφάνης Νεφέλαις·

C Σχασάμενος τὴν ἱππικήν.

Ἀντὶ τοῦ, παυσάμενος τῆς ἱππικῆς· ἢ ἀποχωρήσας καὶ ἀποστὰς τοῦ παρόντος ἐπιτηδεύματος· ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων. Σχάσαι γὰρ δὴ, καὶ ὥσπερ διαστεῖλαι καὶ διασχίσαι τὸ ὕδωρ τὴν κώπην ἐρέσσουσαν. Καὶ Πίνδαρος·

Κώπαν [b]ἤδη μοι σχάσαις.

D Καὶ,

[c]Σχάσας τὴν φροντίδα.

Τουτέστι, παύσας, στήσας, ἀτρεμήσας. Καὶ αὖθις·

Κώπην σχάσας.

Ἀντὶ τοῦ, τὴν εἰρεσίαν καταπαύσας. Ἔνιοι δὲ σχάσας, ἀντὶ τοῦ ἁπλώσας.

Σχεδάριον: Δέλτος, πινακίδιον, τιτλάριον.

Σχέδην: Ἀντὶ τοῦ σύνεγγυς.

E Ἐκ τοξευμάτων ἐβλάπτοντο, καὶ ὅτε σχέδην συμφέροιντο. Σχέδην καὶ ἐγγὺς μαχομένῳ μεθεῖναι μὲν αὐτὸν οὐκ ἠξίωσεν, ὡς μὴ τὸ κτῆμα ἢ φόρημα τοῦ πολεμίου γένοιτο.

Σχεδία: Ἡ ἐκ τῶν παρατυχόντων, ἢ εἰκαίως πεποιημένη ναῦς· καὶ γέφυρα, καὶ ζεῦγμα.

---

ΣΦΥΓΜΟΣ] Scribe σφυγμός: ut recte legitur apud Photium in Lex. ms. KUST.

e Πισίδης] Fr. Foggin. 148.

ΣΦΥΡΑ] Vid. supra in Ἀρθροπέδαν. REINES.

f ΣΦΥΡΑ] Σφῦρα V.

g Δουριτυπῆ τε σφ.] Anthol. Pal. VI. 103.

ΣΦΥΡΑΔΕΣ] Hippocr. σπυράδες. Vid. Fœs. Œcon. Hipp. REINES.

h τῶν προβάτων] τῶν om. A.V.E.

i Ἀριστοφάνης] In Pac. 788.

k ἀποκνίσματα] ὑποκνίσματα A.B.V.E. cum ms. Rav. Mox μηχανοδήφας A. μηχανοδίφρας B.E.

G

l Καρκίνος ποιητ.] Vide Nostrum supra v. Καρκίνος, ubi eadem leguntur. KUST.

m ἐσκιατραφημένους] σκιατραφημένους V.E.M. Mox ὡς ἂν—οἰκογενεῖς om. V. et infra διὰ τὸ ἐριστικόν.

n τὸ ὅλον] ὅλον τὸ V. qui om. ἢ αὐχένας—τῷ πατρί.

o ὡς σμικροὺς] σμικροὺς A. σμικροὺς δὲ E. καὶ mox A. post δέ.

p ἰννοὶ] Vide supra h. v. KUST. καὶ ἰννοὶ M.

q ἐπειδὴ] ἐπεὶ A.V.E.

H

r προβάτων] τῶν πρ. A.V.E. Mox ταύταις οὖν—ἂν εἴη om. V.

s ἀποτυχήμασιν] Scribe ἀποτμήμασιν, ut recte legitur apud Scholiastam Aristophanis, itemque Nostrum supra, v. Καρκίνος. KUST. ἀποτυχήσμασιν B.E.

t ἢ οὐδὲν] οὐδὲν om. A.

u ΜΗΧΑΝΟΔΙΦΑΣ] Μηχανοδήφας A. μηχανοδίφρας B.E.M.

x Καρκίνου] Καρκῖνος A. Καρκίνος B. Καρκι' E.

F

ΣΦΥΡΗΛΑΤΟΣ] Vid. supra p. 2252 B. Wyttenbach. ad Plutarch. II. p. 65 B.

y Διὰ σφύρας] σφύραις A.V. Photius, Hesych. Lex. Seg.

ΣΦΥΡΟΜΑΧΟΣ: Οὗτος ψήφ.] Ex Enarratore Comici ad Ecclesiaz. 22. KUST.

ΣΧΑΔΟΝΕΣ] Alii, σχαδόνες, cum accentu in penultima, quod usitatius est. KUST.

ib. Σχάδονας V. Photius. Vid. Schol. Theocriti I. 147.

ΣΧΑΛΙΣΑΙ] Sic etiam Hesychius, et Photius in Lex. ms. At Etymologici auctor, Σχαδίσαι, τὸ θηλάσαι. Καὶ ἀνίσχαδον, &c. Τὸ Λ nimirum et Δ propter affinitatem figuræ crebro inter se commutari et confundi solent: unde multarum vocum διττογραφία orta est. KUST.

z τὸ ἄτοκον] τὴν ἄτοκον A.B.V. Photius.

a Ἀριστοφάνης Νεφέλαις] Ver. 107. Vide ibi Scholiastam, cujus interpretationem Suidas more suo hic sequitur. KUST.

b ἤδη μοι] ἤδη ἔστε μοι A. ἤδη ἔσται μοι V. ἤδη μοι ἔσται E. κώπαν σχάσον Pindar. Pyth. X. 79.

c Σχάσας τὴν] Aristoph. Nub. 738.

ΣΧΕΔΑΡΙΟΝ] Confer Nostrum supra v. Δέλτος, et v. Πινακίδιον. KUST. Hanc gl. habet A. in marg. Post Σχεδία ponit V.

Σχεδιάζει: ⁽Ἐκ τοῦ παρατυχόντος λέγει.

Σχεδιάζειν: ⁽Ἐγγίζειν, πλησιάζειν, [d]τὸ εἰκῇ ἀποφαίνεσθαι.

[e]Ἀπ' ἀρχῆς ἄχρι τέλους ἐσχεδιάσθαι καὶ διημαρτῆσθαι.

Σχεδιασθείς: Παραχρῆμα ῥηθείς.

Σχέδιον: ⁽Ἐκ τοῦ ἑτοίμου. Καὶ [f]⁽Ἀριστοφάνης·

Ταῦτα δὲ σχεδίοις ἔοικε.

Τουτέστιν, ἐκ τοῦ παρατυχόντος εἴρηται.

Σχέδιοι: Εὐτελεῖς.

Σχεδίως ἐκτραφηθεί:

Σχεδόν: Πλησίον, [g]πέλας, ἢ ἐκ χειρός.

Σχελίδες: Βοὸς πλευρά. ⁽Ἡ ἁπλῶς τὰ [h]πλευριμαῖα τῶν κρεῶν. [i]⁽Ἀριστοφάνης·

Ἀλλὰ σχελίδας ἐδηδοκώς, ὠνήσομαι μέταλλα.

Σχέσις: ⁽Ὁρμή, συνάφεια.

Σχέσις ἐπὶ τῶν πρός τι λέγεται· οἷον, πατρὸς πρὸς υἱόν, φίλου πρὸς φίλον· ταῦτα γὰρ καὶ ἔχει καὶ ἔχεται ὑπ' ἀλλήλων· διὸ καὶ σχέσεις προσείρηνται. Πρός τι δέ εἰσι καὶ τὰ κατὰ σύγκρισιν λεγόμενα· οἷον, μικρόν, μεῖζον, διπλάσιον, καὶ ἐπιστήμη, καὶ αἴσθησις. Καὶ ὁ Θεολόγος,

Ὡς [k]μόνας τὰς σχέσεις λείπεσθαι ὀρφανὰς τῶν πραγμάτων. Ἀφίεμεν γὰρ τὴν μητέρα, καὶ ἀφιέμεθα ὑπ' αὐτῆς· ὥστε μερίζεσθαι εἰς υἱοὺς καὶ πατέρας. Τὸ δὲ θεῖον, ἀμέριστον.

Σχετικῶς: Οἰκειωτικῶς.

Σχετλιάζει: Δυσχεραίνει, ἢ βλασφημεῖ.

Σχέτλιος: ⁽Ὀδυνηρός, χαλεπός, ἀγνώμων, ἀτυχής, δεινοπαθής, ἄδικος, ἄπορος, θλιβόμενος, τλήμων, ἐπαχθής.

Σχῆμα: ⁽Ἡ τοιάδε τῶν προτάσεων κοινωνία· οἷά εἰσι τὰ παρ' ⁽Ἀριστοτέλει τρία καλούμενα σχήματα. Μέρος γὰρ ἡ πρότασις τῆς συμπλοκῆς. Αὕτη δὲ οἷον ὕλη παρὰ τοῦ σχήματος εἰδοποιεῖται, καὶ καθάπερ τινὰ μορφὴν ἀπολαμβάνουσα, τὴν πρὸς τὸ μέσον ποιὰν συνάρτησιν.

A Σχηματιζόμενος: Προσποιούμενος, ἢ συντασσόμενος. Λέγεται καὶ παρασχηματίζειν, τὸ διεστραμμένα λέγειν.

Σχήσεσθαι: ⁽Ἐπισχεθήσεσθαι.

Σχήσειν: ⁽Ἀνθέξειν.

Σχήσουσι: Σχῶσι, κρατήσουσιν, [l]ὑφέξουσι.

Σχίδακας: Σχίζας.

Σχίζας: Κυρίως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπὶ ταῖς

B θυσίαις τιθέμενα ξύλα· ὡς καὶ [m]⁽Ὅμηρος·

Καῖε δ' ἐπὶ σχίζαις ὁ γέρων.

Σχίζω: Αἰτιατικῇ. Καὶ σχίζοσα, ἡ ὁδός, ἡ τρίοδος.

Σχῖνον διατρώγειν: ⁽Ἐπὶ τῶν καλλωπιζομένων, καὶ λευκαινόντων τοὺς ὀδόντας. ⁽Ὅθεν καὶ [n]σχινοτρὼξ λέγεται ὁ [o]τοιοῦτος. Καὶ σχινέλαιον.

C Σχίσις: ⁽Ἡ [p]Τρίκκη. ⁽Ὄνομα κύριον.

Σχολάζειν, καὶ σχολὴν ἄγειν, οὐκ [q]εὐκαιρεῖν λέγουσιν [r]⁽Ἀττικοί.

Σχολάζω: Δοτικῇ.

Σχολάριοι τρισχίλιοι πεντακόσιοι ἐπὶ φυλακῇ τοῦ [s]Παλατίου ἦσαν τεταγμένοι, ἀριστίνδην ἀπολεχθέντες ἐξ Ἀρμενίων, [t]οἷς συντάξεις ἀνέκαθεν πλείους ἢ τοῖς ἄλλοις ἅπασι τὸ δημόσιον ἐχορήγει.

D Σχολαρχήσας: Σχολῆς ἄρξας, τουτέστι, διατριβῆς. [u]Περὶ ⁽Ἐπικούρου φησί.

Σχολαῖον: ⁽Ἀργόν, διατριβὴν ποιούμενον. Καὶ σχολαίτερον, ἢ σχολαιότερον, τὸ ἠρεμαιότερον. ⁽Ὁμοίως καὶ [x]σχολαιότης. Καὶ σχολαῖος, ὁ ἀργός.

Καὶ ὁ Μακεδονικὸς ἄρχων οὐ διὰ σχολαιότητος ἀφικνεῖται.

E ⁽Ἀντὶ τοῦ, οὐκ ἀργίας.

Σχολαίτερον: ⁽Ἀργότερον.

[y]Μαστιγοφόροι τε παριόντες ἐπετάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προσιόντας.

[d] τὸ εἰκῇ ἀποφαίνεσθαι] Vide Kusterum ad Schol. Aristoph. Ran. 78.

[e] ἀπ' ἀρχῆς] Polybius supra p. 1470 D.

ΣΧΕΔΙΑΣΘΕΙΣ] Zosimus p. 205. Tum leg. ἐκ τοῦ παραχ. Lucian. in Amor. p. 453. TOUP.

[f] 'Αριστοφάνης] Schol. ad Nub. 967. Ταῦτα δὲ σχεδιάσαι ἔοικεν. Hinc Suidas corrigendus est. Vid. infra v. Φρῦνις.

ΣΧΕΔΙΩΣ] Arati Schol. p. 146. TOUP. ad Dios. v. 412. Σχεδίως: ἀντὶ τοῦ προσφάτως, ἀσκόπως, παρέργως, προπετῶς, καὶ ὡς ἔτυχε.

[g] πέλας] πέρας V.

ΣΧΕΛΙΔΕΣ] Σχελείδες A.V. et in versu σχελείδας. Mox βοῶν E.

[h] πλευριμαῖα] πλευριαῖα ed. Photii, cujus ms. πλευρίδια. πλευρικὰ Schol. Aristoph.

[i] 'Αριστοφάνης] Equit. 361. KUST.

'Η ΣΧΕΣΙΣ δὲ] Σχέσις A. Mox πρὸς πατέρα υἱόν, πρὸς φίλον φίλον M.

[k] μόνας] μόνον A.V.

ΣΧΕΤΛΙΑΖΕΙ] Polyb. 323. TOUP.

ΣΧΗΜΑΤΙΖΟΜΕΝΟΣ] Ex Timæo p. 245.

ΣΧΗΣΕΣΘΑΙ: 'Επισχεθήσεσθαι] Σχήσεσθε: ἐπισχεθήσεσθε A.B.E. Vulg. tamen Photius.

ΣΧΗΣΕΙΝ] Il. μ'. 4.

[l] ὑφέξουσι] ὑφέξονται V. ἐφέξουσι Photius. Statim delevi ΣΧΙΔΑΞ: Τὸ σχίσμα· ἤ, τὸ ἐσχισμένον ξύλον. Παρὰ τὸ σχίζω, cum A.B.V.E. Vid. Etymol. M. p. 741, 17.

ΣΧΙΔΑΚΑΣ] Hæc ex A.B. Pertinet ad 1 Reg. XVIII. 38.

ΣΧΙΖΑΣ] Schol. Aristoph. Pac. 1024. HEMST.

[m] 'Ομηρος] Il. α'. 462. KUST.

ΣΧΙΖΩ: Αἰτιατικῇ. καὶ om. V. Habet A. in marg.

[n] ΣΧΙΝΟΤΡΩΞ] Hesychius Σχῖνον διατρώγων: εἰώθασι δὲ

F σχῖνον τρώγειν οἱ καλλωπιζόμενοι ἕνεκα τοῦ λευκαίνειν τοὺς ὀδόντας. Lentisco autem dentes purgari solitos auctor est Martialis Ep. XIV. 22. *Lentisco melius, sed si tibi frondea cuspis Defuerit, dentes penna levare potest.* SCHOTT. Vid. Zenob. V. 96.

[o] τοιοῦτος] Statim delevi 'Επὶ τῶν καλλωπιζωμένων. Διὰ γὰρ τὸ λευκαίνειν τοὺς ὀδόντας, ἤσθιον χῖνον, cum A.

[p] χώρισις] τρίκκη· ὄνομα κύριον A.B.E. Vulg. habet Zonaras.

[q] εὐκαιρεῖν] εὐκαιρεῖν aliud est: nempe *beate vivere*, et

G *divitiis abundare.* Vid. supra in v. et in Σχολή. Mœris in v. Vid. 'Ραδιουργός. TOUP. Vid. Lobeck. ad Phryn. p. 125.

[r] οἱ 'Αττικοὶ] οἱ om. A. Photius.

ΣΧΟΛΑΡΙΟΙ τρισχ.] Hæc excerpta sunt ex Procopii Hist. Arc. c. 24. Confer Vales. ad Amm. Marcell. p. 32. et Dufrenium in Glossario Græco, v. Σχολάριοι. KUST.

[s] Πάλλαντος] Procopius, Παλλατίου. Et sic apud Sui-

H dam scribendum est. KUST. Παλλαντ' A. παλατ' V. Mox ἀπολεχθέντες A.B.V.E. pro ἐπιλ.

[t] οἷς] ἧς V.

[u] Περὶ 'Επικούρου] Supra p. 1364 B.

[x] ΣΧΟΛΑΙΟΤΗΣ καὶ ΣΧΟΛΑΙΟΣ] σχολαίτ' καὶ σχολαίτ' A. Post ἄργος A.V. addunt καὶ σχολαιότ'.

[y] Μαστιγοφόροι] Thucyd. IV. 47.

[z]Ὁ δὲ ἀπεφθέγγετο παροιμιῶδές τι καὶ [a]βαρβαρικόν τε καὶ A ἀφελὲς, ἐνεργὸν δὲ ὅμως καὶ χρήσιμον· ὡς δεῖ πρότερον ἀποσοβεῖν τὰς μελίττας, καὶ ἔπειτα [b]τὸ μέλι σχολαίτερον αἱρεῖσθαι.

Σχολαιότης λέγεται ἡ μέλλησις, καὶ ἡ ἐπιμονή. [c]Θουκυδίδης·

Ἡ δὲ ἐν τῷ Ἰσθμῷ γενομένη ἐπιμονὴ, καὶ [d]κατὰ τὴν ἄλλην πορείαν ἡ σχολαιότης, διέβαλεν αὐτόν.

Σχολεῖον: Τὸ διδασκαλεῖον. [e]Σχόλιον δέ.

Σχολή: Οὐχὶ ὁ τόπος ἐν ᾧ σχολάζουσι καὶ δια- B τρίβουσι περὶ παιδείαν, οὐδὲ αὐτὴ ἡ ἐν λόγοις εὐμουσία καὶ διατριβὴ, ἀλλὰ ἣν οἱ πολλοὶ ἀκύρως καλοῦσιν εὐκαιρίαν· τὸ δὲ εὐκαιρεῖν, βάρβαρον· ἀλλ' ἀντὶ μὲν τοῦ εὐκαιρεῖν, σχολὴν ἄγειν λέγουσιν. Ἡ δὲ εὐκαιρία βάρβαρον μὲν οὐκ ἔστιν ὄνομα· τάττεται δὲ οὐκ ἐπὶ σχολῆς, ἀλλ' ἐπὶ καιροῦ τινὸς εὐφυΐας, καὶ ἀρετῆς. Καὶ, [[f]σχολῇ,] ἀντὶ τοῦ οὐδαμῶς.——— C Σχολὴ οὖν, τὸ μηδὲν δρᾶν, [g]ἢ τὸ περί τι σχολάζειν. Καὶ ἀντὶ τοῦ σχολάζειν λέγουσι τὸ εὐκαιρεῖν. Καὶ Αἰλιανός·

Ἐγὼ δὲ ταῦτα [h]περιῆλθον, οὔτι που σχολὴν ἄγων [i]τὰ τῶν προστυχόντων κακὰ τοῖς ἐμαυτοῦ λόγοις τιμᾶν, ἀλλ' ὑπὲρ τοῦ μὴ πράττειν ἄλλοις παραπλήσια.

Σχολὴ οὖν, ἡ παρὰ πολλοῖς ἀκύρως εὐκαιρία.

Σχολῇ γ' ἄν: Ἀντὶ τοῦ, οὐδ' ὅλως, βραδέως, D [l]οὐδαμῶς. [m]Σοφοκλῆς·

Ἐπεὶ
[n]σχολῇ γ' ἂν οἴκους τοὺς ἐμοὺς ἐστειλάμην.

Σχόλια: Σεμνολογήματα· ἢ ὑπομνήματα, [o]καὶ ἑρμηνεῖαι.

Σχόμενος: Κατασχὼν, ἢ κατασχεθείς.

Σχόντες: Δοτικῇ. Ὀκείλαντες, προσορμισθέντες. Θουκυδίδης· E

Καὶ σχόντες εἰς τὰ καταντικρὺ Κυθήρων τῆς Λακωνικῆς, τῆς τε γῆς ἔστιν ἃ ἐδῄωσαν, καὶ ἐτείχισαν ἰσθμῶδές τι χωρίον.

Σχών: Κατασχών.

Σχοίητε: [q]Νομίσοιτε, ἢ ὑπολάβοιτε.

Σχοινία: Αἱ ἐπιβουλαὶ παρὰ τῷ [r]Δαβίδ·

Σχοινία ἁμαρτωλῶν περιεπλάκησαν.

Σχοινίον μεμιλτωμένον: Εἰ [s]βραδύνοιεν ἐπὶ τὴν ἐκκλησίαν οἱ [t]δημόται, σχοινίον μιλτοῦντες, συνήλαυνον, καὶ τὰ πρατήρια διέκλειον. Καὶ παροιμία·

[u]Τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον.

Ὑπὲρ τοῦ ἐξ ἀνάγκης αὐτοὺς εἰς τὰς ἐκκλησίας ἰέναι τοῦτ' ἐμηχανῶντο, [x]καὶ πολλὰ ἄλλα. Ἀνεπετάννυσαν γὰρ τὰ γέρρα, καὶ ἀπέκλειον τὰς ὁδοὺς τὰς μὴ φερούσας εἰς τὴν ἐκκλησίαν, καὶ τὰ ὤνια ἀνῄρουν ἐν ταῖς ἀγοραῖς, ὅπως μὴ περὶ ταῦτα διατρίβοιεν· ἔτι μὴν καὶ μεμιλτωμένῳ σχοινίῳ περιβάλλοντες αὐτοὺς συνήλαυνον εἰς τὴν ἐκκλησίαν. Τοῦτο δὲ ἐποίουν, [y]ὑπὲρ τοῦ μὴ βραδύνειν. [z]Ὅσοι γὰρ ἐχρίοντο, ζημίαν ἐξέτινον. Ἄλλως. Ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, [a]εἰώθεισαν ὑπηρέται δύο μεμιλτωμένον σχοινίον ἐκτείνοντες, διὰ τῆς ἀγορᾶς διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός. Ὅσοι δὲ ἐχρίοντο, ἐξέτινον ζημίαν.

Σχοίνισμα: [b]Μέτρου μέρος, κληρουχία, ἡ τῆς γῆς δεσποτεία. Ἴδιον γὰρ τῶν κεκτημένων μέτρῳ τὴν γῆν ὑποβάλλειν.

Σχοῖνος: [c]Μέτρον γεωργικόν· [d]ὥς φησιν Ἡρόδοτος ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν.

Σχοῖνος: Εἶδος φυτοῦ, κατὰ τὸ ἄκρον ὀξέος, ἐοικότος βελόνῃ. Λέγεται δὲ ἀρσενικῶς. [e]Ἀριστοφάνης Ἀχαρνεῦσι·

Πρὶν ἂν σχοῖνος αὐτοῖσιν ἀντεμπαγῶ.

[z] Ὁ δὲ ἀπεφθέγγετο παροιμ.] Hæc excerpta sunt ex Agathia, apud quem, lib. III. p. 78. sic legitur: Τοιγάρτοι ἐκεῖνος θαμὰ ἐπεφθέγγετο παροιμιῶδες, &c. De Ulilango Herulorum duce ibi verba fiunt. Vide etiam Nostrum supra v. Ἀφελὲς, ubi idem fragmentum occurrit. KUST.

[a] βαρβαρικὸν μὲν] καὶ βαρβαρικόν τε A.V. et fere B. ubi τι. καὶ βαρβαρικὸν E.M.

[b] σχολαίτερον τὸ μέλι] τὸ μέλι σχολαίτερον A. F

[c] Θουκυδίδης] Lib. II. c. 18. KUST.

[d] ἡ κατὰ—σχολαιότης] κατὰ—ἡ σχολαιότης A.V.

[e] ΣΧΟΛΙΟΝ] σχο^λ E.

[f] ΣΧΟΛΗΙ om. A.E. οὐκ ἐπὶ σχολῆς M.

[g] ἢ τὸ] τὸ om. V. Mox καὶ ἀντὶ A.V. pro ἀντὶ δέ.

[h] περιῆλθον] Portus recte legit, παρῆλθον. KUST.

[i] τὰ τῶν] τῶν om. A.

[k] ΣΧΟΛΗ] Ἡ σχολὴ V. Tum ἡ om. A. Dein ἄκαιρος A.B.V.E. pro ἀκύρως.

[l] οὐδαμῶς] Vid. Schol. Platon. p. 152. Idem p. 196. νῦν ἀντὶ τοῦ οὐδαμῶς. Σημαίνει δὲ καὶ τὴν περί τι προσεδρείαν, καὶ σπουδὴν, καὶ τοὐναντίον τὴν ἀπό τινος ἀργίαν· ἔτι δὲ καὶ τὴν κατὰ τὴν παιδευτικὴν ἐν λόγοις διατριβήν. G

[m] Σοφοκλῆς] Œdip. Tyran. 434. ubi pro σχολῇ γ' ἄν, legitur, σχολῇ σ' ἄν. KUST.

[n] σχολῇ γ'] σχολῇ σ' A. σχολ^ς V. Mox οἴακασ A. pro οἴκους.

[o] καὶ] ἢ καὶ V.

[p] Θουκυδίδης] VII. 26.

[q] Νομίσοιτε, ἢ ὑπολάβοιτε] Sic rectius ms. A. [cum Photio] quam priores editt. [et B.V.E. cum Hesych.] quæ habent, νομίσητε, ἢ ὑπολάβητε. KUST. H

[r] Δαβίδ] Ex Ps. CXVIII. 61. cum interpretatione Theodoreti ad h. l. ERNEST. Exemplum om. V.E. Habet A. in marg.

[s] βραδύνοιεν] βραδύνειεν A.

[t] δημόται] Repone τοξόται ex Photio.

[u] Τὸ σχοινίον φεύγ.] Senarius hic (quem Suidas male inter proverbia refert) legitur apud Aristoph. Acharnens. sub initium. Vide ibi Scholiastam, cujus scrinia Suidas hic compilavit. Confer etiam Nostrum supra v. Μεμιλτωμένον. KUST.

[x] καὶ πολλὰ] Seqq. usque ad ἐξέτινον· ἄλλως om. V.

[y] ὑπὲρ τοῦ] τοῦ om. A.

[z] Ὅσοι—ζημίαν om. A.

[a] εἰώθεσαν] εἰώθεισαν A.B.E. εἰώθασιν Schol.

ΣΧΟΙΝΙΣΜΑ] Psalm. CV. 11. Λέγων, σοὶ δώσω τὴν γῆν Χαναὰν, σχοίνισμα κληρονομίας αὐτῶν. Theodoretus ad illum locum, p. 818. Σχοίνισμα τὴν τῆς γῆς ἐκάλεσε δεσποτείαν. Τῶν κεκτημένων γὰρ ἴδιον, μέτρῳ τὴν γῆν ὑποβάλλειν. Hinc Suidas sua deprompsit. KUST. Schol. in Gregor. Naz. ms. Paris. Σχοίνισμα: κλῆρος, ἐκ μεταφορᾶς τῆς σχοινίῳ μετρουμένης καὶ διαμοιραζομένης γῆς.

[b] μέτρου] Scribe μέτρον. Vide viros doctos ad Hesych. Julian. apud Cyrill. p. 238. TOUP.

[c] Μέτρον γεωργικὸν] Scribendum, μέτρον ΓΕΩΜΕΤΡΙΚΟΝ. Zachar. II. 1. Ἰδοὺ, ἀνὴρ καὶ ἐν τῇ χειρὶ αὐτοῦ σχοινίον ΓΕΩΜΕΤΡΙΚΟΝ. Recte Etymologus: Τὸ δὲ σχοῖνος ΜΕΤΡΟΝ ἘΣΤΙ ΓΕΩΜΕΤΡΙΚΟΝ. TOUP. γεωμετρικὸν Photius et Lex. Seg. Schol. in Gregor. Naz. ms. Paris. Σχοῖνος σπαρτίον ἐστι μετρικὸν, οὐ σμικρὸν, ἐξ οὗ καὶ τὰ μετρούμενα τῶν χωρίων σχοινίσματα κέκληται.

[d] Ὥς φησιν Ἡρόδοτος] Videtur Suidas respexisse ad locum Herodoti, qui exstat lib. I. p. 16. Σχοίνῳ διαμετρησάμενοι τὸ πεδίον τῶν Τεγεητέων. Quare pro ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν, forte scribendum est ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν. KUST. Locus est II. 6. Vid. Davis. Max. Tyr. p. 634. Jablonski Voc. Ægypt. Opusc. t. I. p. 335.

[e] Ἀριστοφάνης Ἀχαρνεῦσι] Ver. 228. Supra ὀξὺ M.

Τουτέστιν, πρὶν [f]αὐτοὺς τρώσω ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρός.

Σχοίνου συμβολεῖς: Οἱ ψιαθοπλόκοι. Καὶ σχοῖνος, ἡ ψίαθος.

Σχοινοτενές: Παρὰ [g]Ἡροδότῳ, ἀντὶ τοῦ, [h]μακρὸν, ὀρθόν.

## Τ Α.

Τά: Ταῦτα.

Τὰ ἀπὸ Ναννάκου: Ἐπὶ τῶν ἐπὶ [i]παλαιότητι θαυμαζομένων. Νάννακος γὰρ Φρυγῶν βασιλεὺς πρὸ τῶν τοῦ Δευκαλίωνος χρόνων.

Ταβελλίων: Ὁ τὰ τῆς πόλεως γράφων [k]συμβόλαια, ὃ παρὰ τοῖς πολλοῖς Νομικὸς λεγόμενος.

[l]Ἅπαντα ἐπιτελῶν τὰ τῶν πολιτῶν γραμματεῖα, ἕκαστον αὐτῶν οἰκείοις ἐπισφραγίζων γράμμασι, (ὅνπερ ταβελλίωνα καλοῦσι Ῥωμαῖοι.)

Ταβερνεῖα: Καπηλεῖα, [m]πανδοχεῖα.

Τάβεια: [n]Ὄνομα πόλεως.

Ταβηθά: Ὄνομα κύριον.

Τάβλα: Ὄνομα παιδιᾶς. [o]Ταύτην ἐφεῦρε Παλαμήδης εἰς [p]διαγωγὴν τοῦ Ἑλληνικοῦ στρατοῦ σὺν φιλοσοφίᾳ πολλῇ. Τάβλα γάρ ἐστιν ὁ γήϊνος κόσμος· [q]δώδεκα δὲ κάσοι, ὁ ζωδιακὸς ἀριθμός· τὸ δὲ [r]ψηφοβόλον, καὶ τὰ ἐν αὐτῷ ἑπτὰ κοκκία, τὰ ἑπτὰ ἄστρα τῶν πλανητῶν· ὁ δὲ πύργος, τὸ ὕψος τοῦ οὐρανοῦ· ἐξ οὗ ἀνταποδίδοται [s]πᾶσι πολλὰ καὶ κακά. Ἄλλοι δὲ [t]λέγουσι. . . .

Τὰ γὰρ ἐς σωφροσύνην αὐτὸς δικαιότατος κἂν τῷ Βελλεροφόντῃ σωφροσύνης [u]ἀμφισβητήσειε:

Τὰ γὰρ περιττὰ [x]κἀνόνητα σώματα
Πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
[Ἔφασχ' ὁ μάντις.]
Οἷος [ἦν] ὁ Αἴας.

Ταγήν: Ὄνομα ὀρνέου.

Ταγηνοκνισοθήρας: [y]Ὁ Ἰούνιος ἦν.

Τάγηνον: Τὸ τηγάνιον.

Ταγός: [z]Ἡγεμών.

[a]Ὦ τῶν Ἀθηναίων ταγὲ τῶν εὐδαιμόνων.

Ἀντὶ τοῦ, ἀρχηγέ. [b]Ὅμηρος·

Παρὰ δ' οἱ [c]ταγοὶ ἄμμι μενόντων.

Καὶ αὖθις·

[d]Ἦν δ' ἐσορῇς ἐπ' ἐμεῖο βοόστρυχον εἰκόνα θήρης,
ἔννεπε τοῦ ταγοῦ μνῆμα Λεωνίδεω.

---

[f] αὐτοὺς] πρὶν αὐτοὺς A.V. πρὸς αὐτοὺς M. Mox ὀξὺς om. A.

ΣΧΟΙΝΟΥ ΣΥΜ.] Ex Gl. Herodot. IV. 190. In fine delevi Ὅθεν καὶ τὸ βαθύσχοινος, cum A.B.V.

[g] Ἡροδότῳ] Gl. I. 189.

[h] ὀρθὸν καὶ μακρὸν] μακρὸν, ὀρθὸν A.B.

ΤΑ ἈΠΟ ΝΑΝΝΑΚΟΥ] Confer Nostrum supra v. Ἀπὸ Ναννάκου, et v. Νάννακος, et infra v. Τὰ Ναννάκου. KUST.

[i] παλαιότητι] παλαιοτάτων A.V. παλαιότατα E.

ΤΑΒΕΛΛΙΩΝ] Gloss. Verb. Jur. in Νομικοί. HEMST.

[k] συμβόλαια] συγγράμματα V. suprascripto συμβόλαια.

[l] Ἅπαντα ἐπιτελῶν τὰ τ.] Hæc sumpta sunt ex Procopii Histor. Arc. c. 28. Confer Nostrum supra v. Πρίσκος, ubi integer locus Procopii adducitur. KUST. Lunulis inclusa addidi ex Procopio. Vid. Herald. adv. Salmas. p. 457.

[m] πανδοχεῖα] πανδοκεῖα V. Phot. Lex. Seg.

ΤΑΒΕΙΑ] Wesseling. ad Itinerar. Antonin. p. 202. HEMST.

[n] Ὄνομα πόλεως] πό το A.

ΤΑΒΗΘΑ] Est nomen fœminæ, cujus mentio fit Actor. IX. 36. Sed ibi nomen ejus scribitur Ταβιθὰ, per ι in syllaba secunda. KUST.

[o] Ταύτην ἐφεῦρε Παλαμ.] De hoc loco Suidæ vide omnino Salmas. ad Flav. Vopis. p. 463. et seqq. edit. Paris. qui suspicatur eum ex Joanne Antiocheno περὶ Ἀρχαιολογίας excerptum esse. Ceterum, quæ Suidas hic de lusu tabulæ, ejusque inventore Palamede refert, totidem pene verbis leguntur etiam apud Cedrenum p. 125. Sic enim ibi: Οὗτός ἐστι Παλαμήδης, ὁ καὶ τὴν ταύλαν ἐφευρὼν πρὸς μετεωρισμὸν τοῦ στρατοῦ, καὶ τὴν ἐν αὐτῇ σύνθεσιν σὺν φιλοσοφίᾳ πολλῇ καταστήσας. Ὥρισε γὰρ εἶναι τὴν ταύλαν, τὸν γήϊνον κόσμον. Τοὺς δὲ δώδεκα κάσους, τὸν ζωδιακὸν ἀριθμόν. Τὸ δὲ ψηφοβόλον, καὶ τὰ ἐν αὐτῷ κοκκία, τὰ ἑπτὰ ἄστρα τῶν πλανητῶν. Τὸν δὲ πύργον, τὸ ὕψος τοῦ οὐρανοῦ, ἐξ οὗ ἀνταποδίδοται πᾶσι καλὰ ἢ κακά. His adstipulatur Isacius Porphyrogenneta in Paralipomenis Homeri, cujus verba adducit Salmasius loco laudato. KUST.

[p] διαγωγὴν] Meursius de Ludis Græc. in Πεττεία p. 985. pro διαγωγὴν clanculum et imperite substituit συναγωγὴν, *ad congregationem* (ita vertit) *Græci exercitus*, laudatorem nactus Jac. Gronovium. Διαγωγὴ est *oblectamentum fallendo tempori:* idem quod in Cedreni loco μετεωρισμὸς, quam vocem Meursius ibidem inscite *elevationem exercitus* interpretatur. HEMST. ἀπαγωγὴν A.V. Mox Ἑλληνιακοῦ V.

[q] Δώδεκα δὲ, ὁ Ζωδ.] Excidit hic vox κάσοι. Scribendum enim est δώδεκα δὲ κάσοι, ὁ Ζωδιακὸς, &c. id quod patet ex loco Cedreni ante citato, in quo vox illa occurrit. Quid sit autem κάσοι, fuse explicat Salmasius loco laudato, cujus verba hic non repetam. KUST. κάσοι addunt A.B.E. καὸ V.

[r] ψηφοβόλον] ψηφιβόλον A.E.M.

[s] πᾶσι πολλὰ καὶ κακὰ] Salmasius legit, πᾶσι φαῦλα καὶ καλά. At ex Cedreno potius rescripserim πᾶσι καλὰ καὶ κακά. KUST. et sic Jo. Malelas p. 130.

[t] λέγουσι] Post h. v. lacuna in E.M.

ΤΑ ΓΑΡ ἘΣ ΣΩΦΡ.] Locus hic occurrit etiam supra v. Σωφροσύνη: sed ubi pro δικαιότατος recte legitur δικαιότατα, sensu adverbiali. KUST. Ex Synesio p. 63 D.

[u] ἈΜΦΙΣΒΗΤΗΣΕΙΕ] ἀμφιστήσειε A.V.

ΤΑ ΓΑΡ ΠΕΡΙΤΤ.] Sophocl. Aj. 758.

[x] ΚΑΝΟΝΗΤΑ] καννόνητα A. καὶ ἀνόητα M. Mox πίπτει A. Tum ἔφασχ' ὁ μάντις om. A.V. et paulo post ἦν.

ΤΑΓΗΝ] Pro Ἀτταγήν. Vid. Ἀτταγὰς, quem vulgo ταγηνάριον appellari scribit. HEMST.

ΤΑΓΗΝΟΚΝΙΣΣΟΘΗΡΑΣ] Sic recte ms. A. et ipse Suidas infra v. Φαγεῖν ζῶν. In prioribus vero editt. male sic legitur, Ταγήν. Ὁ κνισσοθήρας: una nimirum voce in tres divisa. Est autem vox ταγηνοκνισσοθήρας composita ex τάγηνον, κνίσση, et θηρῶμαι, et, si quidem vim etymologiæ spectes, significat eum, qui sartaginis nidorem venatur, vel captat: sin sensum; hominem gulosum et ventri deditum. Talis nimirum erat Junius iste, cujus Suidas hic obiter meminit. Vide supra v. Ἰούνιος. KUST. Vid. Casaub. Athen. III. 20. REINES. Ταγινοκνισοθήρας A. ταγὴν ὀκνισοθήρας V.

[y] Ὁ Ἰούνιος ἦν] Portus Junium hunc, quem lurconem fuisse diximus, in Junium mensem ridicule transformabat; legendum quippe censens, ὁ Ἰούνιος μήν: i. e. *Junius mensis*. Sed hanc hallucinationem jam ante castigavimus in Diatriba, quam de editione Suidæ a Porto adornata conscripsimus, et editione huic præfiximus. KUST.

ΤΑΓΗΝΟΝ: Τὸ τηγ.] Aristoph. Equit. 925. Τὸ μὲν τάγηνον τευθίδων. Scholiastes: Τάγηνον δὲ, τήγανον. Huc Suidas respexit. KUST.

[z] Ὁ ἡγεμὼν] ὁ om. A.E.

[a] Ὦ τῶν Ἀθηναίων τ.] Aristoph. Equit. 159.

[b] Ὅμηρος] Il. ψ'. 160. KUST.

[c] ταγοὶ] ταγὲ A.

[d] Ἦν δ' ἐσορῇς] Anthol. Pal. VII. 243. ἦν δ' ἐσὄρν A.V. Mox βοόστρυχον A. Anthol. pro βόστρυχον.

ib. Scribendum proculdubio: Ἦν δ' ἐσορῇς ἐπ' ἐμεῖ' ΕΥ-

Τάγυρι: Τὸ βραχύτατον καὶ ἐλάχιστον, [e]οἷον ψιλὰ λέγουσιν. Εὔπολις Αἰξί·

Καὶ ζῆν μαθόντι μηδὲ [f]τάγυρι μουσικῆς.

Τάδ' ἐκ τοῦ Τρίποδος: Τίθεται ἐπὶ τῶν πάνυ ἀληθῶν. Ἀριστοκλείᾳ γὰρ τῇ Πυθίᾳ [g]γινομένῃ μιχθῆναι [h]τὸν Δελφὸν, καὶ τῶν ὑπ' αὐτῆς μαντευμάτων παρασημειοῦσθαι, [i]ὅσα ἔχρα ἔνθεος γενομένη· καὶ ταῦτα ὡς ἀληθῆ παρασημειοῦσθαι, ὡς ἐκ τοῦ τρίποδος.

Περὶ Ἀπολλωνίου τοῦ Τυανέως·

[k]Οὐδὲ διῆγε τοὺς λόγους, οὐδὲ [l]εἰρωνευομένου τις ἤκουσε, περιπατοῦντος ἐς τοὺς ἀκροωμένους, ἀλλ' ὥσπερ ἐκ τρίποδος, ὅτε διαλέγοιτο, "Οἶδα," ἔλεγε, καὶ "Δοκεῖ μοι."

Τάδε Μῆδος οὐ φυλάξει: Κατὰ τὴν τοῦ Ξέρξου ἔφοδον τοὺς Ἕλληνας ἀπειρηκότας τὰ ἑαυτῶν ἀναλίσκειν καὶ δαπανᾶν, ἐπιλέγοντας,

Τάδε Μῆδος οὐ φυλάξει.

Τὰ δὲ πρὶν ἔργα χερσὶ μέγιστ' ἀρετᾶς, ἄφιλα παρ' ἀφίλοις: [m]Τουτέστι, τὰ πρότερον μέγιστα τῆς ἀρετῆς τῶν χειρῶν αὐτοῦ ἔργα, ἤγουν τοῦ Αἴαντος, ἐν ὀλιγωρίᾳ εἰσὶ τοῖς Ἀτρείδαις. Σοφοκλῆς.

Τάδ' οὐ παρὰ Κενταύροισι: Λεγόμενόν τι ἦν. Τηλεκλείδης [n]τισὶ

Τῶν δυνατῶν τι κέλευ'· οὐ γὰρ παρὰ Κενταύροισι.

ΤΑΥ͂ΤΆ ΣΟΙ ΚΑῚ ΠΎΘΙΑ ΚΑῚ ΔΉΛΙΑ: Ἐπὶ τῶν τὰ τελευταῖα [x]ποιούντων. Πολυκράτης γὰρ ὁ Σάμου τύραννος, [y]Ῥήνειαν ἑλὼν, καὶ ἀναθεὶς [z]αὐτὴν τῷ Ἀπόλλωνι, καὶ ἐν Δήλῳ θεὶς ἀγῶνα κάλλιστον, ἠρώτα πέμψας εἰς Δελφοὺς, πῶς δεῖ καλεῖν τὸν ἀγῶνα, Δήλια, ἢ Πύθια. Ὁ δὲ χρησμὸς [a]εἶπε· ΤΑΥ͂ΤΆ ΣΟΙ ΚΑῚ ΔΉΛΙΑ ΚΑῚ ΠΎΘΙΑ· σημαίνων, ὅτι εὐθέως ἀποθανεῖται.

ΤΑΥ͂ΤΆ ΤΟΙ ΚΑῚ ΘΑΡΡΩ͂Ν ΑὐΤῸΣ ΚΑΤΆ ΤΙ ἜΘΟΣ ἈΡΧΑΙ͂ΟΝ ἘΚΈΛΕΥΣΕ ΔΙ' ἩΜΈΡΑΣ ΤῊΝ ἹΕΡΟΥΡΓΊΑΝ ΤῊΝ ΤΕΤΑΓΜΈΝΗΝ ΔΡΑ͂ΣΑΙ ΤΩ͂Ι ΘΕΩ͂Ι: Ἀντὶ τοῦ, ἕνεκεν τούτου. Καὶ αὖθις·

> Ταῦτά τοι καὶ τεθνεῶτα ἔθαψεν αὐτὸν ὁ βασιλεὺς ταφῇ θαυμαστῇ.

Ἀντὶ τοῦ, διὰ τοῦτο.

ΤΑΎΤΗΙ: Τούτου ἕνεκεν, ἢ οὕτως.

> Ταύτῃ τοι οὐ πολὺ ὕστερον παρελύθη τῆς ἀρχῆς.

Καὶ αὖθις·

> Ταύτῃ τοι [b]καὶ οὔ τι εὐλαβούμενος εἴποιμι.

Καὶ αὖθις·

> Καὶ ἐδόκει ταύτῃ γε τοῦ ἀδελφοῦ διαφέρειν.

Καὶ αὖθις·

> Ὁ δὲ Βροῦτος ταύτῃ οὐδὲ ἐπείρασε διαβῆναι· ἑτέραν δέ τινα μακροτέραν [c]περιελθόντες.

ΤΑΥΤΗΐ: Ταύτῃ.

ΤΑΥΤΗΝΊ: Ταύτην.

ΤΑΥΤΊ: Ταῦτα.

ΤΑΥΤΊΖΩ: Ἰδιοποιοῦμαι.

ΤΑΥΤῚ ΛΈΓΟΥΣΑ ΜΟΡΜΟΛΎΤΤΕΣΘΑΙ ΔΟΚΕΙ͂Σ: [d]Ἀριστοφάνης. Ἐπὶ τῶν δοκούντων ἐκφοβεῖν.

ΤΑΥΤῚ ΜῈΝ ΕἸΚΆΣΜΕΣΘΑ, ΚΑΤᾺ ΤῸΝ ΑἸΣΧΎΛΟΝ, ΤᾺ Δ' ΟὐΧ ὙΠ' ἌΛΛΩΝ, ἈΛΛᾺ ΤΟΙ͂Σ ΑὑΤΩ͂Ν ΠΤΕΡΟΙ͂Σ: Ὁ γὰρ Αἰσχύλος Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν.

> Ὧδ' ἐστὶ μύθων τῶν Λιβυστικῶν λόγος,
> πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν
> εἰπεῖν, [e]ἰδόντα μηχανὴν πτερώματος·
> τὰ δ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς
> ἁλισκόμεσθα.

Καὶ ἡμεῖς οὖν, φησὶν, οὐχ ὑπ' ἄλλων πάσχομεν ταῦτα, ἀλλὰ τῇ αὑτῶν γνώμῃ. ΤΟΙ͂Σ ΑὑΤΩ͂Ν ΠΤΕΡΟΙ͂Σ: Ἀντὶ τοῦ, ἑαυτοῖς ταῦτα πεποιήκαμεν.

ΤΑΥΤΟΈΠΕΙΑ: Καὶ ΤΑΥΤΟΕΠΕΙ͂Ν, ταυτολογεῖν.

ΤΑΥΤΌΝ: Τοῦτο τριχῶς διαιρεῖ Ἀριστοτέλης ἐν τοῖς Τοπικοῖς. Πρὸς δὲ τούτοις τοῖς τρισὶ καὶ τέταρτόν τινα προστίθεται, [f]τὸν κατ' ἀναλογίαν, πορρώτερον ὄντα τῶν τριῶν. Οἱ δὲ τρεῖς εἰσιν οὗτοι. Ταυ-

[o] Τοὺς περὶ 'Αρίσταρχον, οἰομ.] Hinc emendandus et supplendus est Scholiastes Aristophanis, apud quem hodie male sic legitur: Τοὺς περὶ 'Αριστόξενον οἰόμενος, ὅτι ταῦρος ἦν αὐτοῖς τὸ ἔπαθλον. KUST.

[p] φασὶ ψεύδεσθαι] ψευ$^{δ}$ A. ψευδῶς V.

[q] ἔτι] ὅτι A.

[r] μητέρα Κρατίνου] Scholiastes: μήτε Κρατίνου βακχεῖ' ἐτελέσθη· ὅ ἐστι τοῦ μοσχοφάγου Διονύσου· ἢ τολμηρά· ἀ. τ. B.

[s] Ὄρνισιν] Ver. 446. Nam ἔσται ταυταγὶ omnes mss. et edd. ante Kuster. qui tacite reposuit εὖ γε μωμᾷ ταυταγὶ ex Av. 171.

ΤΑΥΤΑ ΛΗΡΕΙΣ] Aristoph. Vesp. 1361. τὸν post νὴ inserunt A.V.E. Mox τοί γ' A.V. pro τοίη γ'.

ΤΑΥΤΑ ΠΡΑΣΣΩΝ, ΦΑΣΚ.] Non video, quem sensum ex verbis hisce exsculpere possis. Quare scribendum potius puto, Ταῦτα πράσσων, φάσκ' ἀνὴρ, οὐδὲν ποιεῖς. KUST. Nec morbum, nec medelam hujus loci, perspectum habuit Kusterus. Primum illud φάσκε in morem atque consuetudinem Atticorum peccat. Deinde senarius capite deminutus est. Rescribo certissima, opinor, emendatione: Τί ταῦτα ΠΡΑΣΣΩ, 'φάσκ' ἀνὴρ, οὐδὲν ποιῶν; *Cur ista ago, inquiebat ille, cum nihil ageret?* Quod festivum et κωμικώτατον est. Sophocl. Elect. 321. Φησίν γε· φάσκων δ' οὐδὲν ὧν λέγει ποιεῖ. TOUP.

[t] Ἡ παροιμία] ἡ γὰρ παρ. A.V. Photius. In versu Cratini ποῶν Photius.

ΤΑΥΤΑ ΜΕΝ ΠΡΟΣ 'ΑΝΔΡ.] Aristoph. Ran. 536. μὲν om. A.V.E.

[u] ΠΕΡΙΠΕΠΛΕΥΚΟΤΟΣ] παραπεπλευκότος A. Mox ἀεὶ E. Deinde λαβόντ' ἐν A.

ΤΑΥΤΑ ΣΟΙ ΚΑΙ ΠΥΘ.] Confer Nostrum supra v. Πύθια: ubi idem proverbium refertur. KUST.

[x] πονούντων] ποιούντων A.B.V.

[y] 'Ρήνειαν] 'Ρηνίαν A.B.V.E. Tum ἐλθὼν E.

[z] τῷ 'Απόλλωνι αὐτὴν] αὐτὴν τῷ 'Απ. A.

[a] ἔφη] εἶπε A.V.

[b] οὐκ] καὶ οὔ τι A.B.V.E.

[c] περιελθόντες] διελθόντες (supra: περι) E.

ΤΑΥΤΙΖΟΜΑΙ] Ταυτίζω A.B.V.

[d] 'Αριστοφάνης] Av. 1245. Mox φοβούντων E. pro δοκούντων.

ΤΑΥΤΙ ΜΕΝ ΕΙΚΑΣΜ.] Aristoph. Av. 808. Confer Nostrum supra, v. Οὐχ ὑπ' ἄλλων; et Gatak. in Miscellan. p. 538, 539. KUST.

[e] ἰδόντα] εἰδότα V.

ΤΑΥΤΟΝ: Τοῦτο τριχῶς διαιρεῖ 'Αριστοτ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sumpta sunt ex Alexandro Aphrod. in lib. I. Topic. Aristot. p. 32. KUST.

[f] τὸν κατ'] τὸν om. A.B.E.

τὸν γὰρ, τὸ μὲν κατ᾽ ἀριθμὸν λέγεται· τὸ δὲ, κατ᾽ A εἶδος· τὸ δὲ, τῷ γένει. Ἀριθμῷ ταὐτά ἐστιν ἀλλήλοις, ὧν ὀνόματα πλείω, τὸ δὲ πρᾶγμα τὸ ὑπ᾽ αὐτῶν σημαινόμενον, ἕν· οἷά ἐστι τὰ πολυώνυμα. [g]Ἀριθμῷ γὰρ ἓν τὸ λώπιον, καὶ ἱμάτιον· ὅτι τοῦ αὐτοῦ καὶ ἑνὸς κατ᾽ ἀριθμόν ἐστι δηλωτικά. Κἂν λόγος δὲ, κἂν ὄνομα ταυτὸν σημαίνῃ, ἓν κατ᾽ ἀριθμὸν καὶ τοῦτο. Κἂν λόγοι πλείους σημαίνωσι ταυτὸ, καὶ ταῦτα τῷ ἀριθμῷ ταυτά. [h]Τῷ γὰρ ἀριθμῷ τοῖς αὐτοῖς εἶναι B ἐστὶν, οὐ τοῖς ὀνόμασι σημαντικοῖς. Συνελόντι φάναι, κατ᾽ ἀριθμὸν, ὡς τὰ πολυώνυμα, λῶπος, ἱμάτιον· κατ᾽ εἶδος, ὡς Σωκράτης, καὶ Πλάτων· κατὰ γένος, οἷον, ἄνθρωπος, ἵππος· ζῶα γὰρ ἄμφω· κατ᾽ ἀναλογίαν, ὡς καρδία, καὶ πηγὴ, καὶ μονάς· ὡς γὰρ ἔχει ἡ πηγὴ [i]πρὸς ποτὸν, οὕτω καὶ μονὰς ἐν ἀριθμῷ, καὶ καρδία ἐν ζώῳ. [k]Ὄψις ἐν ὀφθαλμοῖς· νοῦς ἐν C ψυχῇ. Νηνεμία, καὶ γαλήνη, ἡ αὐτή· ὃ γὰρ γαλήνη ἐν θαλάσσῃ, τοῦτο νηνεμία ἐν ἀέρι· ἡσυχία γὰρ ἄμφω.

Ταὐτὸν πέπονθα τῷ τῆς παροιμίας, Τὸ σὸν ὄναρ σοι διηγούμενος: Ὅτι μὲν οὐχ ἑκόντες, (ὀκνῶ γὰρ εἰπεῖν ὡς ἄκοντες,) τὸν καλόν τε καὶ ἀγαθὸν πρὸς ὀλίγον ἡμῶν [l]ἐπετρέψαμεν χωρισθῆναι, τεκμαίρῃ δήπουθεν. Ἴσως δ᾽ ἂν μοι καὶ σοὶ γένοιτο, καὶ αὐτῷ δὲ D πρὸς παραμυθίαν μικρὸν, [m]εἰ σοῦ μὲν ἐκεῖνος, ἡμεῖς δὲ δι᾽ ἐκείνου σοῦ τύχωμεν. [n]Ἔστι δέ μοι τούτων οὐδὲν [o]ὑπὲρ αὐτοῦ πλέον πρὸς σὲ καθήκει λέγειν οἶσθα δήπουθεν. Εἰ γὰρ ἐγώ σοι νῦν αὐτὸν γνωρίζω, πέπονθα τὸ τῆς παροιμίας, Τὸ σὸν ὄναρ σοι διηγούμενος.

Ταὐτὸν ἐποίησε τοῖς θηρῶσι τὰς ἐγχέλυς· [p]οἳ τῷ θρίῳ τῆς κράδης προσχρώμενοι, καὶ τὸν βόρβορον ἀναταράξαντες, E τῆς θήρας τυγχάνουσι. Κἀκεῖνος συγχεῖ τὰ δημοσία, καὶ ἀναφυρᾷ, βουλόμενος τούς τε ἀδελφοὺς καὶ τοὺς προεστηκότας εἰς ταυτὸ συμβαλεῖν.

Ταὐτότης: Ἡ ὁμοιότης. [q]Πισίδης·

Τῇ ταυτότητι συγχυθεὶς τῶν δακρύων.
Καὶ τὴν χαρὰν γὰρ πολλάκις χαρὰ τρέφει·
καὶ δάκρυσίν τις ἐξεγείρει δάκρυα.

Ταὐτότητος: Ἀπαραλλάκτου φύσεως.

Ταφήϊον: Ἐντάφιον.

Τάφιος: Ἐθνικόν. Ὁ λῃστής.

Τάφος: Καὶ τὸ παρὰ τοῖς θύταις σημεῖον, καὶ τὸ περίδειπνον. [r]Ὅμηρος·

Τάφον Ἕκτορος ἱπποδάμοιο.

Οὐ τὸν τύμβον.

Ταφόσιρις: Ὄνομα κύριον.

Ταφρεῦσαι: Διορύξαι, περισκάψαι.

Τάφρος: Τὸ περὶ τὸ τεῖχος ὄρυγμα. Καὶ τάφρη, [s]θηλυκὸν παρ᾽ [t]Ἡροδότῳ·

Ὀρύξαντες τάφρην εὐρείην, ἐπέτειναν ξύλα ἀσθενέα ἐπ᾽ αὐτῆς.

Τάχα: Ἴσως, ἢ ταχέως, ἢ τυχόν.

Ταχεῖα:

Ταχινός: Ὁ ὀξὺς, ὁ ταχύς.

Τάχιον: [u]Ταχύ.

Ταχὺ, ἀντὶ τοῦ ταχέως, ἔστι παρὰ πολλοῖς τῶν παλαιῶν· παρ᾽ Ὁμήρῳ δὲ τάχιστα, ἀντὶ τοῦ ταχέως. Καὶ,

[x]Λῦσαν δ᾽ ἀγορὴν [y]αἰψηρήν.

Ἀντὶ τοῦ, αἰψηρῶς, ταχέως.

Ταχυβάμονας ὅρκους: Ἀρίσταρχος κατ᾽ ἀντίφρασιν ἀκούει, ἀντὶ τοῦ βραδεῖς. Βέλτιον δὲ τοὺς [z]ἐν ἑτέρῳ τινὶ [a]γινομένους νοεῖν· ἀβλαβεῖς γὰρ οἱ ἐπιορκήσαντες. Ὅθεν καὶ παροιμία·

Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος.

Ταχυβούλοις: Ἀντὶ τοῦ ταχέως μεταβαλλομένοις, προπετέσιν, ἀπερισκέπτοις. Κωμῳδοῦνται δὲ οἱ Ἀθηναῖοι ὡς τοιοῦτοι, καὶ ὅτι ταχέως μετανοοῦσιν ἐν οἷς βουλεύονται.

Ταχυναυτεῖ: Ταχέως πλεῖ.

[aa]Αὗται [b]ἱεραὶ τριήρεις δημόσιαι, ἐπὶ τὰς τῆς πόλεως χρείας πεμπόμεναι, καὶ ταχυναυτοῦσαι.

Ταχύς:

[g] τῷ ἀριθμῷ] τῷ om. A.E. F

[h] Τῷ γὰρ ἀριθμῷ τοῖς αὐτ. εἶναι ἐστ. οὐ τ. ὀν. σημ.] Locus hic apud Alexandrum Aphrodisiensem sic legitur, τῷ γὰρ ἀριθμῷ τοῖς αὐτοῖς εἶναί ἐστι τούτοις τοῖς ὀνόμασιν ἢ λόγοις εἶναι σημαντικοῖς. Sed neutra lectio sanum sensum habet. KUST. Sequentia in brevius contraxit Suidas.

[i] πρὸς ποτὸν] Alex. Aphrod. recte, πρὸς ποταμόν. KUST.

[k] Ὄψις ἐν ὀφθαλμοῖς, νοῦς ἐν ψυχῇ] Alex. Aphrod. plenius: Πάλιν ὄψις καὶ νοῦς κατ᾽ ἀναλογίαν ταυτὰ, τῷ, ὃν λόγον ἔχει ὄψις ἐν ὀφθαλμῷ, τοῦτον ἔχειν νοῦν ἐν ψυχῇ. Hinc Suidam supplere potes. KUST. G

ΤΑΥΤΟΝ Π.] Libanii fortasse. Callimach. in Epigr. 34. Julian. Ep. 50. TOUP.

[l] ἐπετρέψαμεν] ἐπηρέψαμεν A.

[m] εἰ σοῦ] εἴ σοι A.B.E.

[n] Ἔστι δέ μ.] Et sensus et constructionis gratia scribendum est, ἔτι δὲ, &c. KUST. Ὅτι δὲ Wolfius.

[o] ὑπὲρ αὐτοῦ] ὑπὲρ τοῦ A.

ΤΑΥΤΟΝ ἐποίησε τοῖς θηρ.] Confer Nostrum supra v. Ἐγχέλεις. KUST. Hunc locum Æliano tribuit Valckenærius. H

[p] οἳ] οἷον A. Mox θηρίῳ τ. κ. προσχόμενοι E.

[q] Πισίδης] De Exped. Heracl. III. 133.

ΤΑΥΤΟΤΗΤΟΣ] Deest gl. A. φύσεως om. V.

ΤΑΦΗΙΟΝ] Homerus Odyss. β΄. 99. KUST.

ΤΑΦΙΟΣ] Od. ό. 426. Τάφιοι, ληΐστορες ἄνδρες.

[r] Ὅμηρος] Il. ώ. v. ult. KUST.

ΤΑΦΟΣΙΡΙΣ] Est nomen urbis, de qua vide Stephanum Byzantium. KUST.

[s] παρ᾽ Ἡροδότῳ θηλυκὸν] θηλυκὸν παρ᾽ Ἡροδότῳ A.V. Mox τάφρον εὐρύην E. τ. εὑρέθη B.

[t] Ἡροδότῳ] Herodoti locus est IV. 201. ubi vulgo τάφρον legebatur: τάφρην ex Cod. Medic. restituit Jac. Gronovius, quod egregie confirmatur hoc Suidæ. HEMST.

ΤΑΧΕΙΝΟΣ: Ὁ ὀξὺς] ταχινὸς A.B.V. Tum ὁ ταχὺς om. E.

[u] Ταχὺ addit A. τὸ ταχὺ E.

[x] Λῦσαν δ᾽ ἀγ. Homer. Il. τ΄. 276. KUST.

[y] αἰψηρὴν om. V.

ΤΑΧΥΒΑΜΟΝΑΣ ὍΡΚ.] Confer Nostrum supra v. Ἀφροδίσιος ὅρκος. KUST.

[z] ἐν ἑτέρῳ] Scribendum esse ἐν ἔρωτι, ut habet Hesychius, et alii jam ante monuerunt. KUST.

[a] γινομένους] γενομένους B.V.

ΤΑΧΥΒΟΥΛΟΙΣ: Ἀντὶ τοῦ ταχέως μεταβ.] Ex Schol. Aristoph. Acharn. 630.

[aa] Αὗται αἱ ἱεραὶ τρ.] Illustrationem loci hujus pete ex ipso Suida v. Πάραλος, ubi hæc ipsa verba leguntur. KUST.

[b] αἱ ἱεραὶ] αἱ om. A.V.

ΤΑΧΥΣ] Caput gl. om. A.

[c]Ταχὺς δ', ὅταν εἰς ἄπορον ἐμπέσῃς,
ἐπ' ἄλλο πήδα νόημα φρενός.

Οὗ πόρον οὐκ ἔστιν εὑρεῖν, ἄπορον λέγει. [d]Σκώπτειν δὲ διὰ τούτων βούλεται τὸν Σωκράτην, ὡς χλευαζόμενον ἐν ταῖς συζητήσεσι, καὶ μεθιστάμενον ὑπὸ [e]στενοχωρίας. Διδάσκει δὲ αὐτὸν, ὅτι, ἐὰν ἀπορήσῃς εἴς τι, ταχέως ἐπ' ἄλλο πήδα νόημα. Ὁ δὲ ὑποτιθέμενος [f]ἄλλῳ δηλονότι, αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγει, ὑποτίθεται.

Ταινάριον κακόν: Τὸ μέγα, καὶ παρανομούμενον [g]εἰς ἱκέτας. Οἱ γὰρ Λακεδαιμόνιοι καταφυγόντας τοὺς Εἵλωτας εἰς Ταίναρον ἀπέκτειναν. Καὶ Ταιναρίτης, ὁ πολίτης.

Ταίναρον: Ἀκρωτήριον τῆς [h]Λακωνικῆς, ἐν ᾧ στόμιον ἦν κατάγον εἰς ᾅδου. Ἔνθα καὶ Ποσειδῶνος ἱερὸν [i]Ἀσφαλείου. [k]Ἐκεῖσε δὲ τοὺς Εἵλωτας ἱκέτας καθεσθέντας ἐν τῷ ἱερῷ τοῦ Ποσειδῶνος, οὐδὲν δείσαντες ἀνεῖλον οἱ Λακεδαιμόνιοι· καὶ διὰ τοῦτο ἐδόκουν ἐναγεῖς εἶναι. Ἀριστοφάνης·

Αὐτοῖς ὁ Ποσειδῶν, οὑπὶ [l]Ταινάρῳ θεὸς,
σείσας, ἅπασιν ἐμβάλοι τὰς οἰκίας.

Ταινίαι: Ἐπὶ μὲν ἀνθρώπων, τὰ [m]πεζίτια, στέμματα, στεφάνη, ζώνη· ἐπὶ δὲ ξύλων, τὰ κυμάτια. Καὶ ταινίδιον, τὸ στέμμα. [n]Αἰλιανός·

Ὁ δὲ ἐκρυέντος τοῦ αἵματος περιτραπεὶς ἐντάφιον ἑαυτῷ τρόπον τινὰ τὸ δυστυχὲς ταινίδιον ἐπήγετο.

Περὶ Μαξίμου λέγει τοῦ Ῥωμαίων στρατηγοῦ, τοῦ ἀποσπάσαντος ἀπὸ τῆς κεφαλῆς Ἀννίβου τὸ στέμμα.

Ταινίαι: [o]Λίνα εἰς λεπτὰ διακεκομμένα. Αἰλιανός·

[p]Τὴν νηδὺν καὶ τὸν θώρακα πάντα καταδήσει ταινίαις.

Ἢ, διάδημα ἱματίου.

Ταινία:

[q]Ὁ δὲ Μίλων ὁ παγκρατιαστὴς περιεδεῖτο τῷ μετώπῳ χορδὴν, καθάπερ ταινίαν, ἢ στέφανον· κατέχων δὲ ἐντὸς [r]τῶν χειλέων τὸ ἆσθμα, καὶ ἐμπιπλὰς αἵματος τὰς [s]ἐν τῇ κεφαλῇ φλέβας, διερρήγνυεν ὑπὸ ἰσχύος τῶν φλεβῶν τὴν χορδὴν, καθάπερ πάπυρον. Καὶ τῆς δεξιᾶς χειρὸς τὸ μὲν εἰς τὸν ἀγκῶνα ἐκ τοῦ ὤμου παρ' αὐτὴν καθίει τὴν πλευράν· τὸ δὲ ἀπὸ τοῦ ἀγκῶνος ἔτεινεν ἐς εὐθὺ τῶν δακτύλων, τὸν μὲν ἀντίχειρα ἀντιστρέφων εἰς τὸ ἄνω, τῶν λοιπῶν δὲ ἀλλήλοις ἐπικειμένων κατὰ στοῖχον. Τὸν ἐλάχιστον οὖν τῶν δακτύλων κάτω γινόμενον οὐκ ἀπεκίνησεν ἄν τις βιαζόμενος. Ἀπέθανε δὲ οὗτος ἐπιτυχὼν ξύλῳ ξηρῷ, σφῆνας ἔχοντι διϊστῶντας αὐτό· ὁ δὲ ὑπὸ φρονήματος καθίησι τὰς χεῖρας ὡς διαρρήξων. Ὀλισθαίνουσί [t]τε δὴ οἱ σφῆνες· κἀκεῖνος ἐχόμενος ὑπὸ τοῦ ξύλου, λύκων ἐγένετο εὕρημα.

Ταινιοῦντος: Στεφανοῦντος.

Προσιόντες δὲ αὐτῷ ἐταινίαζον οἱ [u]στρατιῶται, [x]καὶ ἀνέδουν.

Τέγεα: Πόλις. Καὶ Τεγεάτης, [y]ὁ πολίτης.

Τέγγε: Βρέχε.

[z]Οἴνῳ πνεύμονα τέγγε· φίλης δ' ἀπέχου Κυθερείης.

Τέγγεσθαι: Εἴκειν, ἐνδιδόναι. Καὶ Τέγγει: [a]Βρέχει, μαλάττει. [b]Ἐν Ἐπιγράμμασι·

Νῆά σοι, ὦ πόντου βασιλεῦ, καὶ κοίρανε γαίης,
ἀντίθεμαι [[c]Κράντος] μηκέτι τεγγομένην.

Τέγξω: Βρέξω.

Τεγεσταῖοι: [d]Ἔθνος. Τεγέστη, πόλις.

Τέγος: Στέγη· ἢ ὑπερῷον, δωμάτιον, οἰκία [e]πρόσγειος.

Τεήν: Τὴν σήν.

[f]Τεὴν διφῶσα καλιήν.

Τεΐν: Σοὶ, Δωρικῶς. Ἐν Ἐπιγράμμασι·

---

[c] Ταχὺς δ', ὅταν εἰς ἄπ.] Aristoph. Nub. 703. Vide ibi Scholiastam. KUST.

[d] Σκώπτειν δὲ] δὲ om. A.V.

[e] τῆς στενοχωρίας] τῆς om. A.B.V.E.

[f] ἄλλῳ] ἄλλα B. ἄλλων E. Mox αὐτὸς om. E. Tum λέγεται B.V.E.

[g] εἰς ἱκέτας] An potius εἰς οἰκέτας, ut legitur in Vaticana Proverbiorum Appendice? Sic videtur. Εἵλωτες enim, de quibus hic agitur, servi erant. Vide tamen articulum sequentem, ubi itidem ἱκέτας legitur. KUST.

ΤΑΙΝΑΡΟΝ: Ἀκρωτήριον Λακ.] Ex Schol. Aristoph. Acharn. 509. KUST.

[h] Λακωνικῆς] τῆς Λακ. A.V.E. Mox ἦν om. V.

[i] Ἀσφαλίου] ἀσφαλείου A.V.E. et B. m. s.

[k] Ἐκεῖσε] ἐκεῖ A. ἐπειδὴ Schol. Tum δὲ om. V. Mox ἱκέτας om. E. ubi Schol. præbet οἰκέτας.

[l] Ταινάρου] Ταινάρῳ A.

ΤΑΙΝΙΑΙ: Ἐπὶ μὲν ἀνθρ.] Eadem leguntur supra v. Πεζίτια. KUST.

[m] πεζίτια] πεζίτιον βασιλικὸν, diadema, πεζ. γυναικὸς, *fascia*, a πέζα, *ora vestis*, cui solebat annecti. REINES. Per πεζίτια nihil aliud intelligi credo quam πέζαν seu *limbum* in infima tunica, quam alii ᾤαν dicunt, ut notat Scholiastes Apollon. Rhod. IV. 46. πεζίδες etiam vocantur, ut patet ex Polluc. VII. 14. CUPER. Obs. I. p. 34.

[n] Αἰλιανὸς] Lege Ἀππιανός. Æliani et Appiani nomina sæpe confusa. HEMST.

[o] Λίνα—διακεκομμένα] λίναι—διακεκομμέναι E. In fine ἱμάτιον B.E.

[p] Τὴν νηδὺν καὶ τ.] Confer Nostrum v. Ἀναδεύειν, v. Καταδεύσῃ, et v. Στίγματα. KUST.

[q] Ὁ δὲ Μίλων ὁ παγκρατιαστὴς περιεδ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Pausaniæ in Eliac. Poster. p. 369, 370. eademque leguntur supra v. Μίλων. KUST. Deest articulus V.

[r] τῶν χειλέων] τῶν om. A.

[s] ἐν τῇ κεφαλῇ] τῆς κεφαλῆς E. Mox βλεφάρων A. pro φλεβῶν.

[t] τε οἱ] τε δὴ οἱ A.B. τε δὲ οἱ E.

[u] στρατιῶται] Vid. Ἀνέδουν. TOUP.

[x] καὶ ἀνέδουν om. V. qui addit, Ταινία ὁ στέφανος. De more hoc vid. Ruhnken. ad Tim. p. 246.

[y] ὁ ἀπ' αὐτῆς] ὁ πολ A. i. e. ὁ πολίτης.

[z] Οἴνῳ πνεύμονα τ.] Ex Anacreonte, ut puto. KUST. Kusterus fallitur. Prior versiculus Alcæi est. Laudant Plutarchus, Athenæus, Macrobius, alii. Quin ex duobus non optimis versiculis unus exsurgit pulcherrimus hexameter: Οἴνῳ πνεύμονα τέγγε, φίλης δ' ἀπέχου Κυθερείης. Quemadmodum et apud Suidam scribendum est. TOUP. Mox φιλίης A.V.

ib. Οἴνῳ τέγγε] Alcæo tribuit Plut. Sympos. VII. 1. et Gell. XVII. 11. Macrob. VII. 15. et Athen. I. 22. X. 430. Eratosthenes ap. Macrob. VII. 15. καὶ βαθὺν ἀκρήτῳ πνεύμονα τεγγόμενος. REINES.

ΤΕΓΓΕΣΘΑΙ] Schol. Aristoph. Lys. 550. τέγγεσθε ἀντὶ τοῦ βλάπτεσθε. Lego μαλάττεσθε. TOUP. Ex Timæo p. 248. ubi vid. Ruhnken. Schol. Platon. p. 149.

[a] Βρέχει] Ita Schol. Platon. p. 235.

[b] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 70.

[c] Κράντος] Deest v. A.B.V.E.M.

[d] Ὄνομα ἔθνους] ἔθ A. qui mox om. καὶ θηλυκῶς. Deinde πό' pro ὄνομα πόλεως. Statim delevi cum A.V. Τεγχάρων. Δραχμῆς μὲν αὐλεῖ, τεγχάρων δὲ παύεται. Ἐν τῷ ἈΡΑΒΙΟΣ ἌΓΓΕΛΟΣ. Habet tamen V. in marg. usque ad παύεται, præfixo παροιμία. Decepit librarium, quicunque h. l. textui princeps inseruit, literarum nexarum ττ forma. Vide supra p. 535.

[e] προσγεῖος] πορνεῖον Lex. Seg. οἰκεια προσνοεῖν Photius.

[f] Τεὴν διφῶσα καλιὴν] Hoc hemistichium legitur apud Hesiod. Op. 374. TOUP.

A [g] Νικήσας ἀνέθηκε τεΐν περικαλλὲς ἄγαλμα.

**Τεθέντων**: Ἀντὶ τοῦ, ληφθέντων, ὁμολογηθέντων, συγχωρηθέντων. Φησὶ γὰρ [h] Ἀριστοτέλης·

Συλλογισμός ἐστι λόγος, ἐν ᾧ τεθέντων τινῶν.

**Τεθεωρημένη**: Ζητητικὴ τῆς ἀληθοῦς γνώσεως.

[i] Ὁ μὲν οὖν Ἀρκεσίλαος ὁ φιλόσοφος, [k] νωθρὸς ἦν τὴν φύσιν καὶ χασμώδης, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένος, εἰπὼν, τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐμπτῆναι.

B **Τεθεικότες**: [l] Ἀποβαλόντες. [m] Ἰώσηπος·

Οἱ δὲ πρὸς τὸ ἔργον [n] διηρημένοι, τὰ πολλὰ τεθεικότες τῶν ὅπλων.

**Τεθηγμένον**: Ἠκονημένον.

**Τεθηλότα**: Θάλλοντα.

[o] Ἐστεφανωμένοι, κλῶνάς τε δάφνης τεθηλότας σείοντες.

[**Τεθηλυμμένων** καὶ **ἐκτεθηλυμμένων**:]

**Τέθηπα**: Καταπέπληγμαι.

C **Τεθηπότες**: Ἐπτοημένοι, δειλιάσαντες.

**Τέθμια**: [p] Νόμος. Καὶ **τέθμια**, νόμιμα.

**Τέθναθι**: Προστακτικόν.

**Τεθνεῶτα**: Καὶ **τεθνειώτων**, ἀποθανόντων.

[q] Τεθνεώτων δὲ πολλῶν, καὶ [r] σαλευόντων ὑπὲρ τοῦ ζῆν ἐπὶ λεπταῖς ταῖς ἐλπίσι.

[Καὶ κλίνεται τεθνειὼς, τεθνειῶτος.]

**Τεθνειῶτος**:

A [**Τεθνία**: Γαστριμαργία πολλή.]

**Τεθνήσει**: Διὰ τοῦ σ´ οἱ Ἀττικοί.

[t] Οἴμ᾽, ὡς τεθνήσῃ.

**Τεθολωμένος**: Καὶ [u] ἐπὶ χαρᾶς· Φερεκράτης Μυρμηκανθρώποις·

Γελῶντα, καὶ χαίροντα, καὶ τεθολωμένον.

Καὶ ἐπὶ λύπης·

Ὑπὸ τῆς ἀνίας [x] ἀπεθολοῦθ᾽ ἡ καρδία.

B **Τέθρια**: Ἄγρια καὶ ἄγονα φυτά.

**Τέθριππον**: Ἐκ τεσσάρων ἵππων ἅρμα.

**Τεθυκώς**: [y] Εὐχαριστήσας.

**Τεθυμμένος**: Ὑπὸ πυρὸς ἐκκεκαυμένος, [z] ἢ κεκακωμένος.

**Τεθυωμένοι**: [a] Τεθυμιαμένοι, εὐώδεις.

**Τέκεα**: Τέκνα. Καὶ **τεκόντες**, οἱ γεννήτορες.

[b] Τοῖς τεκοῦσι γὰρ

C οὐδ᾽ εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.

Τουτέστιν, ὅταν τις ὑπὲρ γονέων πονῇ, μὴ ἡγείσθω πόνον εἶναι τὸν κάματον.

**Τεκμαιρόμενος**: Στοχαζόμενος.

[c] Ψευδῆ τεκμαιρόμενος ἀληθέσι, καὶ οὐ γενησόμενα εἰκάζων γενησομένοις.

**Τεκμήρασθαι**: Γενικῇ. **Τεκμηριῶ** δὲ γενικῇ D καὶ αἰτιατικῇ.

---

[g] Νικήσας] Hexameter iste est pars veteris epigrammatis, quod exstat apud Herodot. V. 60. Huc allusit Lucianus in Epigramm. Anthol. lib. IV. p. 463. Σοὶ μορφῆς ἀνέθηκα τεῆς περικαλλὲς ἄγαλμα, Κύπρι, τεῆς μορφῆς φέρτερον οὐδὲν ἔχων. TOUP. Anthol. Pal. VI. 7.

[h] Ἀριστοτέλης] Analyt. Prior. I. 1. p. 80. ed. Sylb.

[i] Ὁ μὲν οὖν Ἀρκεσίλ.] Hæc sunt verba Laërtii in Arcesilao, lib. IV. num. 32. eademque leguntur supra v. E Θεώρημα: ut Pearsonius quoque observaverat. KUST.

[k] νωθρὸς] ἦν addit A.

[l] Ἀποβαλόντες] Interpretatio hæc, saltem in subjuncto loco Josephi, voci τεθεικότες minime convenit. KUST. Non video ego quare non conveniat. Immo contra optime convenit, si modo recte explicetur illud ἀποβαλόντες. Significat enim hic *depositis armis*, non vero *qui amiserunt*, uti habetur in versione. Illa verbi significatio hic locum nullum habet. BOS.

[m] Ἰώσηπος] Lib. VI. de Bello Jud. c. IX. p. 909. F KUST. V. 2, 4.

[n] διηρημένοι] ἤγουν διεσχισμένοι V. suprasc.

[o] Ἐστεφανωμένοι] Hoc exemplum Æliano tribuit Valckenærius.

ΤΕΘΗΛΥΜΜΕΝΩΝ] Deest A.V. τεθηλυμμένων E. In seq. gl. delevi θαυμάζω cum A.B.V.

ΤΕΘΗΠΟΤΕΣ] Il. δ´. 243.

[p] Νόμος] Potius, νόμοι. KUST. νόμους malit Bos, qui citat Hesychii Τέθμια, νόμους. Mox Τεθνάναι addunt edd. G vett. sine ex.

[q] Τεθνεώτων] Vid. Σαλεύει. HEMST. Et hoc Æliano dat Valckenærius. τεθνώντων bis A.V.

[r] σαλευόντων] σαλευομένων V. ταῖς ante ἐλπίσι A.B.V.E.

[s] Καὶ κλίνεται etc. om. A.V.

ΤΕΘΝΙΑ] Male, pro τενθεία. Vide infra h. v. KUST. Τένθεια V. qui gl. ponit post Τέθρια. om. B.E. Photii ms. præbet τέθ.ία. Lex. Seg. Τεθνία.

[t] Οἴμ᾽, ὡς τεθν.] Aristoph. Acharn. 590. ubi legitur τεθνήσει, quod magis Atticum est. KUST. Vid. Ruhn- H ken. ad Tim. p. 222.

ΤΕΘΟΛΩΜΕΝΟΣ: Καὶ ἐπὶ χαρ.] Eadem totidem verbis leguntur apud Auctorem Etymologici. KUST.

[u] ἐπὶ] καὶ ἐπὶ A.V. Photius.

[x] ἀπεθολοῦθ᾽ ἡ καρδία] Scribendum, ἀνεθολοῦθ᾽ ἡ καρδία. Quomodo recte legitur apud Etymologum, et Photium in Lex. inedito, ex quo descripsit Suidas. Atque ad hunc locum respexisse videtur Hesychius: Ἀνεθολοῦτο: ἀνεταράσσετο. Verbum non semel usurpant Procopius et Philostratus. Confer etiam Suidam v. Ἀναθολώσει. Ceterum haud aliter locutus est Euripides Alcest. 1067. ΘΟΛΟΙ ΔΕ ΚΑΡΔΙΑΝ, ἐκ δ᾽ ὀμμάτων Πηγαὶ κατερρώγασι. TOUP. ὑπεθολοῦθ᾽ E.

E ΤΕΘΡΙΑ] Vid. Ἀποτεθρίακεν. HEMST. Noster supra, v. Ἀποτεθρίακεν: Ἀποτεθριωμένοι, ἀπηγριωμένοι. Εἴρηται δὲ κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ΤΕΘΡΙΩΝ, ἅπερ ἐστὶν ἄγρια καὶ ἄγονα φυτά. Quæ nauci non sunt. Illud enim τέθρια vox nulla est. Eandem tamen cantilenam canit Timæus in Lex. Plat. Ἀποτεθρυωμένοι: Ἀπηγριωμένοι. Εἴρηται δὲ κατὰ μεταφορὰν ἀπὸ τῶν ΤΕΘΡΥΩΝ, ἅπερ ἐστὶν ἄγρια καὶ ἄγονα φυτά. Respexit autem uterque ad Platonem in Republ. lib. VI. p. 473. Quod et recte admodum adnotavit Ruhnkenius. Verba Platonis sunt: Πολλοὶ, F ἀτελεῖς μὲν τὰς φύσεις, ὑπὸ δὲ τῶν τεχνῶν τε καὶ δημιουργιῶν ὥσπερ τὰ σώματα λελώβηνται, οὕτω καὶ τὰς ψυχὰς συγκεκλασμένοι τε καὶ ἈΠΟΤΕΘΡΥΩΜΕΝΟΙ διὰ τὰς βαναυσίας τυγχάνουσι. Ita scribendus iste locus. Vulgo legitur, ἀποτεθρυμμένοι. Sed Timæi lectio elegantissima est, et Platonem, nescio quomodo, sapit mirifice. Quæ et Hemsterhusii sententia est. Sed vim et venustatem vocis nemo perspexit. Nam quod habent grammatici, ἄγρια καὶ ἄγονα φυτὰ, plane sterile est, et nullius frugis. Οἱ τὰς ψυχὰς ἀποτεθρυωμένοι sunt, *qui animas habent demis-* G *sas, et in terram, more junci palustris, declinatas.* Nam ΘΡΥΟΝ est *juncus palustris:* juncorum autem capita in terram prona. Hinc metaphora ἀπὸ τῶν ΘΡΥΩΝ ducta. TOUP. Deest gl. A.

[y] Εὐχαριστήσας] Statim delevi ἢ θυσιάσας cum A.B.V. et Photio.

ΤΕΘΥΜΕΝΟΣ] Τεθυμμένος A.V. Photius, Timæus.

[z] ἢ κεκακωμένος] Hæc interpretatio pertinet ad τετυμμένος, quod est a τύπτω. KUST. Aberrat. Intellige ex H præced. ὑπὸ π. κεκακ. HEMST. κεκαμένος B.E. βεβλαμμένον Schol. Plat. p. 56.

[a] Τεθυμιαμένοι] τεθυμῖμένοι A. τεθυμένοι E.

[b] Τοῖς τεκοῦσι γ.] Sophocl. Œdip. Colon. 508.

[c] Ψευδῆ τεκμαιρ.] Fragmentum hoc legitur apud Dionys. Halicarnass. lib. VIII. p. 527. KUST.

Τεκμήριον: Ἀληθινὸν σημεῖον. Ἢ τὸ ἄλυτον. A Καὶ [d]τεκμηριώδης ἀπόδειξις λέγεται, τὸ ἐκ τοῦ καπνοῦ [e]τὸ πῦρ εὑρεῖν καὶ κατανοῆσαι. Καὶ ἂν μὲν πάντως ἕπηται τὸ [f]αἰτιατὸν τῷ αἰτίῳ, τεκμήριον τοῦτο λέγεται· ἂν δὲ μὴ πάντως [g]ἕποιτο, σημεῖον ἂν λέγοιτο, τεκμήριον δὲ οὐκέτι· διότι μηδὲ ἄλυτόν ἐστιν. Οἷον, ὡς τὸ, ὠχρά ἐστιν, ἐπειδὴ τέτοκε. Καὶ αὖθις·

[h]Ὅτι δὲ δαίμων ἦν ἀνθρωπόμορφος ἡ Θεοδώρα, τεκμηριώσαιτο ἄν τις τῷ μεγέθει σταθμώμενος, ὧν ἐς τοὺς ἀνθρώπους κακῶν ἔδρασεν. Ἐν γὰρ τῷ ὑπερβάλλοντι τῶν [i]πεπραγμένων καὶ ἡ τοῦ δεδρακότος δύναμις εὔδηλος γίνεται.

Καὶ αὖθις [k]φησὶ Δαμάσκιος·

[l]Ὅρους δὲ ἐτίθετο καὶ τεκμήρια τῶν θείων [m]ἀφωρισμένα στοιχείων πρὸς τὴν τῶν ἀνθρωπείων διάκρισιν· τῆς μὲν φιλοπονίας τὸ ἀνύσιμον ὑπὲρ πάντα λόγον· τῆς δὲ εὐσυνέτου γνώμης τὸ ἐξιστάμενον τῆς ἐμφανοῦς καὶ συνήθους τοῖς πολλοῖς ἀκολουθίας· τοῦ δὲ ἔρωτος αὐτοῦ τὸ [n]παρηρεθισμένον εἰς τὴν τοῦ νοητοῦ κάλλους ἀπόλαυσιν.

[o]Ὁ δὲ κατέδεισεν, ἐπειδὴ ἔγνω τὴν ὁρμὴν αὐτοῦ, καὶ ὅτι τοῖς ἔργοις τὰς ἀπειλὰς ἐτεκμηρίου.

Τέκμησσα: Ὄνομα κύριον. Ἡ τοῦ [p]Αἴαντος γυνή. Καὶ ὄνομα πόλεως. Καὶ [q]Τεκμησσεὺς, ὁ πολίτης.

Τέκμωρ: Τέλος, [r]μόρον, θάνατον.

Τέκος: Τέκνον.

Τεκταινόμενος: Κατασκευάζων.

Τεκτήνατο: Κατεσκεύασε.

Τέκτων: [s]Κοινῶς τεχνίτης, ὁ λαοξόος, καὶ ὁ τῶν ξύλων εἰδήμων.

Τελαμών: Ὁ ἀναφορεὺς τοῦ ξίφους, καὶ τῆς ἀσπίδος. [t]Ἰάμβλιχος·

Περιβαλὼν δὲ περὶ τὰς χεῖρας αὐτοῦ τοὺς [u]τελαμῶνας, προσέδησε τῇ κλίνῃ.

Καὶ ἡ εἰς λεπτὰ [x]κατακεκομμένη ὀθόνη. [y]Ἡρόδοτος·

Οἱ δὲ Πέρσαι [z]περὶ πλείστου ἐποιήσαντο, σμύρνῃσί τε ἰώμενοι B τὰ ἕλκεα, καὶ σινδόνος βυσσίνης τελαμῶσι κατειλίσσοντες.

Τελαμώνιος: Ὁ Αἴας.

Τελέας ἐρεῖ ταδί: Ἀριστοφάνης Ὄρνισι·

Ἄνθρωπος ἀστάθμητος, πετόμενος,
ἀτέκμαρτος, οὐδὲν οὐδέποτ' ἐν αὐτῷ μένων.

Διαβάλλει τὸν Τελέαν, ὡς πλανήτην. Ἀντὶ τοῦ, περὶ τῶν πετομένων ἐὰν ἐρωτήσῃς. Ἦν δὲ ὁ Τελέας σκωπτικὸς ἄνθρωπος, καὶ εὐμετάβλητος τοὺς τρόπους. Πρὸς C γὰρ τῇ κιναιδίᾳ, καὶ [a]δειλίᾳ καὶ ὀψοφαγίᾳ καὶ νοσφισμῷ καὶ πονηρίᾳ διεβάλλετο. Καὶ Πλάτων ἐν Σύρφακι περὶ τοῦ Τελέου φησί·

[b]Νοεῖ μὲν ἕτερ', ἕτερα δὲ τῇ γλώττῃ φθέγγεται.

Ἢ ὅτι τελέας ὄρνεον. Τοὺς πετομένους ὄρνεις οὗτος ὁ Τελέας, Ἀριστοφάνης φησὶν, ἐρεῖ.

Τελέθει: Γίνεται.

Τελέθουσι: Γίνονται, θάλλουσι.

D Τελενικῆσαι: [c]Ἐν Σερίφοις, τὸ κενῶσαι. Ἀπὸ Τελενίκου τινὸς, ὡς τὸ εἰκὸς, πένητος παντελῶς. Καὶ λέγεταί τις [d]Τελενίκειος ἠχώ. Ἐκ μεταφορᾶς ἀπὸ τῶν κενῶν ἀγγείων.

---

[d] ΤΕΚΜΗΡΙΩΔΗΣ ἈΠΟΔΕΙΞΙΣ λεγ.——ἐπειδὴ τέτοκε] Hæc sunt verba Philoponi in librum I. Aristot. de Anima, A. 7. b. eademque leguntur supra v. Ἀπόδειξις. E Ceterum pro τεκμηρίωσις, ἀπόδειξις, ut priores editt. habent, τεκμηριώδης ἀπόδειξις reposuimus; non solum suadente sensu, sed etiam auctoritate Philoponi, et msti Paris. A. KUST.

[e] τὸ πῦρ] τὸ om. A. τὸ πῦρ om. E. Mox καὶ addit A. Supra p. 475 B. κατανοῆσαι om. V.

[f] αἰτιατῷ τὸ αἴτιον] τὸ αἰτιατὸν τῷ αἰτίῳ A. ut supra τῷ αἰτίῳ τὸ αἰτιατὸν V.

[g] ἕπηται] ἕποιτο A.B.V.

[h] Ὅτι δὲ δαίμων——εὔδηλος γίνεται] Fragmentum hoc F excerptum est ex Procopii Histor. Arc. c. 18. sed ubi de Justiniano imperatore, non vero Theodora, verba fiunt. Quare compilatorem aliud egisse oportet, cum ista excerperet. KUST.

[i] πεπραγμένων] πεπραμένων A. Mox ἔνδηλος V.

[k] φησὶ] φ^η A.

[l] Ὅρους δὲ ἐτίθετο καὶ τεκμ.] Hæc deprompta sunt ex Damascii Vita Isidori philosophi, ut monuimus etiam supra v. Ὅροι, ubi idem fragmentum legitur. KUST.

[m] ἀφωρισμένων] Scribe ἀφωρισμένα, ut legitur supra v. G Ὅροι. KUST. ἀφωρισμ^ε A. quæ lectio ambigua est.

[n] παρηρεθισμένον] Ms. A. παρεθισμένω. KUST.

[o] Ὁ δὲ κατέδεισεν] Dionis Cassii LXVIII. 17.

[p] Αἴαντος γυνὴ] Capta ab eo in bello. Tzetz. ad Lycophr. p. 37. REINES.

[q] ΤΕΚΜΙΣΣΕΥΣ] Τεκμησεὺς A. Τεκμησσεὺς B.V.

[r] μόρος, θάνατος] μόρον, θάνατον A.V. Photius.

ΤΕΚΤΗΝΑΤΟ] Il. ε'. 62.

[s] Κοινὸς] κοινῶς Hemsterhusius, et sic A. cum Schol. H Il. γ'. 110. κοινὸς tamen Photius et Lex. Seg. πᾶς τεχνίτης Hesychius.

[t] Ἰάμβλιχος] Vid. Rochetti Miscell. I. p. 87.

[u] τελαμῶνας] τοὺς τελαμῶνας A. οἱ τῆς B.E. pro αὐτοῦ.

[x] κατακεκομμένη] κεκομμένη A.

[y] Ἡρόδοτος] Lib. VII. c. 181. Eodem sensu exstare apud Euripid. Phœn. 1663. monet Toupius.

[z] περὶ πλείστου] φησὶν Ἡρόδοτος περὶ πλείστους V. qui post βυσσίνης addit καὶ αὖθις. Tum κατελίσσοντες B.E.

ΤΕΛΕΑΣ ἘΡΕΙ ΤΑΔΙ: Ἀριστοφ.] Hæc confusa sunt et turbata, quæ sic scribi et distingui debent: Τελέας ἐρεῖ ταδί. Ἄνθρωπος ὄρνις ἀστάθμητος, πετόμενος, Ἀτέκμαρτος, οὐδὲν οὐδέποτ' ἐν ταυτῷ μένων. Ἀριστοφάνης Ὄρνισι. KUST. Ver. 168.

[a] ἐπὶ δειλίᾳ] ἐπὶ om. A.V. Schol.

[b] Νοεῖ μὲν ἕτ.] Versus hic Platonis in legem metri peccat, qui apud Scholiastam Aristophanis sic legitur: Νοεῖ μὲν ἕτερα, ἕτερα δὲ τῇ γλώττῃ λέγει. Recte: dummodo expungas particulam δὲ, quæ tenorem metri interpellat. KUST. Nihil vidi infelicius. Primum illud δὲ postulat Hellenismi ratio. Deinde senarius turpiter hiat. Repone, Νοεῖ μὲν ἕτερ', ἕτερα δὲ τῇ γλώττῃ λέγει. Respexit Plato ad Homer. Iliad. ι'. 313. Ὅς γ' ἕτερον ΜΕΝ κεύθει ἐνὶ φρεσὶν, ἄλλο ΔΕ βάζει. TOUP.

ΤΕΛΕΝΙΚΗΣΑΙ: Ἐν Σερ.] Eadem habet Etymologus: sed apud quem legitur τελενικίσαι, per ι in syllaba penultima; quod magis placet. Photius item in Lex. ms. habet τελενικίσαι. At Hesychius, τελενικῆσαι, ut Suidas. Mirum autem est Hesychium τὸ τελενικῆσαι exponere, μὴ κενὸν ποιῆσαι; contra quam Photius, Etymologus, et Suidas: quorum auctoritatem potiorem habendam esse judico. KUST.

[c] Ἐν Σερίφοις] Leg. ἐν Σεριφίοις. Cratini fabula est. Vide notata ad Polluc. X. 156. Eadem menda in Σταθερόν. Hæc plane corrupit Mich. Apostol. XVIII. 24. HEMST. Σεριφίοις Photius.

[d] Τελενίκειος] Τελενίκιος A.V. et Photius pr. Mox ἀπὸ ante τῶν ex A.V. et Photio. Post h. v. habent edd. Τελεοῦντα: τεταγμένα, quæ in A.V. ponuntur post v. Τέλλος. Vide ad eum locum. Ad τεταγμένα notavit Kusterus "hanc interpretationem a significatione vocis τελεοῦντα "alienam esse." Cui respondet Bos, "Mihi nequaquam videtur aliena, imo congruens et apta, si modo "pro τελεοῦντα scribas τελέοντα vel τελοῦντα. Jam τελεῖν

**Τελεώτερον**: Τὸ τέλειον.

**Τελεσθῆναι**: Τὸ ἀναλωθῆναι. Οὕτως Ἀντιφῶν.

**Τελεσίλλα**, ποιήτρια. [e]Ἐπὶ στήλης [f]τὰ μὲν βιβλία ἀπέρριπτο, κράνος δὲ τῇ κεφαλῇ περιέθηκε. [g]Καὶ γὰρ ὅτε Λακεδαιμόνιοι τοὺς ἐν τῷ ἱερῷ τοῦ Ἄργους καταφυγόντας διέφθειρον, καὶ πρὸς τὴν πόλιν ᾔεσαν, ὡς [h]αἱρήσοντες, τότε Τελεσίλλα τὰς ἐν ἡλικίᾳ γυναῖκας ὁπλίσασα, ὑπήντησεν οἷ προσῄεσαν. Ὅπερ ἰδόντες οἱ Λακεδαιμόνιοι, εἰς τοὐπίσω ὑπέστρεψαν, B αἰσχρὸν νομίσαντες γυναιξὶ πολεμεῖν, ἃς καὶ τὸ νικᾶν ἄδοξον, καὶ ἡττᾶσθαι μέγα ὄνειδος. Ἐς τοῦτο καὶ ὁ χρησμὸς πεπλήρωτο, [i]Ἀργείοις λέγων·

> Ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄρρενα νικήσασα
> ἐξελάσῃ, καὶ κῦδος [k]ἐν Ἀργείοισιν ἄρηται,
> πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει.

**Τελεσιουργήσας**: Εἰς τέλος ἀγαγὼν, ἐργασάμενος. [l]Πολύβιος· C

> Περὶ τὸ τῆς τάφρου χεῖλος τελεσιουργήσας τὴν πρᾶξιν.

Καὶ αὖθις·

> [m]Ἐπ' αὐτήν που τὴν τελεσιουργὸν κατεβακχεύοντο πρᾶξιν χωρεῖν, σώφρονι μανίᾳ τινὶ ἐς συμπλοκὴν ἐξοιστρούμενοι.

**Τελεσιουργόν**: [n]Τελέως ἀπηρτισμένον.

> [o]Διὸ καὶ ὅσα ἔγραψεν, εὕροι τις ἂν τὸ μὲν ὑψηλόνουν τε [p]καὶ τελεσιουργὸν ἔχοντα, τοῖς δὲ ἔπεσιν οὐ πάνυ συνηρμοσμένα.

**Τελεσκόμενος**: Τελειούμενος, πληρούμενος, ἐνθουσιῶν. D

**Τελέσωνος**:

**Τελέστης**, κωμικός. Τούτου δράματά ἐστιν, A Ἀργὼ, καὶ Ἀσκληπιός· ὥς φησιν Ἀθήναιος [q]ἐν τῷ ιδ' τῶν Δειπνοσοφιστῶν.

**Τελεσφόρος**: [r]Τέλειος μάντις, ἐγγαστρίμυθος.

**Τελετή**: Θυσία μυστηριώδης. Ἡ μεγίστη καὶ τιμιωτέρα, ἀπὸ τῶν γινομένων εἰς αὐτὰς δαπανημάτων· τελεῖν γὰρ φαμὲν τὸ δαπανᾶν. Καὶ πολυτελεῖς, τοὺς πολλὰ ἀναλίσκοντας. Καὶ εὐτελεῖς, τοὺς ὀλίγα.

B **Τελευταῖον**: Ἔσχατον.

**Τελευτῆσαι**: Τελέσαι.

**Τελεῖν**: Ἐπιτελεῖν, πονεῖν, ἢ τὸ δαπανᾶν. Ἔνθεν καὶ ἡ τελετή.

**Τελεία**: Ἥρα Τελεία καὶ Ζεὺς Τέλειος ἐτιμῶντο ἐν τοῖς γάμοις, ὡς πρυτάνεις ὄντες τῶν γάμων. Τέλος δὲ, ὁ γάμος. [s]Διὸ καὶ προτέλεια ἐκαλεῖτο ἡ θυσία, ἡ πρὸ τῶν γάμων γινομένη.

C [t]Ὅτι διττὴ ἡ κατὰ φύσιν ἐπιβάλλουσα τῷ ἀνθρώπῳ τελειότης· ἡ μὲν, γνωστικὴ, ἣν ἐπιστήμην καλοῦμεν· ἡ δὲ, ὀρεκτικὴ, ἣν ἀρετὴν ἐπονομάζομεν.

**Τελλίας**: [u]Ὅτι Τελλίας ὁ Ἀκραγαντῖνος, φιλόξενος ὢν, [x]καταλύσασι ποτὲ πεντακοσίοις ἱππεῦσιν, ὥρᾳ χειμῶνος, ἔδωκεν ἑκάστῳ χιτῶνα καὶ ἱμάτιον.

**Τελίνη**: Πόλις.

**Τέλθειν**: Ἐν ᾠδῇ τέρπειν.

D **Τέλμινα** καὶ **Τελμισσα**: Ὀνόματα πόλεων.

**Τέλμα**: Τόπος [y]πηλώδης, ὕδωρ ἔχων.

> Μέλει μοι περὶ τῶν τοιούτων [z]οὐδὲν ἧττον ἢ τῶν ἐν τοῖς τέλμασι βατράχων.

---

" optime explicatur *τάττεσθαι*. Significat enim præter " alia, *poni in numero, collocari in ordine aliquo, adnu-* " *merari ordini*, quod ipsum est *τάττεσθαι*. Hesychius E " similiter, *τελοῦντα, τεταγμένον*. Phavorin. *τελεῖν καὶ τὸ* " *τάττεσθαι καὶ καταλέγεσθαι*. Sic *τελεῖν εἰς ἄνδρας, εἰς ῥή-* " *τορας*, dicitur pro *τάττεσθαι ἐν ἀνδράσιν* etc. Exempla " nota sunt et obvia. Vertendum itaque erat, *collocata,* " *adnumerata*, vel l. *τεταγμένον collocatum.*"

ΤΕΛΕΘΗΝΑΙ] Imo, *τελεσθῆναι*: a *τελέω*. KUST. Sic A.B.E. Photius. Deest gl. V.

ΤΕΛΕΣΙΛΛΑ] Cf. Voss. de Hist. Gr. p. 31. REINES.

[e] *ἐπὶ στήλης μὲν τὰ βιβλ.*] Idem de statua Telesillæ testatur Pausanias in Corinthiacis, p. 121. quem confer. F KUST. II. 20, 8.

[f] *μὲν τὰ*] *τὰ μὲν* A.V. Mox *ἀπέρριπτε* A. *ἀπερρίπτει* B.E.

[g] *Καὶ γὰρ ὅτε Λακεδ.*] Eandem historiam paulo prolixius narrat Pausanias loco laudato. KUST.

[h] *αἱρήσοντες*] *ἐρείσοντες* V.

[i] *Ἀργείοις*] *Ἀργεῖοι* V.

[k] *ἐν Ἀρ. γένηται*] *ἐν* om. A.V. Tum *γένηται* A.

[l] *Πολύβιος*] Fr. gr. 128.

[m] *Ἐπ' αὐτήν που τὴν τελ.*] Confer Nostrum supra v. G *Βακχεύων*, ubi idem fragmentum legitur. KUST. Theophyl. Simocatt. V. 5.

[n] *Τελέως*] *τελείως* B.V.E.

[o] *Διὸ καὶ ὅσα ἔγραψ.*] Hæc sunt verba Damascii de Isidoro philosopho, ut ostendimus supra ad v. *Ἐνδεέστερος*, ubi idem fragmentum occurrit. KUST.

[p] *καὶ*] *τε καὶ* A.V.

ΤΕΛΕΣΚΟΜΕΝΟΣ] *Τελισκόμενος* Photius et Hesychius, ubi vid. notata. *Τελισκόμος* Lex. Seg.

ΤΕΛΕΣΤΗΣ] Telestis dithyrambos laudat Plutarch. H Alexand. p. 668. TOUP. Telesti poetæ monumentum fecit Aristratus, Sicyoniorum tyrannus: id conduxit pingendum Nicomachus Plin. XXXV. 10. p. 841. Telestæ dithyrambos Harpalus misit Alexandro M. Plut. in Alex. M. REINES. Vid. Wesseling. ad Diodor. Sic. XIV. 46.

[q] *ἐν τῷ δ'*] Addito numero denario scribendum est, *ἐν τῷ ιδ'*. i. e. libro XIV. Eo enim libro Athenæus fa- E bularum Telestis mentionem facit. KUST. Sic etiam Reinesius. *ιδ'* A.B.V.E.

ΤΕΛΕΣΦΟΡΟΣ] Aristid. I. p. 315. TOUP. Vid. S. Petiti Var. Lectt. p. 182. HEMST.

[r] *Τέλειος*] i. e. *τετελειωμένος*, sanctificatus, justificatus. 1 Cor. II. 5. Coloss. IV. 12. Salmas. de Fœnore Trapez. p. 348. *τελειοῦν, sanctificare*. REINES.

ΤΕΛΕΤΗ: *Θυσία μυστηρ.*] Athenæus libro II. p. 40. *Τελετάς τε τὰς ἔτι μείζους καὶ μετά τινος μυστικῆς παραδόσεως ἑορτὰς, τῶν εἰς αὐτὰς δαπανημάτων ἕνεκα. Τελεῖν γὰρ, τὸ δα-* F *πανᾶν· καὶ πολυτελεῖς, οἱ πολλὰ ἀναλίσκοντες· καὶ εὐτελεῖς, οἱ ὀλίγα.* Hinc Suidas sua deprompsit. KUST. Opportune sane Athenæi locum adduxit Kusterus, unde pulchre emendandus Etymol. in v. *Τελετὴ*, qui Sylburgii ingenium elusit. Quin et male Etym. *τοὺς πολλὰ ἐσθίοντας* pro *ἀναλίσκοντας*. TOUP. Vid. Timæus p. 251.

ΤΕΛΕΙΝ] Vid. *Ἀλῆται*. TOUP. Deest gl. A. Mox *ἡ* ante *τελετὴ* om. V.E.

ΤΕΛΕΙΑ] Ex Schol. Aristoph. Thesm. 973. ed. Bek- G ker.

[s] *Διὸ καὶ* ΠΡΟΤΕΛΕΙΑ] Vide Hesychium v. *Γάμων*. KUST.

[t] *Διττὴ δὲ ἡ κατὰ φ.*] Hæc ad proprium articulum referenda erant. Pertinent enim ad vocem *τελειότης*. KUST. *Ὅτι δίττη ἡ* A.V.

[u] *ΟΤΙ Τελλίας ὁ Ἀκρ.*] Hæc sunt verba Athenæi, lib. I. Dipnos. p. 4. Vide etiam Nostrum supra v. *Ἀθήναιος*. KUST. Deest articulus A.

[x] *καταλύσασι*] *καταλύσας* E. Statim delevi ΤΕΛΙΚΗ: H *Ζήτει ἐν τῷ* ἈΡΧΗ cum A.V.

ΤΕΛΙΝΗ] *Τελλίνη* A.B.V.E. Tum *πό'* A. pro *ὄνομα πόλεως*.

ΤΕΛΘΕΙΝ] *θέλγειν* Hemsterhusius: sic etiam Albert. ad Hesych. *τῃ*

[y] *πηλώδης*] *ὑλώδης* A.

[z] *οὐδὲν*] Hæc vox ut supervacanea et sensum turbans

Καὶ [a]Πισίδης·

Χερσοῖ τὰ ῥεῖθρα, τελματοῖ δὲ τοὺς λίθους.

Τέλματα: Τὰ πηλώδη καὶ τελευταῖα τοῦ ὕδατος. Ἢ, βάθρα. Ἰσαῖος δὲ εἶπε τὰ γεωργήσιμα χωρία. Καὶ [b]Ἀριστοφάνης·

Ὄμβριον ὕδωρ ἂν εἶχετ' ἐν τοῖς τέλμασι.

Τουτέστι, τοῖς φρέασι.

Τελμισσεῖς: Οὗτοι οἰκοῦσιν ἐν Καρίᾳ, ἀπέχοντες ξ' στάδια Ἁλικαρνασσοῦ, ὡς Πολέμων. Τελμισσὸς δὲ, πόλις ἐν Λυκίᾳ, ἀπὸ Τελμισσοῦ, τοῦ Ἀπόλλωνος, καὶ μιᾶς τῶν Ἀντήνορος θυγατέρων, ᾗ ἐμίγη, εἰς σκύλακα μεταβαλών. Διὸ καὶ τερατοσκόπον [c]αὐτὴν ἐποίησεν, ὡς Διονύσιος ἐν Κτίσεσι.

Τελμισεύς: Ὁ πολίτης.

Τέλος: [d]Ἀρχὴ, [e]πρᾶξις. Τέλος καὶ τὸ διδόμενον τοῖς βασιλεῦσι. Τέλος, καὶ τὸ [f]δαπάνημα. Ὅθεν πολυτελὲς, τὸ [g]πολυανάλωτον. Τέλος καὶ τὸ πέρας. [h]Καὶ ὁ γάμος. Ὅθεν καὶ τὰ [i]προτέλεια.

[k]Ὅτι τὸ οὗ ἕνεκα, [l]τουτέστι τὸ τέλος, διττόν· τὸ μὲν, [m]Οὗ· τὸ δὲ, Ὧι· οἷον, τῷ οἰκοδόμῳ [n]τέλος ἐστὶ, τὸ οὗ ἕνεκα, ποιῆσαι σκέπασμα κωλυτικὸν ὄμβρων καὶ καυμάτων· Ὧι δὲ, ἡμῖν· τὸ γὰρ σκέπασμα ἡμῖν ποιεῖ. Ἐσμὲν οὖν ἡμεῖς τοῦ οἰκοδόμου τέλος τὸ ὡς ᾧ. Ὡσαύτως δὲ θεωρεῖν ἐστι καὶ ἐπὶ πάντων τῶν φύσει συνεστώτων· οἷον, ἡ μὲν ἔφεσις τοῦ θείου, δι' ἣν ἕκαστον τῶν ἐμψύχων ποιεῖ ἄλλο οἷον αὐτὸ, τέλος ἐστὶ τὸ οὗ· τούτου γὰρ ἕνεκεν ἐστὶν ἡ γένεσις. Ἐπειδὴ δὲ τὰ σώματα ὄργανα γίνονται ταῖς ψυχαῖς, αἱ ψυχαὶ εἰσὶ τέλη, ὡς ᾧ. Ἀναλογεῖ [o]οὖν τῷ μὲν τεχνίτῃ τῷ οἰκοδόμῳ, ἡ φύσις· τῷ δὲ ἀνθρώπῳ τῷ ἐπιτάττοντι [p]γενέσθαι τὸ σκέπασμα, ἡ ψυχή· τῷ σώματι δὲ, ἡ οἰκία. Οὐ μόνον δὲ ἐπὶ τῶν ζώων [q]τέλος ἐστὶ διττὸν, τό τε οὗ, καὶ τὸ ᾧ, ἀλλὰ καὶ ἐπὶ τῶν φυτῶν· καὶ γὰρ ἐν τούτοις ἡ φύσις ὀργανικὸν ποιεῖ τὸ σῶμα πρὸς τὴν χρείαν τῆς ἐν αὐτοῖς ψυχῆς ἀναφερόμενον. Ὀργανικὰ γὰρ τὰ τῶν φυτῶν μέρη, ῥίζα, φλοιὸς, ἐντεριώνη, καὶ φύλλα, καὶ τὰ τοιαῦτα. [r]Ἐπὶ μὲν οὖν τῶν ἐμψύχων διττὸν τὸ τέλος, ὥσπερ εἴρηται· ἐπὶ δὲ τῶν λοιπῶν οὐκ ἔστιν εὑρεῖν τὸ τέλος διττόν. Μέταλλα γὰρ, καὶ λίθοι, καὶ ἁπλῶς τὰ ἄψυχα, προσεχῶς ὑπὸ ψύξεως καὶ θερμότητος γινόμενα, ἐξῃρημένως δὲ ὑπὸ τῆς ὅλης δημιουργίας, ἓν τέλος ἔχει, τὸ οὗ· ἕνεκα γὰρ τῆς κοσμοποιΐας. Οὐκέτι μέντοι καὶ τὸ ὡς ᾧ τέλος ἐστὶν ἐν τούτοις. Οὐ γὰρ εἰσὶν ὄργανα [s]τινῶν, οὐδὲ εἰς χρείαν ψυχῶν τινῶν κατασκευάζεται.

[t]Σημαίνει δὲ τὸ τέλος ἕξ.

[u]Ἀρίστων δὲ ὁ Χῖος τέλος ἔφησεν εἶναι, τὸ [x]ἀδιαφόρως ἔχοντα ζῆν πρός τι μεταξὺ ἀρετῆς καὶ κακίας, [y]μηδὲ ἡντινοῦν ἐν αὐτοῖς παραλλαγὴν ἀπολείποντα, ἀλλ' ἐπίσης ἐπὶ πάντων ἔχοντα. Εἶναι γὰρ ὅμοιον τὸν σοφὸν ἀγαθῷ ὑποκριτῇ.

[z]Διαφέρει δὲ τέλος, καὶ ὑποτελίς. Τῆς μὲν γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι· τοῦ δὲ, μόνον τὸν σοφόν. Τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα εἶναι.

Οἱ δὲ εἶπον τέλος εἶναι τὴν ἐπιστήμην, τὸ μετ' ἐπιστήμης ζῆν, καὶ μὴ τῇ ἀγνοίᾳ διαβεβλημένον.

Τέλος εὐδαιμονίας διαφέρει. Τέλος μὲν γάρ ἐστιν, ἡ κατὰ μέρος ἡδονή· Εὐδαιμονία δὲ, τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι, καὶ αἱ μέλλουσαι.

Σύνταξις·

[a]Τέλος εἶναι διαγρυπνεῖν ἡμᾶς ἠνάγκαζον.

delenda est; ut monuimus etiam supra v. Μέλει, ubi vide quæ notavimus. KUST.

[a] Πισίδης] Exped. Heracl. Acroas. II. 311. ubi ῥευματοῖ pro τελματοῖ.

ΤΕΛΜΑΤΑ] Vid. Ἀχανὲς πέλαγος. HEMST. Vid. Fischer. ad Platon. Phæd. p. 457.

[b] Ἀριστοφάνης] Av. 1592.

ΤΕΛΜΙΣΕΙΣ] Τελμισῆς vates in Caria. Clem. Alex. Strom. I. Τελμισέων μὲν γὰρ οἱ δοκιμώτατοι τὴν δι' ὀνείρων ἐξεῦρον μαντικήν. Tatian. adv. Græcos. REINES. Τελμισσεῖς A.B.E. Vulg. habet Photius.

[c] αὐτὴν] αὐτὸν Photius.

ΤΕΛΜΙΣΕΥΣ] Τελμιεὺς A.B.E.M.

[d] Ἀρχή] Portus male interpretabatur *principium;* cum vox ista hic significet *magistratum.* Eo enim significatu vocabulum hoc interdum accipitur. Unde οἱ ἐν τέλει dicuntur illi, qui magistratu funguntur. KUST.

[e] πρᾶξις] Malim, πρᾶγμα, vel τάγμα. Utramque enim significationem vocabulo τέλος convenire, ex Hesychio et Etymologo constat. KUST. τάξις Timæi Lexicon. Vid. et Schol. Homer. Il. κ'. 56. TOUP. τάξις Reinesius, et sic Lex. Seg. Vulg. tenet Photius. Vid. Ruhnkenius ad Timæum. Schol. Platon. ms. Reg. Τέλος καὶ τὸ τάγμα παρ' Ἀττικοῖς· καὶ ἡ δαπάνη, ἐξ οὗ καὶ ὁ πολυτελής· καὶ τὸ εἰς γάμους ἀνάλωμα, ὅθεν τὰ προτέλεια λέγεται· καὶ ἀντὶ ἀρχῆς, Θουκυδίδου· προσελθὼν τοῖς τέλεσιν, ἤτοι τοῖς ἐν ἀρχῇ οὖσιν· καὶ τὸ ἀποτέλεσμα, καὶ τὸ εἰσπραττόμενον ὑπὸ τῶν τελωνῶν. Conferantur hæc cum Schol. ed. Ruhnken. p. 48.

[f] δαπάνημα] τέλεσιν οἰκείοις, *proprio sumptu.* Dionys. Hal. p. 345. Suid. v. Προῖκα. TOUP.

[g] Πολὺ ἀνάλωτον] Etymologus rectius una voce, πολυανάλωτον. KUST. et Photius cum A.B.

[h] Καὶ ὁ γάμος] Vide paulo ante, v. Τελεία, et Hesych. v. Δόμος ἡμιτελής. KUST.

[i] προτέλεια] τὰ προτ. A.V. Photius.

[k] ΤΕΛΟΣ, καὶ τὸ οὗ ἕνεκα. Τοῦτο δὲ διττ.—οὐδὲ εἰς χρείαν ψυχῶν τινων κατασκευάζεται] Hæc omnia excerpta sunt ex Philopono in lib. II. Aristot. de Anima, H. 6. b. KUST.

[l] τοῦτο δὲ] τουτέστι τὸ τέλος A.B.V. Philop.

[m] Οὗ] οὗ ἕνεκα Philop.

[n] τέλος] τὸ τέλος A. qui mox om. ἐστιν.

[o] μὲν οὖν] μὲν om. A. Philop.

[p] γίνεσθαι] γενέσθαι A.B.V. Philop.

[q] τὸ τέλος] τὸ om. A.V. Philop. suprasc. E.

[r] ἐπὶ μὲν οὖν] Ὅτι ἐπὶ μὲν A.V. ἐπεὶ μὲν οὖν Philop. Mox ὥσπερ A. Philop. pro ὡς.

[s] τούτων] τινῶν A.B.V.E. Philop. Mox ψυχῶν om. E.

[t] Σημαίνει δὲ τὸ τ.] Significationes has recenset Etymologus, quem vide. KUST.

[u] Ἀρίστων ὁ Χῖος τέλ.—ὑποκριτῇ] Hæc sunt verba Laërtii in Zenone Citt. lib. VII. 160. KUST.

[x] ἀδιαφόρως] διαφόρως V.

[y] μὴ ἣν τιν' οὖν ἑαυτοῖς] μηδὲ ἡντινοῦν ἐν αὐτοῖς A.B.V.

[z] Διαφέρει δὲ τέλος, καὶ ὑποτ.] Hæc, et quæ sequuntur usque ad finem articuli, leguntur apud eundem Laërtium in Herillo. KUST.

ΤΕΛΟΣ ΕΥΔΑΙΜΟΝΙΑΣ διαφ.] Hæc erat sententia Aristippi, et ejus sectatorum, ut discimus ex Laërtio in Aristippo, lib. II. num. 87. unde Suidas hæc excerpsit. KUST.

[a] Τέλος εἶναι. Διαγρυπνεῖν ἡμᾶς ἠνάγκαζον] Sensus hujus loci est omnino mutilus. KUST. Non est mutilus. Omiserant librarii recentiores σύνταξις, quod præbent A.V. Sensus est: Nota syntaxin, τέλος εἶναι διαγ. ἡ. ἠν.

[b]Ὅτι Ἐντελέχεια ἐστὶν ἡ ψυχὴ, [c]ὡς τελειοῦσα, καὶ A κυβερνῶσα, καὶ οἰκονομοῦσα τὸ σῶμα, καὶ κινοῦσα τὰ ὄργανα τούτου πάντα· ἧς ἄνευ ἀτελὲς, μᾶλλον δὲ ἄχρηστον, καὶ παντελῶς οὐδέν.

Τελοῦμαι: Δοτικῇ.

Τέλος:

[d]Ὁ δὲ Σόλων τῆς παρούσης τύχης τῷ Κροίσῳ κατεφρόνησεν, ἐκέλευσέ τε τοῦ βίου παντὸς τὸ τέλος ἀναμένειν, μηδὲ προπηδᾶν, μηδὲ ἐπειγόμενον [e]τοῖς εὐδαίμοσιν ἑαυτὸν ἐγκαταγράφειν· ἀτέκ- B μαρτα γὰρ καὶ ἄδηλα τὰ ἀνθρώπινα.

Τέλλος: Ὄνομα κύριον.

Τελοῦντα: Τεταγμένα.

Τελώνης: [f]Ἰάμβλιχος·

Ἔδωκε τὸν ὅρμον ὁ τελώνης τῷ ἐμπόρῳ. Οὐκ [g]ἤδη καὶ λύκοι [h]θήσουσι ἄρνας ἐκ τῶν στομάτων, καὶ λέοντες ἀπὸ τῶν ὀδόντων ἀπολύσουσι νεβροὺς ταῖς μητράσιν, ὁπότε καὶ τελώνης ἀφῆκεν ἄγραν [i]τηλικαύτην; C

Τελώνης: Ὁ τῶν τελῶν [k]ἐταστής. [l]Διεβέβλητο παρὰ τοῖς [m]παλαιοῖς τὸ τοῦ τελώνου ὄνομα· καὶ τοῦ Κλέωνος ὄντος τελώνου, καὶ ὑπὲρ τὸ τέλος τελωνοῦντος· ὥς φησιν Ἀριστοφάνης.

Τελώνης: Ἀλλοτρίων πραγμάτων μεριστὴς, πεπαρρησιασμένη βία, ἀνεπιτίμητος ἁρπαγὴ, ἀναίσχυντος πλεονεξία, πραγματεία λόγον μὴ ἔχουσα, ἀναιδὴς ἐμπορία. D

Τελωνεῖον: Προπερισπωμένως, ἐν ᾧ καθέζεται ὁ τελώνης. Τελώνιον δὲ, προπαροξυτόνως, διὰ τοῦ ι γραπτέον. Πισίδης·

Ἐβουλόμην δὲ πᾶν τὸ τοῦ λόγου πλάτος
ἐν τῷ στενῷ σου προσβαλεῖν τελωνίῳ.

Τελχῖνες: Πονηροὶ δαίμονες. [n]Ἢ, ἄνθρωποι φθονεροὶ, καὶ βάσκανοι. [o]Δύο ἐγένοντο Τελχῖνες, Σίμων, καὶ Νίκων. Ὑπερίσχυσε δὲ [p]ὁ Νίκων τὴν ἐπὶ Σίμωνι φήμην ἀπαλεῖψαι. Καὶ ἡ παροιμία·

Οἶδα Σίμωνα, καὶ Σίμων ἐμέ.

Ἐπὶ τῶν ἀλλήλους ἐπὶ κακίᾳ γινωσκόντων. Καὶ B Τελχίνειος.

Τελχιταίνει: Ἀντερίζει, [q]σκληροτραχηλεῖ.

Τεμάχη: Ἐπὶ κρεῶν, καὶ ἰχθύων, καὶ ἐπὶ πλακούντων· ἐπὶ δὲ [r]πισῶν οὐκέτι. Ἀριστοφάνης Νεφέλαις·

Κεστρῶν τεμάχη μεγάλων.

Ἐπὶ δὲ τῶν ἄλλων, οἷον τυροῦ, τόμος. Ἡ εὐθεῖα, τὸ τέμαχος.

C Τεμαχί: Ἐπίρρημα.

Τεμένη: Ναοὶ, ἱερὰ, ἢ τὰ ἀφωρισμένα κατὰ [s]τιμὴν χωρία.

Τεμενίτης:

Τέμνειν: [t]Πείθειν, τιμᾶν, ἡγεῖσθαι.

Τέμνειν καὶ Ὑποτέμνειν διαφέρει. Τέμνειν [u]μὲν γάρ ἐστι, τὸ ὀρθὴν ποιεῖσθαι τὴν τομήν· Ὑποτέμνειν δὲ, τὸ [x]λοξώδη, ἵνα παχέα φαίνηται. Τὸ D γὰρ ἀνώμαλον τῆς τομῆς παχύτητος δόξαν ἐργάζεται· ὅπερ ποιοῦσιν οἱ βυρσοδέψαι.

[Τέμνω: Τὸ κόπτω. Αἰτιατικῇ. Ἐκτέμνω δὲ, ἀντὶ τοῦ ἀφανίζω.]



b Ἐντελέχεια ἐστὶν ἡ ψ.] Hæc pertinent ad vocem ἐντελέχεια. KUST. Deest locus A. ante præcedentem collocat V. E

c ὡς τελειοῦσα] ἡ τελ. V.

d Ὁ Σόλων] ὁ δὲ Σόλων A.V.E. Hæc inserit A. infra in v. Τελώνης.

e τοῖς εὐδαίμοσιν] τῆς εὐδαιμονίας E.

ΤΕΛΛΟΣ] Herodot. I. 30. Plutarch. de discr. amici et adul. p. 58 D. Meurs. de Solone c. 27. REINES.

ΤΕΛΟΥΝΤΑ] τελεοῦντα A.V. Sed τελοῦντα poscit literarum ordo, et sic Photius cum Lex. Seg. Vide Bosium supra p. 3514 H. F

ΤΕΛΩΝΗΣ] προτέλεια addunt A.V.

f Ἰάμβλιχος] Vid. Rochett. Misc. t. I. p. 87.

g ἤδη] οὐκ ἤδη A.V. Tum λύκοι θήσουσι A.

h θήσουσι] Sic recte ms. A. At priores editt. male, θήγουσι. KUST. θύσουσι B.E.

i τοιαύτην] τηλικαύτην A.B.V.

k ἐταστής] Post h. v. A. inserit Τέλος. Ὁ Σόλων etc.

l Διεβέβλητο δὲ παρὰ τοῖς π.] Ex Schol. Aristoph. Equit. 248. Vide etiam Suicerum in Thes. Eccles. v. Τελώνης, et Casaub. ad Theophr. Char. p. 185. KUST. δὲ om. A.V. G

m παλαιοῖς καὶ] πολλοῖς V. καὶ om. A.B.E.V.

ΤΕΛΩΝΗΣ. Ἀλλοτρ.] Hæc sumpta sunt ex oratione Chrysostomi Περὶ τοῦ μὴ ἀπογινώσκειν, t. VIII. p. 74. ut observavit modo laudatus Suicerus. KUST.

ΤΕΛΩΝΕΙΟΝ: Ὁ τόπος] ὁ τόπος om. A.V. Tum περισπωμένως V. Mox δὲ om. A.

ib. Idem τελώνιον et τελωνεῖον, ut στενώπιον et στενωπεῖον. De quo nos supra ad v. Στενωπός. Locus autem Pisidis, H vel metro postulante, ita rescribendus est: Ἐβουλόμην δὲ πᾶν τὸ τοῦ λόγου πλάτος Ἐν τῷ στενῷ σου ΠΡΟΣΒΑΛΕΙΝ τελωνίῳ. TOUP. προσβαλεῖν E. et sic Pisides c. Severum v. 497. unde desumpsit Suidas.

ΤΕΛΧΙΝΕΣ] Confer Hesych. v. Θελγῖνες. KUST. Synes. p. 57. τελχὶς καὶ βάσκανος. Vid. Nicol. Damasc. a Vales. ed. p. 514. Liban. I. 769. TOUP. Vid. Bergler. et Wagner. ad Alciphron. t. I. p. 75.

n Ἢ ἄνθρωποι φθ. καὶ β.] φθονεροὶ, βάσκανοι nec plura Photius.

o Δύο ἐγένοντο] Junii Catal. Artif. in *Telchines*. Ex Zenobio supplend. C. V. n. 41. apud quem ordine mutato Simoni tribuitur, quod hic Niconi. HEMST.

p ὁ Νίκων om. A. Mox ἀπαλεῖψαι om. E. Tum ἡ om. A.

ΤΕΛΧΙΤΑΙΝΕΙ] Sic etiam Etymologus. At Hesychius, τελχιτένοντες, per ε in syllaba tertia. KUST.

q σκληροτραχηλοῖ] Leg. σκληροτραχηλεῖ. REINES. Sic A.B.V. Photius.

ΤΕΜΑΧΗ: Ἐπὶ κρεῶν, καὶ ἰχθ.] Ex Schol. Aristoph. Nub. 338. sed ubi sic legitur: Ἐπὶ ἰχθύων τὸ τέμαχος, καὶ ἐπὶ πλακοῦντος· ἐπὶ δὲ κρεῶν οὐκέτι. Sic etiam apud Suidam scribere malim. Vide quoque supra v. Κεστρᾶν, ubi eadem leguntur. KUST. Vid. Petavius ad Synes. p. 8. Markland. ad Eurip. Suppl. p. 140. TOUP. Adde Phrynichum p. 21. c. n. Lobeckii.

r πισσῶν] πισ̃ A. πισῶν V.

s τιμὴν] κατὰ τιμὴν θεῶν. Schol. Theocr. I. 116. Vid. Apollon. Lex. v. Τέμενος. TOUP.

ΤΕΜΕΝΙΤΗΣ] Utitur Cyrill. c. Julian. p. 33. et τεμενίζειν. Dio Exc. Vales. p. 670. et in Exc. Ursin. p. 430. τεμένισμα. TOUP.

t Πείθειν. Τιμᾶν. Ἡγεῖσθαι] Miræ interpretationes vocis τέμνειν quas tamen etiam legas apud Hesychium. KUST. Vid. Τέμνουσι φάρμακον.

ΤΕΜΝΕΙΝ καὶ ὙΠΟΤΕΜΝΕΙΝ διαφ.] Ex Schol. Aristoph. Equit. 291.

u ΤΕΜΝΕΙΝ] μὲν addunt A.V.

x λοξώδη] λοξῶς A. Mox φαίνηται A.B. pro φαίνεται. In E. λοξώδη καὶ παχεῖαν ὡς τοιαύτην φαίνεσθαι.

ΤΕΜΝΩ] Deest gl. om. V. Partem priorem habet A. in marg.

Τέμνουσι φάρμακον: Τιμῶσιν, ἡγοῦνται. Οὕτως ἄλλοι τε, καὶ Ἱεροκλῆς.

Τέμπεα: Τὰ κοιλώματα.

Τέμπη, τὰ μεταξὺ [y]τῶν Θετταλίας ὀρῶν, περὶ τὸν Ὄλυμπον καὶ τὴν Ὄσσαν, στενά. Καθόλου δὲ καὶ ἐν πᾶσι τοῖς ὄρεσιν [z]στενόταται [a]διεκβολαί. Καὶ οἱ σύνδενδροι τόποι. Ἰδίως δὲ [b]Μακεδονικὰ ὄρη οὕτω καλούμενα, καὶ οἱ στενοὶ τόποι. Ἡρόδοτος.

[c]Ὅτι μετὰ τὴν ἐν Μαραθῶνι μάχην Θετταλοὶ B ἐμήδισαν, δείσαντες τὴν ἀπόφραξιν τῶν Τεμπῶν.

Τέμπλα: Ἐπίσημα.

Τενάγη: Διάβροχοι, [d]κάθυγροι τόποι, πηλώδη πελάγη· ἢ ἰλὺς, ἐπιπολάζοντος ὕδατος οὐ πολλοῦ, καὶ βοτάνης ἐπιφαινομένης τῷ ὕδατι. [e]Πολύβιος·

Κατὰ τὴν εἰς θάλατταν ἐκβολὴν τοῦ Βουκάρα ποταμοῦ, συνθεωρήσας κατά τινας ἀνέμων στάσεις ἀποθινούμενον τὸ στόμα, C καὶ τεναγώδη γινομένην τὴν παρὰ τὸ στόμα πάροδον, τηρήσας τὸ προειρημένον σύμπτωμα, διεβίβασε τὴν στρατιάν.

Τὰ δὲ δὴ πλείω τῶν πλοίων μετέωρα διὰ τὰ τενάγη ἀπεσάλευε.

Τέναρος: Κακοῦργος, συκοφάντης.

[Τένδα: Παρ' ἡμῖν, οἰκία ἐκ [f]λίνου.

Τένδει: Ἐσθίει. [g]Ἡσίοδος·

Ὅτ' ἀνόστεος ὃν πόδα τένδει.]

D Τενέδιος ἄνθρωπος: Ἐπὶ τῶν [h]φοβερὰς ὄψεις A ἐχόντων. Ὁ γὰρ Τένης ἐνομοθέτησεν ἐν Τενέδῳ ἄνθρωπον πέλεκυν ἔχοντα [i]ἵστασθαι κατὰ νῶτον τοῦ κριτοῦ, καὶ τὸν μάτην λέγοντα ἁλισκόμενον πλήττειν.

Τενέδιος ἄνθρωπος: [k]Κύκνον, τὸν Ποσειδῶνος, γενόμενον πατέρα Ἡμιθέας καὶ [l]Τέννου, [m]ἐπιγῆμαι τούτοις· καὶ κατηγορηθῆναι τὸν Τέννην ὑπὸ τῆς μητρυιᾶς, ὡς πειρῶντα αὐτήν. [n]Πεισθέντα δὲ Κύκνον B εἰς λάρνακα βαλεῖν τὸν νεανίαν. Ἑλομένης δὲ τῆς Ἡμιθέας συγκινδυνεύειν τῷ ἀδελφῷ, ἑκατέρους κατεπόντωσεν. Ἡ δὲ λάρναξ ἠνέχθη ἐπὶ τὴν [o]πρότερον καλουμένην Λεύκοφρυν, ὕστερον δὲ Τένεδον ἀπ' ἐκείνου. Ὃς καὶ βασιλεύσας τῆς [p]νήσου, ἐνομοθέτησε τοῖς τὰ ψευδῆ κατηγοροῦσιν ὄπισθεν παρεστάναι τὸν δήμιον πέλεκυν [q]ἐπηρμένον [ἔχοντα,] ὡς ἐλεγχθέντας παραχρῆμα ἀναιρεῖσθαι. Ἀπὸ δὲ τοῦ φοβεροῦ θεάματος C ἐκείνου λέγεσθαι Τενέδιος ἄνθρωπος. Εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν φοβερῶν τὰς ὄψεις.

Τενέδιος ξυνήγορος: Ἀντὶ τοῦ ἀπότομος. Δύο γὰρ πελέκεις ἐν [r]ἀναθήμασι τιμῶσι Τενέδιοι. Καὶ παροιμία· Τενέδιος πέλεκυς. Ἀριστοτέλης μέντοι, ὅτι βασιλεὺς Τενέδιος μετὰ [s]πελέκεως δικάζων τὸν ἀδικοῦντα εὐθέως ἀνῄρει. Ἢ ὅτι [t]Ἀσσερίνα τό- D πος ἐν Τενέδῳ, ἔνθα ποταμίσκος, [u]ἐν ᾧ καρκίνοι τὰ χελώνια διηρθρωμένα [x]ἐπὶ πλεῖον ἔχοντες, καὶ πελέκει

ΤΕΜΝΟΥΣΙ ΦΑΡΜΑΚΟΝ] Schol. Platon. p. 248. Τέμνειν φάρμακον: Πείθειν, τιμᾶν, ἡγεῖσθαι, ὡς οἶμαι νῦν.

ΤΕΜΠΗ, τὰ μεταξὺ τ.] Eadem leguntur quoque apud Etymologum. KUST.

[y] τῶν τῆς] τῆς om. A.V. Photius.

[z] αἱ στενώταται] αἱ om. A. Photius. στενόταται A.V. E Photius.

[a] διεκβολαί.] Hic desinit Photius. καὶ οἱ σ. τ. sunt ex gloss. Herodot. VII. 173. et fortasse huc retrahendum nomen Ἡρόδοτος. Nam sequens fragmentum, quod celato auctore profert Suidas supra p. 1217 D., non est Herodoti. Unde illa ἰδίως—στενοὶ τόποι profluxerint nondum reperi.

[b] Μακεδονικὰ] Potius, Θετταλικά: ut Porto etiam visum. KUST.

[c] Ὅτι μετὰ] Sejunxi a præcedentibus cum A.V. qui F hoc fragmentum exhibent in marg.

ΤΕΜΠΛΑ] Sic etiam Photius, Τέμβλα Lex. Seg.

ΤΕΝΑΓΗ: Διάβροχοι καὶ κ.] Eadem totidem verbis habes apud Etymologum. KUST.

[d] καὶ κάθυγροι] καὶ om. A.V.E. Photius. διάβροχοι κάθοδοι, καὶ κάθυγροι τ. Lex. Seg. Mox πηλώδεις Photius. Eadem fere Schol. Platon. p. 208. ἰλὺς—ὕδατι habet Schol. Gregor. Naz. Stelit. II. p. 88.

[e] Πολύβιος] Lib. I. c. 75. sed ubi pro παρὰ τὸ στόμα, G rectius legitur, παρ' αὐτῷ τῷ στόματι. Confer Bochartum Geograph. Sacr. part. II. lib. I. c. 24. KUST.

ΤΕΝΑΡΟΣ: Κακ.] Eadem habet Hesychius. Vide etiam supra v. Ταινάριον. KUST.

ΤΕΝΔΑ] Vide Dufrenium in Gloss. Gr. KUST. Salmas. ad Flor. II. 12, 11. HEMST. Hanc gl. cum seq. A.V. in marg.

[f] λίνου] λίνων B.V.E.

ΤΕΝΔΕΙ] Vide paulo inferius v. Τένθαις. KUST. Et H supra p. 1198 B.

[g] Ἡσίοδος] Oper. et Dier. 522. KUST.

[h] φοβερὰς] πονηρὰς E.

[i] ἱστάναι] ἵστασθαι A.B.V.E.

ΤΕΝΕΔΙΟΣ ἌΝΘΡΩΠΟΣ: Κύκνος] Vid. Diodor. Sic. V. extr. et Plutarch. Quæst. Gr. p. 297 D. de lege apud Tenedios, ne tibicen templum Tenæ ingrederetur, et ne ibi nomen Achillis, qui inscius Tenen ceu carum Apollini occiderat, audiretur. (cf. Tzetz. ad Lycophr. 232.) REINES.

[k] Κύκνον, τὸν Ποσειδ.] Eandem de Cycno et Tenne historiam, vel potius fabulam, narrat Scholiastes Homeri ad Il. α'. 38. quem confer. KUST. Vide Conon. ap. Photium Cod. 186. p. 437. Pausan. X. 14.

[l] Τένου] Apud Scholiastam Homeri loco laudato scribitur Τέννης, per duplex νν. KUST. Sic A.B.V.

[m] ἐπιγῆμαι] Philonomen vocat e Steph. de Urb. Erasmus l. 3. (et Tzetz. l. l.) REINES.

[n] Πεισθέντα δὲ] δὲ om. V. qui infra νεανίσκον pro νεανίαν.

[o] πρότερον] πρῶτον V.

[p] Τενέδου ὕστερον] νήσου A.V. Photius.

[q] ἐπηρμένον ἔχοντα] ἔχοντα om. A.V.E. Photius. Mox θαύματος A. pro θεάματος.

ΤΕΝΕΔΙΟΣ ΞΥΝΗΓΟΡΟΣ] Cf. Apostol. XVIII. 28. Erasm. II. 5, 90. REINES.

[r] ἀναθήματι] ἀναθήμασι A.B.E. Photius. Mox οἱ ante Τενέδιοι om. A.V.E. Phot.

[s] πελέκεως] πελέκυος V.

[t] Ἀσσερίνα] Leg. Ἀστέριον. Vid. Bochart. Chan. 9. p. 417. et Plutarch. de Pyth. Orac. REINES.

[u] ἐν ᾧ καὶ καρκίνοι τὰ χελώνια διηρθρ.] Locum hunc egregie illustrat Plutarchus de Oraculis Pythiæ, p. 399. in fine, et init. pag. seq. cujus verba hæc sunt: Καὶ Τενέδιοι τὸν πέλεκυν (ἀναθεῖναι λέγονται,) ἀπὸ τῶν καρκίνων τῶν γινομένων περὶ τὸ καλούμενον Ἀστέριον παρ' αὐτοῖς. Μόνοι γὰρ, ὡς ἔοικεν, ἐν τῷ χελωνίῳ τύπον πελέκεως ἔχουσι. Hinc apparet, Portum vocem χελώνιον in loco hoc Suidæ male sollicitasse. Nam et Plutarchus, dum eandem rem narrat, vocabulo illo usus est, ut verba ejus citata ostendunt. Notandum autem est, a Plutarcho locum vocari *Asterium*, quem Suidas *Asserinam* appellat: minus recte, ut puto. Lectionem enim Plutarchi etiam confirmare videtur Hesychius v. Ἀστέριοι: quem vide. KUST. καὶ om. A.E. Photius.

[x] ἐπὶ πλεῖον] Sic mss. Paris. itemque Photius in Lexico inedito. At priores editt. ἐπὶ πλεῖον: quæ vitiosa lectio Wolfium, Schottum, et Portum in errorem induxit; existimantes nempe, chelas cancrorum (sic enim

[y]ἐμφερῆ. [*]Ἢ ὅτι βασιλεύς τις νόμον θεὶς, πελέκει A τοὺς μοιχοὺς ἄμφω καρατομεῖν, καὶ ἐπὶ τοῦ υἱοῦ ἐτήρησε τοῦτο. [z]Καθὸ καὶ ἐν τῷ [a]νομίσματι, ἐφ' οὗ μὲν πέλεκυς, ἐφ' οὗ δὲ δύο πρόσωπα ἐξ ἑνὸς αὐχένος. Οἱ δ', ὅτι [b]Τέννης δι' ἃ ἔπαθεν ὑπὸ τῆς μητρυιᾶς, μετὰ [bb]πελέκεως τὰς φονικὰς ἔκρινε δίκας.

Ταινίαι: Ζῶναι.

Τένθαις: [c]Λίχνοις. [d]Τένθειν γὰρ, τὸ ἐσθίειν. B

[e]Ὅτ' ἀνόστεος ὃν πόδα τένθει.

Διὰ τοῦ θ' γραπτέον.

Τενθεία: [f]Σιναμωρία, [g]λιχνότης. [h]Ἀριστοφάνης·

[i]Πολλήν γε τενθείαν λέγεις.

Τένθης: Ὁ γαστρίμαργος.

Τένοντας: [k]Τραχήλους, τὰ διατεταμένα νεῦρα.

[l]Ταύρου [m]βαθὺν τένοντα.

Ὁ δὲ ταῦρος πληγεὶς καὶ διακοπεὶς τοὺς τένοντας, ἡσυχῇ καὶ κοσμίως κατηνέχθη. C

Καὶ αὖθις·

[n]Ἐκ δὲ τενόντων
ΤΗ͂ΙΔ' ἜΝΙ: [o]Ἐν ταύτῃ δέ ἐστιν.

ΤΗΘΑΛΛΑΔΟΥ͂Σ: Γυναικοτρόφους, ὑπὸ τήθῃ τεθραμμένους.

ΤΉΘΕΑ: Ὄστρεα. Ἰστέον ὅτι καὶ τούτοις ἐχρῶντο οἱ παλαιοί· καίτοι τῆς τούτων ἐδωδῆς οὐ πολὺ ἐχούσης τὸ ἡδὺ καὶ ὠφέλιμον.

A ΤΗΘΈΛΑΣ: Τοὺς μαμμοθρέπτους.

ΤΉΘΗ: Μάμμη. Ἡ πατρὸς ἢ μητρὸς μήτηρ. Ἡ κλητικὴ, [p]τήθα. ΤΗΘῚΣ δὲ, θεία. [q]Ἀριστοφάνης·

Ἀλλ' ὦ τηθῶν ἀνδρειοτάτη, καὶ μητριδίων [r]ἀκαλήφων,
χωρεῖτ' ὀργῇ, [s]καὶ μὴ τέγγεσθ'· ἔτι γὰρ νῦν οὔρια θεῖτε.

[t]ΤΉΘΑΣ ἐκάλουν τὰς μάμμας. Καὶ ΤΗΘΊΔΑΣ, τὰς θείας, τὰς πατρὸς [u]ἢ μητρὸς ἀδελφάς. ΤΉΘΑΣ δὲ, B καὶ τὰς τροφούς. Εἰσὶ δὲ καὶ [x]ὄστρεα θαλάσσια. [y]Ὅμηρος·

Πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν.

ἈΚΑΛΉΦΑΣ δὲ λέγουσιν [z]οἱ μὲν καὶ τὰς θαλασσίας. Λέγουσι δὲ καὶ τὰς κνίδας Ἀττικοί. Καὶ ΚΝΊΔΗ μὲν, ἐς ὅσον ἂν ἁπαλή ἐστι· ἐπὰν δὲ [a]σχῇ τὰς μητέρας, τουτέστι, τὰς τοῦ σπέρματος σφαίρας, ἀκαλήφη λέγεται. ἈΚΑΛΉΦΑΣ οὖν τὰς γραίας C [b]ἐκάλεσαν, ἐπειδὴ στερραὶ ἦσαν καὶ γενναῖαι. Καὶ γὰρ τὸ φυτάριον δάκνει. Ἐπεὶ οὖν εἶπε τηθῶν, εἶπε μητριδίων· [c]τουτέστι, τῶν ἐχουσῶν τὸ σπέρμα τῆς βοτάνης τῆς ἀκαλήφης. Δάκνουσι δὲ αὗται. Τοιαῦται δὲ καὶ αἱ γραῖαι. ΜΗΤΡΙΔΊΑΣ δὲ [d]ἐκάλεσε, τὰς ἐχούσας τὸ σπέρμα.

ΤΗΘΊΣ: Θεία. Πατρὸς, ἢ μητρὸς ἀδελφή.

D ΤΗΘΥ͂Σ: Ἡ θάλασσα.

[e]Οὐδὲ σύ γ', ἀφρηστὰ, Νηρηΐδας, ὡς πρὶν, ἀείρων
νώτοις πορθμεύσεις Τηθύος εἰς πέρατα.

---

[b] ἐπεὶ—κρέα om. A.V. Supra λάβε om. E.

[c] πληθυντικῶς] τῷ πλ. V. τῷ πληθυντικῷ Schol.

[d] τῆ τέ τοι] Puto legendum, Τῆτε· τῷ κορώνᾳ εἰσίν. ut ad coronistas sive τοὺς ἀγείροντας τῇ κορώνῃ pertineat. HEMST.

[e] τῇ πᾶς] τῆδε πᾶς V. Aristoph. Ach. 203.

[f] Ὅμηρος] Il. ό. 46. KUST. τῆ ἴδμεν καὶ Ὅμηρος V.

THBENNA] An pro Ῥάβεννα? q. v. HEMST.

Καὶ THBENNOΣ] καὶ om. A. qui Τήβενος. Τήβεννα E. et mox τήβενναν.

[g] Ταραντῖνοι δὲ Ποστ.] Fragmentum hoc ampliari potest ex ipso Suida supra, v. Λύματα. KUST. ταράντυ A. ταράντου E.M.

[h] ἀνθρώπου]. ἀνθρώπων A. ἄνθρωποι B.V.E.M.

[i] Ὠνομάσθη δὲ ἀπὸ Τηβέννου Ἀρκ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Artemidori lib. II. c. 3. ut jamdudum ante monuit Salmasius ad Tertull. de Pall. p. 69. (122.) quem consule. KUST.

ib. Ὠνομάσθη δὲ] Τήβεννος: Ῥωμαϊκὴ ἐσθὴς A.V.

[j] Τηβέννου] Artemidorus loco laudato, Τιμένου. Sed scribendum est, Τημενοῦ: ut et Salmasius monuit. KUST.

[k] χλαμύδα] χλανίδα A.B.V. et E. suprasc. Mox ἀνέδειξεν E. pro περιεβάλλετο· περιεβάλετο A.V. γὰρ post εἰσπλεύσας A.B.V.

[l] τηβέννειον] Artemidorus, Τημένιον. Sed vera lectio est Τημένειον. KUST.

[m] παραφθαρέντος τοῦ ὀνόματος] παραφθαρὲν τὸ ὄνομα A.V. Artemidor.

[n] THΓANIZΩ] Vid. Κολλύρα. TOUP. καὶ τηγανίζω om. A.B.V.

THIΔE] Τῆδε: ταῦτα ἢ A.B.V. Photius. Τῆδε: ταύτῃ ἢ Lex. Seg. Vid. Proclus ad Hesiodi Ἔργ. 631.

[o] Ἐνταῦθα] ἐν ταύτῃ δὲ A.B. Photius, Lex. Seg. Hinc usque ad ὄστρεα om. E.

THΘAΛΛAΔOYΣ] Eadem habet Etymologus: nisi quod apud eum scriptum sit τηθαλλωδοὺς, per ω in syllaba penultima. Photius in Lex. ms. Τηθαλλωδοῦς. Ὃν οἱ πολλοὶ μαμμόθρεπτον λέγουσιν. Confer etiam Hesychium, et Eustathium. KUST. Photius: Τηθαλλαδοῦς: γυναικοτρόφος, ὑπὸ τίτθῃ τεθραμμένος.—Τηθαλλαδοῦς: ὃν etc. Τηθαλλαδοὺς Etymol. ms. Dorvill. Eustath. Il. ξ'. p. 971=957. Τηθαλλαδοῦς ὃν οἱ πολλοὶ μαμμόθρεπτον λέγουσιν, qui infra citat ex incerto comico versiculum, Ὀκνεῖς λαλεῖν; οὕτω σφόδρ' εἶ τηθαλλαδοῦς; Vid. Lobeck. ad Phrynich. p. 299.

E THΘEA: Ὄστρεα. Ἰστέον] Descripsit hæc verba Suidas ex Scholiis antiquis ad Homer. Iliad. π'. 747. Quod ex Eustathio ad locum patet. TOUP. Similia Bergler. ad Alciphr. III. 49.

THΘEΛAΣ] Sic mss. Paris. At priores editt. male, τηθέας. Schol. Aristoph. Acharn. 49. Τήθας ἐκάλουν τὰς μάμμας· καὶ τηθελὰς, τὰς μαμμοθρέπτους. Sic etiam apud Suidam scribendum est. KUST.

THΘH] Τήτθη E. Vid. Ruhnken. ad Tim. p. 256.

[p] ὦ τήθα] τῆθα A. ὦ om. V. Tum τηθὶς non τιθὶς A. F B.V.

[q] Ἀριστοφάνης] Lysistr. 549. sed ubi legitur ἀνδρειοτάτων. At ego potius scripserim ἀνδρειόταται. Ceterum, versus hic citatur etiam ab Athen. lib. III. p. 90. ubi itidem legitur ἀνδρειοτάτη; ut hic apud Suidam. KUST.

[r] ἀκαλίφων] Scribe ἀκαληφῶν. KUST. ἀκαλήφων A.V. ἀκαλήφρων B. ἀκαλίφρων M.

[s] καὶ μὴ] καὶ om. A.E.

[t] THΘAΣ ἐκάλουν τὰς μάμμας. Καὶ τηθ.] Hæc, et quæ sequuntur usque ad finem articuli, totidem verbis le- G guntur etiam apud Scholiast. Aristoph. Lysistrat. 549. a quo Suidas ea mutuatus esse videtur. KUST.

[u] ἢ μητρὸς ἀδελφὰς] ἀδελφὰς ἢ μητρὸς A.

[x] ὄστρεα] ὄστρεια Schol. Tum θαλάττια A. In versu mox πολλοῦ et δηφῶν A.

[y] Ὅμηρος] Il. π'. 747. KUST.

[z] οἱ μὲν] οἱ μὲν καὶ A.B. μὲν καὶ Schol. Mox ἐς et ἂν om. Schol. Ἀττικοὶ καὶ κνίδη om. M.

[a] σχῇ] ἔχῃ Schol. et mox τὰ σπέρματα, τὰς σφαίρας.

H [b] ἐκάλεσαν] ἐκάλεσεν Schol.

[c] τουτέστι τῶν] μητριδίας δὲ λέγουσι τὰς ἐχούσας τὸ σπέρμα τῆς βοτάνης τῆς ἀκαλήφης· δάκνουσι δέ· αὗται γὰρ ἦσαν καὶ αἱ γραῖαι δριμεῖαι. Schol.

[d] ἐκάλεσε] ἐκάλουν V.

[e] Οὐδὲ σύ γ', ἀφρ.] Anthol. Pal. VII. 214.

Τηθύς: Ἡ γῆ. Παρὰ τὸ τιθήνη εἶναι καὶ τροφός. Ὅμηρος· A

Ὠκεανόν τε [f]θεῶν γένεσιν, καὶ μητέρα Τηθύν.

Τουτέστιν, ὑγρὰν οὐσίαν, καὶ ξηράν.

Τηΐιται:

Τηκεδόνι: Τῇ [g]φθίσει.

[h]Καὶ νοσεῖ νόσῳ μακρᾷ, καὶ τηκεδὼν αὐτὴν [i]διεδέξατο· καὶ ὅσα ἐτόλμησε βοῶν καὶ λέγων, καὶ [k]ὅσα ἐστὶν ἀνθρώπων ἀσεβεστάτων ἐκτραγῳδῶν καὶ εὐχόμενος, τὴν ἐπίρρητόν τε καὶ κατάρατον ψυχὴν ἀπορρῆξαι. B

Τήκω: Αἰτιατικῇ. Καὶ τῆξαι. [Τὸ καταμικρὸν ἀναλίσκω.]

Τηκτά: Οἷον κηρὸς, καὶ πίττα.

[l]Τηκτά τε ὅσα καὶ χυτὰ ἐς [m]πολεμίους σὺν πυρὶ ἐξ ὑπερδεξίων ἐβάλλετο· τά τε ἄλλα, καὶ τὴν σιδηρῖτιν γῆν, ἣν πυρὶ πολλῷ διαφανῆ ἐργασάμενοι, κατὰ τῶν ὑπιόντων τὸ τεῖχος [n]ἔχειν ἔμελλον. C

Τηλαυγές: Λίαν λαμπρόν.

Τηλαύγης, Σάμιος, Πυθαγόρου τοῦ πάνυ υἱὸς, καὶ μαθητὴς, φιλόσοφος, διδάσκαλος Ἐμπεδοκλέους. Ἔγραψε περὶ τῆς Τετρακτύος βιβλία δ'.

Τηλαύγημα: Ἀρχὴ λέπρας ἐν τῇ τοῦ σώματος ἐπιφανείᾳ.



Τῆλε καὶ [o]τηλοῦ: Πόρρω.

Τηλεβόας: Ἐθνικόν.

Τηλέγονος: Ὄνομα κύριον. [p]Ὃς πρῶτος ἐφεῦρε τὴν οἰωνιστικήν· ὅτι [q]οἷον, εἰ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ, ἢ καὶ ὄφις, τόδε σημαίνει.

Τηλεδαπός: Μακρὰν ἀφεστηκώς.

Τηλεθάοντα: Πάνυ λάμποντα.

Τηλεκλείδης, Ἀθηναῖος, κωμικός. Τῶν δραμάτων αὐτοῦ ἐστιν, [r]Ἀμφικτύονες, καὶ Πρυτάνεις, καὶ Στερροί· ὡς Ἀθήναιος λέγει ἐν τοῖς Δειπνοσοφισταῖς.

Τηλεκλειτοί: Ἄγαν ἔνδοξοι.

Τηλέπορον: [s]Ἀριστοφάνης·

Τηλέπορόν τι [t]βόημα.

Οἷον, ὀρθόν τι, καὶ ὑψηλόν. Ἔστι δὲ ἀρχὴ ᾄσματος· ὥσπερ [u]καὶ τὸ,

[Παλλάδα] περσέπολιν Ἀθάναν.

Τηλεσκόπῳ ὄμματι: Τῷ πάντα ἐφορῶντι.

Τηλεφάνης: Αὐλητής. Τηλεφανὴς δὲ, μακρόθεν [x]φαινομένη.

Τηλεφανεῖς: Ἀφ' ὧν ἐστιν ἰδεῖν τὰ πόρρω. Τοῖς γὰρ εἰς ὕψος οὖσι καὶ τὰ μακρὰ καταφανῆ γίνεται.

ΤΗΘΥΣ: Ἡ γῆ. Παρὰ τ.] Ex Scholiasta Homeri ad Il. ξ'. 201. KUST. D

[f] θεῶν] θεῶν om. A. ὠκεανός τιθήνει γ. E.

[g] φθίσει] τῇ φθίσει A.V.

[h] Καὶ νοσεῖ] Æliani. HEMST. VALCK. Repetuntur hæc verba infra, v. Φρίκη. ubi legitur, καὶ νοσεῖ νόσῳ μακροτάτῃ. Sed neutra lectio vera est. Scribendum, καὶ νοσεῖ νόσον μακροτάτην. Quemadmodum recte legitur supra, v. Ἱεροφάντης. Ceterum, quod nemo vidit, hinc facile suppleri poterit luculentissimum fragmentum Æliani, cujus particulas nobis conservavit Suidas, v. E Εὐνοῦχος, et v. Μέγαρον. Locum integrum, quia elegantissimus est, hic consarcinatum atque emendatum adscribam. Est autem ex Æliani libris *de Providentia*, quos passim laudat noster lexicographus. Ἀνήρ τις ἦν (εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι) διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθεὶς, καὶ θῆλυς γενόμενος, ὁ χλούνης τε καὶ γύννις, ὅσπερ ἐπιλαθόμενος, καὶ ὡς οὐ μέλει τῶν ἀνθρωπείων τῷ θεῷ δεῖξαι φλεγόμενος, ὤθησεν ἑαυτὸν εἰς τὸ μέγαρον φέρων, ἔνθα δήπου τῷ ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν ἦν κατὰ τὸν τῆς τελετῆς νόμον, ἐκείνῳ δὲ οὐκ ἐξῆν. Ἐπεὶ δὲ ἐτολμήθη οἱ τὸ μέγα τόλμημα, F φρίκη τις αὐτὸν περιέρχεται, ΚΑΙ ΝΟΣΕΙ ΝΟΣΟΝ ΜΑΚΡΟΤΑΤΗΝ, καὶ τηκεδὼν αὐτὴν διεδέξατο. Καὶ ὅσα ἐτόλμησε βοῶν καὶ λέγων, καὶ ὅσα ἐστὶν ἀνθρώπων ἀσεβεστάτων ἐκτραγῳδῶν καὶ εὐχόμενος, τὴν ἐπίρρητόν τε καὶ κατάρατον ψυχὴν ἈΠΕΡΡΗΞΕ. Ita legendus et distinguendus est iste locus, cujus sensus vel sine interprete satis manifestus est. Haud dissimiliter Ælian. in Var. Hist. XIII. 2. Καὶ στρεβλούμενος ὡμολόγησεν ὅσα ἐν τῷ ἀνακτόρῳ ἔδρασεν, ἐν αὐταῖς δὲ ταῖς κολάσεσι ΤΗΝ ΨΥΧΗΝ ἈΠΕΡΡΗΞΕΝ. TOUP. G νοσεῖν V. νοσεῖν καὶ A. TOUP.

[i] διεδέξατο] διετάξατο V.

[k] ὅσα] ὡς V.E.M.

ΤΗΚΩ] ὁ ἐνεστὼς addunt A.V. Tum τὸ κατὰ μικρὸν ἀναλίσκω om. A.B.V.

[l] Τηκτά τε ὅσα καὶ χυτ.] Hæc, ni fallor, leguntur apud Josephum in libris de Bello Jud. KUST.

[m] πολεμίους] πολέμια B. πολεμίαν E.

[n] ἔχειν] Scribendum esse ἐκχεῖν, sensus manifesto suadet. KUST. Kusterus legendum censet, ἐκχεῖν ἔμελλον, quod verum esse puto. Poteris etiam scribere H χέειν ἔμελλον. Idem κατὰ τῶν ὑπιόντων χέειν, et καταχέειν τῶν ὑπιόντων. Ceterum hoc fragmentum Josepho adsignat Kusterus: in quo aut verus aut falsus est. Sed structura, quod non vidit, labascit. Scribendum omnino: καὶ τὴν σιδηρῖτιν γῆν πυρὶ πολλῷ διαφανῆ ἐργασάμενοι, κατὰ τῶν ὑπιόντων τὸ τεῖχος ἐκχεῖν ἔμελλον. Quæ Græcissima et integerrima lectio. TOUP.

ΤΗΛΑΥΓΕΣ] Τηλαυγὴς et mox λαμπρός A. Statim delevi πόρρωθεν φαῖνον, cum A.V. et Photio.

ΤΗΛΑΥΓΗΣ] Vid. supr. Θεανὼ Κρῆσσα. Athen. V. p. 220. Αἰσχίνης ἐν τῷ Τηλαύγει. Videtur hic ipse Pythagoræ filius esse. REINES. Delevi κλίνεται εἰς ους cum A. Τηλαυγής ū V.

ΤΗΛΑΥΓΗΜΑ: Ἀρχὴ λ.] Locus, ad quem Suidas respexit, exstat Levit. XIII. 23. KUST.

[o] ΤΗΛΟΥ] Τηλῆ V.

ΤΗΛΕΒΙΑΣ] Τηλεβόας A.B.V.E. Tum delevi Καὶ ὄνομα ποταμοῦ, cum A.B.V.

[p] Ὃς πρῶτος ἐφ.] Vide v. Οἰωνιστική. KUST. Sueton. Claud. 40. *Quid? Thelegonius tibi videor?* Scalig. Ep. ad Casaub. I. ep. 37. "Placuit diu Thelegynnis: sed "videtur Thelegonius nomen hominis illo seculo notæ "fatuitatis, neque dubito verum esse, quamquam fortassis variari potuit in nomine." REINES.

[q] οἷον] ὅτι οἷον A.V. qui καὶ inserunt ante ὄφις, et τι om. post τόδε.

[r] Ἀμφικτ. καὶ Πρ. καὶ Στ.] Plures Teleclides scripserat fabulas, quarum catalogum vide apud Meursium in Bibliotheca Attica. KUST. Ab Athenæo III. p. 87. laudatur Τηλεκλείδης ἐν Ἡσιόδοις. An leg. in Heniochis? Teleclidis de Nicia carmen citat Plutarch. in ejus vita c. 4. REINES.

ΤΗΛΕΚΛΥΤΟΙ] Τηλεκλειτοὶ A.B. Photii ed. Τηλεκλητοὶ Photii ms. Τηλεκλητοί: ἄγαν ἔνδοξοι· ἢ οἱ πόρρωθεν κεκλημένοι Lex. Seg. Vid. Il. ζ'. 111. et al.

[s] Ἀριστοφάνης] Nub. 964.

[t] βόημα] βόαμα E. Mox ὀρθόν τε B.E. Tum οἷον E. pro ἔστι δέ.

[u] καὶ τὸ] καὶ om. A. Mox Παλλάδα om. A.V. Tum περσέπολιν A. non περσέπτολιν.

ΤΗΛΕΣΚΟΠΩΙ ὈΜΜΑΤΙ] Aristoph. Nub. 289.—Ἐπιδώμεθα Τηλεσκόπῳ ὄμματι γαῖαν. KUST.

ΤΗΛΕΦΑΝΗΣ] Epitaphium hujus Telephanis exstat Anthol. lib. II. cap. 8. Vide etiam Paul. Leop. Emendat. lib. XII. cap. 9. KUST. Telephanes Samius. Ejus sepulcrum a Cleopatra Philippi, Amyntæ filii, uxore exstructum, Pausan. Attic. c. 44. REINES.

[x] φαινόμενος] φαινομένη A.V. Photius, Hesych. μήκοθεν φαινομένη Schol. Sophocl. Philoct. 189.

ΤΗΛΕΦΑΝΕΙΣ: Ἀφ' ὧν ἐστ.] Ex Schol. Aristoph. Nub. 280. KUST.

Τήλεφος ἐκ πηριδίου: Οὗτος [y]πένης ἦν. [z]Ἀριστοφάνης·

> Καίτοι [a]πρότερόν γ' ἐπτώχευες,
> Τήλεφος εἶναι [b]Μυσὸς φάσκων,
> ἐκ πηριδίου.

Καὶ [c]Τηλέφειον τραῦμα.

Τήλεφος, Περγαμηνὸς, γραμματικός. [d]Ἔγραψε [e]καὶ αὐτὸς, ἐν οἷς παρατίθεται πόσα χρὴ εἰδέναι τὸν γραμματικὸν, [f]Περὶ τῶν παρ' Ὁμήρῳ σχημάτων Ῥητορικῶν βιβλία β', Περὶ συντάξεως λόγου Ἀττικοῦ βιβλία ε', Περὶ τῆς καθ' Ὅμηρον Ῥητορικῆς, Περὶ τῆς Ὁμήρου καὶ Πλάτωνος συμφωνίας, Ποικίλης [g]φιλομαθίας βιβλία β', Βίους Τραγικῶν καὶ Κωμικῶν, Βιβλιακῆς ἐμπειρίας βιβλία γ', ἐν οἷς διδάσκει τὰ κτήσεως ἄξια βιβλία, [h]Ὅτι μόνος Ὅμηρος τῶν ἀρχαίων ἑλληνίζει, Περιήγησιν Περγάμου, Περὶ τοῦ ἐν Περγάμῳ Σεβαστίου βιβλία β', Περὶ τῶν [i]Ἀθήνησι δικαστηρίων, Περὶ τῶν Ἀθήνησι νόμων καὶ ἐθῶν, Περὶ τῶν Περγάμου βασιλέων βιβλία ε', Περὶ χρήσεως, ἤτοι ὀνομάτων ἐσθῆτος καὶ τῶν ἄλλων οἷς χρώμεθα· ἔστι δὲ [k]κατὰ στοιχεῖον· Περὶ τῆς Ὀδυσσέως A πλάνης, Ὠκυτόκιον· ἔστι δὲ συναγωγὴ ἐπιθέτων, εἰς τὸ αὐτὸ πρᾶγμα ἁρμοζόντων, πρὸς ἕτοιμον εὐπορίαν φράσεως· βιβλία δέκα.

Τηλία: Σανὶς, ἡ λεγομένη κάρδοπος· σηλία τίς οὖσα· ὥσπερ τὸ σήμερον, τήμερον. Καὶ δὴ καὶ [l]ἰδίως ἐκαλεῖτο τηλία, περίφραγμα σανίδων ἐν τῇ ἀγορᾷ, ἐν ᾧ ἄλφιτα ἐπιπράσκοντο. Καὶ οἱ ὀρτυγοτρόφοι τοὺς ὄρτυγας συνέβαλλον ἐν τούτῳ.

B Ἄλλως. Σανὶς πλατεῖα, ἐφ' ἧς ἀλφιτοποιοῦσι· τινὲς δὲ τηλίαν ξύλον φασὶ πλατὺ, εἰς ὃ τιθέασιν οἱ ἀρτοκόποι τοὺς ἄρτους ἐπὶ τῷ ξηραίνεσθαι. Ἄλλοι δὲ τηλίαν, [m]τῆς καπνοδόχης τὸ πῶμα, ὅ ἐστι περιφερές. [n]Φησὶν οὖν ὅτι διὰ δακτυλίου ἑλκυσθείης ἐὰν ᾖ ὁ δακτύλιος τηλία. [o]Τοῦτο δὲ ὡς παχείας οὔσης, καὶ μὴ δυναμένης διὰ δακτυλίου ἑλκυσθῆναι, ἀλλὰ τηλίας. Ἀριστοφάνης. Ἡ, τηλία μέν ἐστιν ἡ ἀτρύπητος C σανίς. Ἐὰν δὲ [p]τρυπηθείη, ἁψὶς γίνεται.

Τηλία: Πῆγμα τετράγωνον, ἐφ' οὗ ἤτοι τὰ ἄλφιτα πιπράσκεται, ἢ [q]ἀλεκτρυόνες συμβάλλονται. Καὶ [r]ἡ περιφέρεια τοῦ κοσκίνου.

Τῆλις: Εἶδος ὀσπρίου, ἥτις ἑφθὴ ἐπιχεομένη

[y] πένης ἦν] Statim delevi καὶ προσαίτης, πήραν βαστάζων, cum A.B.V.

[z] Ἀριστοφάνης] Nub. 918. unde loci hujus sensus, qui mutilus est, suppleri debet. Notandum autem est, pro ἐκ πηριδίου in edit. Aristophanis Genev. hodie legi Εὐριπιδίου: sed minus recte. Lectio enim Suidæ, quam et vetustiores editt. Aristophanis agnoscunt, præferenda est. Confer Menag. ad Laërt. lib. VI. num. 87. KUST.

[a] πρότερόν γ'] γ' om. A. χρῆσις abest E.

[b] Μυσὸς om. A.B.V. Tum πάσκων V. Ver. seq. ἐκ σπυριδίου A. Statim delevi Οἱ δὲ φασὶ, πρότερον βασιλεὺς χρηματίσαι Μυσίας· ὃς καὶ ὑπὸ Ἀχιλλέως ἐτρώθη, καθ' ὃν καιρὸν ἐπέβησαν Μυσίας Ἕλληνες, νομίσαντες αὐτὴν εἶναι τὴν Τροίαν· ἐξ οὗ, cum A.B.V. "cf. Hygin. Fab. 101. Ovid. Trist. "V. 2, 15. et ibi Weitz. REINES. Eudoc. p. 394. et "Tzetz. ad Lycophr. 206. 211. et 1249. MULLER."

[c] ΤΗΛΕΦΙΟΝ] Τηλέφειον A.

ΤΗΛΕΦΟΣ· Περγ.] Dicitur infra ad Φιλητᾶς, pater Philetæ Coi. Ælian. de N. A. X. 42. sic: λέγει ταῦτα Τήλεφος ὁ Κρὴς, ὁ ἐκ τοῦ Μυσίου Περγάμου. Forte pro Κρὴς legendum κριτικός, quod vocabulum librarius abbreviate scripserat. Telephi grammatici senis diætam in exemplum commemorat Galenus de tuend. sanit. V. c. 6. REINES.

ib. ΤΗΛΕΦΟΣ] Telephum inter præceptores Veri imperatoris ponit Julius Capitolinus. Vide Salmasium ad eum scriptorem p. 101=409.

[d] Ἔγραψε καὶ αὐτός] Locus hic est mutilus, videturque excidisse nomen operis alicujus; ut ex sequentibus illis, ἐν οἷς, haud obscure colligitur. Præterea, supervacaneæ sunt duæ hæ voculæ, καὶ αὐτός; quandoquidem nihil præcessit, ad quod referri possint. Vide Nos supra ad v. Ἰοῦστος Τιβεριεὺς, ubi similis locus occurrit. KUST. Dormitavit hic Kusterus. Ut Lucianus, ΠΩΣ ΔΕΙ ἱστορίαν συγγράφειν, *quomodo conscribenda sit historia*, sic Telephus, ΠΟΣΑ ΧΡΗ εἰδέναι τὸν γραμματικόν. *Quibus rebus instructum esse oporteat grammaticum.* Quod tenendum, et proinde Telephi scriptis adnumerandum. De voculis autem istis, καὶ αὐτὸς, confer quæ scripserat, et recte quidem scripserat, Kusterus ad v. Ἰοῦστος Τιβεριεύς. Notandum autem verbum παρατίθεται, quod haud protritum est. Παραθέσθαι est *locis veterum allatis rem explanare et confirmare.* De eo erudite, ut solet, Hemsterhusius ad Aristophanis Plutum. Eleganter Lucas, Act. Apost. xvii. 3. Διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν, διανοίγων καὶ ΠΑΡΑΤΙΘΕΜΕΝΟΣ, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν. Diserte Athenæus, lib. XI. p. 501. Καὶ Δίδυμος δὲ τὰ αὐτὰ εἰπὼν ΠΑΡΑΤΙΘΕΤΑΙ τὰ Λυκόφρονος οὕτως ἔχοντα. Ita scribendus iste locus. TOUP. D V. collocat ἔγραψε καὶ αὐτὸς post τὸν γραμματικόν. De v. παραθέσθαι multa Valckenærius Adnot. Crit. Nov. Test. p. 393—395. contra Toupium monens h. v. significare simpliciter, *loca* vel *testimonia in medium proferre.*

[e] καὶ αὐτὸς] Suspicor Κανόνας. HEMST.

[f] Περὶ τῶν παρ' Ὁμήρῳ σχημάτων Ῥητορικῶν] Sic locus hic in optimo ms. A. absque interpunctione legitur. At in mstis B. et C. itemque in prioribus editt. omnibus, E τελεία στιγμὴ posita est inter σχημάτων et Ῥητορικῶν, quasi Ῥητορικῶν sit opus novum, et a priori distinctum: quod minime probo. KUST.

[g] φιλομαθίας] φιλομαθείας A.

[h] καὶ ὡς] ὅτι A.V.

[i] Ἀθήνησι] ἐν Ἀθήνησι V. Mox ἐθνῶν B. et infra βασιλείων.

[k] κατὰ στοιχεῖον in V. post πλάνης. Idem codex exhibet Ὠκυτόκιον· Ἔστι—δέκα in marg. his in contextu positis, sc.: Ὠκυτόκιον Τηλέφου: τοῦτο δέ ἐστιν ἄξιον καὶ κτήσεως πρὸς F εὐπορίαν φράσεως καὶ ἐράσμιον. Vide p. 2773 B.

ΤΗΛΙΑ: Σανίς. Ἡ λεγ.] Quæ Suidas hic de voce τηλία tradit, leguntur etiam apud Schol. Aristoph. Plut. 1038. KUST.

[l] ἐκαλεῖτο δὲ ἰδίως] καὶ δὴ καὶ ἰδίως ἐκαλεῖτο A.V. Mox ἐν ᾗ M.

[m] τῆς καπνοδόχης τὸ πῶμα] Vid. Schol. Aristoph. Vesp. 147.

[n] φησὶν οὖν ἡ γραῦς ἐν Ἀριστοφάνους δράματι, Διὰ δακτυλίου μὲν οὖν ἐμέ γ' ἂν διελκύσαις. Ὁ δὲ ὅτι ἑλκυσθείης ἂν] φησὶν G οὖν ὅτι διὰ δακτυλίου ἑλκυσθεὶς (ἑλκυσθήσει V.) ἐὰν ᾖ ὁ A.V.

[o] Τοῦτο δὲ εἶπεν] εἶπεν om. A.V. Mox post τηλίας A.V. inserunt Ἀριστοφ$^{\alpha'}$.

[p] τρυπηθῇ] τρυπηθείη A.V.E.

ΤΗΛΙΑ: Πῆγμα τετρ.] Aristoph. Vesp. 147. Ποῦ 'σθ' ἡ τηλία. Scholiastes ad eum locum: Τηλία, σανὶς βαθεῖα, ἐν ᾗ τὰ ἄλφιτα ἐν τῇ ἀγορᾷ ἐπίπρασκον. KUST.

[q] ἀλεκτρυόνες συμβάλλονται] Respexit Suidas ad Æschin. contra Timarch. p. 31. ed. Taylor. Διημέρευεν ἐν τῷ κυβείῳ, H οὗ Ἡ ΤΗΛΙΑ ΤΙΘΕΤΑΙ, ΚΑΙ ΤΟΥΣ ἈΛΕΚΤΡΥΟΝΑΣ ΣΥΜΒΑΛΛΟΥΣΙ. *In aleatorum circulis totos dies versatus est, ubi tabula ponitur, et galli gallinacei committuntur.* Huc facit Synesius, Epist. 32. Καὶ γὰρ ἔφυ καὶ τέθραπται κακῶς, καὶ ἀγωγῆς οὐκ ἀπέτυχεν ἀξίας τῆς φύσεως, ἐκ παιδὸς ἘΝ ΤΗΛΙΑΙ ΚΑΙ ΚΥΒΟΙΣ καὶ καπηλείοις καλινδηθείς. TOUP.

[r] ἡ περιφέρεια] ἡ om. A. ἢ pro καὶ ἡ Hesychius. Seqq.

ὄλισθον ἐμποιεῖ τοῖς ποσὶ τῶν ἀνθρώπων ἐπισφαλῆ· [s]ὅπερ Ἰώσηπος πρὸς τὴν πολιορκίαν ἐμηχανήσατο.

Τηλόθι καὶ τηλόσε: Πόῤῥω, μακράν.

Τηλοπέτευς: Τῆς πόῤῥω πετομένης. Ἐν Ἐπιγράμμασι·

> [t]Ἀμβροσίων ἔαρος κηρῶν μέλι πολλὸν ἀμέλξας,
> δῶρον [u]ἀποιμάντου τηλοπέτευς ἀγέλης.

Τηλωπός: Ἔκδημος. [x]Σοφοκλῆς·

> κεἰ τὰ νῦν
> τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.

Τηλύγετος: Μονογενής. Καὶ τηλύγετον, μονογενῆ. Ὅμηρος·

> Ὅς μοι τηλύγετος τρέφεται [[y]θαλίῃ ἐνὶ πολλῇ.]

Ὁ προήκουσι τοῖς γονεῦσι γεννώμενος, μεθ' ὃν οὐκέτι [z]γεννήσεται [ἕτερος,] λέγεται τηλύγετος. Καταχρᾶται δὲ ἐνίοτε καὶ ἐπὶ τοῦ ἀγαπητοῦ, διὰ τὸ τοὺς ὀψίμους γεννηθέντας ἀγαπᾶσθαι.

Τημελές: Ἐπιμελές. Καὶ Τημελής: Ἐπιμελὴς, σπουδαῖος.

Τημελήσαντες: [a]Θλίψαντες.

Τημελῆσαι: [b]Ἐπιμελῆσαι, φροντίσαι.

Τημελούμενον: Ἐπιμελούμενον, φιλοκαλούμενον.

Τῇ μέν: Ὅπου μέν. Ἢ, ἐν μέρει.

Τημένος: Ὄνομα κύριον.

Τήμερος: Ὁ σημερινός. Καὶ ἔστι τεταγμένον ἐπὶ σώματος. Τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. Καὶ ἐν Εἰρήνῃ·

> [c]Ἰὼ Λακεδαῖμον, τί ἄρα [d]ποιήσει τήμερα;

Ἀντὶ τοῦ σημερινή.

A Τημοῦχος: Οὕτως καλοῦσι τοὺς ἄρχοντας [e]Μεσσήνης.

> [f]Τοῦ γε μὴν Τημούχου καθῆραι πᾶσαν τὴν πόλιν, οἷα δὴ λυμάτων τινῶν καὶ καθαρμάτων ἀπηλλαγμένην.

Τῆνα: Ἐκείνη. [g]Θεόκριτος·

> Ἀδύ τι τὸ ψιθύρισμα, καὶ ἁ πίτυς, αἰπόλε, τήνα.

Τὴν Ἀκεσαίου σελήνην: Παροιμία. Λέγεται δὲ ἐπὶ τῶν διαμενόντων καὶ βραδυνόντων. Ἦν δὲ
B Νειλέω [h]κυβερνήτης ὁ Ἀκεσαῖος.

Τηνάλλως: Μάτην. Καὶ, οὐ τηνάλλως, μετὰ τῆς ἀποφάσεως λέγεται. Ὁ δὲ Φιλήμων Νυκτί·

> Τὸ κανοῦν δ' ὁ παῖς περίεισι τηνάλλως ἔχων.

Ἔστι καὶ παρὰ τοῖς περὶ Δημοσθένην· καὶ ἐν [i]Θεαιτήτῳ Πλάτωνος.

> Ὡς δὲ λόγους τηνάλλως ταῦτα ἤκουσαν ὄντα, χωροῦσιν ἐς σύμβασιν πρὸς Ζήνωνα πάλιν.

C Τὴν αὐτὴν ταύτην [k]ἀναχορεύσομεν ὄρχησιν: Ἀντὶ τοῦ, ἐπὶ τὴν αὐτὴν πρᾶξιν ἐπανέλθωμεν. Τοῦτο εἴρηκε [l]Μάρκος πρὸς Ζήνωνα τὸν βασιλέα.

> Τὴν αὐτὴν ταύτην καὶ [m]δεύτερον ἀναχορεύσομεν ὄρχησιν.

Τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν [n]πολεμίων εἶναι σφετέραν· τὴν δὲ σφετέραν, τῶν πολεμίων· πόρον δὲ, τὰς ναῦς· ἀπορίαν δὲ, τὸν πόρον: [o]Εἴρηται τοῦτο κατὰ τὴν Περικλέους γνώ-
D μην, ὃς ἐκέλευσεν Ἀθηναίοις, [p]ἐμβαλλόντων μὲν Λακεδαιμονίων ἐς τὴν Ἀττικὴν, μὴ ἐπεξιέναι, ἀλλ' ἔσω τείχους μένειν· αὐτοὺς δὲ διὰ τῶν πλοίων ἐπιέναι τῇ Λακωνικῇ. [q]Τὸν οὖν κατὰ γῆν πόρον ἀπορίαν ἡγεῖσθαι· τὸν δὲ διὰ θαλάσσης, [r]τοῦτον ἡγεῖσθαι πόρον. Ἢ οὕτως· Ἕνα πόρον ἡγεῖσθαι χρημάτων, τὸ ναῦς

---

om. Photius. Post κοσκίνου inserit V.: Ἀριστοφάνης· διὰ δακτυλίου μὲν οὖν ἐμέ γ' ἂν διελκύσαις. Ἐπὶ τῶν πάνυ λεπτῶν. Ὁ δὲ ἀντείρηκεν, εἰ τυγχάνοι δακτύλιος ὢν τηλία.

[s] ὅπερ Ἰώσηπος πρὸς τὴν πολιορκ.] Locus Josephi, ad quem Suidas respexit, exstat lib. III. de Bell. Jud. c. 19. p. 847. ubi verba Historici hæc sunt: Οἱ δὲ Ἰουδαῖοι δόλῳ δευτέρῳ τὰς προσβάσεις αὐτῶν ἐπέσφαλλον, τῆλιν ἑφθὴν ὑποχέοντες ταῖς σανίσιν, αἷς ἐπολισθαίνοντες, ὑπεσύροντο, &c. KUST. III. 7, 29.

ΤΗΛΟΠΕΤΟΥΣ] Τηλοπέτευς A.B. Τηλοπέτεος V. τηλοπεταῖς (ευς) E. Tum τοῖς π. πετομέναις E.

[t] Ἀμβροσίων ἔαρος κ.] Anthol. Pal. VI. 239.

[u] ἀφ' ἱμάντου] ἀπὸ ἱμάν^τ A. ἀπὸ ἱμάντου C.E. et ni fallor V. ἀποιμάντου Anthol.

[x] Σοφοκλῆς] Aj. 563. κ'εἰ A.V. non εἰ. κἂ νῦν M.

ΤΗΛΥΓΕΤΟΣ] Præter alios Grammaticos vide etiam Schol. Homeri ad Il. ι'. 143. et Schol. Apoll. Rhod. ad lib. I. 99. 149. et 719. KUST. Τηλυγέτης A. Photius, Lex. Seg.

[y] θαλίῃ ἐνὶ πολλῇ om. A.V.E.M.

[z] γεννήσεται] γενήσεται V. Tum ἕτερος om. A.B.V.

[a] Ἐπιμεληθέντες] θλίψαντες A. Photius, Lex. Seg. Hesychius, Τημελῆσαι: θλίψαι. ubi vid. Albert.

[b] Ἐπιμελήσασθαι] ἐπιμελῆσαι A.B.V. Photius, Lex. Seg. Deest v. E. Schol. Platon. p. 244. Τημελεῖν: ἐπιμελεῖσθαι.

ΤΗΜΕΝΟΣ] Potius Τημενός. Vide Nos supra ad v. Τήβεννα. KUST. Conditor Argus in Peloponneso Strab. VIII. ad extr. ex Ephoro. REINES.

ΤΗΜΕΡΟΣ: Ὁ σημ.] Ex Schol. Aristoph. Nub. 699. KUST.

[c] Ἰὼ Λακεδ.] Versus hic non est sumptus ex Aristophanis Pace, sed ex ejus Holcadibus, ut docet Scholiasta Aristoph. loco laudato. KUST. Λακεδαῖμον V.E. pro Λακεδαίμων.

[d] ποιήσει] Scribe πείσει, a πάσχω: ut apud Enarrato-
E rem Comici. KUST.

ΤΗΜΟΥΧΟΣ] Scribe Τιμοῦχος, per ι, et suo loco pone. KUST. Sic etiam Reinesius, citans Strabon. IV. p. 179. Sic et Portus.

[e] Μεσσήνης] Leg. Μασσιλίας: nam Massilienses Τιμούχους nominant auctore Strab. l. l. optimates. REINES. τῆς Μεσσήνας V.

[f] Τοῦ γε μὴν Τημ.] Scribe Τούς γε μὴν Τιμούχους καθᾶραι τὴν πόλιν, &c. Sic enim legitur supra v. Ἐπίκουρος, ubi locum integrum habes. KUST.

F ΤΗΝΑ] Τῆνα bis V. Mox ἐκεῖνα B.V.E.

[g] Θεόκριτος] Idyll. I. 1. KUST.

ΤΗΝ Ἀκεσαίου] Vid. Diogenian. I. 57. Deest gl. V.

[h] Νηλέως ὁ Ἀκεσαῖος κυβερνήτης] Νειλέω κυβερνήτης ὁ Ἀκεσαῖος A. Photius.

ΤΗΝΑΛΛΩΣ] Vid. Προλάλος. Dio Cass. p. 335. τήν γε ἄλλως. TOUP. τὴν ἄλλως A. Photii ms. Vid. Bergler. ad Alciphron. I. 19. p. 102.

[i] Θεαιτήτῳ] P. 161. extr. Loca Demosthenica vide apud Berglerum.

G [k] ἈΝΑΧΟΡΕΥΣΩΜΕΝ] ἀναχορεύσομεν A.E. et infra, sed ω suprasc. in E. Post ὄρχησιν V. addit καὶ δεύτερον. Qui et eundem ordinem exhibet infra.

[l] Μάρκος] Malela in Basilisco p. 88. TOUP. ib. Μάρσος A. Μάλσος V.

[m] δεύτερον] δευτέραν E.

ΤΗΝ ΓΗΝ ὍΤΑΝ ΝΟΜ.] Aristoph. Ran. 1510.

[n] ΠΟΛΕΜΙΩΝ] σαλαμινίων E.

[o] Εἴρηται τοῦτο κατὰ τὴν Περικλ.] Hæc, et quæ sequun-
H tur usque ad finem articuli, leguntur etiam apud Scholiastam ad modo indicatum locum Aristophanis; itemque apud Nostrum supra, v. Περικλῆς. KUST.

[p] ἐμβαλόντων] ἐμβαλλόντων A. qui om. τῶν ante Λακεδ. ubi τῶν πολεμίων E.

[q] Τὸν οὖν] τὸ οὖν B.E. et mox τὸ δέ.

[r] τοῦτον] τοῦτο A.B.E.

ὡς πλείστας ἔχειν. Τὸν δὲ ἄλλον πόρον, ὃς ἂν ἔξω A [s]τούτου γένηται, τοῦτον ἀπορίαν νομίζειν· οἷον, [t]τὰ θεωρικὰ, καὶ τὰ δικαστικά. [u]Συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γενομένην δαπάνην ταῖς ναυσὶν ἀφορίσαι.

Τὴν γλαῦκα τωθάζουσι [[x]Τήνδε: Ἀντὶ τοῦ ταύτην.]

Τὴν δωριστὶ [y]μόνην ἁρμονίαν ἁρμόττεσθαι τὴν λύραν· ἄλλην δ' οὐκ ἐθέλω: Τουτέστι, τὴν B δωροδοκιστί.

Τήνελλα: Μίμημα φωνῆς κρούματος αὐλοῦ ποιᾶς. Ἀρχίλοχος·

> [z]Τήνελλα, καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεις,
> αὐτός τε, καὶ Ἰόλαος, αἰχμητὰ δύω.

[a]Ἀριστοφάνης·

> Ἀλλ' ἐὰν [b]νικήσῃς τῇ βοῇ, τήνελλος εἶ.

Ἀντὶ τοῦ, νικηφόρος. Τήνελλα δὲ, κρουμάτιον ἐπι- C νίκιον. Ἡ τήνελλος, [c]ἁρμονία λύρας. Ἐὰν τοίνυν ὑπερακοντίσῃς αὐτοὺς τῇ βοῇ, μουσικώτατος εἶ.

> [d]Ἢν δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς.

[e]Ὁ δὲ πυραμοῦς, εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ [f]πυρῶν πεφρυγμένων· ὡς σησαμοῦς, ὁ διὰ [g]σησάμης. Ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς· εἰώθασι γὰρ ἐν τοῖς συμποσίοις ἁμιλλᾶσθαι περὶ ἀγρυπνίας· D καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω, νικήσας ἐλάμβανε τὸν πυραμοῦντα. Ὁ δὲ νοῦς, ὅτι [h]ἂν μὴ νικηθῇς ὑπ' αὐτοῦ τῇ βοῇ, περιγένῃ δὲ ταῖς περιεργίαις καὶ ἀναισχυντίαις, οὐδὲν ἧττον ἡμέτερον τὸ τερμάτιον· τουτέστιν, ἡ νίκη.

Τὴν ἐμὴν [i]κάμνειν νόσον: Παροιμία. Ὡς ἡ τοιαύτη·

> Ταυτὸν ἕλκομεν ζυγόν.

Τὴν θύραν ἔχων [k]τετρημένην, ὥσπερ αἱ ποίμναι: Ἐπὶ τοῦ ἀπανθρώπου καὶ [l]ἀπροσπελάστου.

Τηνικαῦτα: Τότε.

Τὴν κατὰ σαυτὸν ἔλα: Ἀπὸ χρησμοῦ τινος ἐλέχθη. Τουτέστιν, οἷος εἶ, τοιοῦτος καὶ φαίνου, καὶ μείζοσι μὴ [m]συμπαρεκτείνου. Τοῦτο οἱ μὲν [n]Πυθικὸν εἶναί φασιν ἀπόφθεγμα· οἱ δὲ, Σόλωνος. Ἔνιοι B δὲ αὐτὸ Χίλωνα εἰπεῖν συμβουλευομένῳ τινὶ, εἰ πλούσιον ἕλοιτο γάμον.

Τὴν λεοντῆν ἐνδύου: Ἴσον τῷ [o]γενναΐζου.

Τῆνος: Μία τῶν Κυκλάδων νήσων.

Τὴν ταχίστην: Ἐπίρρημα, ἀντὶ τοῦ ταχέως.

> [p]Ὁ δὲ φιλοτίμως εἶχε πρὸς τὴν ταχίστην κρῖναι τὰ ὅλα.

Τὴν τράπεζαν οἴσομαι: [q]Ἀριστοφάνης. Τουτέστιν, ἐμαυτῷ ὑπηρετήσω, καὶ οὐ χρεία παιδός. C

[Τὴν τρύγα συνεκπιεῖν:]

Τὴν χεῖρα προσφέροντα τὸν θεὸν καλεῖν: Βοηλάτης ἐκ κώμης ἅμαξαν [r]ἄγων, καὶ ταύτης ἐμπεσούσης εἰς φάραγγα κοιλώδη, δέον βοηθεῖν, ἀργὸς [s]ἵστατο τῷ Ἡρακλεῖ προσευχόμενος· ἐκεῖνον γὰρ ἐκ πάντων τῶν θεῶν ἀσπαζόμενος ἐτίμα. Ὁ δὲ θεὸς ἐπιστὰς, εἶπε· Τῶν τροχῶν ἅπτου, καὶ τοὺς βόας νύττε, D καὶ τότε [t]τὸν θεὸν εὔχου, ὅταν καὐτὸς τί ποιῇς· μὴ μέντοι γε μάτην εὔχου. Ἐκ τούτου εἰς παροιμίαν [u]εἰσήχθη.

Τηξιμελεῖ: Φθοροποιῷ.

> [x]Τηξιμελεῖ νούσῳ κεκολουμένος, ἔδραμε θυμῷ
> ἐς [y]προτέρην ἔργων ἄρσενα μαρτυρίην.

Τήραιος: Ὄνομα κύριον. Ὁ Μῆδος.

Τηρεύς: Ὁ τηρῶν.

E

[s] τούτου γένηται] τῆς γῆς ᾖ Schol.

[t] τὰ θεωρητικὰ] Scribe τὰ θεωρικά. Vide supra v. Θεωρικά. KUST. θεωρη⁺ A. θεωρκτὰ B. θεωρητὰ E.

[u] Συμβουλεύει—γενομένην] συμβουλεύειν—γινομένην V.

[x] ΤΗΝΔΕ etc. habet A. in marg. παροιμία tantum Photius.

ΤΗΝ ΔΩΡΙΣΤΙ Μ.] Aristoph. Equit. 985. sed ubi ultima sic leguntur, Ἄλλην δ' οὐκ ἐθέλειν μαθεῖν. KUST.

[y] ΜΟΝΟΝ] μόνην A.B.V.E.

ΤΗΝΕΛΛΑ: Μίμημα φων.] Ex Scholiasta Aristophanis F ad Acharnens. in fine. KUST.

[z] Τήνελλα, καλλίνικε χ.] Sic etiam legitur apud Scholiastam Aristophanis loco laudato. At metri gratia scribendum potius est, Τήνελλα, καλλίνικ' ἄναξ χαῖρ' Ἡράκλεις. KUST. Vid. Archilochi fr. 60.

[a] Ἀριστοφάνης] Equit. 276.

[b] μέντοιγε νικᾷς] νικήσῃς A.B.V.M. et fortasse E. ubi v. compendiose scriptum est.

[c] ἁρμονία] ἁρμονίαν A.

[d] Ἢν δ' ἀναιδ.] Aristoph. loco laudato. KUST. εἰ δ' G V. Mox ὁ om. A.E.

[e] Ὁ δὲ ΠΥΡΑΜΟΣ, εἶδος πλακ.] Hæc, et quæ sequuntur, nihil faciunt ad vocem τήνελλα, sed ad vocem πυραμοῦς. Vide supra v. Πυραμοῦς, ubi eadem leguntur. KUST.

[f] πυρῶν] τυρῶν A.B.V.E.

[g] σησάμης] σησάμων Schol.

[h] ἂν μὴ] ἂν om. A.V.E. Tum νικηθεὶς V.E. pro νικηθῇ. κἂν ἡττηθῇς Schol. Infra περιγένηται V. H

[i] ΚΑΜΝΕΙ] κάμνειν A.E. Photius.

[k] ΤΕΤΡΗΜΕΝΗΝ] τετριμμένην Diogenian. VIII. 56. τετρυμμένην M.

[l] ἀπροσπελάστου] προσπελάστου V.

ΤΗΝ ΚΑΤΑ ΣΑΥΤ.] Huc egregie faciunt ea, quæ notat Scholiastes Æschyli ad Prom. Vinct. 886. Τὸν Πιττακὸν λέγει, inquit, ὅν ποτε τὶς βιαζόμενος ὑπὸ δύο γυναικῶν, τῆς μὲν μιᾶς οὔσης πλουσίας, τῆς δὲ ἑτέρας, πενεστέρας, καὶ τοῦ γένους αὐτοῦ ἀξίας, καὶ ἀπορῶν, ποίας κληθείη ἀνὴρ, ἠρώτησε, ποίᾳ χρήσεται γυναικί. Τοῦ δὲ εἰπόντος, μέτιθι πρὸς τοὺς παῖδας, τοὺς πλησίον ἡμῖν ταῖς βέμβιξι παίζοντας, (ὅ ἐστι ταῖς στρόμβαις,) καὶ ἀπ' αὐτῶν μαθήσῃ, ποίᾳ ἂν χρήσαιο γυναικί. Ἀπελθὼν ἐκεῖνος, ἠκροάσατο τῶν παίδων λεγόντων πρὸς τὴν οἰκείαν στρόμβαν, ΤΗΝ ΚΑΤΑ ΣΑΥΤΟΝ ἘΛΑΥΝΕ· καὶ αἰσθόμενος τοῦ λόγου τῶν παίδων, τὴν μὲν πλουσιωτέραν ἀφῆκε, τῇ δὲ πενεστέρᾳ ἐχρήσατο γυναικί. Hunc locum ideo adduxi, quod eum ab Erasmo et Schotto, qui proverbia Græca collegerunt et illustrarunt, prætermissum esse videbam. KUST. Vid. Menag. ad Diogen. Laërt. I. 80.

[m] συμπαρεκτείνου] παρεσυμικτεῖν⁺ E.

[n] Πιττακοῦ] Πυθικὸν A.B.V.E. Photius.

[o] γεναΐζου] γενναΐζου A.V.E. Vid. Platon. Cratyl. p. 411 A. Plutarch. II. p. 387 D. ubi vid. Wyttenbach.

[p] Ὁ δὲ φιλοτ.] Fragmentum hoc legitur apud Polybium lib. III. c. 70. KUST.

[q] Ἀριστοφάνης] Pac. 1032. Καὶ τὴν τράπεζαν οἴσομαι, καὶ παιδὸς οὐ δεήσει. KUST.

ΤΗΝ ΤΡΥΓΑ ΣΥΝΕΚΠΙΕΙΝ] Vide supra, v. Συνεκποτέα. KUST. Gl. A. in marg.

ΤΗΝ ΧΕΙΡΑ ΠΡΟΣΦ.] Simile huic est proverbium, Σὺν Ἀθηνᾷ καὶ χεῖρας κίνει: de quo vide Nostrum supra. KUST.

[r] ἄγων] ἀνάγων A.

[s] ἵστατο] ἵσταται V.

[t] τῷ θεῷ] τὸν θεὸν A.V. Photius. ὅταν—εὔχου om. V.

[u] εἰσήχθη] ἤχθη V.

[x] Τηξιμελεῖ νούσῳ κεκ.] Anthol. Pal. VII. 234.

[y] προτέρων] προτέρην A.B.E. Anthol.

ΤΗΡΕΥΣ: Ὁ τηρ.] Vide supra v. Ταὼς, ubi locum hunc illustramus. KUST.

Τηρίβαζος: Ὄνομα κύριον. [z]Ξενοφῶν·

[Ὁ δὲ Τηρίβαζος φίλος ἦν τῷ βασιλεῖ, καὶ, ὁπότε [a]παρείη, οὐδεὶς ἄλλος τὸν βασιλέα ἐπὶ τὸν [b]ἵππον ἀνέβαλλεν.

Ἀντὶ τοῦ, ἀνεβίβαζε.]

Τηριδάτης: Ὄνομα κύριον.

Τηρῶ: Αἰτιατικῇ.

Τήρωνες: Οἱ ἀρτιμαθεῖς τὰ [c]πολεμικὰ, καὶ οὔπω ἐγγεγυμνασμένοι τοῖς κινδύνοις, τήρωνες καλοῦνται παρὰ Ῥωμαίοις.

Τῆς: [d]Ἀντὶ τοῦ ταύτης. Οὐκ ἔστι δὲ ἄρθρον. [e]Ὅμηρος·

> Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι.

Ἀντὶ τοῦ, ταύτης. Καὶ ἐν [f]Ὀδυσσείᾳ·

> Εἵνεκα τῆς ἀρετῆς.

Ἀντὶ τοῦ, ταύτης.

Τῆς Μεγαρέων ἄξιοι μερίδος: Ἀντὶ τοῦ, ἄτιμοι.

Τῆς μητρὸς ὡς αἶγε καλεῖται: Οἱ γὰρ ἔριφοι ἐν τοῖς αἰπολίοις ἀπὸ τῶν μητέρων γνωρίζονται· ἀπὸ πατέρων γὰρ, ἀδύνατον.

Τῆς μωρίας [[g]τὸν Δία νομίζειν] ὄντα τηλικουτονί: [h]Ἐπὶ τῶν παραλόγως τι λεγόντων, ἐνηλίκων ὄντων. Οἷον τελείαν ἐχόντων τὴν ἡλικίαν, καὶ πάντα εἰδέναι ὀφειλόντων.

Τητᾶσθαι: Στερίσκεσθαι. [i]Σοφοκλῆς·

> Τοιαῦτ' ἀκούσας, κἀξονειδισθεὶς κακὰ,
> πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος
> πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.

Καὶ αὖθις·

> [k]Οὐ τητώμεναι,
> τολοιπὸν ἤδη τοῦ βίου διάξετε.

Τῆτες καὶ τῆτα: Τούτῳ τῷ ἔτει, ἐπ' ἔτος.

A

> [l]Ἐγελᾶτ', ἀνθ' ὧν [m]λαχὼν Ὑπέρβολος
> τῆτες ἱερομνημονεῖν.

Ἀριστοφάνης Νεφέλαις. [n]Τοῦτο δὲ οἱ Δωριεῖς τᾶτες λέγουσι, καὶ διὰ τοῦ δ', [o]τῆδες.

Τητινή: Χθεσινή. Καὶ οὐδέτερον, τητινόν.

Τητώμενον: Στερισκόμενον.

Τηΰσίη: Ματαία.

Τί: Οἱ ἀπὸ τῆς Στοᾶς τοῦτο [p]τὸ Τὶ γένος τοῦ B Ὄντος τίθενται. Τὸ γὰρ Τὶ δῆλον ὅτι καὶ ὄν. Εἰ δὲ ὄν, τὸν τοῦ ὄντος ἀναδέχοιτο ἂν λόγον. Διὸ καὶ γενικώτερον αὐτό φασιν εἶναι, κατηγορούμενον οὐ κατὰ σωμάτων μόνον, ἀλλὰ καὶ κατ' ἀσωμάτων.

Τιάρα: [q]Κόσμος ἐπικεφάλαιος, ἣν οἱ βασιλεῖς μόνοι [r]ὀρθὴν ἐφόρουν παρὰ Πέρσαις· οἱ δὲ στρατηγοὶ, κεκλιμένην. Καὶ [s]Δημάρατος ὁ Λακεδαιμόνιος, ὃς δὴ μετὰ Ξέρξου ἦλθεν ἐπὶ τὰς Ἀθήνας, ἐπί τινος εὐημε- C ρίας συγχωρήσαντος αὐτῷ τοῦ βασιλέως ὃ θέλει αἰτήσασθαι, ᾐτήσατο ἐν ὀρθῇ τῇ τιάρᾳ εἰς Σάρδεις εἰσελάσαι· ὡς [t]Φύλαρχος ἐν ῑ. Τὸ δ' αὐτό φασιν εἶναι καὶ [u]κίταριν. Θεόφραστος δ' ἐν τῷ Περὶ βασιλείας Κυπρίων, τὴν κίταριν, ὡς διάφορον.

Τιαρηφόρος:

Τὶ βαιόν: Ἀντὶ τοῦ, οὐδὲ ὀλίγον. [x]Σοφοκλῆς·

> Τί βαιὸν οὕτως ἐντρέπῃ [y]τῆς συμμάχου.

D Τιβέριος, [z]φιλόσοφος, καὶ σοφιστής. Περὶ ἰδεῶν λόγου, βιβλία γ', Περὶ παρασκευῆς, Περὶ μεταποιήσεως, Περὶ ἱστορίας, Περὶ λόγου τάξεως [a]καὶ συνθέσεως, Περὶ διαιρέσεως λόγου, Περὶ μεταβολῆς λόγου [b]πολιτικοῦ, Περὶ λόγων ἐπιδεικτικῶν, Περὶ προλαλιῶν καὶ προοιμίων, Περὶ ἐπιχειρημάτων, Περὶ Δημοσθένους καὶ Ξενοφῶντος, Περὶ Ἡροδότου καὶ Θουκυδίδου.

E Τιβέριος, [c]Ὀκταβίου υἱὸς, βασιλεὺς Ῥωμαίων,

ΤΗΡΙΒΑΖΟΣ] Τηριβάζης A.V.

[z] Ξενοφῶν] Ἀναβ. lib. IV. p. 327. ut Portus etiam monuit. Vide quoque v. Ἀνέβαλε, et v. Τιρήβαζος, ubi idem fragmentum legitur. KUST. IV. 4, 4. Seqq. om. A.

[a] παρήει] παρείη B.V.

[b] ἵππον] ἵ. ἀνεβίβαζον ἤγουν V.

[c] πολεμικὰ] πολέμια A.B.V.E.

[d] Ἀντὶ τοῦ ταύτης. Οὐκ ἔστι δὲ ἄρθρον] Observatiuncula F hæc infirmo tibicine nititur. Potius enim contra Suidam dixerim, voculam τῆς in subjunctis locis Homeri esse articulum, non vero ibi pro ταύτης poni. KUST. Mihi secus videtur, et omnino recte hæc Homeri loca ab Suida esse adducta ad demonstrandum τῆς poni pro ταύτης: nec enim aliter in utroque loco accipi posse. BOS. Qui plura. Præstat excerpere Schol. Ven. ad priorem locum: Ἔξωθεν δεῖ λαβεῖν τὸ ἄρθρον· τὸ γὰρ τῆς νῦν ἀντὶ τοῦ ταύτης παρείληπται, καὶ ἔστιν ὁ λόγος μήποτε τῆς ταύτης εὐνῆς ἐπιβήμεναι. Hunc Schol. proculdubio ob oculos G habuit Suidas.

[e] Ὅμηρος] Il. ί. 133. KUST.

[f] Ὀδυσσείᾳ] β'. 206. Ubi Schol. Ὁ δὲ Ἀρίσταρχος λείπειν φησὶ τὸ ἄρθρον, ἵν' ᾖ εἵνεκα τῆς ταύτης ἀρετῆς.

ΤΗΣ ΜΕΓΑΡΕΩΝ ἌΞ.] Confer Nostrum supra v. Μεγαρέων ἄξιοι μερίδος: et infra v. Ὑμεῖς ὦ Μεγαρεῖς. KUST.

ΤΗΣ ΜΩΡΙΑΣ ΤΟΝ Δ.] Aristoph. Nub. 816. KUST.

[g] ΤΟΝ ΔΙΑ ΝΟΜΙΖΕΙΝ om. A.B.V. τ. Δ. νομίζεις E. Post h. gl. delevi ΤΗΣ ΣΑΡΚΟΣ ΠΡΟΝΟΙΑΝ ΜΗ ΠΟΙΕΙΣΘΕ ΕΙΣ ἘΠΙΘΥΜΙΑΣ: Ζήτει ἐν τῷ ὙΠΩΠΙΑΖΩ, cum H A.V. Habet tamen A. in marg. ubi ἄνοιαν et ποιῆσθε.

[h] Ἐπὶ τῶν παραλόγως τι λεγόντων ἐνηλ.] Videtur Grammaticus noster existimasse, citata verba Aristophanis sensum proverbialem habere. Sed id cum secus se habeat, observatiuncula hæc lituram meretur. KUST.

[i] Σοφοκλῆς] Philoct. 383.

[k] Οὐ τητώμ.] Sophocl. Œdip. Colon. 1618.

[l] Ἐγελᾶτ', ἀνθ' ὧν λ.] Aristoph. Nub. 624. ἐγελᾶτ' om. E.

[m] λαχὼν Ὑπέρβολος] Ὑπέρβολον ἔλαχε A.V.

[n] Τοῦτο δὲ] δὲ om. A.

[o] ΤΗΔΕΣ] Sic Schol. Aristoph. Ach. 15. τῆδε V.

ΤΗΤΩΜΕΝΑ] Schol. Platon. p. 229. Τητώμενα: στερισκόμενα.

ΤΗΥΣΙΑ] Τηΰσίη A. Τηΰσίην Od. γ'. 316.

[p] τὸ Τὶ] τὸ om. V. qui infra αὐτῷ φασιν.

[q] Κόσμος ἐπικ.] Conf. Schol. Aristoph. Av. 487. Platon. p. 185.

[r] ὀρθὴν] Philostrat. Ep. 29. πρέπει βασ. μεγάλῳ τορθητῇ τιάρᾳ. Leg. ἡ ὀρθὴ τιάρα. Illud τῇ est geminatio syllabæ sequentis. Vide Wesseling. Obs. p. 175. Xenoph. Anab. p. 175. [II. 5, 23.] ubi v. Hutchinson. Eunap. in Ædes. p. 46. Herodot. Wessel. p. 88. TOUP.

[s] Δημάρατος] Senec. de Benef. VI. 31. REINES. Mox ἐπί τινας V.

[t] Φίλαρχος] Scribe Φύλαρχος. KUST. Sic A.B.V.E. Photius. Mox ἐν ῑ A.V. Photius. ἐν ἐνδεκάτῳ vulg.

[u] κίταριν] Vide Hesych. v. Κίδαρις. KUST.

ΤΙΑΡΟΦΟΡΟΣ] Τιαρηφόρον A. Τιαρηφόρος B.V. Τιαροφόρος E.

[x] Σοφοκλῆς] In Aj. 90.

[y] τῆς συμμάχου] τῆς σῆς σ. E. τῆς συμμαχίας V.

[z] φιλόσοφος] Leg. φιλόλογος. Nihil est in scriptis enumeratis, quod philosophum indicet. HEMST.

[a] καὶ συνθέσεως] περὶ συνθέσεως V.

[b] πολιτικοῦ] πολιτ V. Qui in fine om. Περὶ Ἡροδότου καὶ Θουκυδίδου.

ΤΙΒΕΡΙΟΣ, Ὀκταβίου υἱὸς, βασ.] Quæ hic Suidas de Ti-

ἐμπλήκτως καὶ ἀνοήτως τὴν ἀρχὴν διῳκήσατο, φοβερᾷ μὲν ὠμότητι, μυσαρᾷ δὲ καὶ ἀθέσμῳ πλεονεξίᾳ, αἰσχρᾷ τε ἡδυπαθείᾳ χρησάμενος. [d]Στρατείαν μὲν γὰρ ἅπασαν αὐτὸς ἠρνήσατο, διὰ δὲ τῶν ὑποστρατήγων γλίσχρως καὶ ῥαθύμως τοῖς ἐναντίοις προσπολεμῶν. Κακοήθης δὲ ὤν, ἔστιν οὓς τῶν συμμάχων [e]βασιλεῖς τῶν οἰκείων ἀρχῶν ἀπάτῃ μετελθὼν ἀφείλετο· ὧν Ἀρχέλαος ἦν ὁ [f]Καππαδόκων βασιλεὺς, ὃν ἠπίοις καὶ θεραπευτικοῖς καλέσας ὡς ἑαυτὸν λόγοις, οὐκέτι πρὸς τὴν οἰκείαν ἀπονοστῆσαι συνεχώρησεν, ἀλλ' [g]ἐπαρχίαν τὴν Καππαδοκίαν ἀπέφηνε, καὶ τὴν μεγίστην τῶν τῇδε πόλεων, [h]Μάζακα ἔμπροσθεν ὑπὸ τῶν ἐποίκων ὀνομαζομένην, ἀφ' ἑαυτοῦ φέρειν τὴν προσηγορίαν ἐπέταξεν· ἥπερ δὴ καθ' ἡμᾶς Καισαρός ἐστιν ἐπώνυμος. Ἐς γῆρας δὲ [i]ὅμως μακρὸν προελθὼν θνήσκει.

Τιβέριος, βασιλεὺς Ῥωμαίων. Οὗτος [k]ἰδιωτάτῃ φύσει ἐκέχρητο· [l]οὔτε γὰρ ὧν ἐπεθύμει, προσεποιεῖτό τι, καὶ ὧν ἔλεγεν [m]οὐδὲν ὡς εἰπεῖν ἐβούλετο· ἀλλ' ἐναντιωτάτους τῇ προαιρέσει τοὺς λογισμοὺς ποιούμενος, πᾶν, [n]ὃ ἐπόθει, ἠρνεῖτο, καὶ πᾶν, ὃ ἐμίσει, προσετίθετο. [o]Τοὺς περισσὰ ἐπαίροντας ἄρχοντας ἐκόλαζε, λέγων, κείρεσθαί μου τὰ πρόβατα, ἀλλ' οὐ ξυρᾶσθαι βούλομαι. Οὕτω δὲ ἦν ἴσος, ὥστε ὀρχηστήν τινα ποτὲ [p]ἐλευθερωθῆναι βουληθέντα, μὴ πρότερον συνεπαινέσαι, πρὶν τὸν δεσπότην αὐτοῦ πεισθῆναι, καὶ τὴν τιμὴν λαβεῖν. [q]Τοῖς γὰρ ἑταίροις ἐν ἰδιωτείᾳ ἦν, καὶ συνηγωνίζετο, φρουρὰν μὴ ἐπαγόμενος. [r]Καὶ παρήγγειλε σηρικῇ ἐσθῆτι μὴ χρῆσθαί τινα. Αἰφνιδίως δὲ εἰς τὴν χείρονα γνώμην μετετέθη, ὥστε παραφρονεῖν νομισθῆναι. Τοῦτο δὲ τὸ ἀρχαῖον ἐφθέγξατο·

Ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί.

Καὶ τὸν Πρίαμον ἐμακάριζεν, ὅτι μετὰ τῆς πατρίδος καὶ τῆς βασιλείας ἀπώλετο.

Τιβέριος: [s]Ἐν Κωνσταντινουπόλει βασιλεὺς Ῥωμαίων· ὃν [t]συνίστησιν Ἰουστῖνος ἄνδρα πρᾷον ὁμοῦ, καὶ φιλάνθρωπον, κρείττονα [u]λημμάτων, καὶ χρημάτων ἀφρόντιδα· [x]τουτὶ μόνον εὐδαιμονίαν ἡγούμενον, τὸ τεθηλέναι τε καὶ εἰς μέγα πλούτου κομᾶν τὸ ὑπήκοον, τὴν κοινὴν τῶν ἀνθρώπων μακαριότητα πάγκαλον καὶ [y]ἀσύλητον θησαυρὸν λογιζόμενον. Ὃς τὸν ὄγκον τῆς τυραννίδος μισήσας, [z]καὶ πρὸς τὸ φιλόστοργον τῶν ὁμοφύλων ἀναδραμὼν, εἵλετο βασιλεύειν [a]αὐτοῦ τὸ ὑπήκοον, ἢ τοὺς ἰθυνομένους τυραννικώτερον ἀνδραποδίζεσθαι, πατὴρ ἐθέλων ἢ δεσπότης ὑπὸ τῶν ὑπηκόων ἀναγορεύεσθαι.

berio refert, sumpta sunt ex Græca versione Eutropii, non ea, quam hodie habemus, sed alia multo vetustiore, quæ hodie intercidit. Latina autem Eutropii sic se habent: *Tiberius ingenti socordia imperium gessit, gravi crudelitate, scelesta avaritia, turpi libidine. Nam nusquam ipse pugnavit: bella per legatos gessit suos. Quosdam reges per blanditias ad se evocatos nunquam remisit: in queis Archelaum Cappadocem; cujus etiam regnum in provinciæ formam redegit, et maximam civitatem appellari nomine suo jussit; quæ nunc Cæsarea dicitur, cum Mazaca antea vocaretur.* Ex his Græca Suidæ expressa esse apparet. KUST.

[c] Ὀκταυΐου] Ὀκταβίου A.E. Τιβέριος Ὀ. υἱὸς om. V.

[d] Στρατείαν] στρατιὰν A.B.V.E.

[e] βασιλεῖς] βασιλέων A.

[f] Καππαδόκων] Καππαδο^ϛ A. ὃν ἠπίοις—οἰκείαν om. V.

[g] ἐπαρχίαν] ὑπαρχίαν A. qui mox Καππαδο^ϛ.

[h] Μάζακα] Vide Stephanum Byzant. v. Μάζακα, et ibi Interpretes. KUST.

[i] ὅμως μακρὸν προελθὼν θνήσκει] μακρὸν ἐλάσας ἀποθνήσκει V.

ΤΙΒΕΡΙΟΣ, βασιλεὺς Ῥωμ.] Hæc Joanni Antiocheno tribuuntur in Collectaneis Historicis a Valesio editis, p. 801. KUST. Recte vir doctissimus. Quod pluribus verbis Antiochenus, paucis conclusit Suidas. Sic solet noster Lexicographus. Notanda autem vis verbi Ἐπαίρειν, quæ neutiquam obvia est, et viros doctissimos fugit. Περισσὰ ἐπαίρειν est, *Plus æquo sumere, plus quam oportebat exigere. To take more than their due.* Quod publicani et præsides provinciarum lubenter faciebant. Πλέον παρὰ τὸ διατεταγμένον πράττειν vocat Lucas. Verbum autem αἴρειν in hoc negotio usitatissimum est. Lucas VI. 30. Παντὶ δὲ τῷ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ ΑΙΡΟΝΤΟΣ τὰ σὰ μὴ ἀπαίτει. Idem XIX. 21. Ἐφοβούμην γάρ σε ὅτι ἄνθρωπος αὐστηρὸς εἶ· ΑΙΡΕΙΣ ὃ οὐκ ἔθηκας, καὶ θερίζεις ὃ οὐκ ἔσπειρας. Dicitur autem αἴρειν, et ἐπαίρειν. Ut λαμβάνειν, et ἐπιλαμβάνειν. Hesych. Ἐπαειράμενον, ἈΦΑΙΡΟΥΜΕΝΟΝ. Idem: Περίελε, κόψον, ἘΠΑΙΡΟΝ, ἀφελοῦ. Περιελόμενος, ἘΠΑΙΡΑΣ. Ita scribendus iste locus. Restituendum hoc verbum Hesychio: Ἀείροις, ἀπείροις. Frustra hic sudant viri doctissimi. Tu scribe, ne litera mutata: Ἀείροις, ἘΠΑΙΡΟΙΣ. Lexic. reg. ms. Ἀείρας, ἘΠΑΙΡΑΣ. Schol. ad Aristoph. Lysist. 332. Ἀραμένη, ἘΠΑΙΡΑΣΑ τὴν ὑδρίαν. Quomodo verbo utitur Sophocles Electr. 635. ἘΠΑΙΡΕ δὴ σὺ θύμαθ' ἡ παροῦσά μοι. Ceterum, quod monendum, verba αἴρειν, ἐπαίρειν, φέρειν, βαστάζειν, et si quæ alia ejusdem furfuris vocabula, nunc *ferre*, nunc *auferre* significant. Quo postremo sensu accipiendus videtur Joannes XII. 6. Εἶπε δὲ τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἘΒΑΣΤΑΖΕΝ. *Judas was a* THIEF, *and had the bag, and* STOLE *what was put therein:* de quo consulendus elegantissimus Menagius ad Laërtii Lacydem. Eodem sensu usurpat Archedicus vocem αἴρειν apud Athenæum p. 467. Sed vide Suidam ad v. Ἑρμῆν.——Λέγουσι δὲ αὐτὸν (Ἑρμῆν) καὶ τοῦ κέρδους αἴτιον, καὶ τῶν ἐμποριῶν ἔφορον· ὅθεν τὸ ἄγαλμα αὐτοῦ ἱστῶσι ΒΑΣΤΑΖΟΝ ΜΑΡΣΥΠΟΝ. TOUP.

[k] ἰδιαιτάτῃ] ἰδιωτάτῃ B.V.E. Excerpt. Dio Cass. LVII. 1. ἐν κω πο^λ ἰδιωτάτῃ A. m. rec.

[l] οὔτε] οὔτε γὰρ A.V. Excerpt. Dio.

[m] οὐδὲν ποιεῖν] οὐδενὸς εἰπεῖν A.V. οὐδὲν ὡς εἰπεῖν Exc. Dio. Tum ἐβουλεύετο E.

[n] ὃ ἐπόθει] ὃ ἂν ἐπ. V. qui mox ἐμέσει. Tum τούτῳ ante προσετίθετο om. A.V. Exc. ὃ ἐμίσει, προετείνετο Dio.

[o] Τοὺς περισσὰ ἐπαίροντας ἀρχ.] Plenius et planius Joannes Antiochenus: Τοιοῦτος δή τις ὢν τοὺς ἄρχοντας, οὓς ὑπὲρ τὸ διατεταγμένον λαμβάνοντας εὕρισκεν, ἢ καὶ τὰ δημόσια σφετερίζοντας, ἐκόλαζε, λέγων, &c. KUST.

[p] ἐλευθερωθῆναι βουλ.] Joannes Antioch. rectius, τοῦ δήμου ἐλευθερωθῆναι βουληθέντος. KUST. ἐλεύθερον αὐτοῦ γενέσθαι V.

[q] Τοῖς γὰρ ἑταίροις ἐν ἰδ.] Locus hic ex Joanne Antiocheno sic legendus et supplendus est, τοῖς γε ἑταίροις ὡς ἐν ἰδιωτείᾳ συνῆν, δικαζομένοις συναγωνιζόμενος, καὶ θύουσι συνεορτάζων, νοσοῦντάς τε ἐπισκεπτόμενος, μηδεμίαν φρουρὰν, &c. KUST. τοῖς γὰρ—ἐπαγόμενος om. V.

[r] Καὶ παρήγγειλε] παρήγγειλε δὲ V. et mox χρήσασθαι. qui om. ὥστε παραφ. νομ. et infra καὶ τὸν—ἀπώλετο.

[s] Ἐν Κωνσταντινουπόλει om. A.

[t] συνίστησιν—ἀναγορεύεσθαι] Ex Theophylact. Simocatt. III. 16.

[u] λημμάτων χρημάτων] χρημάτων λημμάτων B.E. καὶ inserunt A.B.V.E. λήμματός τε καὶ χρ. Theophyl.

[x] τουτὶ] τοῦτο A.V.E.

[y] ἀσύλητον] ἀσύλωτον A.V.

[z] καὶ πρὸς—ἀναδραμὼν om. Theophyl.

[a] αὐτοῦ] αὐτῷ A. συμβασιλεύειν αὐτῷ Theophyl.

[b]Ἄριστος δὲ ὑπάρχων ἐν νεότητι, καὶ [c]πρὸς γῆρας A ἐλθὼν, [d]αἰφνίδιον εἰς τὴν χείρονα μετεβλήθη γνώμην, ὥστε καὶ [e]παραφρονεῖν αὐτὸν νομισθῆναι, καὶ ὑπὸ δαίμονος ἐλαύνεσθαι [f]πρὸς πᾶσαν ἀνοσιουργίαν τε καὶ μανίαν καὶ οἰστρηλασίαν, οὐ μόνον ἐν τοῖς κατὰ φύσιν, ἀλλὰ καὶ ἐν τοῖς παρὰ φύσιν, καὶ ἐν πάσῃ ἀδικίᾳ καὶ τυραννίδι. [g]Οὕτω δὲ μεταπεσὼν εἰς κακίαν, καταστρέφει τὸν βίον.

Τιβεριέων δῆμος: B

Τιβία: Ὅλη ἡ Φρυγία οὕτω καλεῖται.

Τί γὰρ δὴ δελφῖνι καὶ βοΐ φασι κοινὸν εἶναι, [h]Σύλλαι τε καὶ φιλοσόφοις:

Τί γάρ με [i]λυπεῖ τοῦθ᾽, ὅταν λόγῳ θανὼν, Ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος; Δοκῶ μὲν ὡς οὐδὲν ῥῆμα σὺν κέρδει κακόν. Ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς Λόγῳ μάτην θνήσκοντας, τοῖς δ᾽ ἔργοισιν οὔ: C [k]Ἀριστοφάνης·

> Τί γάρ σε πέφευγ᾽, ὅσα χρὴ
> σοφὸν ἄνδρα; τί δ᾽ οὐ [l]σὺ φρονεῖς, ὁπόσα
> [m]χρεὼν ἐστι τὸν σοφῇ δόκιμον
> [n]φρενὶ, πορίμῳ τόλμῃ.

Τουτέστι, Τί σε πέφευγε; τί γὰρ οὐ ποιεῖς, ὅσα χρὴ τοὺς ἐπιστήμονας; Πορίμῳ δὲ, ἀντὶ τοῦ εὐπόρῳ D πρὸς τὸ ἐπινοεῖν.

Τιγίλλιος: Ὄνομα κύριον.

Τίγρις: Τὸ ζῶον. [o]Τίγρης δὲ, ὄνομα ποταμοῦ.

Τί δ᾽ ἄλλο Μεγαροῖ: Λείπει τὸ, ἢ τοῦτο τὸ [p]ἀπολέσαι ἡμᾶς [q]σπουδάζειν;

Τί δαί: Τί δή; [r]καὶ οὕτως μὲν λέγουσιν τὸ τί δή. [s]Ἀριστοφάνης Πλούτῳ·

> Τί δαί; τὰς τριήρεις οὐ [t]σὺ πληροῖς; εἰπέ μοι.

[u]Ἔστι δὲ σύνδεσμος ἐρωτηματικὸς διὰ τὴν ἔκτασιν διὰ διφθόγγου [x]γραφόμενος. Καὶ [y]Ὅμηρος·

> B [z]Τίς δαίς; τίς δαὶ ὅμιλος;

Ἐν Ὀδυσσείᾳ.

Τί δαί: Εἰπόντος τοῦ δανειστοῦ,

> [a]Ληρῶ, τὰ χρήματ᾽ ἀπολαβεῖν εἰ βούλομαι;

Τοῦ δὲ Στρεψιάδου ἀντιφήσαντος·

> Οὐκ ἔσθ᾽ ὅπως [b]σύ γ᾽ αὐτὸς ὑγιαίνεις·

ἐπέφερεν ὁ δανειστής·

> Τί δαί.

C Τί δῆτα θεῶν στρέφῃ: Ἀντὶ τοῦ, [c]ἐνδιατρίβεις;

Τί δῆτ᾽ ἂν ἀλγοίης ἐπ᾽ ἐξειργασμένοις: Ἀντὶ τοῦ, ἐπὶ τετελεσμένοις, καὶ ἴασιν οὐκ ἔχουσιν.

> Οὐ γὰρ γένοιτ᾽ [d]ἂν ταῦθ᾽ ὅπως οὐχ ὧδ᾽ ἔχειν.

[e]Ὅπως ταῦτα μὴ οὕτω σχοίη· κατὰ τὸ τοῦ Σιμωνίδου·

> Τὸ γὰρ γεγενημένον οὐκέτ᾽ [f]ἄρεκτον ἔσται.

D Τί δῆτά σοι: [g]Τί σοι;

Τί ἐστι τὸ [h]ἐν τοῖς Δημοσθένους Φιλιππικοῖς,

[b] Ἄριστος] δὲ addunt A.V. Quum hæc ad Tiberium Augusti successorem, Kustero monente, manifeste pertineant, a superioribus sejunxi.

[c] πρὸς] ὑπὸ A.

[d] αἰφνίδιον εἰς τὴν χ.] Eadem in præcedenti articulo de E Tiberio, Augusti successore, dicuntur. Quare videtur Compilator Tiberium hunc, qui erat Justini successor, cum altero Tiberio confudisse: vel saltem huic male tribuere, quæ ad alterum pertinent. KUST.

[e] παραφρονεῖν etc.] Philostorg. p. 524. de Posidonio medico celeberrimo. Hæc Evangelistæ synonyma sunt. TOUP. Mox καὶ πρὸς δαίμονος M.

[f] καὶ πρὸς] καὶ om. A.V. Tum V. om. τε καὶ μανίαν.

[g] Οὕτω δὲ] καὶ οὕτω V. omissis δὲ μεταπ. εἰς κακίαν.

ΤΙΒΕΡΙΕΩΝ ΔΗΜΟΣ] Joseph. B. J. II. 21, 3.

ΤΙΒΙΑ: Ὅλη ἡ Φρ.] Nimirum a monte Tibio, qui situs F erat in Phrygia. Vide Steph. Byzant. v. Τίβειον. KUST. Ex Proverb. Vat. II. 71. monente Hemsterhusio ad Lucian. Tim. 22.

ΤΙ ΓΑΡ ΔΗ] Vid. Ælian. de Anim. XIV. 25. HEMST.

[h] Σύλλᾳ] Σύλᾳ V.

ΤΙ ΓΑΡ ΜΕ ΛΥΠ.] Sophocl. Electr. 59.

[i] ΛΥΠΟΙ] λυπεῖ A.V.E. Mox μάτην om. A.V. deinde G ἔργοις A.V.E.

[k] Ἀριστοφάνης] Pac. 1027.

[l] σὺ φρονεῖς] σωφρονεῖς B.E.

[m] χρεὼν] χρεὼν ἐστι A.V.

[n] φρενὶ καὶ] καὶ om. A.V.E. φρενὶ πορίμῳ τε Aristoph.

ΤΙΓΙΛΛΙΟΣ] Τιγιλλῖ A.V. i. e. Τιγιλλίων.

[o] ΤΙΓΡΗΣ] Τίγρης τα V.E. Post ποταμοῦ E. addit καὶ Πίγρης.

ΤΙ Δ᾽ ἌΛΛΟ ΜΕΓΑΡΟΙ] Aristoph. Acharn. 758. Δ. Αὐτίκ᾽ ἄρ᾽ ἀπαλλάξεσθε πραγμάτων. Μ. Σαμάν. Τί δ᾽ ἄλλο; Δ. H Μεγαροῖ πῶς ὁ σῖτος ὤνιος; Μ. Παρ᾽ ἁμὲ πολυτίματος, ᾇπερ τοὶ θεοί. Ad hunc locum respexit Suidas, et ex eo proinde est reformandus. TOUP.

[p] ἀπολέσαι] τοῦτο τὸ ἀπολέσαι A.B.E. τοῦτο ἀ. V.

[q] σπουδάζεις] Ms. A. rectius, σπουδάζειν. KUST. et B. V.E.

ΤΙ ΔΑΙ] Τὶ δὲ Photius. Et sic in Suida reponendum.

[r] οὕτω] καὶ οὕτως A.V.

[s] Ἀριστοφάνης Πλούτῳ] Ver. 172. sed ubi pro τί δαὶ, rectius legitur, τί δέ. KUST.

[t] σὺ πληροῖς] συμπληρεῖς V.

[u] Ἔστι δὲ σύνδεσμος] Schol. Aristoph. Plut. 156. τί δαί; Σύνδεσμος ἐρωτηματικός· διὰ δὲ τὴν ἔκτασιν διφθογγογραφεῖται. Ammonius: Δαὶ σύνδεσμος ἐρωτηματικὸς, ἐκτεταμένως· τίς δαὶ ὅμιλος, καὶ Πῶς δαὶ τῶν ἄλλων Τρώων. (Il. κ΄. 408.)

[x] γραφόμενος] γραφόμενον A.

[y] Ὅμηρος] Odyss. α΄. 225. Ceterum, locus hic Poëtæ nihil ad rem facit. KUST. Immo facit, modo inseras cum mss. δαὶ ante ὅμιλος.

[z] Τίς δαῖς] τίς δαῖς καὶ ἐν ὁδῷ A. Ante ὅμιλος omnes inserunt δαί.

[a] Ληρῶ] Aristoph. Nub. 1277.

[b] σύ γ᾽] σὺ δ᾽ V.

ΤΙ ΔΗΤΑ ΘΕΩΝ ΣΤΡ.] Ex Platonis Phædro: [p. 236 E.] sed ubi legitur, Τί δῆτ᾽ ἔχων στρέφῃ: uti etiam hic apud Suidam scribendum est. KUST. Vide Ruhnkenium ad Timæum p. 257. Platonis locum indicaverat Portus.

[c] Τὶ δὴ ἐνδιατρίβεις] Τὶ δὴ om. A.V. Photius.

ΤΙ ΔΗΤ᾽ ἊΝ ἈΛΓ.] Sophocl. Aj. 377.

[d] ἂν ταῦθ᾽] αὖθ᾽ V.

[e] ἀντὶ τοῦ ὅπως] ὅπως τοῦ A.V.E. ὅπως ταῦτα Schol. Mox τὸ om. V.E.

[f] ἄρρεκτον] ἄρεκτον A.E. Schol.

[g] Τί σοι om. B.E.

[h] ἐν τοῖς Δημοσθένους Φιλιππ.] Demosthenes Olynth. 11. haud procul initio: Νῦν δὲ θεωρῶν καὶ σκοπῶν εὑρίσκω τὴν μὲν ἡμετέραν εὐήθειαν τὸ κατ᾽ ἀρχὰς, ὅτε Ὀλυνθίους ἀπήλαυνόν τινες ἐνθένδε, βουλομένους ἡμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ τὸ θρυλλούμενόν ποτε ἀπόρρητον ἐκεῖνο κατασκευάσειν, &c. Ulpianus ad eum locum: Τοῦτο οὖν ἔλεγεν ὁ Φίλιππος, ὅτι τὸ θρυλλούμενον τοῦτο καὶ ποθούμενον ἐν ἀπορρήτῳ κατασκευάσω. Διὰ τί δὲ ἐν ἀπορρήτῳ; ἵνα μὴ ἑκάτεροι μαθόντες φυλάξωνται, οἵ τε Ποτιδαιᾶται καὶ οἱ Πυδναῖοι. Θεόπομπος δέ φησιν, ὅτι περὶ Πύδνης μόνον καὶ Φιλίππου, (lego, καὶ Ἀμφιπόλεως) ἵνα δῷη αὐτὸς μὲν Ἀθηναίοις Ἀμφίπολιν, δέξη-

Καὶ τὸ [i]θρυλλούμενόν ποτε ἀπόρρητον ἐκεῖνο,

Θεόπομπος ἐν λα´ δεδήλωκε. Φησὶ γάρ·

Καὶ πέμπει πρὸς Φίλιππον πρεσβευτὰς, Ἀντιφῶντα καὶ Χαρίδημον, πράξοντας καὶ περὶ φιλίας· οἳ παραγενόμενοι, συμπείθειν αὐτὸν ἐπεχείρουν ἐν ἀπορρήτῳ [k]συμπράττειν Ἀθηναίοις, ὅπως ἂν λάβωσιν Ἀμφίπολιν, ὑπισχνούμενοι Πύδναν. Οἱ δὲ πρέσβεις οἱ τῶν Ἀθηναίων εἰς μὲν τὸν δῆμον οὐδὲν [l]ἀπήγγελλον, βουλόμενοι λανθάνειν τοὺς Πυδναίους, ἐκδιδόναι μέλλοντες αὐτούς· ἐν ἀπορρήτῳ δὲ μετὰ τῆς βουλῆς ἔπραττον.

Τίη; Διατί δή;

Τί ἱκανόν; Τί ὄφελος;

Τιθασεύει: [Αἰτιατικῇ.] Ἡμεροῖ, πραΰνει.

Τιθασόν: Ἥμερον. Καὶ ἀτίθασον, τὸ ἄγριον, καὶ μὴ ἥμερον.

Τιθέντες: Ποιοῦντες.

Τίθεσθαι:

[m]Ὁ δὲ [n]πρέσβεις ἔστειλε πρὸς τοὺς Μεγαρέας, παρακαλῶν ἔτι καὶ νῦν τίθεσθαι τὰ πράγματα, καὶ μὴ κινδυνεύειν τοῖς ὅλοις.

Ἀντὶ τοῦ, συγκατατίθεσθαι, διαπράττεσθαι.

Τιθηνάς: Τροφούς. Καὶ [o]τιθηνήτηρ.

[p]Πολλὰ τιθηνήτηρ ὀλοφύρατο χερσὶν ἀμήσας
[q]ἀνδρομάχοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν.

Καὶ τιθήνη.

Τιθηνός: Κυρίως, ἐπὶ γυναικὸς τῆς τιθηνούσης καὶ τρεφούσης· κατὰ [r]μεταφορὰν δὲ λέγεται καὶ ἡ γῆ τιθηνός.

Τιθηνούμενος: Τρέφων. [s]Τιθηνὸς γὰρ ἡ τροφός.

Τίθησι: Ποιεῖ.

Τιθὶς, τιθίδος. [t]Καὶ τιθῶ, αἰτιατικῇ.

Τιθωνοῦ γῆρας: Παροιμία. Ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων τάσσεται. Ἱστορεῖται δὲ [u]ὅτι



A ὁ Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ γῆρας ἐκδύσασθαι εἰς τέττιγα μετέβαλεν. [x]Ἀριστοφάνης·

Ἄνδρα Τιθωνὸν σπαράττων, καὶ ταράττων, καὶ κυκῶν.

Τίθρασος: [y]Πόλις τῆς Λιβύης. [z]Καὶ Ἀριστοφάνης·

Γοργόνες Τιθράσιαι.

Ἔνθα αἱ Γοργόνες διέτριβον. Ἀπὸ δήμου τῆς Ἀττικῆς πονηροῦ. Διαβάλλουσι γὰρ τὸν δῆμον τοῦτον ὡς

B κακοπράγμονα.

Τιθραύστης: Ὄνομα κύριον.

Τιθοί: Οἱ μαζοί.

Τιθύμαλλος: Εἶδος βοτάνης δριμυτάτης, παρὰ [a]Λάκωσιν εὑρισκομένης· ᾧ παρῆλειφον τὰ βλέφαρα τῆς ἑσπέρας. Καὶ [b]Ἀριστοφάνης περὶ Νεοκλείδου τοῦ γλάμωνος·

Σκόροδ' ὁμοῦ τρίψαντα τιθυμάλλῳ.

C [c]Εἰώθασι δὲ οἱ ἰατροὶ ὑπ' ἀλαζονείας πατρίδας ὀνομάζειν τῶν βοτανῶν, οἷον, [d]Κυρηναϊκὸν ὀπόν· τιθύμαλλος Λακωνικός. Εἴρηται δὲ ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμοὺς, [e]Νεοκλείδης ὁ γλάμων.

Τί καλὴ ἡ τάξις: [[f]Ἀντὶ τοῦ λίαν.]

[Τί κοινὸν κυνὶ καὶ βαλανείῳ: Παροιμία ἐπὶ τῶν ἀναρμοδίων. [g]Λουκιανὸς ταύτῃ χρῆται.]

D Τί λέγεις σύ; [h]Τὸ παρὰ τὴν συνήθειαν κανὰ χεῖρα. Εἰώθαμεν γὰρ ἐν ταῖς τῶν [i]ἐναντίων διαλέξεσι λέγειν, τί λέγεις σύ; ἐκπλῆξαι αὐτοὺς βουλόμενοι. [k]Ἀριστοφάνης Νεφέλαις·

Ὡς ἥδομαί ([l]σου) πρῶτα τὴν χροίαν ἰδών.
Νῦν μέν γ' ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς,
κἀντιλογικός· καὶ τοῦτο τοὐπιχώριον
ἀτεχνῶς [m]ἐπανθεῖ, τὸ, Τί λέγεις σύ; καὶ δοκεῖν

E

ται δὲ παρ' αὐτῶν τὴν Πύδναν, αὐτοῦ οὖσαν. Καὶ τὸ ἀπόρρητον δὲ, ἵνα μὴ μαθόντες οἱ Πυδναῖοι φυλάξωνται, οὐ γὰρ ἐβούλοντο εἶναι ὑπὸ τὸν Φίλιππον. Hæc pulchre confirmant et illustrant ea, quæ Suidas hic tradit. KUST. Conf. Menag. ad Diog. Laërt. IV. 2.

[i] θρυλλούμενον] θρυλούμενον Photius.

[k] συμπράττειν Ἀθηναίοις om. E.

[l] ἀπήγγελλον] ἀπήγγελον V. ἀπήγγειλαν E. suprasc.

ΤΙΘΑΣΣΕΤΕΙ] Τιθασεύει A. Photius. αἰτιατικῇ om. A.V. Photius.

ΤΙΘΑΣΣΟΝ] Τιθασὸν A. Photius. Καὶ ἀτίθασσον etc. post πραΰνει B.V.

[m] Ὁ δὲ πρέσβεις] Hoc fragmentum proculdubio Polybio adjudicandum est, qui ita loquitur, lib. VIII. p. 735. Ταχὺ δὲ καὶ τοῦ κήρυκος παραγενομένου πρὸς τὴν Λαοδίκην, καὶ διασαφοῦντος τὰ περὶ τὸν Ἀχαιὸν, καὶ κελεύοντος ΤΙΘΕΣΘΑΙ ΤΑ ΠΡΑΓΜΑΤΑ. Quem locum minus intellexerunt viri eruditi. Optime Suidas συγκατατίθεσθαι exponit. Latini, *componere*. Rem satis dilucidatam dabit Dexippus in Excerptis Hœschelii, p. 5. Κράτιστον δὴ τούτων εἵνεκα δι' εἰρήνης αἱρεῖσθαι ὑμᾶς τὰς ἐκ τῆς ὁμονοίας ὠφελείας, καὶ ΤΟΥ ΠΟΛΕΜΟΥ ΠΡΑΓΜΑΤΑ ΣΥΝ ἩΜΙΝ ΤΙΘΕΣΘΑΙ. Quod egregium et perspicuum est. TOUP.

[n] πρέσβυς] πρέσβεις A. Mox πείθεσθαι M.

ΤΙΘΗΝΑΣ] Rectius, τιθήνας, cum accentu in penultima. KUST.

[o] ΤΙΘΗΝΗΤΕΙΡΑ] τιθηνήτηρ A.B.V.E. et mox in versu.

[p] Πολλὰ τιθηνήτειρ' ὀλοφ.] Anthol. Pal. VII. 241.

[q] ἀνδρομάχης] ἀνδρομάχοις A.V. In fine καὶ τιθήνη om. A.

[r] μεταφορὰν] μεταφορὰν δὲ A.V.

[s] Τιθηνὸς γὰρ ἡ τρ. addunt A.B.V. Photius.

ΤΙΘΙΣ] Scribendum est, τιτθὶς, τιτθίδος. KUST. Sic Portus.

[t] Καὶ ΤΙΘΩ αἰτ. A. in marg.

ΤΙΘΩΝΟΥ ΓΗΡΑΣ] Vid. supra p. 1994 B.

[u] ὅτι ὁ Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ] ὁ Τιθωνὸς τοῦτο A. ὅτι om. E. Cum vulg. consentit Photius.

[x] Ἀριστοφάνης] Acharn. 688. καὶ ταράττων om. A.

[y] Πόλις] τόπος V.

[z] Καὶ Ἀριστοφάνης] Ran. 480.

ΤΙΘΡΑΥΤΗΣ] Τιθραύστης V.E. Bos. qui citat Corn.
F Nepot. Datam. c. 3. Deest A.

ΤΙΘΟΙ] Scribe τιτθοί. KUST. Sic Portus.

[a] Λάκωσιν] Λάκωσ A.

Οἱ δὲ τῶν Πάρθων οἰσυΐνας ἀσπίδας ἔχοντες, καὶ κράνη οἰσύϊνα, πλοκήν τινα πάτριον πεπλεγμένα.

Καὶ οἰσύϊνον σχοινίον, ἰτέας.

Οἰσύμη: Πόλις τῆς Θρᾴκης.

Οἰσύπη: Ὁ ῥύπος τῶν ἐρίων.

Οἰσυπηρός: Ῥυπαρός. [t]Ἔρια οἰσυπηρὰ, ῥύπου πεπληρωμένα, ῥυπάσματα ἀπὸ τῆς κόπρου. Οἰσύπη δέ ἐστι τὸ διαχώρημα τῶν προβάτων. D

Οἴτη: [u]Ὄρος ἐν Λακεδαιμονίᾳ. Καὶ Οἰταῖος, ἀπὸ τοῦ αὐτοῦ ὄρους.

Οἶτος: Ὁ μόρος. [x]Ἐν Μυθικοῖς·

Οὔτι δίκης ἀπάνευθεν ἀεικέϊ [y]δάμναμαι οἴτῳ.

Οἷοι: Μόνοι, [z]ἢ δυνατοί.

Οἰφι: Χοῖνιξ.

Οἰχαλιῆες: Ἀπὸ τόπου.

Οἴχεται: Πορεύεται. Καὶ οἰχήσομαι, πορεύσομαι.

Οἰχνῶ: Περιέρχομαι.

[a]Τάλαιν' ἀνύμφευτος αἰὲν οἰχνῶ.

Ἠλέκτρα φησί.

Οἰχόμενος: πορευόμενος.

Οἴχωκ', ὄλωλα, [b]διαπεπόρθημαι φίλοι: Τέκμησσά φησι διὰ τὸν Αἴαντος θάνατον. B

## Υ Α.

Ὓ ὓ ὓὓ, ὓὓ ὓὓ, ὓὓ ὓὓ: Ἐπίρρημα θαυμαστικόν· ὅπερ ἐν τῇ συνηθείᾳ λέγομεν, ὀσφραινόμενοί τινος C [c]κνίσης.

Ὑάδες: Οἱ ἐπὶ τῶν κεράτων τοῦ Ταύρου ἀστέρες.

Ὑακινθίδες: Θυγατέρες Ὑακίνθου τοῦ Λακεδαιμονίου.

Ὑακίνθινον: Ὑπομελανίζον, πορφυρίζον.

Ὑάκινθος: Ὄνομα κύριον.

Ὑάλη: Ὕαλος. Ὕαλος ἐστὶν, ἀφ' ἧς πῦρ D ἅπτουσι. Καί φησιν [d]Ἀριστοφάνης·

Ὁπόταν γράφοιτο ἡ δίκη,
ἀπωτέρω στὰς [e]ὧδε πρὸς τὸν ἥλιον
τὰ γράμματ' ἐκτήξαιμι τῆς ἐμῆς δίκης.

Ἔστι δὲ κατασκεύασμα ὑάλου [f]τροχοειδὲς [g]ἠλέκτρου, εἰς τοῦτο τεχνασθέν· ὅπερ ἐλαίῳ χρίσαντες, καὶ ἡλίῳ θερμήναντες, προσάγουσι θρυαλλίδα, καὶ [h]ἅπτουσι [πῦρ.] Τοῦτο οὖν ὁ γέρων πρὸς Σωκράτην [i]διαλεγό-

E

[i] ἐκμαινόμενοι] Addit V. ἔστι δὲ οἶστρος etc. vid. in v. seq.

ΟΙΣΤΡΟΠΛΗΓΑ: Τῇ μανίᾳ πεπλ.] Confer Schol. Sophocl. ad Electr. 5. KUST.

[k] Εἴρηται] Hæc A. in marg. cum lemmate περὶ τοῦ οἴστρου. Ἔστι δὲ μυῖα etc.

[l] ὑπόχαλκος] ἔστι δέ τι ζῶον ὑπόχαλκον τὴν μορφὴν, ὅπερ ἂν εἰσέλθῃ εἰς τὰ ὦτα τῶν βοῶν ἐξοιστρεῖν ἀναγκάζει Eustath. ad Od. χ'. REINES.

[m] ἐγχρίμπτουσα] ἐγχρίπτουσα A.V.

[n] ΟΙΣΤΡΟΝ δὲ κ.] Ex Schol. Aristoph. Thesm. 324. Bekker.

[o] ΟΙΣΤΡΟΔΙΝΗΤΟΣ] Ms. A. habet οἰστροδόνητος. Et sic paulo post. KUST. Sic etiam V.

[p] Ἀριστοφάνης] Thesmoph. 331.

[q] Πισίδης] Fr. Foggin. 130. Mox ἀμεταπτώτως V.

ΟΙΣΥΑ] Deest gl. A. Tum ἡ ἰτέα V.

[r] Θουκυδίδης] IV. 9. Mox ναύταις ἐξόπλισον A. Thucydidis libri ναύτας ἐξ αὐτῶν ὥπλισεν.

[s] Εὐνάπιος] Fr. 11. In fine σχοινίον, ἰτέας om. A.

ΟΙΣΥΜΗ] Οἰσύμβη V.

ΟΙΣΥΠΗ] Vide paulo ante v. Οἴσπη. KUST.

[t] ἜΡΙΑ ΟΙΣΥΠΗΡΑ] Aristoph. Ach. 1176.

[u] ὄνομα ὄρους] ὄρος A. Tum ἐν Λακεδαιμονίᾳ aperte mendosa sunt. Stephanus: Οἴτη ὄρος περὶ Τραχῖνα.

[x] Ἐν τοῖς μυθικοῖς] τοῖς om. A.V. Vid. Tyrwhitt. Babr. p. 39.

[y] δάμναμαι] θάμναμαι A.

[z] ἤ τοι] ἢ A.V. Photius.

ΟΙΦΙ] Est nomen mensuræ Hebraicæ, quod varie scribitur apud LXX. Interpretes; nunc Ὑφὶ, nunc Ὑφεὶ, nunc Οἰφὶ, nunc Οἰφεί. KUST. Vid. Jablonski Voc. Ægypt. Opusc. T. I. p. 182.

[a] Τάλαιν' ἀνύμφ. αἰὲν οἰχνῶ] Sophocl. Electr. 166.

ΟΙΧΩΚ', ὌΛΩΛΑ, ΔΙΑΠ.] Sophocl. Aj. 896.

[b] ΔΙΑΠΕΠΟΡΘΗΜΑΙ] διαπεπόρθηνται A. Τέκμησσα et seqq. om. V.

Ὓ Ὓ: Ἐπίρρ.] Ex Schol. Aristoph. Plut. 896. KUST. Scripsi ὓ duodecies cum A.

[c] τῆς κνίσσης] τινος κνίσους A.V. τινος κνίσης B. Deest gl. E.

ὙΑΔΕΣ] Vide Grotium in notis ad Arati Phænom. p. 5. KUST.

F ὙΑΚΙΝΘΙΔΕΣ] Vide supra v. Παρθένοι. KUST. Apollod. III. 15. exhibet eorum nomina. Vid. Meurs. Attic. Lectt. IV. 18. Clem. Alex. Strom. IV. poëtas dicit laudasse Ὑακινθίδων εὐψυχίαν. Demosth. Or. Fun. (p. 1397, 18.) Erecthei filias (al. 4. al. 16.) Hyacinthidas adpellatas dicit, quod mactatæ in colle Hyacinthino ὑπὲρ τῶν Σφενδονίων. vid. supra Παρθένοι. Pro patriæ salute sunt immolatæ, ut filii Lei Atheniensis. vid. supra Λεωκόριον. REINES.

ὙΑΚΙΝΘΟΣ] Spartanus, cujus filiæ Hyacinthides, cf. G Apollod. III. 15. Alius est Pieri et Clius filius, Apollod. I. 3. Amyclæ filius Pausan. in Lacon. c. 1. et 19. Soror Polybœa festum in ejus honorem Ὑακίνθια instituit. REINES.

ὙΑΛΗ—ἀφ' ἧς om. V.

[d] Ἀριστοφάνης] Nub. 768. ubi sic legitur: Ὁπότε γράφοιτο τὴν δίκην ὁ γραμματεὺς, Ἀπωτέρω στὰς, &c. KUST.

[e] ὧδε] ὡδὶ A.B.E.

[f] τροχοειδὲς] τροειδὲς V. παχὺ Schol. pro ἠλέκτρου. qui H mox χρίοντες καὶ θερμαίνοντες sine ἡλίῳ.

[g] ἠλέκτρου] Scribendum est, ἢ ἠλέκτρου. Confer Salmasium ad Solinum, p. 773. edit. Ultraj. KUST.

[h] ἅπτουσι πῦρ] πῦρ om. A.B.V. Schol.

[i] διαλεγόμενός φησιν] φησιν om. A.V. τοῦτο—διαλεγόμενος om. Schol.

μενός φησιν, εἰ ὑφάψαιμι διὰ τῆς [k]ἠλέκτρου, καὶ A [l]προσαγάγοιμι τῇ δέλτῳ τὸ πῦρ τῇ τοῦ γράμματος, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης.

ὙΑΛΙΟΣ: [m]Πολέμιος. Καὶ ἘΝΤΑΛΙΟΣ.

ὙΑΜΠΟΛΙΣ: Πόλις.

ὙΒΑΔΑΙ: Δῆμος ἐστὶ τῆς Λεοντίδος.

ὙΒΟΣ: Ὁ κυρτός. Καὶ ὝΒΩΣΙΣ, ἡ κύρτωσις. [n]Καὶ ὙΒΑΖΕΙΝ, τὸ ἐμεῖν. Οἱ γὰρ ἐμοῦντες [o]ἀπὸ τῆς βίας κυρταίνειν ἐοίκασιν.

B

ὙΒΡΙΖΕΙΝ: Ἐπὶ τοῦ αἰσχρῶς διαιτᾶσθαι.

Ὑπέλαβε πονηροὺς ὄντας ὑβρίζειν καὶ ῥᾳστωνεύεσθαι.

[p]Ὁ δὲ οὐ μάτην ἔζη, [q]ὥς γε ἐμὲ κρίνειν, οὐδὲ μὴν, ὡς οἱ πολλοὶ, [r]ἐπὶ τραπέζας κεκυφέναι, καὶ ἐμπίπλασθαι, καὶ ὑβρίζειν σπεύδων, ἀλλὰ πλέον τι εἰδέναι μαστεύων ὑφ' ἡγεμόνι θεῷ.

ὙΒΡΙΖΟΝΤΕΣ: Σκιρτῶντες. [s]Ἡρόδοτος.

ὙΒΡΙΖΩ: Αἰτιατικῇ.

ὝΒΡΙΣ: [t]Ὑπόβαρός τις οὖσα· ἢ παρὰ τὸ ὕειν C βάρος.

> [v]Ὕβρις φυτεύει τύραννον. Ὕβρις, εἰ
> πολλῶν [u]ὑπερπλησθῇ μάταν,
> ἃ μὴ 'πίκαιρα, μηδὲ συμφέροντα.

Διὰ τῆς ὕβρεως, φησὶν, ἀνανεοῦται ὁ τύραννος. Καὶ ὅταν, φησὶ, πολλὰ διαπράξηται, τότε εἰς μεγάλην ἀνάγκην ἐμπίπτει, διὰ τῆς ὕβρεως ἐπαρθείς. Τοῦτο D γὰρ σημαίνει τὸ,

> Ἀκροτάταν εἰσαναβᾶσ'
> ἀπότομον ὤρουσεν εἰς ἀνάγκαν.

[x]Παίδων μὲν γὰρ [y]οἱ γεγονότων ὕβρεις διὰ τὸ σύνηθες οὐδὲ ὕβρεις [z]ἐνομίσθησαν· ἀλλ' ἦν ἐγκύκλιον αὐτῷ καὶ πρόχειρον τοιαῦτα ἁμαρτάνειν.

[a]Εὐνάπιος φησὶ περὶ Καρίνου βασιλέως.

ὝΒΡΙΣ: Ἡ μετὰ προπηλακισμοῦ καὶ ἐπηρείας· ΑἸΚΙΑ δὲ, πληγαὶ μόνον. Λυσίας ἐν τῷ Περὶ αἰκίας E πρὸς Ἰσοκράτην·

Καίτοι τίς οὐκ οἶδεν ὑμῶν, ὅτι τὴν μὲν αἰκίαν χρημάτων ἐστὶ μόνον τιμῆσαι· τοὺς δὲ ὑβρίζειν δόξαντας ἔξεστιν ὑμῖν θανάτῳ ζημιοῦν.



A ὙΒΡΙΣΑΣΙΝ: Ἐξαμαρτήσασιν αἰσχρῶς.

Ἔνθα καὶ στρατιώταις ἔξω τοῦ προσήκοντος ὑβρίσασιν ἐπέθηκε δίκην· ἐλάττων δὲ ἦν ἡ δίκη τοῦ προσήκοντος.

ὝΒΡΙΣΕΝ ΟὐΧ Ὁ ΠΑΤΑΞΑΣ, ἈΛΛ' Ὁ ἘΠΙΠΛΗΞΑΣ ΚΑῚ ὈΝΕΙΔΙΣΑΣ: [b]Καὶ σύνταξις·

Ὑπὸ ἀγανακτήσεως καὶ πρὸς ὕβρεως τιθέμενος, ὅτι μὴ τὰ πρῶτα ἐπεπίστευτο [c]τὴν στρατείαν.

B [d]Ἀριστοφάνης·

> Εἶτ' οὐχ [e]ὕβρις ταῦτ' ἐστὶ, καὶ πολλὴ τρυφὴ,

(ἀντὶ τοῦ ἀλαζονεία)

> ὅτ' ἐγὼ [f]μὲν ὢν Διόνυσος, υἱὸς Σταμνίου,
> αὐτὸς βαδίζω, καὶ πονῶ· τοῦτον δ' [g]ὀχῶ,
> ἵνα μὴ ταλαιπωροῖτο, [[h]μὴ δ' ἄχθος φέρῃ;]

ὙΒΡΙΣΤΑΣ: Τοὺς θρασεῖς, καὶ λοιδόρους.

ὝΒΡΙΣΤΙΣ: Ἡ ὕβρις, καὶ ἡ ἀτιμία.

C ὙΒΡΙΣΤΟΤΕΡΟΣ: [i]Ξενοφῶν·

[k]Οἱ ἀμελεῖσθαι δοκοῦντες στρατιῶται, οἱ μὲν ἀγαθοὶ, πολὺ ἀθυμότεροι γίνονται· οἱ δὲ πονηροὶ, πολὺ ὑβριστότεροι.

Καὶ αὖθις·

Οὐδὲν ὑβριστικώτερον ὄχλου πρὸς ὀργὴν καὶ παρανομίαν [l]ὁρμήσαντος.

ὙΓΕΙΑ: Οἰωνιζόμενοι εἰώθασι λέγειν πρὸς τὸ, τὶς ὁ ζητῶν, [m]ὄνομα, ἢ [n]ὑγείαν, ἤ τι τοιοῦτον. Καὶ ὁ D Ἔποψ ἔφη·

Τίνες οἱ ζητοῦντες.

Οἱ δὲ ἔφασαν,

Οἱ δώδεκα θεοὶ, [o]εἴξασιν ἐπιτρίψαι σε.

ὙΓΕΙΑ: Διττή ἐστιν. Ἡ μὲν ἐν τῷ [p]ἰατρῷ· ἡ δὲ ἐν τῷ ὑγιαζομένῳ σώματι. Καὶ ἡ ἐν τῷ ἰατρῷ ποιητική ἐστι τῆς ἐν τῷ σώματι· οὕτω καὶ ἡ ἐν τῷ κόσμῳ τάξις ἐκ τῆς ἐν τῷ δημιουργῷ τάξεως γέγονε. E Τὸ δὲ ὑγιεινὸν [q]τῶν πολλαχῶς λεγομένων ἐστίν. Ὑγιεινὸν γὰρ, τὸ ποιητικὸν [r]ὑγείας· ὡς τὸ φάρμακον· τὸ δὲ, φυλακτικόν· ὡς ἡ δίαιτα· τὸ δὲ, σημαντικόν· ὡς χρῶμα, σφυγμὸς, [s]εὔπνοια, οὖρα.

[k] ἠλέκτρου] ὑέλου Schol.
[l] προσαγάγοιμι] προσάγοιμι B.E. Schol.
[m] Πολεμικὸς] πολέμιος A.B.V.E.
ὙΑΜΠΟΛΙΣ: Ὄνομα πόλεως] Ὑάμπολ°: πό A.
ὙΒΑΔΑΙ: Δῆμ.] Ex Harpocratione. KUST.
ὙΒΟΣ] Confer Nostrum supra v. Ἡβός. KUST.
[n] Καὶ ὙΒΑΖΕΙΝ] Seqq. om. A.
[o] ὑπὸ] ἀπὸ B.V.E.
[p] Ὁ δὲ οὐ μάτην] Æliani an Damascii? HEMST. VALCK.
[q] ὥς] ὅς V.
[r] ἐπὶ] ἐς B.V. Mox ἐπιμπλᾶσθαι B. ἐμπιπλᾶσθαι V.
[s] Ἡρόδοτος] Gl. IV. 129.
[t] Ὑπὸ βάρος] Scribendum potius est, ὑπόβαρις, una voce. Ceterum etymologia hæc vocis ὕβρις inepta est et ridicula. KUST. ὑπόβαρός A.B.
[v] Ὕβρις φυτεύει τύρ.] Sophocl. Œd. Tyr. 873.
[u] ὑπερπλησθῇ μάταν, ἃ μὴ 'πίκαιρα] ὑπερπληθῆ μηχαναῖ μὴπίκαιρα A.V.
[x] Παίδων μὲν γάρ οἱ γεγ.] Confer Nostrum supra v. Ἐγκύκλιον, et v. Καρῖνος, ubi eadem leguntur. KUST.
[y] οἱ] εὖ Toupius.
[z] ἐνομίσθησαν] ὠνομάσθησαν A.
[a] Εὐνάπιος] Fr. 4.
ὝΒΡΙΣ] Vid. Herald. adv. Salmas. p. 117. et p. 122.
[b] Καὶ σύνταξις] καὶ συν^τ A.V.
[c] τὴν στρατείαν] τῇ στρα^τ V. τῇ στρατείᾳ B.E. edd. vett. Accusativum reposuit Portus.
F [d] Ἀριστοφάνης] Ran. 21. KUST.
[e] ὕβρις] ὕβρεις A.V.
[f] μὲν ὢν] ὢν om. A.B.V.E.
[g] ὀχῶ] ἠχῶ B.E.
[h] μὴ δ' ἄ. φ. om. A.B.V.E.
ὙΒΡΙΣΤΑΣ] Sine dubio ex Rom. I. 30. ERNEST.
ὝΒΡΙΣ: Τίς] Ὕβρις· ἡ A.V.E. Ὕβρις: ἡ B. Ὕβρις τίς: ἡ ὕ. M. Ordo verborum poscit Ὑβριστὴς vel Ὕβριστις in capite gl. Et sic H. Stephanus T. L. G. III. p. 1718 D. "Suidæ ὕβριστις est substantivum nomen: exponit enim G "ἡ ὕβρις καὶ ἡ ἀτιμία." Conf. Etymol. M. p. 774, 21.
ὙΒΡΙΣΤΟΤΕΡΟΣ] Ὑβριστότατος μακρῷ supra in μακρῷ. HEMST.
[i] Ξενοφῶν] Cyrop. V. 5, 41.
[k] ἀμελεῖσθαι] ἀμελήσασθαι V.
[l] ὁρμήσαντος] ὀργήσαντος V.
ὙΓΕΙΑ: Οἰωνιζ.] Ex Schol. Aristoph. Av. 95.
[m] ὄνομα] Supple ex Scholiasta, Θεοῦ τινος ὄνομα. KUST.
H [n] ὑγίειαν] ὑγείαν A.E.
[o] ἥξουσιν] Apud Aristophanem hodie minus recte legitur, εἴξασιν. KUST. εἴξασιν A.
[p] ἰατρῷ] ἰατρικῷ A.V.
[q] τῶν πολλαχῶς] πολλαχ A.
[r] ὑγείας] ὑγιείας A.
[s] εὔπνοια] εὔπνοια, εὔχροια V.

Ὑγεία Ἀθηνᾶ: Ἐπώνυμόν ἐστι [t]τῆς Ἀθηνᾶς. Καὶ γὰρ Ὑγεία καλεῖται, καὶ Νίκη, καὶ [u]Ἱππία, καὶ Ἐργάνη. A

Ὑγιασθείς:

Ὁ δὲ ὑγιασθεὶς τοῦ τραύματος.

Ὑγιαίνω: [[x]Τὸ ὑγιάζω. Μεταβατικῶς, αἰτιατικῇ.]

Ὑγιές: Λυσιτελὲς, ὠφέλιμον.

Τῆς πόλεως ἐπ' οὐδὲν ὑγιές.

[y]Φιλοκτήτης·

Ὦ μηδὲν ὑγιὲς, μηδ' ἐλεύθερον φρονῶν·
[z]οἷά μ' ὑπῆλθες· ὥς μ' ἐθηράσω, λαβὼν
πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοί.
[a]Ἀνάξιον μέν σου, κατάξιον δ' ἐμοῦ.

Ὑγιέστερος: Ὥσπερ καὶ, Ὑγιέστερος Κρότωνος. [b]Πολλοὶ γὰρ Κροτωνιάται ἀσκηταί. Καὶ, Ὑγιέστερος [c]κολοκύντης. C

Ὑγιέστερος Κρότωνος: Ἐπὶ τῶν πάνυ ὑγιαινόντων ἡ παροιμία. Ἀπὸ τοῦ ζώου τοῦ κρότωνος. Λεῖον γάρ ἐστιν ὅλον, καὶ χωρὶς ἀμυχῆς, καὶ μηδὲν ἔχον σίνος.

Ὑγίεια: Τῶν ἀνθρωπίνων ἀγαθῶν τὸ κάλλιστον.

Ὑγεία ἐστὶ συμμετρία τῶν πρώτων σωματικῶν δυνάμεων, ἅ ἐστι, θερμότης, ψυχρότης, ὑγρότης, ξηρότης. Καὶ ὑγιεινός· ὁ ὑγιής. Καὶ [d]ἐπίρρημα, ὑγιεινῶς. D

Ὑγίης: Ὑγριής τις ὤν. Ὁ [e]δίυγρος, καὶ ζῶν. [f]Ἀλίβαντες δὲ, οἱ νεκροί· παρὰ τὸ μὴ ἔχειν λιβάδα, ἤγουν ὑγρασίαν.

Ὑγρὰ κέλευθα: Τὴν διὰ θαλάσσης ὁδόν.

Ὑγραίνω:

Ὑγρός: [g]Ὁ εὐκατάφορος εἰς τὰς ἡδονὰς, καὶ ὁ ῥευματιζόμενος.

Ὑγρῶς:

[h]Ὑγρῶς γὰρ κραδαινομένη, καὶ τοῖς ποσὶ [i]χαμαιπετὴς, εὔσταλος γινομένη, ἐνίκα πάντας τοὺς τῶν θαυματοποιῶν ἐξηγουμένους· φωνήν τε ἔχουσα ἡδεῖαν, καὶ ταύτην μετὰ τέχνης ἀφιεῖσα, [k]οὐδενὸς (τῶν) ἐπ' ᾄσμασι θαυμαζομένων ἐκρίθη δευτέρα. Ἅτε δὴ οὐκ ἄπειρος ἐρωτικῆς περιεργίας, ἀκκιζομένη σὺν καιρῷ, καὶ πρὸς ζηλοτυπίαν εὐφυῶς ἄγουσα τὸν ἄνδρα, [l]ἑαυτῇ μὲν πλοῦτον οὐκ
B εὐκαταφρόνητον οἶσεν, ἐκεῖνον δὲ κατὰ βαιὸν τηκόμενον τῷ ἔρωτι, ἀπήλλαξε τῶν τῇδε.

Καὶ αὖθις·

[m]Πρὸς γὰρ τὰς δωρεὰς ἦν ὑγρὸς καὶ καταφερής· πρὸς δὲ τὰς εἰσπράξεις βαρύς τε καὶ [n]συντεταμένος.

Ὑγρότης: Ἀραιότης, καὶ [o]ἀφέλεια.

Ὑδάσπης: Ὄνομα ποταμοῦ.

Ὑδατηγὸς ἀνήρ: Ὁ ἀντλῶν.

Ὑδατίδες: Σταγόνες.

Ὑδάτιον: Νᾶμα.

Ὑδέουσιν: Ἀίδουσι, λέγουσιν.

Ὕδω: [p]Τὸ ᾄδω.

[q]Ὕδειν ἔοικε.

Καὶ ὑδέοιμι, ἀντὶ τοῦ ὑμνοῖμι.

[r]Αἴθρην τὴν εὔτεκνον [s]ἐπ' ἀγρομένης ὑδέοιμι.

Ὕδερος:

Ὑδερῶν: [t]Ὑδροπιῶν.

Ὕδειν [u]ἔοικε: Ἀντὶ τοῦ ὑμνεῖν.

Ὕδη: Πόλις.

Ὕδος: Τὸ ὕδωρ. [x]Ἡ δοτικὴ ὕδει.

Ὕδωρ: Ὅτι τὸ ὕδωρ ἢ παντελῶς ἄχυμον, ὡς τοῖς ἰατροῖς δοκεῖ· ἢ ἐγγὺς ἄχυμον. Ἔχει [y]μέντοι δύναμιν πάντων τῶν χυμῶν δεκτικήν· διὸ καὶ ἀπολαύει
E παντὸς χυμοῦ, [z]ὃς ἂν πλησιάσῃ αὐτῷ.

ὙΓΕΙΑ ἈΘΗΝΑ] Ex Harpocratione. KUST. Ὑγίεια A.

[t] τῆς Ἀθηνᾶς] τῆς om. A. Photius.

[u] Ἱππία] ἱππεία A. ἱππεία Photius.

[x] Τὸ ὑγιάζω etc. om. A.B.V.

[y] Φιλοκράτης] Scribe Φιλοκτήτης. Quæ enim sequuntur, sunt verba Sophoclis in Philoct. 1006. ut Portus F monuit. KUST. φιλοκ^τ A. Mox φρενῶν M.

[z] οἷος] οἷα A.B.V.E.M. Mox ἐθήρασας V.

[a] Ἀνάξιον μὲν] μὲν om. A.V.E.M.

ὙΓΙΕΣΤΕΡΟΣ] Ὑγιέστερος ὄμφακος. παροιμία. Photius.

[b] Πολλοὶ usque ad Κρότωνος in gl. seq. om. A.

[c] ΚΟΛΟΚΥΝΘΗΣ] κολοκύντης V.E. Photius.

ὙΓΙΕΣΤΕΡΟΣ ΚΡΟΤΩΝΟΣ] Confer omnino Nostrum supra v. Κρότωνος ὑγιέστερος. KUST.

ὙΓΙΕΙΑ τῶν ἀνθρ.] Vide Athen. lib. XV. c. ult. et ibi Casaubonum: itemque Nostrum supra v. Ἀρχίας Συρακούσιος. KUST.

[d] ἐπιρρηματικῶς] ἐπίρ^ρ A. i. e. ἐπίρρημα. Desunt καὶ ἐπ. ὑγ. V.

[e] δίυγρος καὶ ζῶν] Schol. Homer. Od. ζ'. 201. Διερός: Ζῶν ἐρρωμένως καὶ ἰκμάδος μετέχων. τὴν μὲν γὰρ ζωὴν ὑγρότης καὶ θερμασία συνέχει, τὸν δὲ θάνατον ψυχρότης καὶ ξηρασία. ὅθεν καὶ ἀλίβαντες οἱ νεκροὶ λιβάδος μὴ μετέχοντες.

[f] ἈΛΙΒΑΝΤΕΣ δὲ, οἱ νεκρ.] Vide Nostrum supra h. v. KUST. δὲ om. A.V.

ὙΓΡΑ ΚΕΛΕΥΘΑ] Il. α'. 312.

[g] Ὁ εὐκατάφορος] Vid. not. ad Hesych.

[h] Ὑγρῶς κραδαινομένη, καὶ τ.] Fragmentum hoc esse Æliani discimus ex ipso Suida supra v. Ἀκκιζόμενος, et v. Κρίσεως. KUST.

ib. γὰρ addit A.

[i] χαμαιπετὴς] Legendum accentu mutato χαμαιπέτης. HEMST. χαμαιπετὲς B.V.

[k] οὐδενὸς] οὐδενὸς τῶν—θαυμαζομένων in ἀκκιζόμενος. HEMST. θαυμαζομένων A.B.V. θαυμαζομένου E. cum vulg.

[l] αὐτῇ] Vid. Οἴσεν. HEMST. Ibi ἑαυτῇ cum A.B.V. E.

[m] Πρὸς γὰρ τὰς δωρ.] Fragmentum hoc auctius legitur supra v. Αὐτοαπλότης. KUST.

[n] συντεταμένος] συντεταγμένος V.

[o] ἀφέλεια] ὠφέλεια Photius.

ὙΔΑΤΗΓΟΣ ἈΝΗΡ] Vide supra v. Ἱμαῖον ᾆσμα. KUST.

ὙΔΑΤΙΟΝ] Plato Phædr. p. 229 A.

[p] Τὸ ᾄδω] τὸ λέγω καὶ ᾄδω V.

[q] ὕδειν] ὕδδειν et mox ὑδδέοιμι A.B.V.E. ὑμνεῖν post ἔοικε inserit V. Etymolog. Gud. p. 539, 56. Ὕδειν σημαίνει τὸ G ὑμνεῖν—καὶ τὸ ἀπαρέμφατον ὕδειν· Ὕδειν ἔοικε τὴν φερέζωον κόρην.

[r] Αἴθρην τε] Αἴθρην τὴν A.B.V.E. Quomodo Toupius e conjectura, qui versum Callimacho in Hecale tribuit, usum verbi Ὕδειν ex Hymn. Jov. 76. illustrans.

[s] ἐπ' ἀγρομένοις] ἐπαγρομένης A. ἐπ' ἀγρομένης B.V.E. Tum ὑδδέοιμι V.

ὝΔΕΡΟΣ Pindar. Schol. p. 193. TOUP.

[t] Ὑδροπιῶν] ὑδροποιῶν B. ὑδρωπιῶν Photius. Ὑδερῶν caput H gl. om. E.

[u] ἜΟΙΚΕ] addunt B.V.

ὝΔΗ] Deest articulus A. πο^λ pro ὄνομα πόλεως E.

[x] καὶ τῷ ὕδει ἡ δοτικὴ] ἡ δοτικὴ ὕδει A. Spectat grammaticus Hesiod. Opp. 61.

[y] μέντοι] μέν τι A.

[z] ὃς ἂν] ὃς om. A.B.

[a Ὕδωρ βλύζον κάτωθεν, ἐχθροὺς μηνύει.] A
Ὕδωρ διαυγὲς ἐκπίνειν, χρηστὸν τόδε.
Ὕδωρ πίνων b πηλῶδες, ἐν λύπαις ἔσῃ.

Ὕδωρ ἀντιλογίας: Ἀπὸ τοῦ πράγματος ὁ τόπος τὴν προσηγορίαν ἐδέξατο. Εἰς Μερρὰν γὰρ ἐλθόντες, καὶ πικρὸν εὑρόντες τὸ ὕδωρ, κατὰ Μωσέως ἐβόησαν, καὶ τοῦ Θεοῦ κατελάλησαν. Λέγει δὲ,

Ὅτι διήλεγξά σου παρ' ἐκεῖνο τὸ ὕδωρ τὴν ἀχάριστον γνώμην.

Ὕδωρ αὐτοπαγές: Τὸ συνεστηκὸς ἐν τοῖς ἱεροῖς· B ἢ τὸ c αὐτομάτας πηγὰς ἔχον.

Ὕδωρ βορὸν, καὶ d ἀγρυπνίῃ βορόν: Λέγει οὖν, ὅτι τὸ ὕδωρ οὐκ ἐν τοῖς πυρέττουσι μόνον ἐστὶ e τρόφιμον, ἀλλὰ κἂν τοῖς ἀγρυπνοῦσιν.

Ὕδωρ δὲ πίνων, f χρηστὸν οὐδὲν ἂν τέκοις: Τοῦτο ἐξ ἐπιγράμματος εἶναι μέρος, οἱ μὲν, Ἀσκληπιάδου, οἱ δὲ Θεαιτήτου φασίν.

Ὕδωρ διαπορευόμενον: Ἀντὶ τοῦ ἐσκεδασμένου, καὶ παντελῶς ἄχρηστον. g Δαβίδ. C

Ὕδωρ h παραρρέει: Ἐπὶ τῶν ἐπαγγελλομένων παντὶ σθένει i σπουδάσειν, ὡς κἂν εἰς ῥέοντα πλοῖα ἐμβῆναι οὐκ ὀκνησάντων.

Ὕδρα: Ἐννεακέφαλος ὄφις.

Ὕδραν τέμνειν: Ἐπὶ τῶν ἀμηχάνων λέγεται. Ἱστορεῖται γὰρ ὕδρᾳ τῇ k ἐν Λέρνῃ ἑκατοντακεφάλῳ τυγχανούσῃ μαχόμενον Ἡρακλέα, ὡς τῶν τεμνομένων αὐτῆς κεφαλῶν ἀνεφύοντο πλείους, l κελεῦσαι Ἰολάῳ ἐπικαίειν τὰς m τεμνομένας. D

Ὕδραν τέμνεις: Ἐπὶ τῶν ἀμηχάνων εἴρηται· παρ' ὅσον Ἡρακλῆς ὕδραν τέμνων οὐδὲν μᾶλλον ἐκράτει, ἀναδιδομένων αὖθις πλειόνων κεφαλῶν.

Ὑδρεύειν: Ποτίζειν.

A Ὑδρεία: Τὸ ὑδρεύεσθαι. Ὑδρία δὲ, τὸ ἀγγεῖον.

Ὑδρηλόν:

Ὑδροπικός: Καὶ ὑδροπότης, n καὶ ὑδροποτεῖν.

Ὑδρορρόα: Τὸ μέρος τῆς στεφανίδος, δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται· ἢ ὁ στενὸς τόπος. Ὑδρορρόα, καὶ ἡ ὕφαλος πέτρα. Λέγεται δὲ καὶ ὑδρόρροια.

B Οἱ δὲ εἰς τὰς ὑδρορρόας συνωθοῦντες αὐτοὺς, διὰ τούτων ἐσώζοντο πρὸς τὰς ναῦς.

Ὑδροστάσιον: Λίμνη μικρά.

o Παραμειψάμενοι τὸ μέγα τοῦτο ὑδροστάσιον, ἀφίκοντο ἐς τὰς λίμνας, ἐν αἷς ἐπιμιγνύμενος ἀπόλλυται ὁ Κωφὴν ποταμός.

Ὕδρου: Ὄφεως. [Ὕδρα γὰρ, ἐννεακέφαλος ὄφις.]

Ὑδροφορία: Ἑορτὴ πένθιμος Ἀθήνησιν ἐπὶ τοῖς C ἐν τῷ κατακλυσμῷ p ἀπολομένοις, ὡς Ἀπολλώνιος.

Ὑδροχεῖα: Δεξαμεναί.

q Ὁλκὸν τοῦ ὕδατος ἐπεσκεύασε, καὶ ὑδροχεῖα ἐπενόησεν.

Ὑδροπιῶντες: Νοσοῦντες. Ὑδροποτοῦντες δέ.

Ὕδρωψ: Ἡ νόσος.

Ὕαινα: Θηρίον.

Ὑέ: Ἀπειλὴ βραδυνόντων, καὶ ἀνοιγνύναι κελευόντων. Καὶ γὰρ ὗεν, ἀντὶ τοῦ ἔβρεχεν. D

Ὑέλιον: qq Καὶ ὕελος. Καὶ ὑέλινον.

Ὑετός: Τὸ υ μακρόν.

r Ἄγον μέγαν ὑετὸν ἔστη.

Αἰλιανός·

Ἐμπιπτόντων ὑετῶν, καὶ χάλαζα ἰσχυρὰ ἔρρευσε.

Καὶ s ὑετὸς, ἐκ νέφους μεταβολὴ εἰς ὕδωρ, ἐπειδὰν ἐκ γῆς ἢ ἐκ θαλάττης ἀνενεχθεῖσα ὑγρασία κατενεχθῇ.

E

a Ὕδωρ βλ.] Sunt tres versus ad somniorum interpretationem pertinentes, qui leguntur etiam apud Astrampsychum. Ceterum in versu primo pro βλύζον metri gratia scribendum est βλύον, ut habet Astrampsychus. In versu secundo, ἐκπιεῖν, pro ἐκπίνειν. Syllaba enim penultima in ἐκπίνειν longa est: at in ἐκπιεῖν, brevis. In versu tertio itidem metri gratia legendum est πιὼν, pro πίνων. KUST.

ib. Deest vs. A.V.

b πηλῶδες] ὑλῶδες A.B.E.

ὝΔΩΡ 'ΑΝΤΙΛΟΓΙΑΣ: ἀπὸ τοῦ πρ.] Ex Theodoreto ad Psalm. LXXX. 8. p. 724. KUST.

c αὐτομάτας] αὐτομάτους A. ex em.

ὝΔΩΡ ΒΟΡΟΝ] Vide supra v. Βορόν. KUST.

d ἀγρυπνίῃν] Leg. ἀγρυπνίῃ. Hippocratis est 'Επιδ. VI. §. iv. 18. HEMST. ἀγρυπνίῃ V. ubi art. in marg. Ὕδωρ—λέγει οὖν om. A. qui reliqua habet in marg.

e τρόφιμον] χρήσιμον E. suprasc. τρόφιμον.

f ΚΑΛΟΝ ΟΥ ΤΕΚΟΙΣ ἘΠΟΣ] χρηστὸν οὐδὲν ἂν τέκοις A. B.V.E. Photius. Athenæus II. p. 39 C. Vid. Jacobs ad Anthol. Pal. XIII. 29. p. 793. G

ὝΔΩΡ ΔΙΑΠΟΡΕΥΟΜΕΝΟΝ] Respexit Suidas ad Ps. LVIII. 6. 'Εξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον. *Like water that runneth apace.* TOUP. Ex Ps. LVII. 6. cum explicatione Theodoreti. ERNEST.

g Δαβὶδ] Δᾶδ A. in marg. om. V.

h ΠΑΡΑΡΡΕΕΙ] παραρέῃ Photius. Mox delevi Καὶ παροιμία· ὝΔΩΡ ΜΕΝΕΙ. Ἔστιν ἐν τῷ 'ΑΝΑΠΟΛΕΙ. Εἴρηται H οὖν ἡ παροιμία ἐπὶ τῶν ἀνήνυτα ποιούντων, quæ habet A. tantum in marg. In V. Ὕδωρ μένει: εἴρηται ἐπὶ τῶν μάτην ποιούντων. Vid. p. 308 C.

i σπουδάζειν] σπουδάσειν A. Photius.

ὝΔΡΑΝ ΤΕΜΝΕΙΝ] Plato Republ. p. 269. TOUP. p. 426. extr. ed. H. Steph. Vid. Schol. p. 159.

k ἐν Λέρνῃ] τῇ ἐν Λέρνῃ A.B.V. Photius.

l κελεῦσαι] κελεύσειν B.E. qui mox ἐπιτέμνειν pro ἐπικαίειν.

m κεφαλὰς] τεμνομένας A.V. Photius.

ὝΔΡΑΝ ΤΕΜΝΕΙΣ] Euseb. Præp. 730. TOUP.

'ΥΔΡΗΛΟΝ] Arrian. Ind. p. 586. TOUP.

n καὶ 'ΥΔΡΟΠΟΤΕΙΝ] Hæc verba om. V. Addunt B.E. et A. in marg. καὶ ζήτει ἐν τῷ Αἱματοπώτης.

F 'ΥΔΡΟΡΡΟΑ: Τὸ μέρος τῆς στεφ.] Schol. Aristoph. Acharn. 922. 1181.

ib. Polyb. 448. TOUP. IV. 57.

o Παραμειψάμενοι τὸ μ.] Hæc sunt verba Menandri in Excerpt. Legat. p. 109. KUST.

ὝΔΡΟΣ: ὕδρου, ὄφις] Ὕδρου: ὄφεως A. Phot. Lex. Seg. ὄφεως item V. Uncis inclusa om. A. γὰρ om. V.

p ἀπολομένοις] ἀπολλομένοις V. ἀπολλωμένοις Photii ms.

q 'Ολκὸν τοῦ ὕδατος] Hæc sunt verba Menandri in Excerptis Hœschelii, p. 124. TOUP.

G 'ΥΔΡΟΠΙΩΝΤΕΣ] Vel literarum series ostendit, scribendum esse ὑδρωπιῶντες, per ω in syllaba secunda. KUST.

ib. 'Υδροποτιῶντες A. ὑδροποιοῦντες E. Mox ὑδροποτῶντες A.B.V.E.

'ΥΕ] Vid. Pricæum ad Apul. Miles. IX. p. 523. HEMST. T. II. p. 349. ed. Oudend.

qq Καὶ ὝΕΛΟΣ om. A.

r Ἄγον] Scribendum, Ἄγων. Est autem pars postrema H hexametri: de quo nos supra ad v. Μᾶσσον. TOUP. Ἄγων A.

s ὑετὸς, ἐκ νέφους μεταβ.] Hæc sunt verba Laërtii in Zenone Citt. num. 153. ut Pearsonius etiam observaverat. Ceterum, pro ἐκ νέφους μεταβολὴ, scribendum potius censeo, ἢ νέφους μεταβολή. KUST.

Ὗειον: Χοίρειον. Καὶ [t]Ὕεια: Χοιρείων κρεῶν.

Ἐχορτάσθησαν [x]ὑείων.

Ὑεικόν: Ὗς ἴδιον, [u]χοίρου ἔργον.

[y]Λέγεται τὸν Σωκράτην ἄλλων τε πολλῶν παρόντων, καὶ τοῦ [z]Εὐθυδήμου, εἰπεῖν, ὅτι ὑεικὸν αὐτῷ δοκοίη πάσχειν ὁ Κριτίας, ἐπιθυμῶν Εὐθυδήμῳ προσκνήσασθαι, ὥσπερ τὰ ὑΐδια τοῖς λίθοις.

[a]Ξενοφῶν φησιν.

Ὑήνων θρεμμάτων:

[b]Καὶ ἔδοξέ μοι τοῦτο οὐκ ἀνθρώπινον, ἀλλ' ὑήνων τινῶν μᾶλλον
B
εἶναι θρεμμάτων.

Πλάτων Νόμων ζ'.

Ὑηνεῖς:

[c]Ὗς δὲ δὴ καὶ κυνοκεφάλους λέγων, οὐ μόνον αὐτὸς ὑηνεῖς, ἀλλὰ καὶ τοὺς ἀκούοντας τοῦτο δρᾶν πρὸς τὰ συγγράμματά μου ἀναπείθεις, οὐ καλῶς ποιῶν.

Πλάτων [d]Θεαιτήτῳ.

C

Ὑηνεία:

[e]Ἐν πάσῃ ὑηνείᾳ καλινδούμενος.

Ὑηνεία: Μωρία. [f]Ἀριστοφάνης·

Ἵνα μὴ γένηται Θεαγένους ὑηνία.

[g]Διεβέβλητο γὰρ οὗτος ὡς μωρὸς καὶ συώδης. Ἦν δὲ ἐκ Πειραιῶς. Ἐδόκει δὲ καὶ πένης εἶναι, καὶ θρύπτεσθαι ἐπὶ πλούτῳ· ἦν δὲ καὶ τὸ σῶμα παχὺς, καὶ χοιρώδης. Τινὲς δὲ ὑηνείαν [h]τὴν δυσωδίαν τὴν ἐκ τῶν χοίρων φασίν· οἵπερ διαφόροις ἐδέσμασι χρώμενοι δυσώδη ἀποπατοῦσι, καὶ εἰς βόρβορον [i]διαλύονται. [k]Ἦν δὲ καὶ ἄλλος, ὁ εἰς Ὅμηρον γράψας· ὃς
A
ἐπὶ μαλακίᾳ διεβάλλετο.

[l]Ἡ νῦν γενεὰ ὑπὸ τρυφῆς [m]ἀκολάστου διεφθαρμένη, ταπεινὰ καὶ γυναικεῖα φρονοῦσα, δειλίᾳ σύνοικος καὶ πάσῃ [n]ὑηνείᾳ, φιλοχρήμων, μικροπρεπὴς, δουλεύειν ἐθέλουσα, ἀσφαλῶς οὐδέν τι [o]μέγα οὐδὲ ἐλεύθερον διαπραττομένη, [p]ἀνδραποδώδης, καὶ ἀσθενὴς, γαστρὶ καὶ αἰδοίοις ἀεὶ τὴν εὐδαιμονίαν μετροῦσα, οὔτε θυμῷ γενναίῳ χρωμένη· οἷον σῶμα παρειμένον ἐν μιᾷ χώρᾳ κείμενον, ἐκνενευρισμένον, οὐδὲ κινεῖσθαι ἔτι δυνάμενον. Τοιάνδε εἶναι καὶ πολλῷ χαμαιπετεστέραν ἐπεδείκνυε τὴν ζωὴν [q]τῶν νῦν ἐν τῇ γενέσει πολιτευομένων.

Ὑηνία δὲ, [r]ἡ συγγένεια.

Ὑηνεῖς: Ῥῆμα. [s]Ὑεικόν τι καὶ ζῶδες ποιεῖς.

Ὑήνων: Σκαιῶν, καὶ ἀμαθῶν. Καὶ Ὑηνεὺς, ὁ σκαιός.

Ὕης, Ὕου. Ἐπίθετον Διονύσου· ὡς Κλείδημος. Ἐπειδὴ, φησὶν, ἐπιτελοῦμεν τὰς θυσίας αὐτῷ, καθ' ὃν ὁ θεὸς ὕει χρόνον. Ὁ δὲ Φερεκύδης τὴν Σεμέλην
C
[t]Ὕην λέγεσθαι· καὶ τὰς τοῦ Διονύσου [u]τροφοὺς, Ὑάδας. [x]Ἀριστοφάνης δὲ συγκαταλέγει ξενικοῖς θεοῖς [y]τὸν Ὕην.

Ὑΐειον: Οἴειον δὲ κρέας προβάτειον.

Ὑθλεῖς: Φλυαρεῖς. [z]Ὕθλος γὰρ, ἡ φλυαρία.

Ὑϊδοῦς: Ὁ υἱοῦ υἱός. Ὁ [zz]ἔγγονος.

Ὑλακόμωροι: Ὑλακτικοὶ, οἱ περὶ τὸ ὑλακτεῖν πονούμενοι.

D

Ὑλακτεῖ: Ἐμμανῶς καὶ ἀναιδῶς βοᾷ, ὡς [a]κύων.

[b]Τοιαῦθ' ὑλακτεῖ· σὺν δ' ἐποτρύνει πέλας
ὁ πάντα κλεινὸς οὗτος, ἡ πᾶσα βλάβη.

---

Ὕειον κρέας] κρέας om. A.V.

[t] Ὕεια: πληθυντικῶς χοίρεια] Ὑείων: χοιρείων κρεῶν A. V.

E

[u] χοίρου] χοίρειον E.

[x] ὑείων] ὑείων καὶ ὑῶν V. ὑῶν καὶ E.

Ὑεικόν] Xenoph. Mem. I. p. 716. ὑϊκὸν, quod probo. TOUP. Vid. Ruhnken. ad Tim. p. 262.

[y] Λέγεται τὸν Σωκράτην ἄλ.——ὑΐδια τοῖς λίθοις] Hæc leguntur apud Xenophontem lib. I. Ἀπομνημονευμάτων, p. 716. KUST. I. 2, 30.

[z] Εὐθυδήμῳ προσκνήσασθαι ἐπιθυμῶν] ἐπιθυμῶν Εὐθ. προσκ. A. Photius.

F

[a] Καὶ Ξενοφῶν φησιν, ὑήνων θρεμμάτων] Scribendum est, Ξενοφῶν φησιν. Καὶ, ὑήνων θρεμμάτων. Quæ enim præcedunt, sunt verba Xenophontis, non vero ea, quæ sequuntur. KUST. Καὶ om. A.

[b] Καὶ ἔδοξέ μοι τοῦτο οὐκ ἀνθρ.] Hæc sunt verba Platonis Legum lib. VII. p. 640. [p. 819. Steph.] sed ubi legitur ὑηνῶν, cum circumflexo in ultima. KUST. καὶ ἔδοξε—θρεμμάτων om. A.E.

Ὑηνεῖς: Ὗς δὲ δ.] Male hæc cum præcedentibus ante cohærebant, quæ et sensu et serie literarum suadente inde separavi et a capite reposui. KUST.

G

[c] Ὗς δὲ δὴ καὶ κυνοκεφ.] Hæc sunt verba Platonis in Theæteto, p. 124. ubi pro πρὸς τὰ συγγράμματα, legitur, εἰς τὰ συγγρ. KUST. P. 166 C. Steph.

[d] ἐν Θεαιτ.] ἐν om. A.E. Photius.

[e] Ἐν πάσῃ] Damascius apud Photium p. 1068. indicante Ruhnkenio ad Tim. p. 262. Vid. artic. seq.

Ὑηνία] ὑηνεία A.B.E.

[f] Ἀριστοφάνης] In Pac. 927.

H

[g] Διεβέβλητο γὰρ οὗτος ὡς μωρ.——ἐπὶ μαλακίᾳ διεβάλλετο] Hæc αὐτολεξεὶ etiam leguntur apud Scholiastam ad modo dictum locum Aristophanis. KUST.

[h] τὴν ἐκ τῶν χοίρων δυσωδίαν] τὴν δυσωδίαν τὴν ἐκ τῶν χοίρων A.V.

[i] διαλύονται] Enarrator Comici rectius, κυλίονται. KUST.

[k] Ἦν δὲ καὶ ἄλλος] Vid. supra p. 1850 D.

[l] Ἡ νῦν γενεὰ ὑπὸ τρ.] Totum hoc fragmentum excerptum esse ex Damascio, discimus ex ipso Suida infra v. Ψυχή: ubi locus hic auctior legitur. KUST. Hunc locum habet A. in marg.

[m] ἀκολούθου] Infra v. Ψυχὴ legitur ἀκολάστου, uti etiam hic scribendum est. KUST. Leg. ex Photio in Excerptis p. 1068. ἀκολάστου. TOUP. ἀκολάστου A.V.

[n] ὑηνείᾳ] Supple ex Photio, καλινδούμενος. TOUP. Vide paullo supra.

[o] μέγα] μεῖον A.

[p] ἀνδραποδώδης] ἀνδραπώδης A. ἀνδραποδώκης V.

[q] τῶν νῦν om. V.

[r] ἡ συγγένεια] Non dubito quin scribi debeat, συηνία: ut sensus sit, ὑηνία idem significare quod συηνία. Vide Nostrum supra v. Συηνία. KUST.

Ὑηνεῖς] Plato Theætet. p. 122 D. HEMST. Vid. Schol. Platon. p. 23. Mox delevi Καὶ, Ὑήνων θρεμμάτων. Ζήτει ἄνω, cum A.

[s] ὑεικόν] ὑϊκὸν E. Photius.

Ὑήνων] Leg. Ὑηνῶν. REINES. Vid. Schol. Platon. p. 230.

Ὕης, Ὕου. ἐπίθετον Διον.] Eadem habet Etymologus. Confer etiam Valesium in notas Maussaci ad Harpocrationem, v. Ἄττις. KUST.

[t] Ὕλην] ὕειν A. Photii ms. ὕην B.V.E.

[u] τροφοὺς] τροφὰς (οὺς) E.

[x] Ἀριστοφάνης] Vid. Dindorf. fr. Aristoph. Ὡρῶν III. n. 478.

[y] τὸν Ὕην] τὸ Ὕην A.V.

Ὑθλεῖς] Aristoph. Nub. 781.

[z] Ὕθλος] Theodorit. Græc. Affect. p. 83. TOUP.

Ὑΐειον] Ita V. et fere A.B. ubi om. οἴειον δέ. Delevi statim Ὑΐδιον: Καὶ Ὑΐδια. προεγράφη, cum A.V.

[zz] ἔγγονος] ὑΐδιον ξενόφων addit A. ὑ. ξεν. φ. ὅτι ὑεικὸν α. δ.—λίθοις ut supra in Ὑεικὸν V.

Ὑλακόμωροι] Homerus Il. ξ'. 29. KUST.

[a] ὁ κύων] ὁ om. A.

[b] Τοιαῦθ' ὑλακτεῖ. σὺν δ' ἐπ.] Sophocl. Electr. 299.

A ῞Υλακτούσης: Μαργώσης. [c] Ἐν Ἐπιγράμμασι·

Τῷ σὺ δίδου [d] μὴ πολλὰ, δι' εὐάγρου δὲ λίνοιο,
δαῖμον, ὑλακτούσης νηδύος ἡσυχίην.

῞Υλαν κραυγάζειν: Ἱστοροῦσιν ῞Υλαν τὸν Θειοδάμαντος, καλὸν τὴν ὥραν, ἐρώμενον Ἡρακλέους, ὅτε συνέπλει τοῖς Ἀργοναύταις· [e] γενομένων δὲ κατὰ Μυσίαν, ἐξελθεῖν ὑδρευσόμενον, ὑπὸ Νυμφῶν δὲ ἀφανισθῆναι. Τούτου δὲ ἐπὶ ζήτησιν Πολύφημον πεμφθέντα κεκραγέναι, καὶ ὀνομαστὶ ἀνακαλεῖν τὸν ῞Υλαν, μηδὲν B περαίνοντα. Διὸ καὶ τὴν παροιμίαν ἐπὶ τῶν μηδὲν ἀνυόντων λέγεσθαι. Καὶ νῦν δὲ Κιανοὺς ἔτι ἀπομίμημα τῆς ζητήσεως ποιουμένους, ἑορτάζειν τῷ Ἡρωϊ.

῞Υλας: ῎Ονομα κύριον.

Ὑλαῖα: Ἐκ τοῦ ὕλη. Καὶ ὑλαῖος.

Ὑλειώτης: Ὁ ἐν ὕλῃ διατρίβων. [f] Ἐν Ἐπιγράμμασι· C

Τοῦτό σοι, Ὑλειῶτα, κατ' ἀγριάδος πλατάνοιο
δέρμα λυκορραίστης ἐκρέμασεν [Τελέσων.]

῞Υλη: Ὁ σύνδενδρος τόπος. ῞Υλη [g] καὶ ἡ σκῆψις, ἡ ὑπόθεσις.

῞Υλας χορηγῶν, καὶ τοσαύτας, [h] καὶ ξένας.

Ὑλήεσσα: [i] Σύνδενδρος.

Ὑληκοίτης:

D Ὑλωροί: Οἷς τὰ διὰ τῆς ὕλης ἔργα ἐν φροντίδι ἐστί. Λέγει δὲ τοὺς φύλακας τοῦ ὄρους.

Ὑληφόρον: Ξυληφόρον.

Ὑλλίδης:

῞Υλλος: ῎Ονομα [k] κύριον.

Ὑμά:

Ὑμεδαπῶν: Τῶν ἐκ τοῦ αὐτοῦ [l] ἐδάφους· συγγενῶν· ἢ τῆς αὐτῆς χώρας.

Ὑμέδην: Στεῖραν, ἄγονον.

Ὑμεναίων: Γαμικῶν ὕμνων.

[m] Ὑμέναιος γὰρ ἐκείνων Λυδὸς ᾄδεται.

[n] Τὸν χαρίεντ' [o] Ἀλκμᾶνα, τὸν ὑμνητῆρ' ὑμεναίων,
κύκνον, τὸν Μουσῶν ἄξια μελψάμενον.

Ὑμενώδες: Λεπτότατον, καὶ οἷον εἰπεῖν, ἀερῶδες.

B [῞Υμμες καὶ ὕμμιν: Ψιλοῦνται· ὡς Αἰολικόν.]

Ὑμεῖς μὲν ἄρα ζῆτε νυμφίων βίον: Διότι οἱ γαμοῦντες στέφονται σισύμβροις καὶ φυτοῖς τισίν. Ἢ ὅτι ἡδυπαθοῦσι πρὸς τὰς τῶν γάμων ἡμέρας.

Ὑμεῖς, ὦ Μεγαρεῖς, οὔτε τρίτοι, οὔτε τέταρτοι: Χρησμοῦ κομμάτιόν ἐστι παροιμιαζόμενον οὕτως·

῞Ιππον Θεσσαλικὴν, [p] Λακεδαιμονίαν τε γυναῖκα,
C ἄνδρας δ', οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.
ἀλλ' ἔτι καὶ τῶν εἰσὶν ἀμείνονες, οἵτε μεσηγὺ
Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου,
Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο.
Ὑμεῖς δ', Αἰγιέες, οὔτε τρίτοι, οὔτε τέταρτοι,
οὔτε δυωδέκατοι, οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ.

Ἱστορεῖ δὲ Μνασέας, ὅτι Αἰγιεῖς οἱ ἐν Ἀχαΐᾳ καταναυμαχήσαντες Αἰτωλοὺς, καὶ λαβόντες πεντηκόντορον αὐτῶν, δεκάτην Πυθοῖ ἀνατιθέντες, ἠρώτων [q] τίνες εἶεν D κρείττους τῶν Ἑλλήνων· ἡ δὲ Πυθία ἔχρησεν αὐτοῖς τὰ προκείμενα. Καὶ ῎Ιων δὲ Αἰγιεῦσι δοθῆναι τὸν χρησμὸν ἱστορεῖ. Τινὲς δὲ οἴονται Μεγαρεῦσιν εἰρῆσθαι αὐτὸν, καὶ προφέρονται,

Ὑμεῖς δ', ὦ Μεγαρεῖς, οὔτε τρίτοι, οὔτε τέταρτοι.

Ὡς καὶ Καλλίμαχος [r] ἐν τοῖς Ἐπιγραμματίοις·

E

[c] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 89.

[d] μὴ πολλὰ δι'] πολλὰ μὴ B. μὴ πολλὰ μὴ E.

῞ΥΛΑΝ ΚΡ.] Confer Nostrum supra v. Τὸν ῞Υλλαν κραυγάζειν. KUST. Cf. Apollod. I. 9. Apoll. Rhod. I. 131. 1177. et 1207. et Eustath. in Dionys. Perieg. Νύμφη γὰρ, φασὶν, ὑδρευόμενον τὸν ῞Υλαν καθήρπασεν, ὃν καὶ ἀνακαλούμενον ὁ πελώριος Ἡρακλῆς οὐδὲν ἤνυσεν, ἀλλὰ μακρὰ καὶ κενὰ βοήσας ἀπηλλάγη, ὡς καὶ Θεόκριτος (Id. XIII.) ἱστορεῖ· ὡς καὶ παροιμία φησὶν ἐπὶ τῶν ἀνακαλουμένων τοὺς μὴ ἀκούοντας, ῞Υλαν καλεῖν. REINES.

[e] γενομένων] γενόμενον Photius.

[f] Ἐν Ἐπιγράμμασι] Anthol. VI. 106. Τελέσων om. A.B.V.E. Delevi statim ὙΛΛΕΙΣ: ῎Εθνος Ἰλλυρικόν. ἀπὸ ῞Υλλου τοῦ Ἡρακλέους, καὶ Μελίτης τῆς Αἰγαίου τοῦ ποταμοῦ, cum A.B.V.E. Quæ sumpta sunt ex Steph. Byz. Scholiastam Apollon. Rhod. IV. 525. 542. notavit Hemsterhusius.

[g] καὶ ἡ] ῞Υλη καὶ ἡ A.E. ἡ πρόφασις post σκῆψις om. A.B.V. Post ὑπόθεσις addit E. ῞Υλη—εἴδους, quæ vulgo leguntur post ξένας.

[h] καὶ ξένας] ἐξένας B.E. Delevi ῞ΥΛΗ δὲ, καὶ ἡ εἰδοποιουμένη ὑπὸ τοῦ εἴδους. Πᾶν γὰρ τὸ γινόμενον, ἢ φύσει, ἢ τέχνῃ, ἐξ ὕλης καὶ εἴδους ἔχει τὴν σύστασιν. Οἷον, ὁ Σωκράτης ἐξ ὕλης μὲν τῆς σαρκός· εἴδους δὲ, τῆς ἀνθρωπείας μορφῆς. Καὶ τουτὶ τὸ τεχνητὸν, ἐξ ὕλης μὲν τοῦ ξύλου· εἴδους δὲ, θύρας, ἢ σκαμνίου, ἢ ἄλλου τινὸς, cum A.B.V.

[i] χώρα ἡ σύνδενδρος] χώρα ἡ om. A.B.V. Photius.

ὙΛΗΚΟΙΤΗΣ] Delevi ΘΗΡ. Ὁ ἐν τῇ ὕλῃ τὴν κοίτην ποιούμενος, cum A.B.V. Vid. Hesiod. Opp. 527.

ὙΛΗΩΡΟΙ] Spectat Apollon. Rhod. I. 1227. judice H Arnaldo Lect. Græc. p. 130. Atqui eo in loco Ὑληωροὶ fœmininum est.

ὙΛΗΦΟΡΟΝ] Aristoph. Ach. 271. Pro ξυληφόρον V. ξυλοσφόρον. Deest gl. A.

[k] κύριον] Statim delevi Βουθοίνας ὁ Ἡρακλῆς, ῞Υλλου τοῦ υἱοῦ αὐτοῦ πεινάσαντος, ἕνα τῶν ἀροτήρων βοῶν Θειοδάμαντος θοινήσας ἔφαγε, quæ A.V. habent in marg. Leguntur supra p. 760 B. Tum ὙΛΩΡΟΣ: Ὁ τῆς ὕλης φύλαξ, ab omnibus mss. absunt. et in gl. seq. ὑμέτερα.

[l] ἐδάφους ὑμῶν] ὑμῶν om. B.V. Photius.

[m] Ὑμέναιος γὰρ] Ex quo fonte hoc fragmentum deprompserit Suidas, equidem nescio et posteri forsan nescibunt. Quid sit autem ὑμέναιος Λυδὸς, sive Λύδιος, nemo interpretum intellexit. Rem satis manifestam dabit Apuleius de Asino: *Jam feralium nuptiarum miserri-* F *mæ virginis choragium struitur. Jam tædæ lumen atræ fuliginis cinerem arcessunt, et sonus tibiæ Zygiæ mutatur in* QUERULUM LYDIÆ MODUM. Vox autem Ὑμέναιος, quod jam moneo, formæ adjectivæ quodammodo est. Hinc nunc de *deo nuptiarum præside*, nunc de *hymno nuptiali* usurpatur. Ὑμέναιος θεός. Ὑμέναιος ᾠδή. Recte autem Ὑμέναιος ᾄδεται. Schol. ad Aristoph. Av. 1440. Ὑμὴν ὦ Ὑμέναιε. ῎Ηιδετο τοῦτο ἐν τοῖς γάμοις. Charito Aphrodisiensis, lib. I. ὙΜΕΝΑΙΟΣ ῎ΗΙΔΕΤΟ κατὰ πᾶσαν τὴν πόλιν. TOUP.

G [n] Τὸν χαρίεντ' Ἀλκμ.] Anthol. Pal. VII. 19.

[o] Ἀλκμᾶνα] Ἀλμᾶνα V. qui mox ὑμνητ<sup></sup>.—ὑμνητὴν E.

ὙΜΕΝΩΔΕΣ] Ὑμνῶδες V. post λεπτότατον delevi ἀπὸ τοῦ ὑμένος cum A.B.V.

῞ΥΜΜΕΣ] Hæc A. et V. in marg. καὶ ὕμμιν om. A.

ὙΜΕΙΣ ΜΕΝ ῎ΑΡΑ Ζ.] Aristoph. Av. 161.

ὙΜΕΙΣ, ὯΩ ΜΕΓΑΡ.] Vide Eustath. ad Homer. p. 292. Tzetzem Chil. IX. c. 291. Scholiastam Theocr. ad Idyll. XIV. 48. Nostrum supra v. Αἰγιεῖς, et v. Μεγαρέων. H KUST. Anthol. Pal. XIV. 73. Strabo X. p. 449.

[p] Λακεδαιμονίην] Λακεδαιμονίαν A. Photius. Tum ἄνδρες B.E. pr. ἣν πίνουσιν B. τῶν εἴσιν A.E. Photius. ἀμύμονες V. πολέμοιο A.

[q] τίνες εἶεν κρείττους] τινες κρείττονες εἶεν Photius.

[r] ἐν τοῖς] ἐπὶ τοῖς A.B.V.E. Photii ms.

Τῆς δὲ ταλαίνης
νύμφης, ὡς Μεγαρέων, οὐ λόγος οὐδ' ἀριθμός.

Ὑμὴν, ὑμένος. [[s]Τὸ λεπτότατον δέρμα.]

Ὑμήττιον μέλι, τὸ εὔχρηστον πρὸς ἰατρείαν. Ὑμηττὸς δέ ἐστι τόπος τῆς Ἀττικῆς περὶ τὰς Ἀθήνας.

Ὑμνεῖν: Ὀδύρεσθαι, μέμφεσθαι, λοιδορεῖν. Κατ' εὐφημισμόν· ὡς [u]ἐν πρώτῳ Πολιτείας [x]Πλάτων.

Ὑμνηπολείτω: Ὑμνείτω. Καὶ [y]ὑμνηπόλος. B

Ὑμνῇ σε:

Ὁ τοῦ φωτὸς διατμήξας τὸ πρωτόγονον χάος, ὡς ἐν φωτὶ τὰ ἔργα [z]ὑμνῇ σε, Χριστὲ, τὸν δημιουργόν.

[a]Τὸ γὰρ ὡς ἀντὶ τοῦ ὅπως κεῖται.

Ὑμνήσεις: Ἡ τραγῳδία φησί·

[b]Χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά.

Ὑμνείτω: Δοξαζέτω.

Ὕμνιδι: Ἀπὸ ὕμνις εὐθείας, [[c]ὕμνιδος, ὕμνιδι.] C

Ὑμνοπόλος: Ὁ περὶ τοὺς ὕμνους ἀναστρεφόμενος.

[d]Πολλαὶ μητέρες ὑμνοπόλων.

Περὶ Ἀλκμᾶνος τοῦ [e]λυρικοῦ.

Ὑμνῳδία: Καὶ [f]ὑμνῳδός.

Ὕνιν: Γεωργικὸν ἐργαλεῖον· καὶ ῥόπαλον. [g]Ἐν Ἐπιγράμμασι·

Ἱστοβόην τε
σὺν γυροῖς ἀρότροις, καὶ φιλόγαιον [h]ὕνιν.

D

Τὸ δὲ [i]υ' μακρόν.

Ὑόμενος: Βρεχόμενος.

Ὑομουσία: Ἀπαιδευσία, χοιρῳδία. [k]Ἀριστοφάνης·

Θαυμάζω τῆς ὑομουσίας.

Ὑοσκυαμᾶν: Μεμηνέναι, παραπαίειν. Φερεκράτης Κοριαννοῖ· E

Ὑοσκυαμᾶς ἀνὴρ γέρων.

Ὑοσκύαμον: Εἶδος [l]βοτάνης.

Ὑώδεις: [m]Οἱ Ἱπποκράτους υἱεῖς ὑώδεις τινὲς



A καὶ ἀπαίδευτοι ἐκωμῳδοῦντο· καὶ τάχ' ἂν εἴησαν προκέφαλοι. Καὶ Εὔπολις·

[n]Ἱπποκράτους παῖδες ἐμβόλιμοί τινες,
βληχητὰ τέκνα.

Τὰ δὲ ὀνόματα αὐτῶν, Τελέσιππος, Δημοφῶν, Περικλῆς.

[Ὕω: Τὸ βρέχω. Αἰτιατικῇ. Καὶ,

Ὕει σοι πῦρ ἐξ οὐρανοῦ.]

B Ὕων: [o]Βρέχων.

[Υἱώθης: Υἱοθετήθης.]

Υἱωνός: Ὁ τοῦ υἱοῦ υἱός.

Υἱῶσαι τὸν παῖδα: Υἱὸν ποιῆσαι αὐτὸν θετόν. Καὶ υἱώσει, τῇ υἱοθεσίᾳ. Καὶ υἱώσατο, ἀντὶ τοῦ υἱὸν θετὸν [p]ἐποιήσατο. Καὶ τὰς υἱώσεις, τὰς υἱοθεσίας. Ἡ χρῆσις παρὰ Αἰλιανῷ πολλή.

[Ὑπαποτρέχειν:

C [q]Τοῖς μὴ παροῦσιν [r]ὀρθρίοις ἐς τὴν Πνύκα]
ὑπαποτρέχειν ἔχουσι μηδὲ πάτταλον.

Ἀντὶ τοῦ, ὀπίσω τρέχειν, μηδὲ τὸ τυχὸν ἔχουσιν. Οἱ γὰρ ὕστερον ἐρχόμενοι εἰς τὴν Πνύκα οὐκ ἐλάμβανον τὸ ἐκκλησιαστικόν.

Ὑπάγγελτος:

Ὁ δὲ [s]κατορρωδήσας, μὴ γενόμενος ὑπάγγελτος τοῖς Ῥωμαίοις κινδυνεύσῃ.

D Ἀντὶ τοῦ καταφανής.

Ὑπάγει: Ἐξαπατᾷ. Ἢ ὑποτάσσει.

Ὑπάγει τὰ [t]προβλήματα τοῖς γενικοῖς.

[u]Ὑπάγοντος δὲ αὐτὸν τοῦ κέρδους, καὶ ἐπὶ μᾶλλον ὑποθήγοντος.

Ὑπάγειν ἐς δίκην: Τὸ ἄγειν. Καὶ [x]Θουκυδίδης, καὶ ἄλλοι.

Ὑπαγκάλιος παῖς:

E [y]Ὁ εἷς δέκα ἔτη γεγονὼς, καὶ ὁ ἕτερος ὑπαγκάλιος.

Ὑπαγόμενος: Ἐξαπατῶν.

Ὑπαγόμενος δὲ τοὺς παῖδας προσωτέρω τῆς πόλεως.

Ὑπαγόμενος: Πειθόμενος, ἀπατώμενος.

[z]Γυναίου ἀκολάστου καὶ τυραννικοῦ διαβολαῖς ὑπαγόμενος.

ΥΜΗΝ] Vid supra in Μήνιγξ. ὑμὴν τὸ ἐγκέφαλον σκέπων. REINES.

F [s] Τὸ λεπτ. δέρμα om. A.V.

[t] ΥΜΗΤΤΙΟΝ] Ὑμήττειον A.V. Ante h. v. delevi ΥΜΗΤΤΟΣ: Τόπος ἐν Ἀθήναις. Ἢ ὄρος, cum A.B.V. et post μέλι cum iisdem ἐξ αὐτοῦ. Ἀπὸ τούτου δὲ καὶ πᾶν. Tum Ὑμηττὸς—Ἀθήνας ex A.B.V. quibuscum concordat Photius. παρὰ A. pro περί. Habet autem A. in marg. Ὑμηττὸς, τοπ°, ὄρ$^{ς}$.

[u] ἐν πρώτῳ Πολιτείας Πλάτων] Pag. 410 D. KUST.

[x] Πλάτων] Deest Phot. Tum delevi καὶ Σοφοκλῆς, καὶ Αἰσχύλος φασὶ, cum A.B.V. Vid. Schol. Platon. p. 144. 235. G

[y] ΥΜΝΟΠΟΛΟΣ] ὑμνηπόλος A.V.

ΥΜΝΕΙ] Ὑμνῇ A.B.V.E. Hunc art. habet V. in marg.

[z] ὑμνεῖ] ὑμνῇ A.E. Tum $\overline{\chi\epsilon}$ A.V.E. pro κύριε.

[a] Τὸ δὲ] τὸ γὰρ A.V.

[b] Χθονὸς τῆσδ' ἐκτ.] Sophocl. Electr. 382.

[c] ὕμνιδος, ὕμνιδι om. A.

[d] Πολλαὶ μητέρες ὑμνοπόλων] Anthol. Pal. VII. 18.

[e] λυρικοῦ] λιβυρικοῦ B.E.

H [f] ΥΜΝΩΙΔΟΣ] Concessit ὑμνῳδοὺς Smyrnæis s. Corinthiis Adr. Imper. in Arund. LXVIII. cl. 11. REINES.

ΥΝΝΙΣ] Ὕνιν A.V.

[g] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 104.

[h] ὕνιν] ὗνιν A. ὕννιν E.

[i] ῡ μακρὸν] Hoc falsum est, nam et in exemplo allato, et alibi ῡ corripitur.

[k] Ἀριστοφάνης] Equit. 982.

[l] βοτάνης] Delevi δηλητηριώδους, μέλαν ἔχον σπέρμα, cum A.B.V.E.

[m] Οἱ Ἱπποκράτους υἱεῖς ὑώδ.] Ex Schol. Aristoph. Nub. 997. Vide Nostrum supra v. Βληχὴ, et v. Τοῖς Ἱπποκράτους. KUST.

[n] Τεῖς Ἱπποκράτευς] εἷς Ἱπποκράτους παῖδες A.B.V.E. Nescio an in εἷς lateat titulus fabulæ Δήμοις.

ΥΩ] Deest gl. A.V.

[o] Βρέχων] Delevi ΥΩΝ δὲ, χοίρων, cum A.V. Habent tamen A.V. in marg. ὑῶν δὲ χοιρείων κρεῶν.

ΥΙΩΘΗΣ] Deest gl. A.V. Iidem addunt sequentem.

[p] ἐποίησε] ἐποιήσατο A.B.V. Photius. Iidem omittunt υἱοθετήσεις καὶ ante υἱοθεσίας.

ΥΠΑΠΟΤΡΕΧΕΙΝ—Πνύκα om. A.V.

[q] Τοῖς μὴ παροῦσιν ὀρθ.] Aristoph. Eccles. 283.

[r] ὀρθρίοις] ὀρθίοις B.E.

[s] κατορρωδήσας] κατορροδήσας E.

[t] προβλήματα] ὑπροβλήματα V.

[u] Ὑπάγοντος] Æliani, judice Valckenærio.

[x] Θουκυδίδης] III. 70. ἐνάγειν Timæus pro τὸ ἄγειν, ubi vid. Ruhnkenius. Cum Suida concordat Photius.

[y] Ὁ εἷς δέκ.] Fragmentum hoc legitur apud Dionys. Halicarn. lib. VII. p. 472. Vide etiam supra v. Μάρκιος, ubi integer locus Dionysii adducitur. KUST.

[z] Γυναίου] Fortasse Æliani, judice Valckenærio.

[Ὑπαγορεῦσαι: Δοτικῇ. [a]Ἑρμηνεῦσαι. Καὶ A ὁ [b]Λογοθέτης περὶ Συμεὼν τοῦ Στυλίτου·

[c]Τὸν δὲ τὸν μοναδικὸν βίον αὐτῷ ὑπαγορεῦσαι.]

Ὑπάγουσιν: Ἀντὶ τοῦ [d]προάγουσι. [e]Δημοσθένης Φιλιππικοῖς.

Ὑπαγωγάς: Τὰς [f]ἀναχωρήσεις.

Διώξεις τε καὶ ὑπαγωγάς,

[g]φησὶ Θουκυδίδης. Καὶ αὖθις·

[h]Καὶ πέρα τοῦ μετρίου [i]δειμαίνοντας ἐς ὑπαγωγὴν μετανίστασθαι.

Ἀντὶ τοῦ, ὑπαναχώρησιν.

Ὑπαγωγαί: Ἀπάται.

Ὑπαγωγεύς: Ἐργαλεῖόν τι τεκτονικόν· ὥς τινες, σιδηροῦν, οἷον πτυΐδιον, [k]ᾧ χρῶνται οἱ κονιαταί. Οἱ δὲ ἐργαλεῖον οἰκοδομικὸν, ᾧ ἀπευθύνουσι τὰς πλίνθους πρὸς ἀλλήλας· ὅ τινες παράξυστον καλοῦσιν. Οἱ δὲ, [l]πηλόν τινα· [m]καθὼς καὶ Ἕρμιππος· C

Ξύνεστι [n]γὰρ δὴ δεσμῷ μὲν οὐδενί· [o]τοῖσι δ' ὑπαγωγεῦσι τοῖς ἑαυτοῦ τρόποις.

Καὶ Ἀριστοφάνης Ὄρνισι·

[p]Καὶ νὴ Δία γε, αἱ νῆτται περιεζωσμέναι
ἐπλινθοφόρουν· ἄνω δὲ τὸν ὑπαγωγέα
ἐπέτοντ' ἔχουσαι.

Ἐζωσμέναι δὲ αἱ νῆτται, διὰ τὸ ἔχειν ζώνην λευκήν.

Ὑπαγωγή: Ὑποχώρησις. D

Ὅπως μὴ ἐθελοκακοῦντες ἐς [q]ὑπαγωγὴν ὀξύτεροι εἶεν, τῶν ἵππων ἀπεβίβασεν.

Ὑπακούομαι: Δοτικῇ.

Ὑπαλπία: Ὄνομα πόλεως.

Ὑπαλύξας: Ἐκφυγών.

Ὑπάλυξις: Ἔκκλισις.

Ὑπανέντος: Ἐνδόντος. E

Ὑπανίσχει: Ὑπανατέλλει.

Ὑπανθῶ ἀεί.

Ὑπαντιάζων: Ὑπαντῶν.

[Ὑπαντῶ: Δοτικῇ. Ὑπαντῶ, ἐπὶ τῆς ὁδοῦ· Ἀπαντῶ δὲ, ἐπὶ τοῦ κριτηρίου.]

Ὑπάξεσθαι: Ὑπαγαγεῖν, ὑποτάξαι.

[r]Ὑπισχνεῖται δὲ πολλὰ μὲν ὑπάξεσθαι αὐτῷ τῶν ἐπὶ τῆς ὄχθης ἐρυμάτων.

Ὑπαποτρέχειν: [s]Ὀπίσω τρέχειν. Ἀριστοφάνης·

Τοῖς μὴ παροῦσιν ὀρθρίοις εἰς τὴν Πνύκα
Ὑπαποτρέχειν ἔχουσι μηδὲ πάτταλον.

Τουτέστι μηδὲ τὸ τυχόν.

B Ὕπαρ: Ἀλήθεια, οὐκ ἐν ὀνείρῳ, τὸ μεθ' ἡμέραν ὄναρ. [t]Οἷον, φανερῶς, ἀληθῶς ὑπάρχον.

Ἐμοὶ διηγοῦ σὺ τοὐμὸν ὄναρ· ἐγὼ δ' ἔοικα τὸ σὸν ὕπαρ ἀφηγεῖσθαι.

Ὕπαρ λέγει, τὸ μεθ' ἡμέραν ὄναρ· ὡς ἐναργῶς ὑπάρχον, ἀληθές. Κατὰ ἀποκοπὴν τῆς τελευταίας συλλαβῆς τῆς χον.

Ὕπαρ: [u]Ἐγρήγορος. Ὀπτασία ἀληθὴς βεβαίας καὶ ἀληθοῦς ἀγγελίας.

Ὑπαραττομένης: Κινουμένης, πληττομένης.

Ἵππων χρεμετιζόντων, τῆς γῆς τοῖς ποσὶν αὐτῶν ὑπαραττομένης, ὅπλων συγκρουομένων.

Ὑπαρκτά: Μόνιμα, ὑπάρχοντα.

Ὑπαρξάμενος: Κατάρξας.

Χρόνῳ δὲ οἱ Ἕλληνες Χίων ὑπαρξάντων, ἐπρεσβεύσαντο πρὸς Λακεδαιμονίους.

Ὕπαρχος: Ὁ ὑφ' ἑτέρου ἀρχόμενος, ὁ ὑποτεταγμένος ἑτέρῳ, ὁ μὴ ὢν αὐτοκράτωρ. [x]Σοφοκλῆς·

Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν.
Οὐδ' ἔσθ' ὅπου σοι τόνδε κοσμῆσαι πλέον
ἀρχῆς ἔκειτο θεσμὸς, ἢ καὶ τῷδέ σε.
Ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, οὐχ [y]ὅλων
στρατηγὸς, ὥστ' Αἴαντος ἡγεῖσθαι ποτέ.

Ὑπάρχων: Προκατάρχων.

[z]Ὡς οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος.

Καὶ τὸ [a]ὑπάρχειν, οὐχ ἁπλῶς τὸ εἶναι σημαίνει, ἀλλὰ τὸ πάλαι εἶναι, καὶ [b]προεῖναι, φθάνειν. Μένανδρος·

ὙΠΑΓΟΡΕΥΣΑΙ] Hanc gl. om. V. Habet A. in marg.

[a] Ἑρμηνεῦσαι] διερμηνεῦσαι A.B.

[b] Λογοθέτης περὶ] μεταφραστὴς εἰς τ dγ A.

[c] Τὸν δὲ τὸν μοναδικὸν βίον αὐτῷ] τὸν μοναδικὸν αὐτῷ βίον A.

ὙΠΑΓΟΥΣΙΝ: Ἀντὶ τοῦ πρ.] Ex Harpocrat. KUST.

[d] προάγουσι] προσάγουσι A.

[e] Δημοσθένης] P. 127, 27.

[f] ἀναχωρήσεις] ὑποχωρήσεις E.

[g] φησὶ Θουκυδίδης] Lib. III. c. 97. KUST.

[h] Καὶ πέρα] Hoc fragmentum legitur apud Agathiam, lib. II. p. 55. [58. extr. Par.] quem vide. Nam noster interpres haud parum hallucinatus est. TOUP.

[i] δειμαίνοντας] δειμαίνοντα E.

ὙΠΑΓΩΓΕΥΣ: Ἐργαλεῖόν τι τεκτ.] Ex Schol. Aristoph. Av. 1149. Ὑπαγωγὸς E. Toupius citat Jamblich. in Nicom. p. 157.

[k] ᾧ χρῶνται οἱ κονιαταὶ om. E.

[l] πηλὸν] Sic habet antiquissimus ms. A. itemque Scholiastes Aristophanis loco laudato, et Hesychius. At mss. B. et C. itemque priores editt. minus recte πῖλον. KUST. πλούτινα E.

[m] καθὼς καὶ Ἕρμιππος] τοιοῦτον γάρ τι καὶ Ἕρμιππος ἐν τοῖς τριμέτροις ἐμφανίζει Schol. qui reliquis caret.

[n] γὰρ] γὰρ δὴ A.B.V.E.

[o] τοῖσι δ'] τοῖς δ' A.

[p] Καὶ νὴ Δία γε, αἱ ν.] Apud Aristophanem locus hic ita distinguitur et legitur: Καὶ νὴ Δί', αἱ νῆτταί γε περιεζωσμέναι Ἐπλινθοφόρουν, ἄνω δὲ τὸν ὑπαγωγέα Ἐπέτοντ' ἔχουσαι, &c. KUST. ὑπαγωγὴν

[q] ὑπαγωγὴν] ὑποδοχὴν E. Tum ἀπεβίβασεν A.V.E. pro ἀποβίβαζεν.

ὙΠΑΝΙΕΝΤΟΣ] Ὑπανέντος A.V. Photius.

ὙΠΑΝΤΙΑΖΩΝ] Menand. p. 143. Epigr. Posidippi Anth. IV. c. 14. TOUP.

ὙΠΑΝΤΩ] Hanc gl. A. in marg. om. V.

[r] Ὑπισχνεῖτο] Ὑπισχνεῖται A.V.

[s] Ὀπίσω—τυχόν] Hæc ex A.V. Vulgo περὶ τούτου προγέγραπται. Vid. supra p. 3680 C.

[t] Οἷον—ὄναρ om. V.

[u] ἐγρηγορός] ἐγρήγορος Photius, V. ἐγρήγορσις Etymol.

ὙΠΑΡΞΑΜΕΝΟΣ] Petitum ex Platonis Timæo p. 41 C. σπείρας καὶ ὑπαρξάμενος ἐγὼ παραδώσω. VALCKENÆR. ad Eurip. Phœn. 1576.

[x] Σοφοκλῆς] In Aj. 1105.

[y] ὅλων στρατηγὸς] ἡμῶν κρατῶν E.M.

[z] Ὡς οὐχ ὑπάρχων, ἀλλ.] Senarium hunc tanquam Aristarchi Tragici citat Athen. lib. XIII. p. 612. ubi vide Casaubonum. Confer etiam Nostrum supra v. Ὡς οὐχ ὑπάρχων. KUST. Vid. Taylor. ad Demosth. c. Neær. init.

[a] ὙΠΑΡΧΕΙΝ] Xenoph. Anab. p. 139. εὖ ποιῶν ὑπάρχῃ, *prius beneficiis nos prosequatur*. TOUP.

[b] προεῖναι] προϋπεῖναι Photius.

[c]Οὐχὶ παρακληθέντας ὑμᾶς δεῖ γὰρ [d]ἡμῖν [e]εὐνοεῖν,
[f]ἀλλ' ὑπάρχειν [g]τοῦτο.

**Ὑπασπισταί**: Δορυφόροι.

Τῷ δὲ Χοσρόῃ ὑπασπισταὶ καὶ δορυφόροι τριάκοντα ὑπῆρχον.

**Ὕπατε κρειόντων, βασιλεῦ βασιλευόντων, ἐξοχώτατε, μέγιστε**:

**Ὑπατεία**: [h]Ἡγεμονία.

**Ὑπάτη**: Χορδὴ μουσικὴ, βαρὺν φθόγγον ἀποτελοῦσα.

[i]Νοῦσον ὅτ' εἰς ὑπάτην ὤλισθανε, τέρμα τ' ἄφυκτον,
[k]εἶδεν ἀριστείην ἐμφανὲς εἰς ἰδίην·
[l]πῆξε δ' ὑπὸ σπλάγχνοισιν ἑὸν ξίφος.——

**Ὑπατία**: Ἡ Θέωνος τοῦ γεωμέτρου θυγάτηρ, τοῦ Ἀλεξανδρέως φιλοσόφου, καὶ [m]αὐτὴ φιλόσοφος, καὶ πολλοῖς γνώριμος· γυνὴ Ἰσιδώρου τοῦ φιλοσόφου. Ἤκμασεν ἐπὶ τῆς βασιλείας Ἀρκαδίου. [n]Ἔγραψεν Ὑπόμνημα εἰς [o]Διόφαντον, Τὸν ἀστρονομικὸν Κανόνα, Εἰς τὰ [p]Κωνικὰ [q]Ἀπολλωνίου ὑπόμνημα. [r]Αὕτη [s]διεσπάσθη παρὰ τῶν Ἀλεξανδρέων, καὶ τὸ σῶμα αὐτῆς ἐνυβρισθὲν καθ' ὅλην τὴν πόλιν διεσπάρη. Τοῦτο δὲ πέπονθε διὰ φθόνον καὶ τὴν ὑπερβάλλουσαν σοφίαν, καὶ μάλιστα εἰς τὰ περὶ ἀστρονομίαν· ὡς μέν τινες ὑπὸ Κυρίλλου· ὡς δέ τινες, διὰ τὸ ἔμφυτον τῶν Ἀλεξανδρέων [t]θράσος καὶ στασιῶδες. Πολλοῖς γὰρ καὶ τῶν κατ' αὐτοὺς ἐπισκόπων τοῦτο ἐποίησαν· τὸν Γεώργιον σκόπει, καὶ τὸν [u]Προτέριον.

Αὕτη ἐν Ἀλεξανδρείᾳ καὶ ἐγεννήθη, καὶ ἀνετράφη, καὶ ἐπαιδεύθη. Τὴν δὲ φύσιν γενναιοτέρα τοῦ πατρὸς οὖσα, οὐκ ἠρκέσθη τοῖς διὰ τῶν μαθημάτων παιδεύμασιν ὑπὸ τῷ πατρὶ, ἀλλὰ καὶ φιλοσοφίας ἥψατο τῆς [x]ἄλλης οὐκ ἀγεννῶς, [y]περιβαλλομένη δὲ τρίβωνα ἡ γυνὴ, καὶ διὰ μέσου τοῦ ἄστεος ποιουμένη τὰς προόδους, ἐξηγεῖτο δημοσίᾳ τοῖς ἀκροᾶσθαι βουλομένοις,



A ἢ [z]τὸν Πλάτωνα, ἢ τὸν Ἀριστοτέλην, ἢ [a]τὰ ἄλλου ὅτου δὴ τῶν φιλοσόφων. Πρὸς δὲ τῷ διδασκαλικῷ καὶ ἐπ' ἄκρον ἀναβᾶσα τῆς [b]πρακτικῆς ἀρετῆς, δικαία τε καὶ σώφρων γεγονυῖα, διετέλει παρθένος, οὕτω σφόδρα καλή τε οὖσα καὶ εὐειδὴς, ὥστε καὶ ἐρασθῆναί τινα αὐτῆς τῶν προσφοιτώντων. Ὁ δὲ οὐχ οἷός τε ἦν κρατεῖν τοῦ ἔρωτος, ἀλλ' αἴσθησιν ἤδη παρείχετο καὶ αὐτῇ τοῦ παθήματος. Οἱ μὲν οὖν ἀπαίδευ-
B τοι λόγοι φασὶ, διὰ μουσικῆς αὐτὸν ἀπαλλάξαι τῆς νόσου τὴν Ὑπατίαν· ἡ δὲ ἀλήθεια διαγγέλλει, πάλαι μὲν διεφθορέναι τὰ μουσικῆς, αὐτὴν δὲ προενεγκαμένην τι τῶν γυναικείων ῥακῶν [c]αὐτοῦ βαλλομένην, καὶ τὸ σύμβολον ἐπιδείξασαν τῆς ἀκαθάρτου γενέσεως, Τούτου μέντοι, φάναι, ἐρᾷς, ὦ νεανίσκε, καλοῦ δὲ οὐδενός· τὸν δὲ ὑπ' αἰσχύνης καὶ θάμβους τῆς ἀσχήμονος ἐπιδείξεως διατραπῆναί τε τὴν ψυχὴν, καὶ δια-
C τεθῆναι σωφρονέστερον. Οὕτω δὲ ἔχουσαν τὴν Ὑπατίαν, [d]ἔν τε τοῖς λόγοις οὖσαν ἐντρεχῆ καὶ διαλεκτικὴν, ἔν τε τοῖς ἔργοις ἔμφρονά τε καὶ πολιτικὴν, ἥ τε ἄλλη πόλις εἰκότως ἠσπάζετό τε καὶ προσεκύνει διαφερόντως, οἵ τε ἄρχοντες ἀεὶ προχειριζόμενοι τῆς πόλεως ἐφοίτων πρῶτοι πρὸς αὐτὴν, ὡς καὶ Ἀθήνησι διετέλει γινόμενον. Εἰ γὰρ καὶ τὸ πρᾶγμα ἀπόλωλεν, ἀλλὰ τό γε ὄνομα [e]τῆς φιλοσοφίας ἔτι μεγαλοπρεπές
D τε καὶ ἀξιάγαστον εἶναι ἐδόκει τοῖς μεταχειριζομένοις τὰ πρῶτα τῆς πολιτείας. [f]Ἤδη γοῦν ποτε συνέβη τὸν ἐπισκοποῦντα τὴν ἀντικειμένην αἵρεσιν Κύριλλον, παριόντα διὰ τοῦ οἴκου τῆς Ὑπατίας, ἰδεῖν πολὺν ὠθισμὸν ὄντα πρὸς ταῖς θύραις, ἐπιμὶξ ἀνδρῶν τε καὶ ἵππων, τῶν μὲν, προσιόντων· τῶν δὲ, ἀπιόντων· τῶν δὲ, [g]καὶ προσισταμένων. Ἐρωτήσαντα δὲ ὅ τι εἴη τὸ
E πλῆθος, καὶ περὶ οὗ [h]κατὰ τὴν οἰκίαν ὁ θόρυβος, ἀκοῦσαι παρὰ τῶν ἑπομένων, ὅτι προσαγορεύοιτο νῦν ἡ

[c] Οὐχὶ παρακλ.] Ita legendum et distinguendum hoc fragmentum. Verte, *Vos enim nobis oportet benefacere non solum rogatos, sed priusquam rogemini.* PORSON. *Nec enim provocatos sed sponte vestra nobis bene facere vos decet.* Meinek. Fr. Menand. CCXXXVI.

[d] ἡμῖν] ὑμῖν Suidas et Photius. Correxerunt Tyrwhittus et Porsonus.

[e] εὐνοεῖν om. V.

[f] ἀλλὰ ὑπάρχειν τοῦτο] ἀλλὰ καὶ ὑπάρχειν Photius.

[g] τοῦτο] τῶδε E.

ΥΠΑΤΕ] Il. θ'. 31.

[h] Ἡγεμονεία] ἡγεμονία A.V.

[i] Νοῦσον ὅτ' εἰς ὑπ.] Anthol. Pal. VII. 133.

[k] οἶδεν] εἶδεν A.B.V. Anthol.

[l] πῆξε] ὑπῆξε B.E. Mox ἔγχος A.B.V.E. pro ξίφος.

ΥΠΑΤΙΑ: Ἡ Θέωνος τοῦ Γεωμ.] Totum hunc articulum ex vita Isidori a Damascio conscripta depromptum esse non dubito. Ceterum Epigramma in Hypatiam hanc exstat Anthol. lib. I. c.76. in fin. Ad eandem epistolæ quædam inter Synesianas hodie adhuc supersunt. KUST. Vid. Philostorg. Hist. Eccl. VIII. 9. et ibi Gothofred. in notis. REINES. Qui et h. l. Damascio tribuit.

ΥΠΑΤΙΑ] Rectissime Fabric. Bibl. Gr. V. 22. p. 221. Ὑπατία θυγατὴρ Ἐρυθρίου memoratur in Πανόλβιος. HEMST.

[m] αὐτὴ φιλόσοφος] Synes. Ep. IV. eam adpellat σεβασμιωτάτην καὶ θεοφιλεστάτην φιλόσοφον. REINES. αὕτη M.

[n] Ἔγραψεν ὑπόμνημα εἰς Διοφ.] Locum hunc sic scribendum et distinguendum esse censeo: Ἔγραψεν ὑπόμνημα εἰς Διοφάντου Ἀστρονομικὸν κανόνα. Εἰς τὰ κωνικὰ Ἀπολλωνίου. KUST. Distinxi secutus Fabricium B. G. V. 22. p. 221. qui observat "Neque placet Kusteri lectio. Nam "inter astronomos nunquam celebris fuit Diophantus, "ἄλφα Arithmeticorum." Et sic Menagius Hist. Mul. Phil. s. 53. Ante utrumque Wolfius.

[o] Διοφάντην] Διόφαντον A.B.

[p] Κωνικὰ] Κανονικὰ A.

F [q] Ἀπολλωνίου] Περγαίου. Vid. supr. Ἀπολλ. Περγ. REINES.

[r] Αὕτη διεσπάσθη παρὰ τ.] Idem tradit Socrates Histor. Eccles. lib. VII. c. 15. qui omnino hoc loco conferendus est. KUST.

[s] διεσπάρη] διεφθάρη E.

[t] θράσος] θάρσος A. Mox καὶ om. E. Tum τοῦτο om. A.

[u] Προτέριον] Statim inserunt A.V. Περὶ Ὑπατίας τῆς φιλοσόφου. Ἀπόδειξις ὡς στασιώδεις οἱ Ἀλεξανδρεῖς. Lacuna in
G E. Mox ἐτράφη A.

[x] ἄλλης] τῆς ἄλλης A.V.

[y] περιβαλλομένη γὰρ] π. δὲ A.V.

[z] τὸν Πλάτωνα ἢ τὸν Ἀριστοτέλην] τοῦ Πλάτωνος ἢ τοῦ Ἀριστοτέλους V.

[a] τὰ ἄλλου] ἄλλου A.V. τοῦ ἄλλου E.

[b] πρακτικῆς] ποντικῆς A.

[c] Αὐτοῦ βαλλομένην] Lege καὶ κατ' αὐτοῦ βαλλομένην. KUST. ἐπ' αὐτοῦ Portus. αὐτὴν E. βαλομένην V.

H [d] ἔν τε om. V. Tum ἔμφρονα A.B.V. pro σώφρονα. Mox τε om. V.

[e] τῆς φιλοσοφίας] τῆς om. A.

[f] Ἤδη γοῦν ποτε συνέβη τὸν ἐπισκ.] Vide Valesium ad Socrat. lib. VII. c. 15. KUST.

[g] καὶ προσιστ.] καὶ om. V.

[h] κατὰ τὴν] κατὰ om. A.V.

φιλόσοφος Ὑπατία, καὶ ἐκείνης εἶναι τὴν οἰκίαν. A [i]Μαθόντα δὲ οὕτω δηχθῆναι τὴν ψυχὴν, ὥστε φόνον αὐτῇ ταχέως ἐπιβουλεῦσαι, πάντων φόνων ἀνοσιώτατον. Προελθούσῃ γὰρ κατὰ τὸ εἰωθὸς ἐπιθέμενοι πολλοὶ ἀθρόοι θηριώδεις ἄνθρωποι, ὡς ἀληθῶς σχέτλιοι, οὔτε θεῶν ὄπιν εἰδότες, οὔτ' ἀνθρώπων [k]νέμεσιν, ἀναιροῦσι τὴν φιλόσοφον, ἄγος τοῦτο μέγιστον καὶ ὄνειδος [l]προστριψάμενοι τῇ πατρίδι. Καὶ ὁ βασιλεὺς ἠγανάκτησεν ἐπὶ τούτῳ, εἰ μὴ Αἰδέσιος [m]ἐδωροδοκήθη. B Καὶ τῶν μὲν σφαγέων ἀφείλετο τὴν ποινὴν, ἐφ' ἑαυτὸν δὲ καὶ γένος τὸ [n]αὐτοῦ [o]ταύτην ἐπεσπάσατο, καὶ ἐξέπλησε δίκην [p]ὁ τούτου ἔκγονος. [q]Τούτων δὲ ἡ μνήμη ἔτι σωζομένη τοῖς Ἀλεξανδρεῦσιν [s]συνέστελλεν εἰς μικρὸν κομιδῆ τὴν περὶ τὸν Ἰσίδωρον τῶν Ἀλεξανδρέων τιμήν τε καὶ σπουδήν· ὅτε καὶ τοιούτου ἐπικρεμαμένου δέους, ὅμως [t]ἔσπευδον ἕκαστοι αὐτῷ συνεῖναι C θαμὰ, καὶ τῶν ἀπὸ τοῦ σωφρονοῦντος στόματος ἰόντων ἀκροᾶσθαι λόγων. Ἐπεὶ καὶ ὅσοι ῥητορικῶν προΐσταντο διατριβῶν, ἢ ποιητικῶν, ἠσπάζοντο τὴν τοῦ φιλοσόφου συχνὴν ὁμιλίαν. Εἰ γὰρ καὶ ἀνάγωγος ἦν τὰ τοιαῦτα, ἀλλὰ τῇ γε ἄλλῃ φιλοσόφῳ ἀκριβείᾳ [u]προσετίθετό τε καὶ ἐκείνοις ἐπιμελέστερον εἰς τὰ [x]σφέτερα αὐτῶν τεχνύδρια. [y]Τά τε γὰρ ἄλλα [z]διηκρίβωτο, καὶ τῶν ἐπιδεικνυμένων λόγων τε καὶ ποιημάτων D κρίσιν ἐποιεῖτο διαφέρουσαν τῶν ἄλλων. Διὸ καὶ [a]ἐν τοῖς ἐπί τινι λογικῇ ἀκροάσει θεάτροις ὀλίγα μὲν ἐπῄνει τοὺς ἐπιδεικνυμένους, καὶ πάνυ ἡσυχάζοντι τῷ ἐπαίνῳ· καιρίως δὲ ὅμως, καὶ κατὰ λόγον. Ὅθεν [b]ἅπαν τὸ θέατρον, ὡς εἰπεῖν, τῇ ἐκείνου κρίσει γνώμονι διεχρῆτο τῶν ἄμεινον ἢ χεῖρον λεγόντων. [c]Τῶν δὲ ἐπ' ἐμοῦ γεγονότων [d]κριτικοὺς ἄνδρας [e]ἐπίσταμαι [f]τρεῖς τὰ λεγόμενα κρίνειν δυναμένους ἄνευ [g]γε μέτρου· τοῦ E γὰρ αὐτοῦ ἡ μὲν κρίσις ὁμολογεῖται οὖσα ποιημάτων καὶ συγγραμμάτων. Ἐγὼ δὲ καὶ δημιουργὸν [h]ἡγοῦμαι τὸν αὐτὸν ἑκατέρων· μόνον εἰ γυμνασία πρὸς ἑκάτερον ἴση γένοιτο, καὶ διὰ προθυμίας τῆς [i]ἴσης. [k]Ἕνα δὲ τούτων οὔ φημι τὸν Ἰσίδωρον, ἀλλὰ καὶ πολλῷ ἐλαττοῦσθαι τῶν τριῶν. Οἱ δὲ κριταὶ, Ἀγάπιος, Σεβηριανὸς, Νόμος. Ἡμέτερος δὲ ἡλικιώτης ὁ Νόμος.

Ὕπατον: Μέγαν, ὑψηλόν.

Ὕπατοι, εἶδος ἰχθύος κητώδους, οἳ καλοῦνται καὶ πρόβατα, καὶ πρέποντες. Ἀριθμοῖτο δὲ τούτοις καὶ ὁ ὄνος.

Ὕπατοι: Οἱ τὴν [l]Ῥωμαίων πολιτείαν διοικοῦντες. Ἀποσεισαμένη γὰρ τὴν δουλείαν ἡ πολιτεία μετὰ θάνατον Ταρκυνίου, δύο στρατηγοῖς, ἐνιαυσιαίαν ἔχουσιν ἀρχὴν, τὴν ἐξουσίαν ἐπέτρεψε· τῷ μὲν ἀριθμῷ τῶν ἀνδρῶν τὸν τῆς μοναρχίας διωθουμένη φόβον, τῷ δὲ συνεσταλμένῳ τῆς ἐξουσίας μετρίους τοὺς ἐν τῇ προστασίᾳ τῶν κοινῶν ἀπεργαζομένη. Ὁ γὰρ νῦν ὑπὸ πελέκεσί τε καὶ ῥάβδοις δορυφορούμενος, καὶ στρατοπέδων ἐξηγούμενος, τῆς μετ' ὀλίγον μεταβολῆς εἰς εὔνοιαν καθιστάμενος, μέτριόν τε καὶ δημοτικὸν παρεῖχεν ἑαυτὸν τοῖς ἀρχομένοις. Εἰ δ' ἄρα τις βαρέως τε καὶ ἀλαζονικῶς χρῷτο τῇ δυναστείᾳ, ῥᾳδίως [m]οὗτος ὑπὸ θατέρου τῶν ἡγεμόνων, ἰσοπαλῆ δύναμιν ἔχοντος, γυμνοῦται τοῦ φρονήματος. Τούτῳ [n]δὴ οὖν τῷ τρόπῳ τῆς πολιτείας φυγούσης τὴν τῆς τυραννίδος βαρύτητα, καὶ δημοκρατίας ἀκολασίαν, προχειρίζεται πρώτους στρατηγοὺς αὐτοκράτορας ἄνδρας δύο, [o]Κονσούλους αὐτοὺς ὀνομάσασα, οἷα δὴ προβούλους καὶ προηγόρους τινάς· οὓς Ἕλληνες μετὰ ταῦτα διὰ τὴν ὑπεροχὴν τῆς ἐξουσίας, Ὑπάτους [p]προσηγορεύκασι.

[q]Πρῶτος δὲ Ὕπατος [r]εὐνούχων ἀπεδείχθη ἐπὶ [s]Ὀνωρίου καὶ Ἀρκαδίου, τῶν υἱῶν Θεοδοσίου, [t]Εὐτρόπιος, ὁ

---

[i] Μαθόντα δὲ] μαθόντα δὴ A.

[k] νέμεσιν] αἵρεσιν E. Deest v. A.

[l] περιαψάμενοι τῇ πατρίδι] Uti et Cyrillo. Vid. Philostorg. VII. Conring. in add. ad Dissert. Acad. p. 192. REINES. προστριψάμενοι V. προστρεψάμενοι A. προστρίβουσι B.E. ἐπὶ τούτῳ om. V.

[m] ἐδωρήθη] ἐδωροδοκήθη A. ἐδωκη^θ V.

[n] αὐτοῦ] ἀφ' ἑαυτοῦ A.

[o] ταύτην] τοσαύτην E.

[p] ὁ τούτου ἔκγονος] Sc. Valentinianus III. occisus ab Ocylla, Aetii buccellario. Succedit Petronius Maximus an. 455. Placidiæ, Theodosii I. filiæ e Constantio filius. REINES.

[q] Τούτων] τούτων δὲ A.V. Mox ἔτι σωζομένη om. E. qui ἔτι inserit post Ἀλεξανδρεῦσιν.

[s] συνέστελλεν] οὐ συνέστελλεν, vel συνέστελλεν οὐδ' ἐς μ. Portus.

[t] ἔσπευδον ἕκαστοι] ἕκαστοι ἔσπευδον A.

[u] προσετίθετό τε] προσετίθει τι A. τι etiam V. ὅτι B.

[x] σφέτερα] σφέτερα γὰρ A.

[y] Τά τε γὰρ—κατὰ λόγον om. V.

[z] διηκρίβωτο] διηκριβοῦτο A.

[a] ἐν τοῖς] ἐν om. A.E.

[b] ἅπαν] καὶ ἅπαν V.

[c] Τῶν δὲ] τῶν γὰρ V.

[d] κριτικοὺς—τρεῖς] Vid. supra Νόμος καὶ Ἰαννουάριος. REINES.

[e] ἐπίσταται] Malim ἐπίσταμαι. KUST. Sic Reinesius et A.V.

[f] τρεῖς] Addit V. Ἀγάπιον, Σεβηριανὸν, Νόμον. ἕνα δὲ τούτων οὐ φημὶ τὸν Ἰσίδωρον, ἀλλὰ καὶ πολλῷ ἐλαττοῦσθαι. Reliquis omissis.

[g] γε] τε A. Nescio an leg. ἔμμετρά τε ἄνευ τε μέτρου.

[h] οἶμαι] ἡγοῦμαι A.B.

[i] ἴσης] οὔσης E. ἴσης conjecerat Portus.

[k] Ἕνα] Sic recte ms. A. At priores editt. male ἕνεκα. KUST.

[a]Οὗ τὸ ὕψος ἦν γιγαντιαῖον, καὶ ἡ τόλμα ὑπερφερεστέρα.

Ὑπερφέρω: Αἰτιατικῇ, καὶ γενικῇ.

E Ὑπερφίαλος: Ποτὲ μὲν ἐπὶ ψόγου·

[b]Ὑπερφίαλος καὶ ἀπηνής.

Ἀντὶ τοῦ, οὐκ ἔνσπονδος. Ἐν ἄλλοις δὲ ἐπὶ ἐγκωμίου·

[c]Ὑπερφιάλοισι μεθ' [d]ὑμῖν
δαίνυσθαι.

Ἀντὶ τοῦ, ἀγαθοῖς.

Ὑπερφρονεῖ:

Ὅτι τὰ [e]ἀνθρώπεια τὸ θεῖον ἢ ὑπερφρονεῖ, ἢ ἀτιμάζει, ἢ πρόνοιαν αὐτοῖς ἔφορον οὐκ ἐφίστησι.

[Ὑπερφρονῶ: Γενικῇ. [f]Καὶ αἰτιατικῇ δέ.]

Ὑπερφρόνως: Ἀλαζονικῶς, ὑπερηφάνως.

[g]Ὁ δὲ ἀντέγραψέν οἱ τά τε ἄλλα ὑπερφρόνως, καὶ αὐτὸν μὲν βασιλέα, ἐκεῖνον δὲ Καίσαρα μόνον [h]ὀνομάζεσθαι.

Ὑπέρφρων:

[i]Ὑπέρφρων δὴ οὕτως ὁ Πολέμων ὁ σοφιστὴς, ὡς πόλεσι μὲν ἀπὸ τοῦ προὔχοντος, δυνάσταις δὲ ἀπὸ τοῦ μὴ ὑφειμένου, θεοῖς δὲ ἀπὸ τοῦ ἴσου διαλέγεσθαι.

Λέγεται δὲ καὶ τὰ αὐτῷ πεπραγμένα, φημὶ δὴ Πολέμωνι τῷ ὑπέρφρονι, ἐν τοῖς βίοις τῶν Σοφιστῶν [k]τρανότερον.

Ὑπερφυᾶ τέχνην ἔχων: Ἀριστοφάνης τὸν ἀλλαντοπώλην διασύρων, ἐξαίρει τὴν τέχνην, ἵνα μᾶλλον ὀνειδίσῃ, φανείσης αὐτῆς λίαν εὐτελοῦς. Ἀλλαντοπώλης [l]γὰρ, ὁ τὰ ἔντερα πωλῶν.

Ὑπερφυής: Μεγαλοφυής, μείζων.

Ὑπερφυΐα:

Ὑπέρχεται: [m]Αἰτιατικῇ. Ἀντὶ τοῦ ὑπάγεται τὸν δῆμον, καὶ ὑποτρέχει, καὶ κολακεύει, καὶ καταπραΰνει, [n]ἀπάγων τὴν ὀργὴν ἅπασαν τὴν πρὸς αὐτόν. Ἀριστοφάνης Ἱππεῦσιν·

[o]Εἶδες οἷ' ὑπέρχεται
ὡσπερεὶ γέροντας ἡμᾶς ἐκκοβαλικεύεται.

Ἀντὶ τοῦ, ληστεύει. Κόβαλοι γὰρ, οἱ μετὰ ξύλου λησταί. Τοὺς [p]αὐτοὺς δὲ καὶ κορυνηφόρους. Οἱ δὲ, κόβαλον, τὴν μετ' ἀπάτης παιδιάν. Ὥσπερ, φησὶ, γέροντας δικαστὰς ἐκπανουργεῖ, οὕτω καὶ ἡμᾶς ἐπιχειρεῖ ἀπατᾶν. Κόβαλα γὰρ καλοῦσι τὰ [q]πανουργήματα.

[t] ὑπερανέχον] ὑπερέχον Photius.

ΥΠΕΡΤΕΡΩ om. A.V.

ΥΠΕΡΤΕΡΙΑ] Ὑπερτηρία A.V. Sed præstat lectio vulgata. Vid. Ruhnkenius Tim. p. 266.

F [u] Βοήσομαι τὰν ὑπέρτονον β.] Aristoph. Nub. 1153.

[x] τὰν] τὴν A. τᾶρα τὰν E. Mox βοὴν A. Delevi καὶ ὑψηλὴν post μεγάλην cum A.B.V.

ΥΠΕΡ ΤΟΥ.] Ps. LV. 7. cum explicatione Theodoreti ad h. l. Rom. σώσεις. ERNEST.

ΥΠΕΡ ΤΟΥΤΟΝ] Deest h. v. A.V. τούτων B.E. Tum δὲ om. E.

ΥΠΕΡΟΙΑΖΟΜΕΝΟΥ] Malim ὑπεροιησαμένου. Hesychius: Ὑπεροιησάμενοι: ὑπερηφανοῦντες. KUST. Vulg. habet Photius. Vid. H. Steph. T. L. G. II. p. 1261 G.

G [y] ὑπερβαλὼν] ὑπερβάλλων V. Mox μέγα om. V.

[z] Ὁ δὲ τὸ] Æliano tribuit Valckenærius.

ΥΠΕΡΦΑΛΑΓΓΙΑΣΙΣ] Mss. Paris. [et V.] ὑπερφαλαγγίωσις, per ω in syllaba penultima. KUST. Ὑπερφαλάγγισις Bibl. Coislin. p. 513.

ΥΠΕΡΦΕΡΕΣ] Ὑπερφυὲς B.E.M.

[a] Οὗ τὸ ὕψος] Æliano tribuit Valckenærius. In fine ὑπερφανεστέρα A.

H ΥΠΕΡΦΕΡΩ] Xenoph. Socr. Apol. p. 704. ἀνθρώπων δὲ πολλῷ προέκρινεν ὑπερφέρειν. TOUP. Deest gl. V. Exempla vide apud Boissonad. et Abresch. ad Aristæn. pp. 343. 543.

[b] Ὑπερφίαλος καὶ ἀπ.] Homerus Il. ο'. 94. KUST.

[c] Ὑπερφιάλοισι μεθ' ἡμ.] Homer. Odyss. β. 310. KUST.

[d] ἡμῖν] ὑμῖν A.

[e] ἀνθρώπινα] ἀνθρώπεια A. Hæc Æliano assignat Valckenærius.

[f] Καὶ αἰτιατικῇ δὲ] Hæc om. A. qui priora in marg. περιφρονῶ αἰτιατικῇ V. qui h. gl. in marg.

[g] Ὁ δὲ ἀντέγραψέν οἱ τ.] Fragmentum hoc auctius legitur supra v. Οὐχ ὅσον. KUST.

[h] ὀνομάζεσθαι] Supra v. Οὐχ ὅσον rectius legitur, ὀνομάσας. KUST. μόνον addidi cum A.V.

[i] Ὑπέρφρων δὴ οὕτως ὁ Πολ.] Hæc sumpta sunt ex Philostrati Polemone, p. 534. KUST. Vit. Soph. I. 25, 4.

[k] τρανώτερον] τρανότερον A.V.

ΥΠΕΡΦΥΑ ΤΕΧΝ.] Aristoph. Equit. 141. Ἔτ' ἐστὶν εἷς, ὑπερφυᾶ τέχνην ἔχων. Vide ibi Scholiastam. KUST.

[l] γὰρ] μὲν γὰρ V.

ΥΠΕΡΦΥΗΣ] Jamblich. v. Pythag. I. 23. ἐλλόγιμοι καὶ ὑπερφυεῖς ἄνδρες. REINES.

ΥΠΕΡΧΕΤΑΙ: Ἀντὶ τοῦ ὑπ.] Ex Schol. Aristoph. Equit. 270.

[m] Αἰτιατικῇ om. A.

[n] ἀπάγων] ὑπάγων B.E.M. Mox αὐτὴν V. αὐτοὺς Schol.

[o] Εἶδέ σοι ὑπ.] Apud Aristophanem loco laudato rectius legitur,——Εἶδες, οἷ' ὑπέρχεται. KUST.

ib. εἶδέ σ' οἷ B.E.

ib. Lege, εἶδες οἷ' ὑπέρχεται Ὡσπερεὶ γέροντας ἡμᾶς κἐκκοβαλικεύεται. *Vides quomodo nos, tanquam senes, circumvenit et deludit.* Est autem ὑπέρχεσθαι *subrepere, subblandiri, ludificari.* TOUP.

[p] αὐτοὺς] αὐτοὺς δὲ A. Mox κορυνηφορεῖς A.V.

[q] πανουργεύματα] πανουργήματα A.

Ὑπέρχολος γενόμενος: Ἀντὶ τοῦ, ὑπεραγα- A
νακτήσας. Οὕτως Ἀντιφάνης.

Ὑπεσταλκότες:

Ἄλλοι δὲ τούτοις ὑπεσταλκότες, πῦρ προσέφερον ταῖς πύλαις.

Ἀντὶ τοῦ, ὑποδύντες, ὑπεισελθόντες.

Ὑπεστειλάμην: Παρῃτησάμην, [r] ἀπεκρυψάμην.

Ὑπέστημεν: [s] Ὑπεσχόμεθα.

Ὑπεστόρεσται: Ὑπέστρωται. Καὶ ὑπεστορῆ-
B σθαι.

Ὑπέσχεν: Ὑπέκλινεν, ἔδωκεν.

[t] Οὐδὲ τὴν ἀκοὴν ὑπέσχε τοῖς διαβάλλουσιν, οὐδὲ φόνον ἄδικον εἰργάσατο ἑκών γε εἶναι.

Ἀντὶ τοῦ, αὐθαιρέτως.

Ὑπεσχῆσθαι: Ὑποσχέσθαι.

Ὑπετέμνετο: Ὑπεκρύπτετο.

Ἀπὸ συνθήματος [u] ἀφιεμένων τῶν βελῶν, τὸ φῶς ὑπετέμνετο.

C Ὑπέτεινεν: Ἐπηγγέλλετο, κατεσκεύαζεν.

Ἕως μὲν οὖν ἤλπιζον τὴν στρατηγίαν τῆς ἔω παρὰ βασιλέως, καὶ τὰς ἄλλας ἐλπίδας, ἃς ὑπέτεινεν οὗτος, σπουδὴν ἐδείκνυσαν.

Ὑπεύθυνον:

Τὸ σῶμα τῶν ἀδικημάτων ὑπεύθυνόν ἐστιν ἁπάντων.

Ὑπεύθυνοι: Οἱ μήπω λογισμοὺς παρεσχηκότες, μηδὲ εὐθύνας τῆς ἀρχῆς, ἧς ἐπιστεύθησαν.

Ὑπέχει: Ὑφίσταται. Καὶ τὸ ἀποκρίνεσθαι,
D ὑπέχειν παρὰ Ἀριστοτέλει.

Ὑπέχειν ῥᾴδιον τὰς θέσεις.

[x] Ἀριστοφάνης·

Καὶ πάνθ' ὑπέχειν, ([y] πλὴν) ὧν σύνοιδεν ἡ κύλιξ.

Λόγον ὑπέχειν τῆς στρατηγίας.

A Ὑπέχοντος: Κρατοῦντος. [z] Ἀριστοφάνης·

Κἄπειτ' ἐχώρουν εἰς ἀγορὰν ἐπ' ἄλφιτα.
Ἔπειθ' ὑπέχοντος [a] ἄρτι μου τὸν θύλακον,
ἀνέκραγ' ὁ κῆρυξ, μὴ δέχεσθαι μηδένα
χαλκοῦν τολοιπὸν, ἀργύρῳ γὰρ χρώμεθα.

Ὑπεψηνισμένη: Ἀκμαία πρὸς τόκον· ἢ ἐγκύμων. Ἀπὸ [b] τοῦ ψηνὸς, ὃ σημαίνει τὸν ἐν τοῖς ὀλύνθοις γινόμενον σκώληκα, [c] ὃν οἱ γεωργοὶ ἀφάπτουσι τῶν
B κλάδων τῆς συκῆς, ὅπως ἂν ὁ καρπὸς αὐτῶν μὴ ἀπορρέῃ.

Ὑπεψιθυρίζετο: Ἠρέμα [d] ὑπεκαλεῖτο.

[e] Καὶ Σκυθικῇ φωνῇ βάρβαρα ἄττα ῥήματα ὑπεψιθυρίζετο.

Ὑπειδόμενος: Ὑφορώμενος. Καὶ ὑπείδετο, προσεδόκησε.

[f] Τὸ δὲ μειράκιον οὐδὲν ὑπειδόμενον. Τίς δ' ἂν ὑπώπτευε κρέας [g] ὑπὸ ξένων καὶ πτωχῶν ἐπὶ [h] κοινοῦ δεδομένον.

C Ὑπεικάθων: Ὑποχωρῶν. Καὶ [i] ὑπεικάθοιμι.

Ὑπειλημμένον: Ὑπονενοημένον.

Ὑπείξομεν: [k] Ὑποκύψομεν, ὑποχωρήσομεν.

Ὑπείπομεν: Ἀντὶ τοῦ προείπομεν. Καὶ ὑπειπεῖν, [l] ὑπαγορεύειν.

Ὑπειπούσης: Παρ' [m] Ἀριστοφάνει, ἀντὶ τοῦ ἠρέμα φθεγξαμένης.

Κατεσπούδασταί σοι, ὦ γενναῖε, καὶ τὸ τῆς πρεσβείας ὑπειπὼν
D ὄνομα, ἐν μοίρᾳ ἡμᾶς τῇ ἀτιμοτάτῃ συντάξαι.

Ὑπειρέσιον: [n] Ὑπαγκώνιον τῶν ἐρετῶν, ἤγουν κωπηλατῶν, [o] ἐφ' οὗ καθίζουσιν οἱ ἐρέσσοντες, διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς.

Ὑπειρετικοῖς: Τοῖς ἐρέσσουσιν.

---

ΥΠΕΣΤΕΙΛΑΜΗΝ] Ex Act. XX. 20. ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν etc. Si quid
E erat, quod vos docere utiliter possem, nunquam vobis defui. ERNEST.

[r] ἀπεκρυψάμην] *Occultavi, celavi.* Portum qui verterat *detexi* castigavit Suicer. Thes. Eccl. in Ὑποστέλλω n. II. HEMST.

[s] Ὑπεσχέθημεν] Mss. Paris. ὑπεσχόμεθα: quod magis placet. KUST. Sic B.V. Photius, Lex. Seg.

ΥΠΕΣΤΟΡΕΣΤΑΙ] Ὑπεστόρεσαι B. Ὑπεστώρεται E. Tum ὑπέστρωται om. E. Mox ὑπεστωρῆσθαι B. ὑπεστορεῖσθαι V.

[t] Οὐδὲ τὴν ἀκοὴν] Hæc sunt verba Procopii in Vandal.
F lib. I. p. 94. Leguntur etiam supra apud Nostrum v. Ἰωάννης. TOUP.

ΥΠΕΣΧΗΣΘΑΙ] Hanc gl. A. in marg.

[u] ἀφιεμένων] ἐφιεμένων A.

ΥΠΕΥΘΥΝΟΝ] γενικῇ addit A. qui rell. habet in marg. om. V.

ΥΠΕΥΘΥΝΟΙ: Οἱ μήπω] Hæc sunt verba Scholiastæ ad Aristoph. Equit. 259. TOUP. Post h. gl. delevi ΥΠΕΡΩΣΙΟΝ: Ἄπειρον, cum A.B.V.E.

ΥΠΕΧΕΙΝ] Aristot. Topic. VIII. p. 406, 10. ubi legitur τὰς αὐτὰς ὑποθέσεις. Sæpius utitur simili locutione in sequentibus. HEMST.

[x] Ἀριστοφάνης] Lysistr. 841.

[y] πλὴν om. A.B.V.E.

ΥΠΕΧΟΝΤΟΣ: Κρατοῦντος] Ὑπέχοντες: κρατοῦντες A.

[z] Ἀριστοφάνης] Eccles. 815.

[a] ἄρτι μου] μου ἄρτι A.E.

[b] τοῦ ψηνὸς, ὃ σημ.] Confer Nostrum supra v. Ἀνερίναστος, et infra v. Ψῆνες. KUST.

[c] ὃν] οὓς ὃν E. Mox ἐφάπτουσι A.E. pro ἀφάπτουσι.

[d] ὑπεκαλεῖτο] Scribe ὑπελαλεῖτο. Hesychius: Ὑπολαλεῖ: ψιθυρίζει. KUST.

[e] Καὶ Σκυθικῇ φων.] Fragmentum hoc auctius legitur infra v. Φορτία. KUST. Valckenærius Æliano tribuit. Sed vide Toupium ad v. Φορτία.

E ΥΠΕΙΔΟΜΕΝΟΣ] Polyb. p. 132. Suid. v. Αὐξέντιος. TOUP.

[f] Τὸ δὲ μειράκιον] Æliano tribuit Valckenærius.

[g] ὑπὸ ξένων καὶ πτ.] Locus hic obscurus est: quem ita verti, ac si legeretur, τοῖς ξένοις καὶ πτωχοῖς ἐκ τοῦ κοινοῦ δεδομένον. KUST. τί δ' ἂν—ὑποδεδομένον M.

[h] κοινοῦ δεδομένον] κοινοῦ λαοῦ ὑποδεδομένον E. Statim delevi ΥΠΙΔΕΣΘΑΙ: Ὑποθεωρῆσαι, cum A.V. Vide infra suo loco.

[i] ΥΠΕΙΚΑΘΟΙΜΙ] Statim delevi Σοφοκλῆς δὲ, ὑπεικάθοιμι,
F cum A.B.V. Vid. Soph. Elect. 36.

ΥΠΕΙΛΗΜΜΕΝΟΥ: Ὑπονενοημένου] Ὑπειλημμένον: ὑπονενοημένον A.V. Photius.

[k] ὑποκύψομεν, ὑποχωρήσομεν] παραχωρήσομεν Photius.

[l] Προαγορεῦσαι] Ms. A. ὑπαγορεῦσαι. KUST. ὑπειπεῖν. Ὑπαγορεύειν A.B. Photius Lex. Seg. ὑπειπεῖν ἀπαγορεύειν V. ὑ. προαγορεῦσαι E.

[m] Ἀριστοφάνει] Plut. 998. Vid. Hemsterhus. p. 348.

ΥΠΕΙΡΕΣΙΟΝ] Infra suo loco rectius legitur, ὑπηρέσιον,
G per η in syllaba secunda. KUST. Sic Photius.

[n] Ὑπαγκώνιον] Potius ὑποπύγιον: ut ex sequentibus patet. Ceterum, notam hanc Suidas sumpsisse videtur ex Scholiaste Thucydidis ad lib. II. c. 93. cujus verba hæc sunt: Ὑπηρέσιον: Κῶας, ᾧ ἐπικάθηνται οἱ ἐρέσσοντες, διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς. KUST. Delevi in fine gl. Καὶ τὸ πληθυντικὸν, ΥΠΕΙΡΕΣΙΑ. Καὶ τὰς ΥΠΕΙΡΕΣΙΑΣ, cum A.V. Ceterum non mutem ὑπαγκώνιον, quod quum proprie significet *cubital,* transfertur deinde ad pulvinum quemcunque. Hesychius Ποτίκρανον vocat. Ποτί-
H κρανον, Πρόσκρανον τὸ προσκεφάλαιον, καὶ τὸ δερμάτινον ὑπηρέσιον, ἐφ' οὗ καθέζονται οἱ ἐρέσσοντες. Cratinum pro ὑπηρέσιον dixisse προσκεφάλαιον testatur Pollux X. 40. Conf. Wesseling. Diod. Sic. XX. 4.

[o] ἐφ'] ὑφ' E. ὑφ' Photii ms.

ΥΠΕΙΡΕΤΙΚΟΙΣ] Rectius scripseris, ὑπηρετικοῖς. KUST.

Ἔζευξε τὰς νῆας, βραχὺ διάστημα [p]ποιῶν, [q]ὥστε ὑπειρετικοῖς A ἐκπλεῖν δύνασθαι καὶ διαπλεῖν.

Καὶ αὖθις·

[r]Ὁ δὲ ἦν ὑπειρετικὸν σκεῦος εὐφυὲς, καὶ πολλὰς ἔχον ἀφορμὰς εἰς πραγμάτων οἰκονομίαν.

Ὑπείρονος:

Ὑπειροχίδης:

Ὑπείροχος: [s]Ὑπερέχων.

Ὑπῆγεν: Ἀντὶ τοῦ, ὑπετίθετο. [t]Ξενοφῶν·

Ὁ δὲ Κλέαρχος ταῦθ' ὑπῆγε, βουλόμενος καὶ αὐτὸν τὸν βασιλέα πρεσβεύειν συμβουλεῦσαι μὴ παραδοῦναι τὰ ὅπλα.

[Ὑπήκουσεν ἡμῖν:]

Ὑπῆκτο:

[u]Ἡ δὲ Λιβανία τὸ θρασὺ αὐτοῦ καὶ γενναῖον ἀποκόψασα, αἰχμάλωτον ὑπῆκτο.

Ἀντὶ τοῦ, ὑπηγάγετο.

Ὑπηνέμια: Τὰ ψευδῆ καὶ ἀβέβαια. C

[x]Γίνεται γὰρ [y]αὐτῷ ἐντεῦθεν τὰ ὑπηνέμια καὶ τερατώδη, ἀντὶ τῆς ἀληθοῦς ἐπιστήμης, οἷον εἴδωλα ἄττα καὶ [z]σκιαί. [a]Πράττουσι γοῦν [b]πρὸ τῆς τῶν ἀληθῶν ἐπιστήμης τὰ ψευδῆ.

Ὑπηνέμια: [c]Ὑπηνέμια καλεῖται τὰ δίχα συνουσίας καὶ μίξεως. [d]Σύνηθες δὲ λέγειν αὐτοῖς [e]ἀνεμίδιον. Πλάτων ἐν Θεαιτήτῳ·

Γόνιμον ἀνεμίδιον [f]τυγχάνει.

Ὑπηνέμια: Ὡς ἡμεῖς [g]λέγουσιν. [h]Ἀριστοφάνης Δαιδάλῳ·

[i]Ἐνίοτε πολλοὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ᾠὰ [k]πολλάκις.

Πλάτων δὲ ὁ φιλόσοφος ἐν Θεαιτήτῳ, [l]ἀνεμιαῖα. Καὶ Μένανδρος Δακτυλίῳ·

Ἀνεμιαῖον ἐγένετο.

B Τὰ δίχα σπέρματος ἄρρενος.

Ὑπηνέμιοι: Ὑπὸ τὸν ἄνεμον.

Ὑπήνη: Μύσταξ, τὸ γένειον, πώγων, ἡ τοῦ ἄνω χείλους τρίχωσις· [m]τὸ δὲ κάτω, πάππος.

Ὑπήνη: [n]Παρὰ τὸ ὑποκάτω εἶναι, ἢ ἰέναι. [o]Τὸ δὲ πη διὰ τοῦ η, παρὰ τὸν ἥσω μέλλοντα, ἀπὸ τοῦ ἵημι. Ἡ, ὡς εἰρήνη, γαλήνη.

Ὑπηνήτῃ: Ἀκμαίῳ, ἄρτι γενειῶντι, ἔτι νέῳ.

C [p]Πρῶτον ὑπηνήτῃ ὄντι.

Ὑπήντων ταῖς γυναιξὶν, ἀσπασμοὺς, καὶ παιᾶνας, καὶ πάνθ' ὅσα ἐκ μεγάλων κινδύνων εἰς ἀδόκητον σωτηρίαν καταστάντες ἄνθρωποι λέγουσι καὶ πράττουσιν:

Ὑπηρέσιον: Τὸ παρ' ἡμῖν, ᾧ χρώμεθα εἰς [q]ἀπόπατον.

---

p ποιῶν om. E.

q ὥστε ὑπειρετικοῖς] Constructionis ratio requirit, ut scribatur, ὥστε τοὺς ὑπειρετικούς: ut Portus etiam monuit. KUST.

r Ὁ δὲ ἦν ὑπειρετικὸν σκ.] Hæc sunt verba Polybii de Damocle, ut patet ex Excerptis Historicis, a Valesio editis, in quibus p. 61. fragmentum hoc occurrit. Ibi autem pro ὑπειρετικὸν rectius scriptum est, ὑπηρετικόν. Confer Nostrum supra v. Εὐφυὲς, et v. Σκεῦος, ubi idem locus legitur. KUST. τὸ δὲ A. Tum ὑπηρετικὸν A.E. E ὑπηρετικὸν B.

ΥΠΕΙΡΟΧΙΔΗΣ] Ὑπειροχείδης B.E.

s Ὑπερέχων] ὁ ὑπερέχων A.V. Statim delevi ΥΠΗΒΟΛΟΝ: Ὑποκείμενον πρὸς δάνειον, cum A.B.V.E.

t Ξενοφῶν] Anab. II. 1, 18. ubi ὑπήγετο—παρὰ βασιλέως πρεσβεύοντα.

ΥΠΗΚΟΥΣΕΝ ΗΜΙΝ om. A.V.

u Ἡ δὲ Λιβανία] Æliano tribuit Valckenærius.

x Γίνεται] Ex Juliano Or. VII. p. 206 C. docente Wyttenbachio ad Plutarch. II. p. 38 E. qui consulendus est. F

y αὐτῷ] αὐτῶν B.E.

z σκιαὶ] σκιὰν V.

a Πράττουσι] Malim τάττουσι. KUST.

b πρὸ] ἐπὶ V.

c Ὑπηνέμια καλεῖται, τὰ δ.] Ex Schol. Aristoph. Av. 696.

d Σύνηθες δὲ λέγειν αὐτ.] Locus hic et corruptus est et mutilus, qui sic scribendus est: Σύνηθες δὲ λέγειν τοῖς Ἀττικοῖς ἀνεμιαῖον ἀντὶ τοῦ ὑπηνέμιον. Πλάτων ἐν Θεαιτήτῳ· Ἀλλὰ φέρε δὴ κοινῇ σκεψώμεθα, γόνιμον ἢ ἀνεμιαῖον τυγχάνει ὄν. G Confer Nos supra ad v. Ἄνεμος, ubi rationes emendationis hujus attulimus. KUST.

e ὑπηνέμιον] ἀνεμίδιον A.V. Schol.

f τυγχάνουσα] τυγχάνει A.V. Schol.

g λέγομεν] λέγουσιν B.V.E. Photius. Deest gl. A.

h Ἀριστοφάνης Δαιδάλῳ] Hos senarios Platoni ἐν Δαιδάλῳ adsignat Scholiastes ad Aristoph. Nub. 663. Nam uterque Comicus in Dædalo laudatur: de quo Ernestus H ad locum. Veram autem lectionem, pace viri eruditi, subministrat Suidas: Ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ Ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις. *Interdum* MULTÆ *gallinarum* MULTA *ova inania vi excludunt.* Ita interpretandi sunt isti versiculi. Βίᾳ τίκτουσι, *vi et præter naturam pariunt.* Hæc est mens Comici, quam minus

D perspectam habuerunt viri doctissimi. Huc facit Varro de Re Rust. lib. II. p. 62. *In fœtura res incredibilis est in Hispania, sed est vera: quod in Lusitania ad Oceanum in ea regione ubi est oppidum Olysippo, monte Tagro, quædam e vento concipiunt certo tempore equæ: Ut hic* GALLINÆ *quoque solent, quarum* OVA ΥΠΗΝΕΜΙΑ *appellant.* TOUP.

i Ἐνίοτε πολλοὶ τῶν ἀλεκτρ.] Idem fragmentum Aristophanis citat Athenæus lib. IX. c. 4. p. 374. sed qui τὸ E ἐνίοτε non agnoscit; et pro πολλοὶ rectius habet πολλαὶ, genere fœminino. Vox ἀλεκτρυόνων enim hic non de gallis gallinaceis, sed gallinis intelligenda est: quo sensu vocabulum istud ab optimis etiam scriptoribus interdum accipi, Athenæus loco laudato docet. KUST. ἐν ἴστε. πολλαὶ Photii ed.

k πολλάκις om. E.

l ἈΝΕΜΙΑΙΑ] Imo ἀνεμιαῖον. Vide Nos supra ad v. Ἄνεμος. KUST.

ΥΠΗΝΕΜΙΟΙ] Scribe ὑπήνεμοι. Sophocles Antig. 411. F Καθήμεθ' ἄκρων ἐκ πάγων ὑπήνεμοι. Scholiastes: Ὑπήνεμοι. ἀντὶ τοῦ, ὑπὸ τὸν ἄνεμον. οὐκ ἐναντίον τοῦ ἀνέμου, ἀλλ' ἐστραμμένοι ἀπὸ τοῦ νεκροῦ, ὅπως μὴ φέρῃ πρὸς ἡμᾶς τὴν ὀσμήν. Huc Suidas respexit. KUST.

ΥΠΗΝΗ: Μύστ.] Confer Etymologum. KUST. Schol. Ven. ad Il. ω'. 348. Μύσταξ μὲν αἱ ἐπὶ τοῦ ἄνω χείλους τρίχες, τὸ δὲ κάτω πάππος, τὸ δὲ ἐξ ἀμφοῖν ὑπήνη.

m τὸ δὲ κάτω] Scribe τοῦ δὲ κάτω. Vide supra v. Πάππος. KUST.

G n Παρὰ τὸ ὑποκ.] Clarius et melius etymologiam vocis ὑπήνη tradit Etymologus. KUST.

o Τὸ ηνη] τὸ δὲ πη διὰ τοῦ η A. τὸ πη ἢ διὰ τί B. τὸ δὲ πη ἢ διὰ τί V. τὸ πη ῆ E.

p Πρῶτον ὑπηνήτῃ] Homer. Il. ω'. 348. KUST.

ΥΠΗΝΤΩΝ] Dionys. Halic. Ant. Rom. VIII. p. 504, 27. HEMST. p. 524, 41. ed. Sylb.

ΥΠΗΡΕΣΙΟΝ] Sic mss. Paris. At priores editt. ὑπηρετήσιον, quæ vox est spuria, et ex Lexicis delenda. Scholiastes Thucyd. ad lib. II. c. 93. Ὑπηρέσιον. κῶας, ᾧ H ἐπικάθηνται οἱ ἐρέσσοντες, διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς. Confer etiam Nostrum supra v. Ὑπειρέσιον. KUST.

q ἀπόπατον] Statim delevi οἱ δὲ ἀμίδα λέγουσιν. κυρίως δὲ ὑπηρέσιον ἐστὶν ἔνθα καθέζονται οἱ ἐρέσσοντες, cum A.V. κυρίως—ἐρέσσοντες om. etiam B.E.

Ὑπηρέτης: Δοῦλος. [r]Καὶ Ὑπηρετῶ, δοτικῇ.

Ὑπῆρξαν: Προκατήρξαντο.

[s]Οὗτοι γὰρ πρῶτοι ὑπῆρξαν ἀδικίης.

Ἡρόδοτος. Καὶ Αἰλιανός·

Ὁ δὲ ὑπήρξατο σωφρονεῖν.

Ὑπήτρια: Τὰ οὔθατα, οἱ [t]μασθοί.

Ὑπ' ἠοῖ: Ὑπὸ τὸν ὄρθρον.

Ὑπιγή: Ἡ [u]ἀπόκλεισις. Ὑπιωγὴ δὲ, [x]ἡ σκέψις.

Ὑπιδέσθαι: Ὑποθεωρῆσαι.

Ὑπίσχεται: Ὑπισχνεῖται. Καὶ [y]Ὑποσχόμενος, συντασσόμενος.

Ὑπισχνοῦμαι: Δοτικῇ.

Ὑπνηλός: Ῥᾴθυμος.

Ὑπνομαχῶ: [z]Ἀριστοφάνης.

[a]Ἐγὼ δ' ὑπὸ μεσοπυργίῳ τεταγμένος ὑπνομαχῶ.

[Ἀντὶ τοῦ, [b]ἐπαγρυπνῶ.

Ἦν μὲν γὰρ καὶ ἄλλως [c]ὁ Μάρκελλος ὑπνομαχεῖν πεφυκώς.]

Ἐν δορὶ μέν τοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος
Ἰσμαρικὸς, πίνω δ' ἐν δορὶ κεκλιμένος.

Οὐκ οἶδα δ' εἰ μᾶλλον Ἀρχιλόχῳ προσῆκον ἦν ταῦτα εἰπεῖν.

Ὕπνος: [d]Τὸν ὕπνον γίνεσθαι ἐκλυομένου τοῦ αἰσθητικοῦ τόνου περὶ τὸ ἡγεμονικόν. Ἡ, στέρησις ἐγρηγόρσεως κατὰ φύσιν ἐστὶν [e]ὁ ὕπνος. Παρὰ φύσιν δέ ἐστι στέρησις, ὡς ἐκκοπέντων ὀφθαλμῶν.

Ὕπνος: Ἐπὶ Θεοῦ, ἡ μακροθυμία. Δαβίδ·

Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς, Κύριε;



A Καὶ,

Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος.

[f]Ὕπνος δ' ἀπέστω γλυκύθυμος ὀμμάτων.

Ἡ παροιμία ἐπὶ τῶν βουλομένων φιλοσοφεῖν.

[[g]Ὄναρ καθ' ὕπνους νητρεκὲς λαλεῖν τόδε.]

Ὕπνῳ: Τῇ ἀγρυπνίᾳ. [h]Ὅμηρος. [[i]Καὶ [i]Ὑπνῶ, ῥῆμα.]

Ὑπό: [k]Ὀλίγον.

B Ὑπόβαθμος: [l]Ὑπόβαθρος.

Ὑποβάθραν: Ὑπόβασιν, θεμέλιον.

[m]Χρόνῳ δὲ ὕστερον [n]ὑποβάθρῳ λακτίσας τὴν γυναῖκα ἀπέκτεινε, πεισθεὶς διαβολαῖς παλλακίδος.

Ὑποβαλλόμενοι: Πειθόμενοι, ἢ ὑποβλήτως λέγοντες, ἢ ἰδιοποιησάμενοι. [o]Σοφοκλῆς·

Εἰ δ' ὑποβαλλόμενοι
κλέπτουσι μύθους οἱ μεγάλοι βασιλεῖς.

C Τουτέστιν, [p]Εἰ δὲ οὐκ ἔστιν ἀληθῆ ταῦτα, ἀλλὰ πεπλασμένα ὑπὸ τοῦ βασιλέως, ἢ [q]ἄλλου τινός.

[[r]Καὶ ὑποβαλούσης τῆς τάξεως κατὰ τὸ σύνηθες, προσήχθη γυμνὸς ὁ ἅγιος Αὐξέντιος.

Ἀντὶ τοῦ, ἀποκριθείσης, ἐκκοψάσης τὸν λόγον τοῦ Δουκός.]

Ὑποβασμόν: Ὑποβάθραν.

Ὑποβήσονται: Ταπεινωθῶσιν, ὑποπέσωσιν.

D Ὅτι [s]οὔτε τοῦ αὐχήματος, ἐφ' οὗ νῦν εἰσὶν, ὑποβήσονται ἑκόντες, καὶ ποιήσουσιν [t]ἐξουσίαν σοι τοῦ πράττειν ὅ τι ἂν αὐτοῖς [u]ὑπολαμβάνῃς συνοίσειν.

[r] Καὶ Ὑπ. δοτικῇ om. A.V.

[s] Οὗτοι] Οὗτοι γὰρ A.V. Tum πρῶτον A. Locus Herodoti est IV. 1. σσοι

[t] μασθοὶ] μασθοι A.

ὙΠ' ἨΟΙ: Ὑπὸ τὸν ὄρθρον] Homer. Iliad. θ'. 530. Πρωῒ δ' ὑπ' ἠοῖοι σὺν τεύχεσι θωρηχθέντες. Ubi Schol. Ὑπὸ τὴν ἕω. Ὑπὸ τὸν ὄρθρον. Ad hunc locum respexit Suidas. Sed utrobique legendum una voce, Ὑπηοῖοι. Homer. Odyss. ρ'. 25. μή με δαμάσσῃ Στίβη ὙΠΗΟΙΗ. Apollon. Rhod. IV. 841. Ὥς κεν ὙΠΗΩΙΟΙ μνησαίατο νόστου ἑλέσθαι. TOUP. Similiter fere viri docti ad Hesych. v. Ὑπ' ἠοίη.

[u] ἀπόκλισις] Sic et omnes editt. præcedentes habent. At mss. Paris. ἀπόκλεισις, per diphthongum ει in syllaba penultima. KUST. Sic etiam V.E.

[x] ἡ σκέψις] Scribe ἡ σκέπη. Vide Hesych. v. Ἰωγὴ, et Nostrum ead. v. KUST.

[y] ὙΠΙΣΧΝΟΥΜΕΝΟΣ] ὑποσχόμενος A.B.V. ὑπισχόμενος E.

ὙΠΙΣΧΝΟΥΜΑΙ A. in marg.

[z] Ἀριστοφάνης] Xenophontem Cyrop. II. 4, 26. citat Thomas Magister p. 871. Xenophontem ex Atticis solum hac voce usum testatur Mœris.

[a] Ἐγὼ δ' ὑπὸ μεσοπυργ. τετ.] Locus hic sumptus est ex Synesii Epist. CXXIX. Ceterum verba illa, ἀντὶ τοῦ ὑπαγρυπνῶ. Ἦν μὲν γὰρ καὶ ἄλλως Μάρκελλος ὑπνομαχεῖν πεφυκὼς, vel omnino ex textu ejicienda sunt; vel saltem ad finem articuli hujus rejicienda. Sunt enim loco alienissimo posita, et seriem verborum Synesianorum omnino interrumpunt, quæ sic continuanda sunt: Ἐγὼ δ' ὑπὸ μεσοπυργίῳ τεταγμένος ὑπνομαχῶ. Ἐν δορὶ μέντοι μᾶζα, &c. Sic enim apud Synesium legitur. KUST.

[b] ὑπαγρυπνῶ] ἐπαγρυπνῶ A.B.V.E. Seqq. ἦν μὲν—πεφυκὼς leguntur supra p. 2403 A.

[c] Μάρκελλος] ὁ Μάρκελλος A.B.V. Mox μεμασμένη V.

[d] Τὸν ὕπνον——περὶ τὸ ἡγεμονικὸν] Hæc erat sententia Stoicorum de somno: ut patet ex Laërtio, apud quem in Zenone Citt. num. 158. hæc ipsa verba leguntur. KUST.

[e] ὁ ὕπνος om. V. Mox τῶν ὀφθαλμῶν V. qui deinde iterat Ὑπήτρια. Statim delevi ὝΠΝΟΣ ἀργία αἰσθήσεων, γινομένη ὑπὸ τῆς ἀνενεχθείσης ἀναθυμιάσεως ἐν τοῖς κοίλοις τοῦ ἐγκε-
E φάλου, ἐπὶ ἀναπαύσει τοῦ ζώου. ἢ, ὕπνος ἐστὶν ἀτονία τοῦ αἰσθητικοῦ πνεύματος. ἔστι δὲ ὕπνος παρὰ τὸ ὑπονοστεῖν. ἐν αὐτῷ γὰρ αἱ αἰσθήσεις ὑποχωροῦσιν, cum A.B.V.E. quæ fortasse interpolata sunt ex Zonara.

ὝΠΝΟΣ: Ἐπὶ Θεοῦ] Ex Ps. XLIII. 23. cum explicatione Theodoreti. Alter locus est Ps. LXXVII. 65. ERNEST. Hæc A. in marg.

[f] Ὕπνος δ' ἀπέστω γλυκ.] Aristoph. Nub. 705.

[g] Ὄναρ καθ' ὕπν.] Est versus oneirocriticus, qui apud Astrampsychum rectius sic legitur: Λαλεῖν καθ' ὕπνους νη-
F τρεκὲς τοὔναρ τόδε. KUST. Deest V.

[h] Ὅμηρος] Respexit ad locum illum Poetæ Odyss. μ'. 281. Ὅς ῥ' ἑτάρους καμάτῳ ἀδηκότας, ἠδὲ καὶ ὕπνῳ. Ibi enim τὸ ὕπνῳ quidam per ἀντίφρασιν pro ἀγρυπνίᾳ positum existimabant, teste Eustathio, p. 1721, 56. KUST.

[i] ὙΠΝΩ] Aristoph. Lys. 143. TOUP. καὶ ὑ. ῥ. A. in marg. om. V.

[k] Ὀλίγου] ὀλίγον A.V.E. Photius, Lex. Seg.

ὙΠΟΒΑΘΜΟΣ om. V.

[l] Ὑπόβαθρος] ὑπόβαθρον Photii ed. quomodo correxit
G H. Stephanus indice T. L. G. par. 2. p. 144 D.

[m] Χρόνῳ δὲ] Diog. Laërt. I. 94. PORSON.

[n] ὑποβάθρῳ] An potius scribendum est ὑποβάθρᾳ, ut respondeat capiti articuli. KUST.

[o] Σοφοκλῆς] Aj. 188.

[p] Εἰ οὐκ] εἰ δὲ οὐκ A.B.V.E. Schol. Soph.

[q] ἄλλου τινος] Ὀδυσσέως Schol. Soph.

[r] Καὶ ὑποβαλούσης] Seqq. om. A.V.

[s] οὔτε τοῦ αὐχήματος, ἐφ' οὗ ν.] Hæc sunt verba Dionys.
H Halicarnass. lib. VIII. p. 519. sed ubi pro οὔτε legitur τοῦτε, quam lectionem in versione secuti sumus. Vide etiam Paul. Leop. Emend. lib. I. c. 16. qui Suidam ex Dionysio hic emendandum esse recte monuit. KUST.

[t] ἐξουσίαν] ἐξουσίαν σοι A.V.

[u] δοκοίη] ὑπολαμβάνῃς A.V. ὑπολαμβάνειν B.

A Ὑποβιβάζοντες: Ἐλαττοῦντες.

Ὑποβιβάζουσιν: Ὑποκαταβαίνουσιν.

Ὑποβλεπόμενος: Ὑπονοῶν, ἐχθραίνων, ἐπιτηρῶν. Καὶ οὐκ ἦν ῥᾴδιον μὴ γελᾶν, καὶ ὑποβλέπεσθαι τὸ γινόμενον.

Ὑποβλήδην: Ὑποβαλὼν λόγον, ὑποκρουστικῶς ἔτι [v] λέγοντος.

Ὑπόβλητον: Οὐκ ἀληθὲς, ἀλλὰ πεπλασμένον. Ἀπὸ τῶν ὑποβαλλομένων εἰς τὰ γένη τοὺς παῖδας. B Σοφοκλῆς·

Τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα.

Καὶ αὖθις·

[w] Οὐδεὶς ἐρεῖ πόθ' ὡς ὑπόβλητον λόγον
[x] Αἴας ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.

Ἀντὶ τοῦ, γνήσια τῆς [y] διανοίας σου τὰ εἰρημένα, οὐχ ὑπόβλητα· [z] οἰκεῖα οὖν σαυτῷ εἶπας. Ὅμως γε μὴν [a] παῦσαι, τὸ πᾶν ἀναθεὶς ἡμῖν.

C Ὑπόβλητος: Ὁ νόθος.

[b] Ὑποβλήτους ἂν εἶπεν αὐτοὺς καὶ νόθους ἄντικρυς. Ἀνέπλησαν [c] δὲ τὴν ἑαυτῶν πατρίδα πολλῶν κακῶν.

Ὑποβολή: Ὁμοιότης, προσθήκη.

[d] Σόλων δὲ τὰ Ὁμήρου ἐξ ὑποβολῆς ἔγραψε ῥαψῳδεῖσθαι· οἷον, ὅπου ὁ πρῶτος ἔληξεν, ἐκεῖθεν ἄρχεσθαι τὸν [e] ἐχόμενον.

Ὑποβολιμαῖοι: [f] Ὑποβαλλόμενοι, καὶ εἰσποίητοι. Ἐπὶ τῶν [g] χαμαιριφῶν παιδίων, [h] ἅπερ ἑαυτῶν D ἀποβάλλουσιν αἱ γυναῖκες.

Ὑπόβολον: Τὸ δακτυλίδιον.

Ὑποβρύχιοι: Ὑπὸ τὸ ὕδωρ ποντισθέντες.

Ὑπόγαιοι: Οἱ ὑπὸ τὴν γῆν.

Ὑπογενειάζων: Λιτανεύων, ἀπὸ [i] τοῦ γενείου ἁπτόμενος.

Ὑπόγεων: Οὐδετέρως. [k] Ὑπόγαιον δὲ, ὑπὸ τὴν γῆν.

Ὑπόγειος: Ὁ ὑποτεταγμένος.

Ὑπὸ γῆν [l] οἰκοῦντες: Λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῷ [m] Περίπλῳ λεγομένους Τρωγλοδύτας, B καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ' Καταλόγου [n] Κατουδαίους ὀνομαζομένους.

Ὑποκύδεις γὰρ εἰσὶν οἱ τόποι: Δείναρχος ἐν τῷ κατὰ Στεφάνου. Ὑποκύδης ἐστὶν, ὁ δίυγρος τόπος. Ἐν ἐνίοις μέντοι τῶν ἀντιγράφων γέγραπται, ὑπόκοιλοι.

Ὑπογράφεται: Δείκνυται.

[o] Οἷς πᾶσιν ἡ σύγκλητος ἀγαθὰς ἐλπίδας ὑπογράφουσα, ἔφησε, C δέκα πρεσβευτὰς ἀποστέλλειν ἐς τὴν Ἀσίαν.

Ὑπογραφεῖς: Οἱ νοτάριοι λεγόμενοι Ῥωμαϊστί. Νότα γὰρ, τὰ γράμματα.

Ὑπογραφόμενος:

[p] Ἐγχρίων δὲ τὸ πρόσωπον, καὶ τοὺς ὀφθαλμοὺς ὑπογραφόμενος, πρός τε τὰς παλλακὰς ἁμιλλώμενος περὶ κάλλους καὶ πλοκῆς· τό τε σύμπαν, γυναικείῳ ἔθει χρώμενος.

Περὶ Σαρδαναπάλου ὁ λόγος.

D Ὑπόγυον: Ἐγγύτερον, πρόσφατον, νεωστὶ γινόμενον, τὸ [q] πρὸ ὀλίγου καὶ μετ' ὀλίγον, τὸ ἐχθές.

---

ΥΠΟΒΙΒΑΖΟΝΤΕΣ] Ὑποβιάζοντες A.B. Vulg. defendunt Photius et Lex. Seg. Post ἐλαττοῦντες addunt edd. ἢ ὑποβιάζοντες, quæ delevi cum A.B.V.

ib. Nullum adhuc exemplum se obtulit verbi ὑποβιάζειν. In vulg. lex. scribit Steph. exponi *violenter depellere*. E Apud Procop. B.V. II. 4. legas, ὑποβιαζόμενοι τῆς τῶν λαφύρων ἐπιθυμίας ἐς ὀλιγωρίαν τῶν ἄλλων ἁπάντων ἐτράποντο. Verum ubi ὑποβιβαζόμενοι forsan restituendum, sensu, ut videtur, optimo pro ἐλαττούμενοι. ABRESCH.

ΥΠΟΒΙΑΖΟΥΣΙΝ] Vel series literarum ostendit, scribendum esse, ὑποβιβάζουσιν. KUST. Et sic dedi cum Photio et Lex. Seg.

ΥΠΟΒΛΕΠΟΜΕΝΟΣ: Ὑπονοῶν, ἐχθραίνων] Sic quoque totidem verbis Hesychius. Uterque respexit ad 1 Reg. F XVIII. 9. Καὶ ἦν Σαοὺλ ΥΠΟΒΛΕΠΟΜΕΝΟΣ τὸν Δαυὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης. TOUP.

ΥΠΟΒΛΗΔΗΝ] Est vox Homerica. [Il. α'. 292.] KUST.

[v] λέγοντος] λέγων Photius, sed cum Suida consentit Lex. Seg.

ΥΠΟΒΛΗΤΟΝ: Οὐκ ἀλ.] Ex Schol. Sophocl. Œdip. Colon. 794. Ibi autem pro τοὺς παῖδας, legitur, παίδων ἀλλοτρίων. KUST.

[w] Οὐδεὶς ἐρεῖ π.] Sophocl. Aj. 481.

G [x] Αἴας] Αἴαν A.B.V. Mox ἐλέγξας V. Tum αὐτοῦ A.V. Delevi statim Παῦσαί γε μέντοι, καὶ δὸς ἀνδράσιν φίλοις, cum A.V.E.

[y] σῆς διανοίας] διανοίας σου A.B.V.

[z] ἀλλ' οἰκεῖα] οἰκεῖα οὖν A.V.

[a] παῦσαι] παύσῃς E.

[b] Ὑποβλήτους] Æliani, judice Valckenærio.

[c] δὲ τὴν] δὲ om. E.

[d] Σόλων δὲ τὰ Ὁμήρου ἐξ ὑποβ.] Hæc sunt verba Laërtii H in Solone, lib. I. num. 57. KUST.

[e] ἐχόμενον] στίχον addit A. τὸν στίχον V.

[f] Ὑποβαλλόμενοι] εἰσβαλλόμενοι E.

[g] χαμαιριφῶν] χαμαιρεφῶν E.

[h] ἅπερ ἑαυτῶν ἀποβ.] Rescribo ex Hesychio, ἅπερ ἑαυταῖς ὑποβάλλουσιν αἱ γυναῖκες. KUST. ἑαυτῶν V.

ΥΠΟΒΡΥΧΙΟΝ—ποντισθὲν] Ὑποβρύχιοι—ποντισθέντες A. Photius, Lex. Seg. Ὑποβρύχιαι—ποντισθεῖσαι Schol. Platon. p. 62.

ΥΠΟΓΑΙΟΙ] Ὑπόγαιαι A. Ὑπόγαια V. Tum αἱ ὑπὸ A.B. αἱ ὑπὸ E. om. V.

ΥΠΟΓΕΝΕΙΑΖΩΝ] Synes. p. 108. et Epist. 121. Hinc corrigend. Hesych. qui male habet ἀπὸ τοῦ γενείου. Respexit Æschin. c. Timarch. p. 179. quod et vidit Pierson. ad Herodian. p. 443. Leg. ap. Æschin. ἂν συνδοκῇ p. 34. Sic ἕλκειν γενείου Philostr. p. 626. Joseph. p. 398. Dio. Halicarn. II. p. 107. Homer. Il. θ'. 371. TOUP.

[i] τοῦ γενείου] ὑπὸ τοῦ γ. V. Photii ed. ἀπὸ τοῦ γ. A. Photii ms. Lex. Seg. Etymol. ms. Dorvill.

ΥΠΟΓΕΩΝ] Ὑπόγεως V.

[k] ΥΠΟΓΑΙΩΝ] Lego ὑπόγαιον, per ο in ultima syllaba. KUST. Ὑπόγεων V. Seqq. om. A.

ΥΠΟ ΓΗΝ ΟΙΚ.] Ex Harpocratione. KUST.

[l] ΟΙΚΟΥΝΤΑΣ] οἰκοῦντες A.E. pr. Photius.

[m] Περίπλῳ] περὶ πέπλῳ A.

[n] Κατουδαίους] καττουδαίους A.B.E. Photii ms.

ΥΠΟΚΥΔΕΙΣ ΓΑΡ ΕΙΣ.] Et hæc ex Harpocratione sumpta sunt. Ceterum, nota hæc extra ordinem literarum posita est, quæ infra suo loco collocanda est. KUST. Arcte jungitur hæc gl. præcedenti cum in Photio, tum in Harpocrationis ms. Pal.

[o] Οἷς πᾶσιν] Ex Diodor. Exc. Legat. T. II. p. 621. ut monuit Wesseling. ad XIX. 46. p. 353. Vid. et Polyb. p. 532 bis. TOUP.

ΥΠΟΓΡΑΦΕΙΣ] Vid. Αὐξέντιος. HEMST. Hanc gl. A. in marg. ubi om. λεγόμενος. Statim delevi ΥΠΟΓΡΑΦΗ: Λόγος σύντομος, δηλωτικὸς τῶν συμβεβηκότων, cum A.B.V.E. Exstant ea apud Zonaram. Toupius citat Herodian. IV. p. 158. λέγειν εὐστόχως ὑπογραφὰς ἢ παιδιάς.

[p] Ἐγχρίων δὲ τὸ πρόσωπον, καὶ τ.] Hæc sunt verba Nicolai Damasceni de Sardanapalo, Assyriorum rege, ut patet ex Excerptis Historicis a Valesio editis, in quibus p. 425. hic ipse locus legitur. Vide etiam Nostrum supra v. Σαρδανάπαλος. KUST. ἐγχρίων V.

ΥΠΟΓΥΟΝ] Pollux p. 989. πόλιν ὑπόγυον. TOUP.

[q] πρὸ ὀλίγου] Sic ms. A. At priores editt. minus recte, πρὸς ὀλίγον. KUST.

Προέθηκεν ὑπόγυον, ῥιψάσπιδος [r]γενομένου, τῷ [s]καιρῷ χρώμενος εἰς αἰσχύνην τοῦ δεδρακότος.

Μείζονα γὰρ τὰ ὑπόγυα πταίσματα τὴν συμφορὰν ἔχει.

Καὶ αὖθις·

[t]Ὀλισθηρὸς δ' ἦν ὁ δρόμος ἐξ αἵματος [u]πεπηγότος ὑπογύου τε καὶ πολλοῦ· ὡς τῶν φευγόντων ἀπελείποντο καὶ ἄκοντες.

ὙΠῸ ΔΑΚΡΎΟΙΣ: Σὺν δακρύοις.

[x]Καλεῖτε Ἀπόλλωνα ὑπὸ πολλοῖς τοῖς δακρύοις.

ὙΠῸ ΔΑΙΣῚΝ ἘΝΑΚΜΑΖΟΎΣΑΙΣ ΤΩ͂Ι ΠΥΡῚ ἘΚΈΛΕΥΣΕΝ ἘΚΚΟΜΙΣΘΗ͂ΝΑΙ ΑὐΤΌΝ:

ὙΠΟΔΕΉΣ: Ὑπόφοβος.

ὙΠΟΔΕΝΔΡΥΆΣΑΙ: Ὑποδῦναί που, καὶ πτῆξαι ὑπὸ σκέπην.

ὙΠΟΔΈΞΗ: Ὑποδέχη, τὰ πρὸς ὑποδοχὴν ἐπιτήδεια.

ὙΠΟΔΈΞΙΟΣ: Ὑποδοχεύς.

ὙΠΟΔΈΡΑΙΑ: [y]Περιτραχήλια.

ὙΠΟΔΕΡΊΔΑ: Ὁρμίσκον, πλόκιον.

[ὙΠΟΔΈΧΟΜΑΙ: Αἰτιατικῇ.

ὙΠΟΔΕΙΚΝΎΩ: Δοτικῇ. Καὶ ὙΠΟΔΕΙΚΝΎΝΤΟΣ. ὙΠΟΔΕΙΚΝΎΝΑΙ δέ.]

ὙΠΟΔΕΙ͂ΣΘΕ: Περιδεσμεῖτε.

[z]Ὑποδεῖσθε (δ' ὡς τάχιστα) τὰς λακωνικάς.

Ἔστι δὲ εἶδος ὑποδήματος.

ὙΠΌΔΗΜΑ: Τουτέστι, τὸ σαρκικὸν φρόνημα τοῦ ἰδίου θελήματος. Ὁ Θεός φησι πρὸς Μωϋσῆν·

[a]Λῦσόν σου τὸ ὑπόδημα τῶν ποδῶν· ὁ γὰρ τόπος, ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν.

ὙΠΟΔΉΜΑΤΑ: Οὕτω προσαγορεύεται ἡ ἐνανθρώπησις τοῦ Κυρίου. Καὶ τούτου μάρτυς αὐτὸς ὁ Κύριος, διὰ τοῦ προφήτου λέγων·

[b]Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου.

[c]Διὰ τοῦτο καὶ ὑποπόδιον ἤκουσεν ἡ τοῦ Κυρίου ἐνανθρώπησις· ὡς ἐπὶ τῆς γῆς ὀφθεῖσα, καὶ τοῖς ἀνθρώποις συναναστραφεῖσα, καὶ τὸ τέρμα τῆς γῆς καταλαβοῦσα. Καὶ ὁ προφήτης·

[d]Προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

ὙΠΌΔΙΚΟΙ: Κατάκριτοι.

Στρατιῶται ὑπόδικοι ἐπὶ κακουργίᾳ, δρασμὸν [e]βουλεύσαντες παρὰ Δεκέβαλον, θανάτῳ κολάζονται.

ὙΠΟΔΜΏΣ: Δοῦλος.

ὙΠΟΔΟΥΜΈΝΗ: Τὰ ὑποδήματα βάλλουσα.

ὙΠΟΔΟΧΗ͂Σ: Πλήθους.

Ὑποδοχῆς Διονυσίων.

Ἀντὶ τοῦ πλήθους, καὶ πολλῶν Διονυσίων. [f]Ἀριστοφάνης.

ὙΠΌΔΡΑ: Δεινῶς.

ὙΠΟΔΡΆΞ:

Ἡ δὲ [g]πελιδνωθεῖσα, καὶ ὄμμασι λοξὸν ὑποδρὰξ ὀσσομένη.

Τουτέστιν, ὠχριάσασα, καὶ ὑποβλεψαμένη διὰ τὴν ὀργήν.

ὙΠΟΔΡΌΜΟΥΣ: Στόμια.

ὙΠΌΔΥΘΙ: [h]Καλύπτου. [i]Καὶ ὙΠΈΡΕΧΕ ἌΝΩΘΕΝ: [k]Ἀριστοφάνης Ὄρνισι·

Λαβὼν τουτὶ τὸ σκιάδιον, ὑπέρεχε ἄνωθεν.

ὙΠΟΔΎΣ: Ὑπεισελθών.

ὙΠΟΔΎΤΗΝ: Τὸ ἐσώτερον ἱμάτιον. ἘΠΕΝΔΎΤΗΝ δὲ, τὸ ἐπάνω.

ὙΠΟΖΏΜΑΤΑ: Ξύλα τῆς νεώς. Ἀντὶ τοῦ εἰπεῖν

[r] γενομένου] γινομένου V.

[s] καινῷ] καιρῷ A.B.V.E.

[t] Ὀλισθηρὸς δὲ ἦν] Hæc sunt verba Appiani in Libycis p. 127. TOUP.

[u] πεπηγότος] πεπληγότος A.V. Mox ᾧ τῶν V. ὦ τῶν E.

[x] Καλεῖτε] Hæc Æliano tribuit Valckenærius. τοῖς ante δακρύοις om. A.

ὙΠΟ ΔΑΙΣΙΝ ἘΝΑΚΜ.] Fragmentum hoc auctius habes v. Δᾲς, et v. Ὕφει. Ceterum pro ἐνακμαζούσαις malim ἐπακμαζούσαις, ut legitur supra v. Δᾴς. KUST.

ὙΠΟΔΕΝΔΡΥΑΣΑΙ] Aliter vocem hanc exponit Hesychius, quem vide. KUST.

ὙΠΟΔΕΞΗ] Ὑποδέξηι Photius, ubi notat editor; "Ita "primo; sed punctum supra η, et ut videtur ι in ς mu-"tatum, ut voluerit Ὑπόδεξις vel Ὑποδέξεις. Pergendum "erat, ὑποδοχή." Hesychius: Ὑπόδεξιν: Ὑποδοχὴν, ἢ ἡ χορηγία πρὸς ὑποδοχήν. Vel ex Apollonio reponendum Ὑποδεξίη: ὑποδοχή. Schol. Il. ί. 73. Ὑποδεξίη: ἡ πρὸς ὑποδοχὴν χορηγία. Et hic et in Hesychio Wassius reposuerit Ὑποδεξίη. Πρὸς om. V.

ὙΠΟΔΕΞΙΟΣ: Ὑποδοχεὺς] Λιμένων ὑποδεξίων habet Herodotus VII. 49. "ὑποδοχῆς legendum, adjectivum autem "ὑποδέξιος prorsus obliviscendum videtur" inquit Lobeckius ad Phryn. p. 315.

[y] Περιτραχήλια] Delevi statim Ὥσπερ καὶ περιδέραια, cum A.B.V.

ὙΠΟΔΕΧΟΜΑΙ] Hanc et seq. gl. om. V. Habet A. in marg.

[z] Ὑποδεῖσθε δ' ὡς τ.] Aristoph. Eccles. 269. δ' ὡς τάχιστα om. A.V.E.

[a] Λῦσον τὸ ὑπόδημα τ.] Exod. c. III. 5. KUST.

ib. λῦσόν σου A.V.E. omisso σου post ποδῶν.

[b] Ἐπὶ τὴν Ἰδουμ.] Ps. LIX. 9.

[c] Διὰ τοῦτο καὶ ὑποπ.] Vide Suicerum in Thesauro Eccles. v. Ὑποπόδιον. KUST.

[d] Προσκυνεῖτε] Ps. XCVIII. 5.

[e] βουλεύσαντες] βουλεύοντες A.B.

ὙΠΟΔΜΩΣ] Od. δ'. 386.

ὙΠΟΔΟΥΜΕΝΗ: Τὰ ὑποδ.] Ex Schol. Aristoph. Eccles. 36. ubi βαλοῦσα.

[f] Ἀριστοφάνης] Locus Aristophanis, quem respexit Suidas, exstat in Pac. 529. Ὀπώρας, ὑποδοχῆς, Διονυσίων. Ubi consulendus Scholiastes. Vocem autem ὑποδοχὴν usurpat Polybius in Excerpt. Legat. p. 1259. Ἀποδεξάμενος δὲ τοὺς ἄνδρας φιλανθρώπως, τὴν μὲν πρώτην ὙΠΟΔΟΧΗΝ αὐτῶν ἐποιήσατο μεγαλομερῶς. Necnon Teles apud Stobæum p. 780. Ὄψον μὴ τὸ τυχὸν, οἶνον ἡδὺν, ὙΠΟΔΟΧΑΣ ΤΑΣ ἘΠΙΒΑΛΛΟΥΣΑΣ. Quæ locutio notanda. Athenæus lib. V. 13. p. 210. Ὁ γὰρ τῷ προειρημένῳ Ἀντιόχῳ ὁμώνυμος βασιλεὺς, Δημητρίου δ' υἱὸς, ὥς ἱστορεῖ Ποσειδώνιος, ὙΠΟΔΟΧΑΣ ποιούμενος καθ' ἡμέραν ὈΧΛΙΚΑΣ, χωρὶς τῶν ἀναλισκομένων σωρεύματα ἑκάστῳ ἀποφέρειν ἐδίδου τῶν ἑστιατόρων ὁλομερῆ κρέα χερσαίων τε καὶ πτηνῶν καὶ θαλαττίων ζώων ἀδιαίρετα ἐσκευασμένα, ἅμαξαν πληρῶσαι δυνάμενα. TOUP.

ὙΠΟΔΡΑ] Homer. Il. α'. 148. et alibi. KUST.

[g] πελιδνωθεῖσα] Vid. Πελιδνόν. Opinor, ex Fabulis. TOUP.

ὙΠΟΔΡΟΜΟΥΣ] Philo II. p. 343. *portus*. TOUP. Post στόμα delevi Ἢ τοὺς τόπους, ἐν οἷς ἔθεον οἱ ἵπποι, cum A.B.V. Photio, Lex. Seg. et Hesychio.

[h] Καλύπτου] ἀντὶ τοῦ καλύπτου A.V. Mox σκιάδειον B.V. pro σκιάδιον.

[i] καὶ ὑπ. ἄνωθεν] Hæ tres voces, ut supervacaneæ, delendæ sunt. KUST. Mihi secus videtur. Non quidem pertinent ad interpretationem vocis Ὑπόδυθι, sed voluit Suidas hic docere, uti ὑποδύναι dici de eo qui *obtegitur umbella*, ita ὑπερέχειν ἄνω de eo qui *aliquem tegit umbella*, eam tenens supra caput ipsius. BOS.

[k] Ἀριστοφάνης Ὄρνισι] Ver. 1511. Τουτὶ λαβών μου τὸ σκιάδειον ὑπέρεχε Ἄνωθεν. KUST.

ὙΠΟΖΩΜΑΤΑ: Ξύλα τῆς ν.] Ex Schol. Aristoph. Equit. 279.

ὑποζώματα, ὁ σκυτεὺς πρὸς μάγειρον παίζων εἶπε ζωμεύματα,, ὡς ἀρτύσεων ἔμπειρον καὶ ζωμευμάτων. Ἀπείρητο δὲ ἀπὸ Ἀθηνῶν ἐξάγειν ξύλα καὶ πίσσαν. Εἶχον δὲ καὶ Λακεδαιμόνιοι τριήρεις· ἐπειδὴ ἦρχον καὶ νήσων τινῶν. Ἀριστοφάνης· A

> Τουτονὶ τὸν ἄνδρ' ἐγὼ δείκνυμι καὶ φήμ' ἐξάγειν
> [l]ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα.

**Ὑποζύγια:** Οἱ ὑπὸ ζυγὸν βόες.

Οὐ γάρ ἐξήρκει τὰ ὑποζύγια πρὸς τὴν τῆς ὁδοῦ χαλεπότητα. Ὥστε αἰρόμενοι τὰς ἁμάξας, ἐξέφερον ἐκ τῶν δυσπόρων.

[m]Λέγονται ὑποζύγια καὶ τἄλλα τῶν ἀχθοφόρων ζώων, [οἷον, ἵπποι τε, καὶ ἡμίονοι, καὶ ὄνοι.]

**Ὑποζυγιώδης ἄνθρωπος:** Ὁ μὴ ἐκ τῆς [n]ἑαυτοῦ προαιρέσεως καὶ προθυμίας τι πράττων, ἀλλ' ἐκ τῆς ἑτέρων κελεύσεως, ὥσπερ καὶ τὰ ὑποζύγια. Εἴποις δ' ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα. Ἀριστοφάνης.

C [o]Καὶ ταῦτα ὑπὲρ τῆς ἐνθέου φιλότητος ἐμαρτύρησεν ὁ Ἀπόλλων.

**Ὑποθερμανθεῖσα:**

Ἡ δὲ βασίλισσα ὑποθερμανθεῖσα τοῖς θυμοῖς, καὶ τὴν γνώμην φλεγμήνασα, ᾐτιᾶτο αὐτόν.

**Ὑπόθεσις:** Περιοχὴ, αἰτία. Λέγονται δὲ καὶ αἱ ἀρχαὶ ὑποθέσεις, ὅτι μὴ δι' ἀποδείξεως τίθενται.

**Ὑποθέτης:** Ἀρχηγὸς, σύμβουλος.

D Οὐκ ἠδύνατο γνωσθῆναι τίς ὁ τοῦ δράματος ὑποθέτης.

**Ὑποθεῖν οὐκ ἐῶ:** Ἀντὶ τοῦ ὑποτρέχειν, [p]ὑποσκελίζειν, ἐμποδὼν ἵστασθαι.

**Ὑποθήγων:** Ἐρεθίζων, προτρεπόμενος, [q]ἐπαλείφων.

Ὑποθήγων ἐς τὰ καλὰ ἔργα αὐτούς.

**Ὑποθήκαις:** Παραινέσεσι.

**Ὑποθημοσύνη:** Διδασκαλία.

E **Ὑποθήσομαι:** Διδάξω. Καὶ ὑποθέμενον, ἀντὶ τοῦ διδάξαντα.

Δοὺς, φασὶν, ἐπικρατῆσαι, [r]ὑποθέμενον τῷ βασιλεῖ, λ' πάσας ἡμέρας φυλαχθῆναι αὐτόν.

**Ὑποκαθέζεσθαι:** Τὸ ἐγκρύπτεσθαι.

A Ἀγγειλάντων τῶν διοπτήρων, ἐνέδραν ὑποκαθέζεσθαι ἐπὶ τοῖς λασίοις.

Καὶ αὖθις·

Ἐν κοίλοις ὑποκαθίσαι χωρίοις.

**Ὑποκαθέσθαι:** Συγχωρῆσαι, ἀφεῖναι.

[s]Ὁ δὲ βουληθεὶς μηδὲν ἀλλότριον ὑποκαθέσθαι, μηδὲ δυσμενὲς μηδὲν ἀπολείπειν τῇ βασιλείᾳ.

**Ὑποκαθεῖναι τὰς ὀφρῦς:** Οἷον παύσασθαι χαB λεπαίνοντα, καὶ πρᾳότερον γενέσθαι. Τὸ γὰρ ἀνατείνειν τὰς ὀφρῦς ὀργῆς ἐστι σημεῖον.

**Ὑποκαθημένης:** Ἐγκρυπτομένης, ἐναποκειμένης.

[t]Διόπερ ὑποκαθημένης ἐκ τούτων αὐτῶν τῆς ὀργῆς, βραχέα προσαναμνήσαντος τοῦ Φιλίππου, ταχέως [u]ὑπήκουσε.

Καὶ [x]ὑποκαθήμενοι, ἀντὶ τοῦ ἐνεδρεύοντες.

Οἱ δὲ ἄρχοντες ὑποκαθήμενοι τοὺς εἰσελθόντας πληγαῖς κατέC ξαινον.

**Ὑποκατάβασιν:** Παραχώρησιν.

**Ὑποκατακλίνεται:** Ὑποκάτω κάθηται.

[y]Κληθεὶς δὲ εἰς ἑστίασιν ὑποκατακλίνεται πάντων, καταφρονηθεὶς, ὡς παῖς ἔτι τὴν ἡλικίαν.

**Ὑποκεκορισμένῃ:** [z]Ὑποκεκριμένῃ.

Ὁ δὲ ὑποκεκορισμένῃ καὶ ἀπατηλῇ ἐχρήσατο πρεσβείᾳ.

**Ὑποκεῖμαι:** Δοτικῇ.

D **Ὑποκείσεται:** Ὑποβληθήσεται.

**Ὑποκινήσαντα:** Κινηθέντα, σαλευθέντα. Ἐπὶ τῶν τυπτομένων. [a]Ἀριστοφάνης·

> Σκόπει νῦν, ἤν μ' ὑποκινήσαντ' ἴδῃς.

**Ὑποκληιζομένην:** Πεφημισμένην.

**Ὑποκνισθέντες:** Λυπηθέντες, παροξυνθέντες. Κνίζω γὰρ, τὸ ἐξεπιπολῆς ξύω.

E Ἵνα μάτην ὑποκνισθέντες πόλεμον ἐγείρωσιν.

**Ὑποκορίζεται:** Κολακεύει, ὑποκρίνεται.

[b]Προχειρότερος ἦν εἰς ἐπιτίμησιν. Διὸ καὶ θαμὰ πολλοῖς προσέκρουεν, οὐκ ἀνεχόμενος αὐτῶν τὴν κακίαν ὑποκορίζεσθαι.

**Ὑποκοριζόμενοι:** [c]Διασύροντες. [d]Ξενοφῶν φησιν·

---

[l] ταῖσι—τριήρεσι] τῇσι—τριήρῃσι A.

[m] Λέγεται] λέγονται A.V. τἄλλα—οἷον om. E. οἷον—ὄνοι F om. A.V. et credo B.

[n] αὐτοῦ] ἑαυτοῦ A.V. Mox δ' om. V.

[o] Καὶ ταῦτα ὑπὲρ τ.] Hæc nihil faciunt ad v. Ὑποζυγιώδης. KUST. Hæc om. Photius, Etymol. M.

ΥΠΟΘΕΙΝ] Sunt Aristoph. Eq. 1158. ABRESCH.

[p] ὑποσκελίζειν] Jungenda seqq. cum superioribus patet ex Schol. Aristoph.

ΥΠΟΘΗΓΩΝ] Ælian. in Ἀωρία. Ὑπάγει. HEMST.

[q] ἐπαλείφων] Polyb. p. 190. Hesych. in v. Supra ad v. Ἐπαλείφων. Euagrius p. 423. πρὸς τὸν ἀγῶνα ἐπαλείφων. G TOUP.

ΥΠΟΘΗΚΑΙΣ] Vid. Menag. ad Diog. Laërt. I. 61.

ΥΠΟΘΗΜΟΣΥΝΗ] Theodoret. 139. TOUP. Il. ό. 412. ὑποθημοσύνῃσιν, ubi Schol. ὑποβολαῖς, διδασκαλίαις.

ΥΠΟΘΗΣΟΜΑΙ] Aristoph. Av. 1362.

[r] ὑποθέμενος] ὑποθέμενον A. Mox λ' om. V.

[s] Ὁ δὲ βουληθεὶς] Polybii in Excerptis Valesii, p. 118. Quod et recte observavit Ernestus. TOUP. Polyb. XXIV. 8, 8. ubi vid. Schweighæuser.

[t] Διόπερ ὑποκαθημ.] Ex Polybio IV. 29, 7.

[u] ὑπήκουσαν] ὑπήκουσε A.V.

[x] ΥΠΟΚΑΘΗΜΕΝΟΙ] Philostr. vit. Apollon. p. 114. TOUP.

ΥΠΟΚΑΤΑΚΛΙΝΕΤΑΙ] Aristid. II. p. 143. v. Χαρίζεσθαι. Plutarch. Ages. p. 611. Suid. v. Ἄρασθαι. Achilles Tatius p. 495. ὑποκύπτων καὶ ὑποκατακλινόμενος. Dio F Chrys. p. 158. TOUP.

[y] Κληθεὶς] Κληθεὶς δὲ A. Sumptus locus est ex Josepho A. J. XII. 4, 9. Usque ad ὑπὸ om. V. πάντων sine ὑπὸ A.B.E.

[z] Ὑποκεκρυμμένῃ] Ms. A. [et B.V.E.] ὑποκεκριμένῃ, quæ vera lectio est. Vide paulo post v. Ὑποκορίζεται. KUST.

[a] Ἀριστοφάνης] Ran. 657. ubi pro ὑποκινήσαντα legitur παρακινήσαντα. KUST.

ΥΠΟΚΛΗΙΖΟΜΕΝΗΝ] Sophocl. Aj. 225. quam vocem G Scholiastes ibi exponit, φημιζομένην. KUST.

[b] Προχειρότερος ἦν εἰς ἐπιτ.] Hæc sunt verba Damascii de Isidoro philosopho, ut patet ex Photio, apud quem in Excerptis ex Damascio p. 1031. hic ipse locus αὐτολεξεὶ legitur: ut Pearsonius bene observaverat. KUST.

[c] Διασύροντες] Similia Schol. Platon. p. 156. Conf. Ruhnken. ad Tim. p. 156.

[d] Ξενοφῶν φησιν] Lib. II. [1, 26.] Ἀπομνημ. p. 738. KUST. De eo loco nuperrime egerunt viri doctissimi H ad Mœrin. Sed omnes fefellit elegantissima locutio. Interpretatio autem Suidæ futilissima est. Ὑποκορίζεσθαι non est διασυρόντων, sed blandientium. Quod ex Damascio in vita Isidori patet. Ita Plato de Repub. lib. III. p. 200. edit. Massey. Οὐχ ἣν ἄνοιαν οὖσαν ΥΠΟΚΟΡΙΖΟΜΕΝΟΙ καλοῦμεν ὡς εὐήθειαν. Plutarch. in Solon. p. 189. edit. Bryan. Ἃ δ' οὖν οἱ νεώτεροι τοὺς Ἀθηναίους λέ-

Οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσι κακίαν.

Ὁ δὲ Δημοσθένης ἐχρήσατο τῇ λέξει ἐπὶ τοῦ εὐφημοῦντες, καὶ τὸ αἰσχρὸν εὐφήμως ὀνομάζοντες. Λέγει γὰρ ἐν τῷ [e] Παραπρεσβείας·

Αὐθαίρετον αὐτοῖς ἐπάγονται [f] δουλείαν, Φιλίππου ξενίαν, καὶ ἑταιρείαν, καὶ τὰ τοιαῦτα ὑποκοριζόμενοι.

[g] Πυνθάνεσθαι εἰς τὸ πλῆθος ἀποβλέποντα, ποδαποὶ δοκοῖεν αὐτῷ εἶναι οἱ παῖδες, οὕτω γὰρ ὑποκοριζόμενος ἐκάλει τοὺς στρατευσαμένους.

Ὑποκοριστικόν: Ἔλαττον.

Ὑποκορίζω: Κολακεύω.

Ὑπόκωφος: [h] Ὁ ἀκούων, καὶ μὴ προσποιούμενος.

Ὑπὸ κρασίν: Ὑπὸ ταῖς κεφαλαῖς.

Ὑποκρεκόντων: [i] Κρουόντων, [k] ἐγγιζόντων.

Ὑπόκρηνον: Ὑπὸ τὴν κεφαλήν.

Θῆκε δὲ λᾶαν
σκληρὸν ὑπόκρηνον.

Ὑπόκριναι: [l] Ἀποκρίθητι.

[Ὑποκρινάμενοι: Ἐκλεξάμενοι.]

Ὑποκρίνεσθαι: Τὸ ἀποκρίνεσθαι οἱ παλαιοί. Καὶ ὁ [m] ὑποκριτὴς ἐντεῦθεν, ὁ ἀποκρινόμενος τῷ χορῷ. [n] Θουκυδίδης ζ΄·



Εἰ δ' οὐδὲν [o] ὑποκρίνοιντο, διεφθείροντο.

Καὶ οἱ Ἴωνες. Οὕτως [p] Ἡρόδοτος.

Οἱ μὲν ταῦτα ὑποκρινάμενοι Ἀθηναίων [q] ἀπηλλάττοντο.

[r] Πολύβιος·

Τινὲς δὲ τῶν νεανίσκων ἀπήντων τοῖς περὶ Γαΐον, προσπαίζοντες ἀλλήλοις, ὡς ἂν ὑποκρινόμενοι τοὺς ἐκ συνουσίας [s] ἐπανάγοντας· [t] ἔτι δὲ μᾶλλον ἠλλοιωμένοι ὑπὸ τῆς μέθης.

Ὑποκρίνοντι: Ἀποκρίνοντι.

Ὑποκροτεῖν: Ἀντιφθέγγεσθαι, ἀντιλέγειν ἁπλῶς καὶ ὡς ἔτυχε· τὸ δὲ ὑποκροτεῖν [u] ἐπὶ τῶν θορυβούντων λέγεται, ὅπερ ἡμεῖς φαμὲν ἐκκρούειν καὶ κωλύειν.

Ὑποκροτῶσιν: Ὑποβάλλουσί σε, λαμβάνονταί σου. [x] Ἀριστοφάνης·

Τί δ', ἢν ὑποκρούωσί σε;

Ἡ δὲ φησί·

Προσκινήσομαι,
ἅτ' οὐκ ἄπειρος οὖσα πολλῶν κρουμάτων.

Ὑποκύδης: Ὑποκύδης ἐστὶν ὁ δίυγρος τόπος. Ἐν ἐνίοις μέντοι τῶν ἀντιγράφων [y] γέγραπται, ὑπόκοιλοι.

Ὑπόκυκλα: [z] Κύκλους, τροχούς.

γουσιν τὰς τῶν πραγμάτων δυσχερείας ὀνόμασι χρηστοῖς καὶ φιλανθρώποις ἐπικαλύπτοντας ἀστείως ὙΠΟΚΟΡΙΖΕΣΘΑΙ, τὰς μὲν πόρνας, ἑταίρας, τοὺς δὲ φόρους, συντάξεις,——καλοῦντας. Libanius in Orat. XXXI. p. 651. Καλοῦμεν δὲ τῶν μὲν δούλων ἡμᾶς αὐτοὺς δεσπότας· τοὺς δὲ ἡμῶν αὐτῶν δεσπότας ἄρχοντας, ὙΠΟΚΟΡΙΖΟΜΕΝΟΙ τὴν ἀνάγκην εὐφήμῳ ῥήματι. Vide et eundem supra, p. 605. Athenæus lib. X. 6. p. 585. Φιλάργυρος δέ τις ἐραστὴς ὙΠΟΚΟΡΙΖΟΜΕΝΟΣ αὐτὴν (Φρύνην) εἶπεν· Ἀφροδίσιον εἶ Πραξιτέλους· Ἡ δὲ, Σὺ δ' Ἔρως Φειδίου. Ita et Alexis verbum Ὑποκόρισμα usurpat apud Athenæum p. 421. quem vide; et Plutarch. in Galba p. 387. Καὶ παρέσχεν ἑαυτὸν οὐκ ἄχαριν οὐδὲ ἐπαχθῆ τοῖς ὑπηκόοις, εἰδὼς φυγῆς ὙΠΟΚΟΡΙΣΜΑ καὶ παρακάλυμμα τὴν ἀρχὴν αὐτῷ διδομένην. Qui locus notandus. Ita autem scribit Damascius apud Phot. p. 1032. Πρόχειρος ἦν εἰς ἐπιτίμησιν. Διὸ καὶ θαμὰ πολλοῖς προσέκρουσεν, οὐκ ἀνεχόμενος αὐτῶν ΤΗΝ ΚΑΚΙΑΝ ὙΠΟΚΟΡΙΖΕΣΘΑΙ. *Ad reprehendendum proclivis erat: quare etiam multos offendit, quod vitia eorum verbis extenuare non posset.* Aristides vol. II. p. 112. Οὔτε ΤΑΣ ΚΑΚΙΑΣ ὙΠΟΚΟΡΙΖΕΣΘΑΙ τῷ τῆς ἀρετῆς ὀνόματι, οὔτε τὰς ἀρετὰς φαυλίζειν, τὰ τῆς κακίας ἑκάστῃ παρατεθέντα. *Nec vitiis virtutis titulo blandiri, nec virtutes, vitii nota affixa, calumniari.* Quare locus Xenophontis, ad quem uterque, tum Damascius, tum Aristides, respexit, sine dubio corruptus est, atque ita, ut mihi quidem videtur, rescribendus: Οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με, ΜΗ ὙΠΟΚΟΡΙΖΟΜΕΝΟΙ, ὀνομάζουσι Κακίαν. *Qui me amant, Felicitatem appellant; illi vero qui oderunt, neutiquam blandientes, Infelicitatem me vocant.* Nihil verius hac emendatione. Μὴ ὑποκοριζόμενοι. *Nihil dissimulantes. Neutiquam subblandientes.* Quod faciunt qui amant scilicet: de quo nos supra ad v. Σαβακῶν. Hinc emendandus Alciphron lib. III. p. 346. ΠΑΡΘΕΝΙΟΝ δὲ ἱππόπορνος μεθ' ὙΠΟΚΟΡΙΣΜΩΝ ἐκθεραπεύεται, ὅλον σε αὐτοῖς ἀγροῖς ἐκπιοῦσα. *Parthenium autem nobile illud scortum impense colitur, quæ totum te cum tuis agris devoravit.* Ita scribendus et interpretandus iste locus, qui viros doctissimos frustra habuit. Vulgo ineptissime legitur, παρθενίαν. Sed Παρθένιον est nomen ὑποκοριστικὸν, in quo tota vis et venustas hujus loci consistit. *Suavicula illa puella, quæ tota tota virgo est.* Non potuit festivius noster Alciphron. TOUP.

[e] περὶ Παραπρ.] περὶ om. A. Photius. Locus est p. 424, 11.

[f] δουλείαν] τὴν δουλείαν V.

[g] Πυνθάνεσθαι] Πυνθάνεται V.

ὙΠΟΚΟΡΙΖΩ] Ὑποκουρίζω A.V.

[h] Ὁ ἀκούων, καὶ μὴ πρ.] Hæc potius videtur esse interpretatio vocis ἐθελόκωφος. Vide supra h. v. KUST. Lege καὶ μὴ ἀκούειν προσποιούμενος ex Schol. Aristoph. Eq. 42. ABRESCH. Sic fere Portus.

ὙΠΟ ΚΡΑΣΙΝ] Il. κ΄. 152.

[i] Κρουόντων, Ἐγγιζόντων] Vox postrema nonnullis suspecta videtur. Sed perperam. Pindar. Olymp. IX. Τὸ καυχᾶσθαι παρὰ καιρὸν Μανίαισιν ὙΠΟΚΡΕΚΕΙ. Recte Schol. Ἡ μεταφορὰ ἀπὸ τῶν τῆς κιθάρας κρουμῶν. (Lege κρουμάτων.) Πρότερον γὰρ τῆς κιθάρας ὑφαπτόμενοι ὙΠΟΚΡΕΚΟΥΣΙ. TOUP.

[k] ἐγγιζόντων] τερετιζόντων Hemsterhusius.

[l] Ἀποκρίθητι] Sic recte mss. Paris. At priores editt. male, ὑποκρίθητι. KUST. ἀποκρίθηται A.

ὙΠΟΚΡΙΝΑΜΕΝΟΙ] Om. V. habet A. in marg.

[m] ὑποκριτὴς] ὁ ὑποκρίτης A.V.E. Photius.

[n] Θουκυδίδης ζ΄.] Cap. 44. ubi vid. Dukerus.

[o] ὑποκρίνοιντο] ἀποκρίνοιντο B. ὑποκ. E. ὑπεκρίνοντο A.V. οἱ δ' οὐδὲν ὑπεκρίνοντο Photius.

[p] Ἡρόδοτος] Vid. Wesseling. ad I. 2. qui citat Eustath. Il. η΄. p. 687=563. Κεῖται δὲ ἡ λέξις καὶ παρὰ Ἡροδότῳ, Ἰωνικὴ οὖσα.

[q] ἀπηλλάσσοντο] ἀπηλλάττοντο A.V. Photius.

[r] Πολύβιος] Lib. VIII. c. 22. (29.) Vide etiam supra v. Συνουσία, ubi idem fragmentum legitur. KUST.

[s] ὑπανάγοντας] ἐπανάγοντας A.V. Polyb.

[t] ἔτι δὲ μᾶλλον ἠλλοιωμένοι ὑπὸ τῆς μέθης] Locus hic et mutilus est, et corruptus, quem ex ipso Polybio lector facile in integrum restituere poterit. KUST.

ὙΠΟΚΡΟΤΕΙΝ: ἈΝΤΙΦΘ.] Schol. Aristoph. Acharn. 38. Vid. Schweighæuser. ad Polyb. XVII. 4. p. 314.

[u] ἐπὶ] ὑπὸ V.

ὙΠΟΚΡΟΤΟΥΣΙΝ] Ὑποκρούωσιν A.V. et in versu E.

[x] Ἀριστοφάνης] Eccles. 256. sed ubi pro προσκυνήσομαι recte legitur προσκινήσομαι. KUST. Sic A.V.

ὙΠΟΚΥΔΗΣ] Vide supra post v. Ὑπὸ γῆν οἰκοῦντας. KUST.

[y] γράφεται] γέγραπται A.V. Tum ὑπόκοιλοι A.B.V. pro ὑπόκοιλος.

[z] Κύκλους. τροχούς] Potius, κύκλους, ἢ τροχοὺς ἔχοντα. Vide Schol. Hom. ad Odyss. δ΄. 131. KUST. Recta est interpretatio modo scribas disjunctim ὑπὸ κύκλα cum Homer. Il. σ΄. 375.

**Ὑποκύπτω**: Δοτικῇ.

**Ὑποκυσαμένη**: Ἐγκυμονήσασα.

**Ὑπολαβών**: Ὑπονοήσας, ἢ ἀποκριθεὶς, ἢ ἀντειπὼν, ἀντικρούσας.

Τοὺς δὲ ἀντιστῆναί οἱ τολμήσαντας ὑπολαμβάνων, ὡς ἑκάστους διέφθειρε.

Καὶ Μάλχος.

[a]Ὁ δὲ Κύρος ὑπολαβὼν τοὺς φεύγοντας, συλλέξας στράτευμα, ἐπολιόρκει τὴν Μίλητον.

Ἀντὶ τοῦ, ὑπονοήσας.

**Ὑπολαμβάνοντας**: Ἀνέχοντας, ἀναβαστάζοντας.

[b]Εἴ πη ἐς βαθύτερόν τι τοῦ ποταμοῦ ἐμπίπτοιεν, ἀνακουφίζειν ὑπολαμβάνοντας.

[**Ὑπολαμβάνω**: Αἰτιατικῇ. Δοξάζω, ἡγοῦμαι, οἶμαι.]

**Ὑπόληψις**: Νόησις, [c]ἀντίπραξις.

Τῶν δὲ ἀρχόντων κατεγίνωσκε ῥᾳθυμίαν, ὡς οὐ προνοούντων τῆς αὐτοῦ ὑπολήψεως.

Ἀριστοτέλης λέγει ἐν τοῖς [d]Τόποις·

Εἰ [e]ὑπόληψις ἐστὶ ψευδὴς καὶ ἀληθὴς, εἴη ἂν καὶ δόξα. Εἶδος γὰρ ὑπολήψεως ἡ δόξα.

**Ὑπολισθαίνω**: Αἰτιατικῇ.

**Ὑπολίσποις**: Ἐστενωμένοις.

[f]Ὑπολίσποις πυγιδίοισι.

Τοιαῦται δὲ αἱ πυγαὶ τῶν ναυτῶν, διὰ τὴν συνεχῆ ἕδραν καὶ εἰρεσίαν.

**Ὑπόλογον**: Λυσίας φησίν·

Οὐχ ὑπόλογον ὄντα.

Ἀντὶ τοῦ, οὐκ ἐν λόγῳ. Καὶ [g]Δείναρχος·

Οὐδεὶς ὑπόλογος βουλῇ γέγονεν.

Ἀντὶ τοῦ, οὐδεμία συγγνώμη, οὐδεμία παραίτησις.

**Ὑπὸ μάλης**: Ὑπὸ μασχάλης. Κεῖται δὲ τὸ ὄνομα παρὰ τοῖς ῥήτορσιν· ἀεὶ δ' οὕτως αὐτὸ παραλαμβάνουσι μετὰ τῆς προθέσεως· [h]ὡς Δημοσθένης ἐν τῷ πρὸς Ἄφοβον·

Ἀλλὰ μὴν οὐχ εἷς οὐδὲ δύο ταῦτ' ἴσασιν, οὐδὲ ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ μέσῃ πολλῶν παρόντων.

Καὶ Λυσίας ἐν τῷ πρὸς Κλεινίαν·

Ἐπειδὴ πάντες κατέδαρθον, [i]ἐσκευασμένος τῶν χαλκωμάτων, ὅσα οἷός τ' ἦν πλεῖστα, ὑπὸ μάλης λαβὼν ἐξήγαγε, ξίφος ἔχων.

Καὶ τὸ μὲν ἑνικὸν οὕτω μετὰ τῆς [k]προθέσεως. Τὸ δὲ πληθυντικὸν, **μασχάλας**, καὶ ἄλλοι πλεῖστοι, καὶ Λυσίας ἐν Ἐπιστολῇ·

Καὶ τὴν μὲν κόμην ψιλὴν, τὰς δὲ μασχάλας δασείας.

**Ὑπομεμαγμένη**: [l]Ἀναπεφυρμένη.

Ἡ τοῦ τόπου θέσις ὑπομεμαγμένη ταῖς πέτραις, ἀόρατον αὐτοῖς ἐποίει τὴν ὑπερκειμένην κορυφήν.

**Ὑπομένω**: Αἰτιατικῇ.

**Ὑπομεῖναι**: Ἀντὶ τοῦ, καταλειφθῆναι.

**Ὑπομιμνήσκω**: Αἰτιατικῇ.

**Ὑπομνηματίζω**:

**Ὑπομνήσω**: Αἰτιατικῇ.

**Ὑπομονή**:

Ὁ γὰρ τὰ μείζω ἐπαγγελλόμενος ὑπομένειν, εὐχερῶς ἂν καὶ τὰ ἥττονα ὑπενέγκοι.

**Ὑπονομεύοντες**: Ἀντὶ τοῦ, [m]ὑπονόμους ὀρύττοντες. Δείναρχος ἐν τῷ κατὰ Καλλίστου.

**Ὑπονομηδόν**: [n]Θουκυδίδης·

Τοὺς ὀχετοὺς, οἳ ἐς τὴν πόλιν ὑπονομηδὸν ποτοῦ ὕδατος ἠγμένοι ἦσαν, κατέστρεψαν.

**Ὑπόνομος**: Ὀχετὸς, διώρυξ.

**Ὑπονοστῆσαι**: Ἐπανελθεῖν, ὑποκαταβῆναι.

**Ὑπόνοια**: Φιλόλαός φησι·

[o]Τὴν ὑπόνοιαν [p]πᾶσι μάλιστα λέγω θεραπεύειν·
εἰ γὰρ καὶ μὴ δρᾷς, ἀλλὰ δοκεῖς ἀτυχεῖν.
Οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη,
ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

**Ὑπὸ παντὶ λίθῳ σκορπίος**: Ἐλλείπει, ὕπεστι.

---

ΥΠΟΚΥΣΑΜΕΝΗ] Homerus Il. ζ. 26. sed ubi metri gratia legitur, ὑποκυσσαμένη per duplex σσ. KUST.

[a] Ὁ δὲ Κύρος] Hæc non Malchi esse sed Xenophontis Anab. I. 1, 7. monuit Abreschius Diluc. Thucyd. p. 594. Vide supra p. 230 A. Ante Μίλητον E. om. τήν.

[b] Εἴ πη] εἴ ποι V. qui mox ὑπολαμβάνοντες.

ΥΠΟΛΑΜΒΑΝΩ] Om. V. Ὑπολ. αἰτ. habet A. in marg. Cetera desunt A.B.

[c] ἀντίπραξις] Est interpretatio suspecta. KUST. Modo ὑπολαβὼν exposuit ἀντειπὼν, ἀντικρούσας. HEMST.

[d] Τόποις]

[e] ἡ ὑπόληψις] ἡ om. A.V. Mox μέρος E. pro εἶδος.

[f] Ὑπολίσποις πυγιδ.] Aristoph. Equit. 1365. Πολλοῖς γ' ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω. Vide ibi Scholiastam, qui vocem ὑπολίσποις fusius exponit. Confer etiam Nostrum supra v. Λίσποι, et Meursium in Theseo, c. 27. KUST.

ΥΠΟΛΟΓΟΝ: Λυσίας φησ.] Ex Harpocrat. KUST.

ib. Ab h. v. usque ad Ὑποιστον omnia desunt A. qui pauca tamen exhibet in marg. admodum decurtata.

[g] Δείναρχος] Dinarch. c. Demosth. p. 94. οὐκ ἐποιήσασθε ὑπόλογον. Polyb. p. 396. TOUP.

ΥΠΟ ΜΑΛΗΣ] Helladius apud Photium, p. 1580. Ὅτι ὑπὸ μάλης λέγουσι, συντιθέντες, αὐτὴν δὲ καθ' ἑαυτὴν μάλην οὐ λέγουσι. KUST. Schol. ad Platonis Gorg. p. 469. in ms. Bodleiano: Ὑπὸ μάλης πάντες οἱ παλαιοὶ προφέρονται ἑνικῶς, τάττονται δὲ αὐτὸ ἐπὶ τοῦ κρυφίως τι πράττειν, καὶ ἀεὶ μετὰ τῆς προθέσεως, ὡς Δημοσθένης ἐν τῷ πρὸς Ἄφοβον. Ἀλλὰ μὴν οὐχ εἷς οὐδὲ δύο ταῦτ' ἴσασιν, οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ. Πληθυντικῶς δὲ οὐ μάλας λέγουσιν ἀλλὰ μασχάλας, καὶ ἄνευ τῆς προθέσεως. Λυσίας ἐν τῇ πρὸς Μετάνειραν ἐπιστολῇ· Καὶ τὴν μὲν κόμην ψιλὴν ἔχεις, τὰς δὲ μασχάλας δασείας. Τὸ μέντοι ὑπὸ κόλπους ταὐτὸν καὶ αὐτὸ κατὰ τὸ σημαινόμενον ὑπάρχον ἀμφοτέρως ἐχρήσαντο, ἑνικῶς φημὶ καὶ πληθυντικῶς, καὶ ἀεὶ μετὰ τῆς προθέσεως οἷον ὑπὸ κόλπον καὶ ὑπὸ κόλπους.

ib. Plutarch. de Adul. p. 64. ταῖς ὑπὸ μάλης πράξεσιν, *fœdis et clandestinis.* TOUP.

[h] ὡς] ὁ V. Demosthenis locus est p. 848, 12.

[i] ἐσκευασμένοι] συνεσκευασμένος Hemsterhusius. ἐσκευασμένος V. συνεσκευασμένος vel ἐσκευασμένος conjecerat Portus.

[k] προθέσεως] θέσεως V.

[l] Ἀναπεφυρμένη] ἀναπεφυραμένη V.

ΥΠΟΜΕΙΝΑΙ om. V. et mox Ὑπομονή.

ΥΠΟΝΟΜΕΥΟΝΤΕΣ] Vid. Ὑπενόμευεν. HEMST.

[m] ὑπόνομον] ὑπονόμους vel ὑπὸ νόμους V. Harpocr. Photius. ὑπὸ νόμον E.M.

[n] Θουκυδίδης] Lib. VI. c. 100. ubi legitur, ποτοῦ ὕδατος; et διέφθειραν, pro κατέστρεψαν. KUST. ποτοῦ pro τοῦ V. Portus.

[o] Τὴν ὑπόνοιαν π.] Anthol. Pal. VII. 126.

[p] πᾶσι μάλιστα] μάλιστα πᾶσι V.E. Tum προλέγω B. V.E.

ΥΠΟ ΠΑΝΤΙ ΛΙΘΩΙ ΣΚ.] Vide Nostrum supra v. Ἀλλ' ὅπαν, et Andr. Schott. ad Zenob. Cent. VI. 20. KUST. Vid. Schol. Aristoph. Thesm. 528. ed. Bekker.

Λέγεται ἐπὶ τῶν κακοήθων, καὶ ἐπὶ ἐριστικῶν. [[q]Παραινεῖ μὴ προπετῶς λαλεῖν, τοῦ μὴ δηχθῆναι. Σοφοκλῆς Αἰχμαλώτοις·

Ἐν παντὶ γάρ τε σκορπίος φρουρεῖ λίθῳ.]

Ὑποπάρκον:

Ὑποπέμψαιεν: Μετὰ δόλου ἐκπέμψαιεν. [r]Ξενοφῶν·

Ἐγνώσθη ὅτι οἱ βάρβαροι τὸν ἄνθρωπον ὑποπέμψαιεν, ὀκνοῦντες, μὴ οἱ Ἕλληνες διαβάντες τὴν γέφυραν, μείνειαν. B

Ὑποπεπτηῶτα: Ὑποπτάντα.

Ὑποπεπτηχότες: Ὑποκρυπτόμενοι.

[s]Μέχρι μέν τινος ὑποπεπτηχότες τοῖς θωρακίοις ἠρέμουν.

Ὑπὸ πῆχυν [t]κρατεῖς:

[u]Ἡ δὲ Νέμεσις σαφῶς ἐστι, περὶ ἧς πρὸς λύραν ᾄδομεν,

Λήθουσα δὲ πὰρ πόδα βαίνεις,
γαυρούμενον αὐχένα κλίνεις,
[x]ὑπὸ πῆχυν [y]ἀεὶ βιοτὰν κρατεῖς. C

Ὑποπιέζω: Ἐκθλίβω. Ὑπωπιάζω δέ.

Ὑποπίμπλαται: Καὶ ὑποπιμπλάμενος.

Ὑποπίνειν: Ἀντὶ τοῦ μεθύσκεσθαι. Οὕτω Νικοφῶν.

Ὑποπίπτειν: Δοτικῇ.

Ὑπόπλεως: Μεστός.

Ὑποπόδιον τοῦ Θεοῦ πάλαι μὲν ὁ θεῖος [z]νενόμιστο νεώς· νῦν δὲ αἱ κατὰ πᾶσαν γῆν καὶ θάλατταν D ἐκκλησίαι, ἐν αἷς τῷ Θεῷ τὴν προσκύνησιν ἀπονέμουσι. [[a]Ζήτει ἐν τῷ Ὑποδήματα.]

Ὑπόπτερος: Ταχεῖα.

Ὑποπτηῶτα: Ὑποπτάντα.

Ὕποπτος: Καὶ ὑπόπτης.

[aa]Ὁ δὲ ἐπιπλάστῳ μωρίᾳ διέδρα [b]τοῦ τυράννου τὸν φονικόν τε καὶ ὑπόπτην ἐκεῖνον τρόπον.

A Καὶ αὖθις·

Διὸ καὶ ὡς ἐπὶ χρήμασι τοῦτο ποιῶν, ὕποπτος ἐγένετο.

Καὶ αὖθις·

Τοῖς μὲν ἡ πόλις ἐδόκει φιλία, Ῥωμαίοις δὲ ὕποπτος.

Ἀντὶ τοῦ, ἐχθρά.

Ὑποποιεῖσθαι: Ὑποτάσσειν.

Ὑποπυθμίδιον: Τὴν εἰς τὸν πυθμένα καταλειφθεῖσαν.

[c]Κεὐοίνου σταφυλῆς [ἔχ'] ἀποσπάδα πεντάρραγον,
[Πότνια, καὶ σπονδὴν τήνδ' ὑποπυθμίδιον.]

Ὑπόρειος: [d]Ἡ ἐξοχὴ τοῦ ὄρους. Καὶ ὑπόρειον, τὸ ὑπὸ τοῦ ὄρους. Ὑπόριον δὲ, τὸ μικρὸν ἀκρωτήριον. Ὑπώρεια δὲ, καὶ ἀκρώρεια, διὰ τοῦ ω μεγάλου.

Ὑπόρρηνον: Ὕπαρνον.

Ὑπόρειον: Τὸ ὑποκάτω τοῦ ὄρους.

C Ὑποσκάλευε: [e]Ἀναφύσα, ζωπύρει. [f]Ἀριστοφάνης·

Τὸ πῦρ ὑποσκάλευε.

Ὑποσκέλισον: Τῆς ὁρμῆς κώλυσον. [g]Δαβίδ·

Ἀνάστηθι, Κύριε, πρόφθασον αὐτοὺς, καὶ ὑποσκέλισον αὐτούς.

Ὑπὸ σκότῳ:

Ὑπὸ σκότῳ δὲ γεγονώς.

D [h]Σκότιος, ὅπερ ἐστὶ λαθραῖος. Παρθένιος δὲ, ὁ ἀπὸ παρθένου δοκούσης γεγονώς.

Ὑποσμύχουσα: [i]Ἐνδιερεθίζουσα, ὑποκαίουσα, θλίβουσα, καταπονοῦσα.

Ὑποσπανίζων: Ἐνδεῶς ἔχων.

[k]Χρημάτων τε ὑποσπανίζων, τοὺς ὑπηκόους ἐληΐζετο.

Ὑποσπαιρούσης:

[l]Καὶ τοὺς ὀφθαλμοὺς αὐτῆς μικρὸν ὑποσπαιρούσης ἔτι ἐκκόπτουσιν.

E

[q] παραινεῖ] Hinc usque ad fin. om. V. cum Photio. Σοφοκλῆς—λίθῳ om. E.

ὙΠΟΠΑΡΚΟΝ] Subparcum. Videtur vocabulum esse semilatinum. PORTUS.

Ἁπλοῦν καὶ ἀπόνηρον λέγων. Ἔστι δ' ὅτε [u]τίθεται καὶ ἐπὶ [x]κακοῦ καὶ τοῦ τυχόντος. Πλάτων ἐν [y]τῷ B Περὶ ψυχῆς·

[z]Φαῦλον πρᾶγμα, ἔφη, Κέβης, ζητεῖς.

Τεθείη δ' ἂν καὶ ἐπὶ τοῦ τυχόντος. Οἷον, φαῦλον πρᾶγμα ἔσται τὸ τυχὸν [a]πρᾶγμα. Καὶ ἐπὶ τοῦ ἁπλῶς τεθείη ἂν πρὸς [b]τὸ οὕτω τυχόν. Πλάτων·

Πρᾶγμα δ' ἔσται, ὡς ἔοικεν, οὐ φαῦλον, [c]οὐδὲ μικρᾶς δεόμενον ἀρετῆς.

Τάττοιτο δ' ἂν καὶ ἐπὶ τοῦ μοχθηροῦ, ὅταν [d]ἀντιδιαστέλληται πρὸς τὸ σπουδαῖον. [e]Ὡς Πλάτων·

Δοῦλοι [f]γὰρ [g]δεσπόταις οὐδέποτ' ἂν γένοιντο φίλοι· οὐδ' ἐν ἴσαις τιμαῖς διαγενόμενοι φαῦλοι καὶ σπουδαῖοι.

Τεθείη δ' ἂν καὶ [h]ἐπὶ τοῦ μεγάλου. Σοφοκλῆς Αἰχμαλώτισιν·

Εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω.

Καὶ ἐπὶ τοῦ ῥᾳδίου. [i]Πολιτείας τετάρτῳ·

Καὶ [k]φαῦλον, ἔφη, ἴσως αὐτοῖς προστάξομεν. Καὶ [l]τούτου δ' A ἐγὼ ἔτι φαυλότερον.

Τάττεται καὶ ἐπὶ τοῦ μικροῦ καὶ εὐκαταφρονήτου. [m]Ὡς [n]Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος·

Ὅτι μὲν τοίνυν οὐ μετρίας [o]τινὰς καὶ φαύλας λαβὼν πληγάς.

Ὅτι Φαῦλον εἴρηται σχεδὸν ὑπὸ πάντων τῶν ῥητόρων τὸ κακὸν, ἐπί τε πράγματος καὶ ἀνδρὸς οὕτω ταττόμενον. Ὡς Δημοσθένης ἐν τῷ κατὰ [p]Τιμοκράτους·

B Καὶ βλάπτειν ὑμᾶς καὶ δόξης ἀναπιμπλάναι φαύλης ἐπιχειροῦντα αὐτὸν οὐ τιμωρήσεσθε;

Καὶ [q]Ἰσοκράτης·

Ὁ γὰρ φαύλως διανοηθεὶς περὶ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

Καὶ Λυσίας ἐν Ἐπιστολῇ λέγων·

Ὡς οὐ φιλῶ σε, φαυλότητά μου μεγίστην καταγινώσκεις. [r]Εἰ γὰρ ἦθος τοιοῦτον, καὶ τρόπον, καὶ ψυχὴν, καὶ εὔνοιαν οὕτως ἀπρο- C φασίστως, ἔτι δὲ συνουσίας οἰκειότητα καὶ λόγων κοινωνίαν μὴ καθ' ὑπερβολὴν ἀσπάζομαι, τίς γένοιτ' ἂν ἐμοῦ ἀθλιώτερος, ὃς ἀναισθήτως ἔχω πρὸς τὸ φρονεῖν;

Τάσσεται δὲ καὶ ἐπὶ τοῦ μικροῦ καὶ εὐκαταφρονήτου.

Οὐ φαύλας λαβὼν πληγάς.

[s]Δημοσθένης φησί.

Φαῦλος: Εὐτελὴς, χαλεπός.

D [t]Ἦν δὲ Κλαύδιος βασιλεὺς Ῥωμαίων οὐ φαῦλος τὴν ψυχήν· ἐν [u]παιδείᾳ δὲ ἤσκητο, ὡς καὶ γράψαι τινα.

---

[p] ΦΑΥΛΗ οὖν ΚΗΛΙΣ] Scribe οὐ φαύλη οὖν κηλίς. Negatio enim hic perperam omissa est. KUST.

ΦΑΥΛΙΑ: Ἡ κότ.] Eadem habet Etymologus. Eustathius ad Il. ω'. p. 1356, 63. Ὅθεν καὶ φαύλη ἐλαία, ἡ μικρόκαρπος, ἡ καὶ φαυλία, γινομένη, φασὶν, ἐκ κοτίνου κοπέντος, καὶ μεταφυτευθέντος. Vide etiam Hesychium. KUST. E Ammon. in v. TOUP. Bergler. et Wagner. ad Alciphr. I. 21. p. 118. Schol. Platon. p. 84. Λέγουσι δὲ τὴν φαυλίαν ἐλαίαν, μικρὸν καρπὸν (μικρόκαρπον) οὖσαν, οὕτως ὀνομάζεσθαι.

[q] Φλύαρον] Malim φλαῦρον. Hesychius in ordine suo: Φλαῦρα, φαῦλα, κακὰ, πονηρὰ, κοῦφα. Obiter hic emendo Hesychium, apud quem in serie sua legitur, Φαῦρος, κοῦφος. Pro φαῦρος enim scribendum est, φλαῦρος, idque suo loco ponendum. Τὸ Α autem et Λ ob affinitatem sæpissime inter se confundi nemo ignorat. KUST.

[r] δύσφημον εὐτελὲς om. A. εὐτελὲς om. B.V.

ΦΑΥΛΟΝ: Τὸ ἁπλοῦν. εὐχ.] Eadem de voce φαῦλον tradit Etymologus, qui cum hoc loco Suidæ omnino conferendus est. KUST. Conf. Menag. ad D. Laërt. III. 63. εὐχερὲς om. Photius. Vide Ruhnken. ad Tim. p. 268.

[s] Καὶ Εὐριπίδης ἐν τῷ Λυκιμνίῳ· Φαῦλον, ἄκομ.] Laërtius in Platone, num. 63. Ὁ γοῦν φαῦλος λέγεται παρ' αὐτῷ [Πλάτωνι] καὶ ἐπὶ τοῦ ἁπλοῦ. ὡς καὶ παρ' Εὐριπίδῃ ἐν Λυκιμνίῳ φέρεται ἐπὶ τοῦ Ἡρακλέους οὑτωσί. Φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν. Hinc Suidam emendabis. Idem porro fragmentum Euripidis, sed corruptum et mutilum, adducit Eustathius ad Il. ω'. p. 1356, 62. qui itidem ex Laërtio emendandus est. Confer etiam Nostrum supra v. Εἴδεα, ubi pro Λυκιμνίῳ rectius legitur, Λικυμνίῳ. KUST.

[t] Λυκιμνίῳ] Λικυμνίῳ V.

[u] τίθεται om. V.

[x] κακοῦ] καὶ τοῦ τυχόντος addit V. cum Photio.

[y] Φαίδωνι] τῷ περὶ ψυχῆς V. Photius.

[z] Φαῦλον πρᾶγμα] Apud ipsum Platonem in Phædone addita negatione legitur, οὐ φαῦλον πρᾶγμα. KUST. P. 95. extr. Steph.

[a] πρᾶγμα] τὸ τυχὸν πρᾶγμα addunt B.V. ἔσται τὸ τυχὸν πρᾶγμα E. Photius.

[b] τὸ οὕτω] τῷ ουτο Photii ms. et Etymol. ms. Dorv.

[c] οὐδὲ] οὐ B.E. οὐδὲ V. Phot. cum Plat. Legg. XI. p. 918 C. om. M.

[d] ἀντιδιαστέλληται] διαστέλληται V.

[e] Ὡς Πλάτων] Lib. VI. de Leg. p. 615. ubi pro διαγενόμενοι minus recte hodie legitur, διαγορευόμενοι. KUST. p. 756. extr. Steph.

[f] γὰρ] δ' ἂν V.

[g] δεσπόταις] καὶ δεσπόται Photius, Plato.

[h] ἐπὶ τοῦ] ἐπὶ om. V. Mox Αἰχμαλώτοισιν B.V.E.

[i] Πολιτείας τετάρτῳ] P. 446. KUST. p. 423. Steph. Πολιτείας α' Photius.

[k] φαῦλον] φαυλόν γε Photius. et καὶ τούτου δ'. Sic Etymol. ms. Dorv.

[l] τούτου] καὶ τούτου V.E.

[m] Ὡς Δημοσθένης] Pergit Photius: καὶ ἐπὶ τοῦ ταπεινοῦ, F ὡς Ἰσαῖος ἐν τῷ περὶ τῶν ἀποφάσεων, καὶ ἐπὶ πένητος, καὶ ἐπὶ τοῦ ἀδόξου, καὶ ἐπὶ τοῦ ἀνοήτου.

[n] Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος] P. 729. sed ubi legitur, ὅτι μὲν τοίνυν οὐ μετρίας καὶ φαύλας λαβὼν πληγάς; absque τιμὰς καί: quæ proinde voces, ut supervacaneæ, hic delendæ sunt. KUST. Vocem τιμὰς non agnoscit Demosthenes: quare delendam censet Kusterus. Verum fallitur. Scribendum proculdubio, οὐ μετρίας ΤΙΝΑΣ. Quod elegans in primis est. Damascius apud Photium, p. 1037. Τὴν δὲ τροφὴν ἐκληρώσατο ΜΕΤΡΙΑΝ ΤΙΝΑ καὶ G ἄθρυπτον. Dio in Augusto, p. 641. Ἐκεῖνοι συμμίξαντες τῇ Κλεοπάτρᾳ, καὶ ΜΕΤΡΙΑ ΤΙΝΑ διαλεχθέντες. Nihil verius hac emendatione. TOUP. τινὰς edidit Reiskius p. 1261, 5. et h. l. reponendum monuit.

[o] τιμὰς] πληγὰς (τιμὰς) E.

[p] Τιμοκράτους] P. 764, 3.

[q] Ἰσοκράτης] Demonic. p. 9 D. ubi κακῶς pro φαύλως.

[r] Εἰ γὰρ] εἰ τὰ V.

H [s] Δημοσθένης φησὶ] In oratione contra Cononem, p. 729. Vide paulo ante. KUST. ἔφη V. pro φησί.

[t] Ἦν δὲ Κλαύδιος βασ.] Hæc sunt verba Joannis Antiocheni, quæ leguntur in Collectaneis Historicis a Valesio editis, p. 805, 806. ubi locum integrum vide. KUST.

[u] παιδείᾳ] παιδείῳ V.

A Ὅτι [x] Πλάτων κέχρηται ἐπὶ διαφερόντων [y] σημαινομένων τοῖς αὐτοῖς ὀνόμασιν· οἷον, ὁ φαῦλος.

Καὶ αὖθις·

> Ὁ δὲ ὀργὴν χαλεπὸς ὤν, καὶ ἄγαν ἐπὶ τοῖς φαυλοτάτοις κολάζει.

Τουτέστι, τοῖς εὐτελέσι.

**Φαῦλος**: [z] Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους.

B > Ὀνόμαρχός τις ἦν Φωκέων τύραννος· τούτῳ δὲ ζῶντι συνῆρχεν ὁ ἀδελφὸς Φαῦλος.

**Φάϋλλος**: Ὄνομα δρομέως ἀρίστου ὀλυμπιονίκου. [a] Ἀριστοφάνης·

> Ὅτε τὸν δρομέα Φάϋλλον ὢν βούπαις ἔτι
> εἷλον διώκων λοιδορίας ψήφοιν δυοῖν.

Ἦν δὲ καὶ ὁπλιτοδρόμος περιώνυμος, ὃν ἐκάλουν Ὁδόμετρον. [b] Ἦν δὲ καὶ πένταθλος, ἐφ' [c] οὗ καὶ ἐπίγραμμα· C

> Πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος·
> δίσκευσεν δ' ἑκατὸν πέντ' ἀπολειπομένων.

Ἐγένετο δὲ καὶ ἕτερος, ἀθλητής· καὶ τρίτος, ὁ λωποδύτης. Ἀριστοφάνης Ἀχαρνεῦσιν·

> Οἴμοι ταλας, τῶν ἐτῶν τῶν [d] ἐμῶν·
> οὐκ ἂν ἐπ' ἐμῆς γε νεότητος, ὅτ' ἐγὼ φέρων ἀνθράκων φορτίον,
> ἠκολούθουν Φαΰλλῳ τρέχων, ὧδε [e] φαύλως ἂν ὁ
> σπονδοφόρος οὗτος ὑπ' ἐμοῦ τότε διωκόμενος
> ἐξέφυγεν, οὐδ' ἂν ἐλαφρῶς ἂν ἀπεπλίξατο.

D **Φαύλως**: Εὐκόλως, εὐμαρῶς. [f] Ἀριστοφάνης·

> Εἴθε φαύλως, ὥσπερ εὗρες, ἐκβάλλοις τὴν ἔνθεσιν.

Ἔνθεσις ὁ ψωμός. [g] Φαύλως δὲ, ἤγουν εὐχερῶς, καὶ ἄνευ καμάτου. [h] Ἀριστοφάνης·

> Οὐκ ἂν φαύλως ἔτυχες τούτου.

> [i] Ὦ δαιμόνιε, τὰ θεῖα μὴ φαύλως φέρε.

Τουτέστι, μὴ ἀηδίζου ἐπὶ τοῖς χρησμοῖς. Εἰπόντος γὰρ ὅτι χρησμολόγος εἰμὶ, ἔφη·

> Οἴμωζε νῦν.

**Φαύλως ἐρείδει**: Ἁπλῶς καὶ ἀπεριέργως μασᾶται. Ἤ, [k] συντόμως ἐσθίει. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεττόντων, καὶ ἐπερειδομένων ταῖς κώπαις. Ἐρείδειν δέ φασιν οἱ Ἀττικοὶ πᾶν ὁτιοῦν [l] συντόνως B γινόμενον.

**Φαύλως πάντ**: Ἀντὶ τοῦ εὐχερῶς. Ἀριστοφάνης·

> [m] Καὶ πρῶτα μὲν λόγισαι φαύλως, μὴ ψήφοις ἀλλ' ὑπὸ χειρός.

**Φαῦνος**, υἱὸς Πίκου, τοῦ καὶ Διός· ὃν Ἑρμῆν ἐκάλεσαν εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος. Ὃς ἦν ἀστρονόμος, καὶ μέταλλα δὲ ἐφεῦρε χρυσοῦ, καὶ ἀργύρου, καὶ σιδήρου, καὶ τὴν τούτων ἐργασίαν παρέδωκε τοῖς δυτικοῖς· ὡς καὶ πλουτοδότην αὐτὸν ὑπὸ τῶν ἐγ- C χωρίων καλεῖσθαι. Ἐπιβουλευόμενος δὲ ὑπὸ τῶν ἰδίων ἀδελφῶν, φεύγει εἰς Αἴγυπτον, εἰς τὴν φυλὴν τοῦ Χὰμ, τοῦ υἱοῦ [n] τοῦ Νῶε· καὶ ὑποδεχθεὶς, συνδιέτριβεν αὐτοῖς, χρυσῆν ἐνδεδυμένος στολὴν, καὶ προφητεύων· [o] ὡς καὶ θεὸς τιμώμενος, μεταδιδοὺς αὐτοῖς πλούτου.

**Φαῦσις**: Φῶς, φέγγος.

**Φαιακία**: Ἡ χώρα τῶν Φαιάκων· ἡ νῦν λεγομένη D Κέρκυρα.

**Φαιάν**:

> [p] Ὁ δὲ σχηματισάμενος ἐς τὴν φαιὰν ἐκείνην καὶ μέλαιναν στολὴν, τῶν μέχρι καὶ τῶν συνειδότων ἐς πεντήκοντα συντεινόντων, πάντες συνετόλμων τὴν αὐτὴν ἐκείνῳ στολήν.

**Φαίαξ**, ῥήτωρ. [q] Ἀριστοφάνης φησί·

> Σοφός γ' ὁ Φαίαξ, [r] δεξιῶς τ' οὐκ ἀπέθανε.

E

[x] Πλάτων κέχρηται ἐπὶ διαφ.] Ex Laërtio in Platone, num. 63. ut Pearsonius etiam observaverat. Vide paulo ante v. Φαῦλον. KUST.

[y] σημαινομένων] σημαινομένου V.

ΦΑΥΛΟΣ: Δημοσθ.] Ex Harpocratione. Pro Φαῦλος autem scribendum est Φάϋλλος, vel Φάϋλος. Est enim nomen proprium viri. Apud Demosthenem in oratione contra Aristocratem, cujus testimonio Suidas hic utitur, hodie legitur Φάϋλος. KUST. Leg. Φάϋλλος auctoribus Diod. Sic. XVI. 35. Pausan. Phoc. c. 2. Athen. XIII. F p. 605. REINES. Utrique formæ (Φάϋλλος et Φάϋλος) patrocinantur mss. Vid. Bastii Ep. Crit. p. 243.

[z] Δημοσθένης] P. 661, 11. Sequentia videbantur mihi excerpta ex scriptore quodam antiquo: literas adeo minores adhibui, nescio an recte.

ΦΑΫΛΛΟΣ] Vid. Schol. Aristoph. Ach. 213. HEMST. Conf. Herodot. VIII. 47. et Pausan. in Phoc. c. 9. Fuit etiam Phayllus Argivus, de quo Plutarch. in Amator. p. 760 A. Fuit Phaylus etiam inter eos, qui templum Delphicum spoliarunt, Athen. VI. p. 232. Diod. G Sic. XVI. p. 458. REINES.

[a] Ἀριστοφάνης] In Vesp. 1201.

[b] Ἦν δὲ καὶ Πένταθλ.] De hoc vide supra v. Ὑπὲρ τὰ ἐσκαμμένα: itemque Eustath. ad Odyss. θ. p. 1591, 54. et Tzet. Chil. XII. c. 435. KUST. Hæc ex Schol. Aristoph. Ach. 208.

[c] οὗ τὸ] οὗ καὶ V.E.

[d] ἐμῶν] τῶν ἐμῶν B.E. Mox ἐπ' om. B.E.

[e] φαῦλος ὤν] φαύλως ἂν V.

[f] Ἀριστοφάνης] Equit. 403. ubi rectius legitur ἐκβάλοις, pro ἐκβάλλοις. Lectio enim posterior metro versus repugnat. Vide etiam supra v. Ἔνθεσις. KUST.

[g] ΦΑΥΛΩΣ δὲ ἤγουν] καὶ φαύλως τὸ V.

[h] Ἀριστοφάνης] Equit. 506. ubi hodie pro ἔτυχες legitur, ἔτυχε. KUST.

[i] Ὦ δαιμόνιε, τὰ θ.] Aristoph. Av. 962.

ΦΑΥΛΩΣ ἘΡΕΙΔΕΙ: Ἁπλῶς καὶ ἀπ.] Aristoph. Pac. 25. KUST.

[k] συντόμως] Sic etiam interpres Comici loco laudato. At scribendum est, συντόνως. Vide etiam supra v. Ἐρείδειν. KUST.

[l] συντόνως] σύντονον V.

ΦΑΥΛΩΣ ΠΑΝΤ] Hæc non leguntur in exemplo, quod dedit ex Vesp. 654. sed huc translata ex Lys. 566. F qui habet φαύλως πάνυ, et a Schol. exponitur εὐχερῶς. At ad Vesp. l. l. illustratur ἀφελῶς, ἁπλῶς. ABRESCH.

[m] Καὶ πρῶτα μ.] Est versus anapæsticus, sed claudicans: quippe qui in sede secunda iambum habet pro dactylo, vel anapæsto. KUST. Imo pro *spondeo*. Aristoph. Vesp. 654. Καὶ ΠΡΩΤΟΝ μὲν λόγισαι φαύλως, μὴ ψήφοις, ἀλλ' ἈΠΟ χειρός. Quomodo et apud Suidam scribendum est. TOUP. Deest exemplum A.

ΦΑΥΝΟΣ, υἱὸς Πίκου, τοῦ κ.] Confer Cedrenum, p. 17, 18. et auctoris anonymi Excerpta Chronol. Joanni An- G tioch. Malelæ præfixa, p. 22. itemque Nostrum supra v. Μεταλλεῖς. KUST. Πόκου V.

[n] τοῦ Νῶε] τοῦ om. V.

[o] ὡς καὶ] καὶ ὡς V. Duæ seqq. gl. desunt V.

ΦΑΥΣΙΣ] Psalm. LXXIII. 16. Schol. Arati p. 93. Genes. 1. TOUP

[p] Ὁ δὲ σχημ.] Æliano tribuit Valckenærius.

[q] Ἀριστοφάνης] Senarius iste exstat apud Aristoph. Equit. 1374. ubi legitur, δεξιῶς. Sed Suidæ lectio ve- H rior atque elegantior. *Phæax homo sapiens, et ingeniosus mortem effugit.* De Phæace autem isto, quem δεινὸν ῥήτορα vocat Scholiastes, consulendus Taylorus in Lect. Lysiac. c. 6. TOUP.

[r] δεξιὸς] δεξιῶς B.V. σοφὸς sine γ' V.E.M. Ἀριστοφάνης —λαλητικοῦ om. A.

A

[g]Δεινὸς ῥήτωρ οὕτως, ὡς καὶ ἀποφυγεῖν ἐκ θανάτου ἐπ’ αὐτοφώρῳ κρινόμενος· ἐκωμῳδεῖτο δὲ, ὡς παρακρούων τὰ μειράκια.

> [t]Συνεριστικὸς γάρ ἐστι, καὶ περαντικὸς,
> καὶ γνωμοτυπικὸς, [u]καὶ σαφὴς, καὶ κρουστικὸς,
> καταληπτικός τ’ ἄριστα τοῦ θορυβητικοῦ.
> οὔκουν [x]καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ.

Φαιδιμόεντες: Λαμπροί. [y]Καὶ φαίδιμος, λαμπρὸς, ἰσχυρός. Καὶ φαιδίμων, [z]ὁμοίως.

B

Φαίδων, Ἠλεῖος, φιλόσοφος, Σωκράτους ἀκουστής· ὃς ἦρξε τῆς Ἠλιακῆς ἀπ’ αὐτοῦ κληθείσης αἱρέσεως, ἥτις ὕστερον ἀπὸ Μενεδήμου τοῦ Ἐρετριέως Ἐρετριακὴ προσηγορεύθη. Τοῦτον συνέβη πρῶτον αἰχμάλωτον ὑπὸ [a]Ἰνδῶν ληφθῆναι, εἶτα πραθεὶς πορνοβοσκῷ τινι, [b]προέστη ὑπ’ αὐτοῦ πρὸς [c]ἑταίρησιν ἐν Ἀθήναις. Ἐντυχὼν δὲ Σωκράτει ἐξηγουμένῳ, ἠράσθη

C

τῶν λόγων αὐτοῦ, καὶ αἰτεῖ λύσασθαι. Ὁ δὲ πείθει Ἀλκιβιάδην πρίασθαι αὐτόν· καὶ ἦν τὸ ἐντεῦθεν φιλόσοφος. Διάλογοι δὲ αὐτοῦ, [d]Ζώπυρος, Μήδιος, Σίμων, Ἀντίμαχος ἢ Πρεσβύτης, Νικίας, Σιμμίας, Ἀλκιβιάδης, Κριτόλαος.

Φαῖδρα: Ὄνομα κύριον. Φαιδρὰ δὲ, ἀντὶ τοῦ [e]λαμπρά. Ὡς καὶ φαιδρός.



A

[Φαιδριάς: [f]Πέτρα οὕτω καλουμένη.

[g]Φασὶ τὸν Αἴσωπον ἐν Δελφοῖς ἀδίκως ἀπολέσθαι ὑπ’ αὐτῶν, κατακρημνισθέντα ἀπὸ τῶν Φαιδριάδων καλουμένων πετρῶν.]

Φαιδρός: Καθαρὸς, λαμπρός. Φαῖδρος δὲ, ὄνομα κύριον.

Φαιδρωπόν: Τὸ τερπνὸν καὶ χάριεν πρόσωπον.

Φαίδρωνος:

Φαιδρύνω σε: Αἰτιατικῇ.

B

Φαῖεν: Εἴποιεν. Καὶ φαίημεν, εἴποιμεν. [h]Καὶ φαῖμεν, Ἀττικῶς. Καὶ [i]φαίης κε.

Φαικά: Ἐν Ἐπιγράμμασι·

> [k]Φαικὰ δ’ αὐτ’ εὐτάρσοισιν ἐπ’ ἀστραγάλοισι γελῶσαν.

Φαικοῖσιν: [l]Ἤγουν φαιδροῖς, λαμπροῖς.

Φαιλώνης: Εἰλητὸν τομάριον [m]μεμβραῖνον, ἢ γλωσσόκομον, [n]ἢ χιτώνιον. Φαιλώνης, [o]φαιλώνους.

Φαίνειν: Δεικνύειν, φανεροποιεῖν. Φαίνειν [p]καὶ

C

ἐπὶ λύχνων, [q]καὶ ἐπὶ τοῦ συκοφαντεῖν.

Φαίνιδος:

Φαινόλης: [r]Χιτωνίσκος· οἱ δὲ παλαιοὶ, ἐφεστρίδα. Καὶ κλίνεται [s]εἰς ου.

Φαίνομαί σοι καλός:

Φαινόμενα: [t]Πλάτων ἐν Πολιτείας δεκάτῳ ἔφη·

> Φαινόμενα, οὐ μέντοι ὄντα γέ [u]που τῇ ἀληθείᾳ.

D

[g] Δεινὸς ῥήτωρ οὕτως, ὡς κ.] Eadem habet Scholiastes ad modo indicatum locum Comici. KUST.

[t] Συνεριστικὸς] Aristophanes hodie habet, συνερκτικός. At vetus interpres olim legit, συνερτικὸς, a συνείρω, *connecto*: ut ex interpretatione ejus patet. KUST. Συνερειστικὸς B.E. συνεριστικῶς V. Literas κ ις sæpius confundi docet Bastius ad Gregor. de Dial. p. 244. 245. qui Suidæ scripturam librarii negligentiæ deberi existimat.

[u] καὶ σαφὴς] καὶ κο . . . . καὶ σαφὴς B.E.M.

[x] καταδακτυλικὸς] καὶ δακτ. E.

ΦΑΙΔΙΜΟΕΝΤΕΣ] An leg. Φαιδροείμονες, qua voce utitur Agathias p. 154. ἀστικοί τε καὶ φαιδροείμονες. TOUP.

[y] καὶ ΦΑΙΔΙΜΟΣ] Hæc et seqq. om. A.

[z] ὁμοίως] ὁ λαμπρὸς V.

ΦΑΙΔΩΝ, Ἠλεῖος, φιλ.] Quæ hic Suidas de Phædone refert, totidem pene verbis leguntur etiam apud Hesychium Illustrium: unde ea Noster mutuatus esse videtur. Vide etiam de Phædone Laërtium. KUST. Hunc Cebes Socraticus hortante Socrate emisse dicitur, et habuisse in philosophiæ disciplinis: Macrob. I. 11. *Sermones ejus de Socrate admodum elegantes leguntur.* Macrob. l. l. REINES. Omnia inde a Σωκράτους om. A.

[a] Ἰνδῶν] Pro Ἰνδῶν Portus λῃστῶν: forte ὑπό τινων, inquit Menag. ad Diogen. Laërt. II. 105. qui ibidem ἑταίρησιν pro ἑταίρισιν legendum esse monuit. HEMST.

[b] προέστη ὑπ’ αὐτοῦ] Laërt. in Phæd. II. 9. habet: ἠναγκάσθη στῆναι ἐπ’ οἰκήματος τὸ θύριον προστιθείς: haud dubie locus mendosus. Puto legi posse τῷ θυρίῳ προστεθεὶς, ut intelligamus eum fuisse januæ præpositum, et lupanaris ostiarium. Gell. N. A. II. 18. dic. a lenone domino puer ad merendum coactus. Salmas. Plin. Ex. p. 935. "Inter synonyma forium claudendarum refert "Pollux X. 25. etiam θύραν προσθεῖναι: hinc explicandus "locus Laërtii in Phædone. Qui prostabant in merito-"rio, foribus apertis mercem suam venditabant: ad hoc "coactus a lenone, cui venundatus fuerat Phædo, clau-"sis et obditis meritorii foribus de die Socratem au-"diebat." REINES.

[c] ἑταίρησιν] Vid. Ἡταιρηκώς. TOUP. ἑταίρισιν B.M. ἑταίρισιν V.

[d] Ζώπυρος] Citatur in Antiatticista Bekkeri p. 107, 3.

[e] λαμπρὰ ὡς καὶ φαιδρὸς] φαιδρὸς, καθαρὸς V.

[f] Πέτρα οὕτω καλ. om. E. Deest articulus V.

[g] Φασὶ τὸν Αἴσωπον ἐν Δελφ.] Eadem leguntur supra v. Αἴσωπος. KUST.

ΦΑΙΔΡΟΣ] Deest articulus V. λαμπρὸς etc. om. B.

ΦΑΙΔΡΩΠΟΝ] Eurip. Orest. 882. Φαιδρωπὸν ὄμμα. Ubi Schol. χαροπὸν, χαριὲν καὶ βοηθὸν, ἱλαρόν.

[h] Καὶ ΦΑΙΜΕΝ Ἀττικῶς om. B.V.

[i] ΦΑΙΗΣ ΚΕ] Il. γ΄. 220.

[k] Φαικὰ δ’ αὐτ’ εὐτ.] Metrum versus hujus claudicat, quod ut tenori suo restituatur, scribendum est, vel,

E

φαικὰ δ’ αὖ, ut Portus vult: vel, φαικὰ δ’ ἂν, vel, φαικὰ δέ γ’ εὐτ. vel simile quid. KUST. Scribendum, Φαικάδα δ’ εὐτάρσοισιν ἐπ’ ἀστραγάλοισι γελῶσαν. Quemadmodum recte legitur apud Reisk. in Anthol. p. 47. Confer etiam Kusterum supra, ad v. Θέριστον. Est autem Φαικὰς vox τῶν ἅπαξ λεγομένων. Nam qui eam usurpet præter nostrum Epigrammatistam, equidem novi neminem. Idem autem videtur Φαικὰς et Φαικάσιον, cujus meminit Eratosthenes apud Polluc. VII. 90. Πέλμα ποτιρράπτεσκεν ἐλαφροῦ ΦΑΙΚΑΣΙΟΙΟ. Meminere et Plutarchus in

F

Antonio, Clemens Alexandrinus, Seneca, Petronius Arbiter, alii. Eleganter describit Appian. Bell. Civ. lib. V. Ὑπόδημα ἦν αὐτῷ λευκὸν Ἀττικὸν, ὃ καὶ Ἀθηναίων ἔχουσιν ἱερεῖς καὶ Ἀλεξανδρέων, καὶ καλοῦσι ΦΑΙΚΑΣΙΟΝ. TOUP. Vid. Anthol. Pal. VI. 254.

[l] Ἤγουν om. V.

ΦΑΙΛΩΝΗΣ] Vide Dufrenium in Glossario Græco. KUST. Φαινόλης Photius.

[m] μεμβραῖνον] βεμβραῖνον B.V.

G

[n] ἢ χιτώνιον] Vide paulo post v. Φαινόλης. KUST.

[o] φαιλώνους] Imo φαιλώνου. Est enim primæ declinationis. KUST.

[p] καὶ ἐπὶ] καὶ om. V. Mox delevi καὶ ἐπὶ τοῦ δεικνύειν, cum A.B.V. Schol. Aristoph. Ach. 936. καὶ ἐπὶ τοῦ συκοφαντεῖν τὸ φαίνειν νοεῖται, καὶ ἐπὶ τὸ ποιεῖν φῶς.

[q] καὶ ἐπὶ τοῦ συκοφαντεῖν] Confer Nostrum supra v. Φασιανικός. KUST.

ΦΑΙΝΟΛΗΣ] Vide Dufrenium in Gloss. Græco. KUST. Adde Salmas. ad Trebell. Poll. p. 384. ed. 8o.

H

[r] Χιτωνίσκος] χιτὼν Photius.

[s] εἰς ου] Delevi statim Καὶ χιτὼν ἱερατικός. ἤ, ΦΑΙΝΟΛΗΣ, ὁ ἀπατεών, cum A.B.V.E. et Photio. Vide Zonaram.

ΦΑΙΝΟΜΑΙ] Hæc om. V.

[t] Πλάτων] P. 596 extr.

[u] πω] που B. πῶ E. του V. που Photius.

Ἀντὶ τοῦ, φαντασίαν ἀποτελοῦντα, οὐ μέντοι γε ὄντα. Καὶ [x]Ἀριστοφάνης·

Εἶναι μὲν, [y]ὥσπερ εἰμί· φαίνεσθαι δὲ μή.

Τουτέστι, μὴ [z]ἀλλάξαι τὴν φύσιν, ἀλλὰ τὴν μορφήν.

Φαίνοπις :

Φαινόπους : Λαμπρόπους.

[Φαίνων : Αἰτιατικῇ. Δεικνύων. Ὅτι] [a]φαίνω σημαίνει [καὶ] τὸ κατηγορῶ, ἐξ οὗ καὶ συκοφάντης.

Φαίνωνος :

Φαίνωψ :

Φαιόν : Χρῶμα σύνθετον ἐκ μέλανος καὶ λευκοῦ. [b]Ἤγουν, μυΐνον.

[c]Ὅτι τῶν χρωμάτων [d]τὰ μὲν, ἁπλᾶ ἐστι, [e]τὰ ἐναντία, ὡς τὸ λευκὸν, καὶ τὸ μέλαν· τὰ δὲ, σύνθετα, οἷον τὰ [f]μεταξὺ τούτων. Καὶ γὰρ ταῦτα τῇ ποιᾷ μίξει πρὸς ἄλληλα τῶν ἐναντίων ἀποτελοῦνται. Καὶ ἔστιν [g]αὐτῶν τὰ μὲν ἐγγυτέρω τοῦ λευκοῦ· ὡς τὸ ξανθόν· τὰ δὲ, ἐγγυτέρω τοῦ μέλανος· ὡς τὸ κυανοῦν. Τὰ δὲ λοιπὰ, μεταξὺ τούτων· [h]οἷον τὸ ἐρυθρὸν, τὸ φαιόν. Οὕτω καὶ ἐπὶ τῶν χυμῶν. Ἁπλᾶ μὲν, τὰ ἐναντία· οἷον τὸ γλυκὺ καὶ τὸ πικρόν· τὰ δὲ ἄλλα, μικτὰ, καὶ μεταξύ. Ἀλλὰ τοῦ μὲν γλυκέος ἐγγυτέρω τὸ λιπαρόν· τὸ δὲ ἁλμυρὸν, τοῦ πικροῦ· τὰ δὲ λοιπὰ, τούτων μεταξύ. Οὐ πάντως δὲ τὰ μεταξὺ καὶ μικτά. Τὰ μὲν γὰρ μικτὰ, καὶ μεταξύ· οὐκέτι δὲ ἀνάπαλιν. Οἷον ἐπὶ χρωμάτων· τὸ μὲν γὰρ φαιὸν μικτὸν ὂν, μεταξύ ἐστι· τὸ μέντοι ἐρυθρὸν, ἢ πράσινον, οὐ πάντως ἐκ τῆς μίξεως τῶν ἐναντίων γίγνεται· ἀλλὰ μεταξὺ λέγονται, ὡς μηδετέρου τῶν ἄκρων μετέχοντα. Οὕτω καὶ ἐπὶ χυμῶν. Μικτὸν μὲν τὸ ἁλμυρὸν, ὡς οἱ ἅλες· ἐκ γὰρ πικροῦ τοῦ [i]θαλαττίου ὕδατος καὶ γλυκέος τὴν [k]γεῦσιν ἔχουσι. [l]Τὸ δὲ δριμὺ, καὶ αὐστηρὸν, καὶ ὀξὺ, τῷ μηδετέρου τῶν ἄκρων μετέχειν, οὕτως εἰσὶ μεταξύ. [m]Εἴ τι δὲ ἄλλο ἐγγύς ἐστι τούτων, τοῦτο ἄχυμον εἶναι· οἷον τὸ πλαδαρὸν, ἤ τι τοιοῦτον.

Ὁ μὲν οὖν Ἀριστοτέλης ὀκτὼ καταλέγων εἴδη χυμῶν, δύο καταλείπει [n]ἄκρους, τὸν γλυκὺν, καὶ πικρόν· καὶ ἓξ μέσους. Ἐγγὺς μὲν τοῦ γλυκέος, τὸν λιπαρόν· τοῦ δὲ πικροῦ, τὸν ἁλμυρόν· ἐν μέσῳ δὲ,
A στρυφνὸν, αὐστηρὸν, δριμὺν, ὀξύν. Ὁ δὲ Γαληνὸς ἐν τοῖς ἁπλοῖς ἄκρους μὲν λέγει, οὐ τὸν γλυκὺν καὶ πικρὸν, ἀλλὰ τὸν δριμὺν καὶ ὀξύν. Καὶ οὐ διαφωνοῦσιν. Ὁ μὲν [o]γὰρ ὡς ἰατρὸς πρὸς τὰς ἁπτὰς ἀπιδὼν ποιότητας, τούτους ἐκάλεσεν ἄκρους. Ἄκρον γάρ ἐστι, κατὰ μὲν θερμότητα, τὸ δριμύ· κατὰ δὲ ψύξιν, τὸ ὀξύ. Ὁ δὲ, οἷα φιλόσοφος, οὐκέτι πρὸς τὰς ἁπτὰς, ἀλλὰ πρὸς τὰς γευστὰς ἀφεωρακὼς, οὕτως ἐποιήσατο
B τὴν ἀντίθεσιν. Ἄκρον γάρ ἐστιν ἐν τοῖς γευστοῖς τὸ γλυκὺ καὶ πικρόν. Ὁ δὲ Πλάτων κέχρηται τοιᾷδε τάξει. Ἑπτὰ λέγει χυμούς. Τὸ γὰρ λιπαρὸν ἅμα τῷ γλυκεῖ συνάπτει, λέγων, ὅτι τὸ ὑπαλεῖφον, εἰ μὲν μετὰ [p]ἡδύτητός ἐστι, ποιεῖ τὸ γλυκύ· εἰ δὲ ἄνευ ἡδύτητος, λιπαρόν. Γλυκὺ δὲ λέγομεν, [q]οἷον τὸ μέλι· [r]λιπαρὸν δὲ, τὰ ἐλαιώδη· ὀξὺ, τὸ ὄξος· στρυφνὸν, οἷον ἀχράδες· αὐστηρὸν, τὸν οἶνον· ἁλμυρὸν, [s]τοὺς ἅλας·
C πικρὸν, τὸ ἀψίνθιον· δριμὺ, τὸ πέπερι. [t]Ἄκρα δὲ λέγει, ὀξὺ καὶ δριμύ. Πάρακρα δὲ, ἐγγὺς μὲν τοῦ ὀξέος, τὸ στρυφνόν· ἐγγὺς δὲ τοῦ δριμέος, τὸ πικρόν. Παράμεσα δὲ, ἐγγὺς μὲν τοῦ πικροῦ, τὸ ἁλμυρόν· ἐγγὺς δὲ τοῦ στρυφνοῦ, τὸ αὐστηρόν. Μέσον δὲ, τὸ γλυκύ. Ἀνατίθησι δὲ ταῦτα τοῖς ἑπτὰ πλανήταις. Τὸ μὲν ὀξὺ, τῷ Ἑρμῇ· [u]τὸ δριμὺ, τῷ Ἄρει· τὸ πι-
D κρὸν, τῇ Σελήνῃ· τὸ γλυκὺ, τῷ Ἡλίῳ· τὸ ἁλμυρὸν, τῇ Ἀφροδίτῃ· τὸ αὐστηρὸν, τῷ Διΐ· τὸ στρυφνὸν, τῷ Κρόνῳ. Τὴν δὲ αἰτίαν, ὡς φλυαρίαν, [x]παρίδωμεν.

Φαιός : [y]Μένιππος ὁ Κυνικὸς ἐπὶ τοσοῦτον τερατείας ἤλασεν, ὡς Ἐριννύος ἀναλαβεῖν σχῆμα, λέγων, ἐπίσκοπος ἀφῖχθαι τῶν ἁμαρτανομένων ἐξ ᾅδου, καὶ πάλιν κατιὼν ἀπαγγέλλειν ταῦτα τοῖς ἐκεῖ δαίμοσιν.
E Ἦν δὲ ἡ ἐσθὴς αὕτη, φαιὸς χιτὼν ποδήρης· περὶ [z]αὐτὸν ζώνη [a]φοινικῆ· καὶ πῖλος Ἀρκαδικὸς ἐπὶ τῆς κεφαλῆς, ἔχων ἐνυφασμένα τὰ ιβ΄ στοιχεῖα· ἐμβάται τραγικοί· πώγων ὑπερμεγέθης· ῥάβδος ἐν τῇ χειρὶ μελίνη.

Φαιστιῶνος : Πόλις.

Φαιστός : Πόλις Κρήτης. [b]Ὅμηρος·

Ἐς Φαιστόν. Μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.

F [c]Μάλεος γάρ τις τελέσας τὸν λίθον τοῦτον ἀνιέρωσε

x Ἀριστοφάνης] Acharn. 440.

y ὥσπερ] ὅσπερ E.M.

z ἀλλάξαι] ἀπαλλάξαι V.

a ΦΑΙΝΩ—ὅτι om. A. ὅτι om. V. Tum καὶ om. A.

b Ἤγουν usque ad fin. articuli om. A.

c ὍΤΙ τῶν χρωμάτων τὰ μὲν ἁπλ.——οἷον τὸ πλαδαρὸν, ἤ τι τοιοῦτον] Hæc omnia sunt verba Philoponi in lib. II. Aristot. de Anima, M. 7. b. ut Pearsonius observaverat. KUST.

d τὰ μὲν ἁπλᾶ ἐστι· τὰ δὲ ἐναντία] Philoponus rectius, τὰ μὲν ἁπλᾶ ἐστι, τὰ ἐναντία : quam lectionem in versione secutus sum. KUST.

e τὰ δὲ] δὲ om. B.V.E.

f μεταξὺ τούτων] τούτων om. V.

g αὐτῶν] αὐτῷ V.

h οἷον om. V.

i θαλαττίου] τοῦ θ. B.V.E. Mox γλυκέαν V.

k γεῦσιν] Philoponus melius, γένεσιν. KUST.

l Τὸ δὲ] τὸ γὰρ V. Mox τῶν V.

m Εἴ τι δὲ ἄλλο ἐγγ.] Rescribe ex Philopono, εἴ τι γὰρ ἄλλο ἐστὶν, ἐγγύς ἐστι τοῦ ἄχυμον εἶναι. KUST.

n Ἄκρους] ἄκρα B.E.

o γὰρ ὡς] ὡς om. V.

p γλυκύτητος] ἡδύτητος V.

q οἷον] εἰ V.

r λιπαρὰ] λιπαρὸν V.

s τὸ ἅλας] τοὺς ἅλας B.V.

t Ἄκρα—δριμὺ om. B.E. καὶ δριμὺ V.

u τὸ δὲ] δὲ om. V.

x παρείδομεν] παρίδωμεν V. παρίδομεν E. Mox A. Φαίοιμεν : εἴποιμεν. Vid. Φαίημεν.
G
y Μένιππος ὁ Κυνικὸς ἐπὶ τοσ.] Hæc Suidas mutuatus est a Laërtio : sed qui ea non de Menippo, sed Menedemo refert. Vide eum lib. VI. num. 102. KUST. et Menag. ad eum locum.

z αὐτὸν] αὐτῷ V.

a φοινικῆ] Sic mss. Paris. itemque Laërtius. At priores editt. [et E.] male, Περσική. KUST.

b Ὅμηρος] Odyss. γ΄. 296. KUST. Seqq. om. A.

H c Μάλερος γάρ τις τελ.] Locum hunc Suidæ in Collectanea sua transtulit Eustathius ad Odyss. γ΄. p. 1469. Ceterum, pro Μάλερος hic scribendum est, Μάλεος : ut non solum habet Eustathius loco laudato, sed etiam ipse Suidas supra v. Μάλεος ; ubi vide quæ notavimus. KUST. Μάλεος B.E.

τῷ Ποσειδῶνι, πρὸς τῷ μὴ τὰ κύματα προσπελάζειν A τῇ Φαιστῷ.

**Φέβεται**: [d]Φεύγει.

**Φεβρουάριος**: Οὕτω καλεῖται ὁ μὴν, [e]ἀπό τινος ὑπάτου, [f]γένους ὑπάρχοντος τῶν Γάλλων. Ἡνίκα γὰρ τὸν θρίαμβον τὸν ἀπὸ τῶν [g]Τυρρηνῶν κατήγαγεν ὁ Κάμιλλος, [h]ζηλοτυπήσας ὁ Φεβρουάριος, ἐπὶ τοῦ βήματος ἐβόα, μὴ γεγονέναι τὸν Κάμιλλον αἴτιον τῆς νίκης, ἀλλὰ τὴν τύχην Ῥωμαίων. Συνέπλαττε δὲ B καὶ γράμματα καὶ ψευδομαρτυρίας κατ᾽ αὐτοῦ, ὡς τυραννίδα μελετῶντος. [i]Ἐντεῦθεν δὲ τὸν δῆμον ἐπαναστήσας, ἀπελαύνει τοῦτον τῆς πόλεως. Ὡς οὖν μετὰ τὴν ἅλωσιν τῆς Ῥώμης ἐπανῆλθε, καὶ τοὺς περὶ τὸν Βρέννον βαρβάρους ἀνεῖλεν, εἰς κρίσιν [k]ἀγαγὼν τὴν ὑπόθεσιν, ἀπέδειξε πάντων [l]τῶν πεπραγμένων αἴτιον τὸν Φεβρουάριον. Καὶ διὰ τοῦτο γυμνωθέντα αὐτὸν τῆς ἐσθῆτος, καὶ [m]θρυΐνῃ περιβληθέντα ψιάθῳ, ὑπὸ τῶν ὑπηρε- C τούντων τῷ δημάρχῳ, τῶν καλουμένων βερνάκλων, τυπτόμενον νεύροις, τῆς πόλεως ἀπεδίωξε, καὶ τὸν ἐπώνυμον [n]αὐτῷ μῆνα παρὰ τοὺς ἄλλους [o]ἐκολόβωσε.

**Φεγώρ**: Βεὲλ, ὁ Κρόνος· Φεγὼρ δὲ, ὁ τόπος, ἐν ᾧ ἐτιμᾶτο. Ἐξ ὧν Βεελφεγώρ.

**Φεδεϊκόμιστα**: Παρὰ Ῥωμαίοις τὰ ἐν πίστει καταλιμπανόμενα ὑπὸ τοῦ μέλλοντος τελευτᾶν.

**Φεδαλαγωγία**: Πανήγυρις ἐπιτελουμένη παρὰ Ῥωμαίοις, ἐν ᾗ διέβαλλον [p]αὐτούς.

**Φελλάς**: Τὸ τῶν βιβλίων ἔξωθεν σκέπασμα.

**Φελλέα**: Τὰ πετρώδη καὶ αἰγίβοτα χωρία· [q]ὡς Ἰσαῖος. Καὶ Φελλεὺς, σκληρὸς [r]ποσῶς καὶ πετρώδης τόπος. [s]Ἀριστοφάνης·

> Ὅταν [t]μὲν οὖν τὰς αἶγας ἐκ τοῦ Φελλέως,
> ὥσπερ ὁ πατήρ σου διφθέραν ἐνημμένος.

[u]Φελλεὺς τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος, τραχύς. Αἱ δὲ αἶγες πρὸς τὰ τραχύτερα καὶ ὀρεινότερα διάγουσιν. Ἀπὸ τούτου δὲ φελλέτας λέγουσι [x]Δωριεῖς τοὺς κισσηρώδεις λίθους. Καὶ ἑορτή τις [y]περὶ τὸν Διόνυσον, Φελλὸς καλουμένη. Καὶ αὖθις·

> [z]Τοῦ Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως
> κλέπτουσαν.

**Φελλεῖς**: Οὕτω λέγουσιν οἱ Ἀττικοὶ τοὺς πετρώδεις τόπους· οἵτινες εἰσὶ πετρώδεις μὲν κάτωθεν, ἐπιπολῆς δὲ ὀλίγην ἔχουσι γῆν. Ἔστι δὲ καὶ ὄρος οὕτω καλούμενον.

**Φέλλιος**: Ὄνομα κύριον.

**Φέλλος**:

> [a]Ἀβάπτιστόν τε καθ᾽ [b]ὕδωρ
> φελλὸν, ἀεὶ κρυφίων σῆμα λαχόντα βόλων.

**Φελυρέα**: Εἶδος δένδρου.

**Φενάκη**: Ἀπάτη, δόλος.

[c]Ἐς τὸ τρανὲς τὴν ἔρευναν ἐποιήσαντο, καὶ φενάκη τις ἐν τῇ ἐπισκοπῇ οὐκ ἐνῆν.

**Φενάκη**: Τὸ προκόμιον. Οἷον, τοῦ φαινομένου κρανίου ἄκος καὶ σκέπη. Κυρίως δὲ ἡ προσθετὴ καὶ ἐπιτηδευτὴ κόμη· ἀπὸ τῶν κατερρυηκυιῶν γυναικῶν, D καὶ οὕτως ἀπατουσῶν διὰ τῆς ἐπεισάκτου κόμης.

[d]Ἡ γὰρ τῆς φενάκης ἀπάτη λίαν [e]ἐγκρατῶς ἀπεβουκόλει τὸν βάρβαρον.

**Φενακίζει**: Χλευάζει.

**Φέναξ**: Χλευαστὴς, ἀπατέων.

**Φεναρέτης**: Ὄνομα κύριον.

E

[d] φεύγει om. A. deest gl. V.

ΦΕΒΡΟΥΑΡΙΟΣ: Οὕτω καλ.] Nugæ meræ sunt, quæ Suidas hic de Februario narrat. Existimo autem eum fabulam hanc ex Joanne Antiocheno hausisse: non eo, qui hodie adhuc exstat, et Malelas cognominatur; sed altero ejusdem nominis, ex quo Excerpta tantum hodie supersunt in Collectaneis Constantini Porphyrog. a Valesio editis. Confer Cedrenum, p. 150. et Malelam, p. 237, 238. qui in historia hac narranda non parum a Suida discrepant. KUST. Vid. Maii Excerpta Vati- F cana T. II. p. 530. 563. Wesseling. Probab. p. 254. supra v. Βρῆννος.

[e] ἀπό τινος ὑπάτου] Pighius Ann. sub a. P. R. C. 352. fabulam esse dicit. REINES.

[f] γένους—Κάμιλλος, et mox μὴ γεγονέναι usque ad finem articuli om. A.

[g] Τυρρήνων] Τυράννων B.V.E.M.

[h] ζηλοτυπήσας] ζυλωτυπήσας V.

[i] Ἐντεῦθεν δὲ] ἐντεῦθέν τε B.E. Mox ἀπαναστήσας V. G

[k] ἀγαγὼν] ἀγαγεῖν V.

[l] γεγονέναι αἴτιον τῶν πεπραγμένων] τῶν πεπραγμένων αἴτιον V.

[m] θρυΐνῃ] Vid. Θρυΐνῃ. TOUP.

[n] αὐτῷ] αὐτοῦ V.

[o] ἐκολόβωσε] Vid. Salmas. ad Solin. p. 14 C. HEMST.

ΦΕΓΩΡ] Vid. supra p. 732 B. Φεγὼρ ὁ τόπος ἐν ᾧ ἐτιμᾶτο Βεὲλ ὁ Κρόνος· ἐξ οὗ Βεελφεγώρ. V. ἐξ ὧν Βεελφ. om. A.

ΦΕΔΕΙΚΟΜΙΣΤΑ] Rectius, φιδεϊκόμισσα, i. e. *Fideicommissa*. KUST. Post h. gl. delevi ΦΗΚΛΗ: Τρὺξ κεκαυ- H μένη. λεπροὺς ὄνυχας ἐκβάλλει σὺν ῥητίνῃ· καὶ τρίχας ξανθίζει, μετὰ σχινίνου ἐλαίου νύκτα ὅλην συγχρισθεῖσα, cum B.V.E. In principio cujus scribendum esse Φέκλη, monuit Kusterus. Et sic plane M.

[p] αὐτοὺς] ἑαυτοὺς V. ἐν ᾗ δ. αὐ. om. A.

ΦΕΛΛΑΣ] Hesychius, φελλός. KUST.

ΦΕΛΛΑ: Τὰ πετρ.] Ex Harpocratione: sed apud quem, uti et Etymologum, legitur φελλέα. KUST. Et V. cum Photio. Plura vide apud Ruhnken. ad Tim. p. 260. seqq.

[q] ὡς Ἰσαῖος] In oratione περὶ τοῦ Κίρωνος κλήρου, p. 73. sub finem: sed ubi legitur φελεάδα, quod est a nominativo φελεάς. KUST.

[r] ποσῶς om. V.

[s] Ἀριστοφάνης] Nub. 71.

[t] μὲν οὖν] οὖν om. V.

[u] Ἦν δὲ ὁ Φελλεὺς τόπ.] Eadem leguntur apud Scholiastam Aristophanis loco laudato. KUST. Ἦν δὲ ὁ om. V. Schol.

[x] οἱ Δωριεῖς] οἱ om. V. Schol.

[y] περὶ—καλουμένη] παρὰ—καλούμενος V.

[z] Τοῦ Στρυμοδώρου Θρ.] Aristoph. Acharn. 272.

ΦΕΛΛΕΙΣ] Ex Schol. Aristoph. Ach. 272.

[a] Ἀβάπτιστόν τε κ.] Anthol. Pal. VI. 192.

[b] ὕδωρ] ὕδατι V. Mox λαχόντων B.E.

ΦΕΛΟΥΡΕΑ] Alii arborem hanc rectius φιλυρέαν vocant, per ι in syllaba prima, et υ in secunda. KUST.

[c] Ἐς τὸ τρανὲς] Sunt verba Theophyl. Simoc. II. 5. ubi perperam τὴν εὕρεσιν, nisi forte dederat τὴν ἔρευσιν. Hesych. Ἔρευε: ἐρεύνα. Apud Suid. quoque οὐκ ἐνῆν præferendum videtur τῷ οὐκ ἂν ἦν. ABRESCH.

ΦΕΝΑΚΗ: Τὸ προκόμιον. οἷον τοῦ φαιν.] Ex Schol. Aristoph. Plut. 271.

[d] Ἡ γὰρ] Hoc exemplum post gl. seq. ponunt A.B.V. Desumptum id esse ex Theoph. Simocatta VI. 5. ubi τῆς φεν. ἰσχὺς, monuit Abreschius.

[e] ἐγκρατῶς] ἐγκρατῆ V. deest v. E.

ΦΕΝΑΚΙΖΕΙ] Vid. Κωτίλη. Φέννις. TOUP.

ΦΕΝΑΡΕΤΗ] Φαιναρέτη μαῖα, mater Socratis e Plat. in Theætet. Laërt. II. 18. REINES. Φρεναράτης V. Φεναρέτης A.E.M.

A **Φενεός:** Ὄνομα πόλεως· ἐν ᾧ ἦν Νώνακρις πέτρα, ἐξ ἧς ἔρρει τὸ Στυγὸς ὕδωρ. [f]Ἡρόδοτος φησίν.

**Φεννίς:** Παιδιὰ διὰ σφαίρας, [g]ὁπηνίκα ἑτέρῳ προδεικνύντες, εἶτα [h]ἄνω ἀφιᾶσι τὴν σφαῖραν, ὥσπερ φενακίζοντες.

**Φενόλης:** Ῥωμαϊκὴ στολή.

**Φένω:** [i]Φονεύω.

**Φεράς:** Πόλις.

B **Φέρασπις:** Ὁ πολεμικός.

> [k]Πικρὴν ἀλλήλοις Ἕκτωρ χάριν, ἠδὲ φέρασπις
> Αἴας, ἐκ πολέμου μνῆμ' [l]ἔφερον φιλίης.

**Φεραυγής:** Κατάλαμπρος.

**Φέρβει:** [m]Βόσκει, τρέφει.

**Φέρε:** Οἷον ὑπόθου, ἄγε οὖν. Ἀρχαία ἡ σύνταξις. [n]Ἀριστοφάνης·

> Φέρε, ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν;

C **Φερέγγυος:** Ἀσφαλής, ἀξιόπιστος ἐγγυητής. [o]Ἡρόδοτος·

> Αὐτὸς μὲν ὑμῖν οὐ φερέγγυος εἰμὶ δύναμιν παρασχεῖν τοσαύτην, ὥστε κατάγειν.

**Φερέγγυος:** Ὁ ἐκδεξάμενός τι, καὶ δυνάμενος ἀποτῖσαι, οἷον, ἀξιόχρεως, δυνάμενος ἀναδέξασθαι τὴν ἐγχείρησιν.

> Τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;

D Τουτέστιν, ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλής εἰμι, [p]καὶ βεβαιωτής.

**Φερεζαῖος:** Ἐθνικόν.

**Φέρεθρα:**

> Πομπεῖά τε αὐτοῦ προηγεῖτο, ἀργύρου καὶ χρυσοῦ πεποιημένα, καὶ ὁπλῖται πάμπολλοι, καὶ κόσμος βασιλικὸς, καὶ φέρεθρα, ἔχοντα εἰκόνας βασιλέων, καὶ [q]δείκηλα ἄττα. Αὐτός τε Οὐάφρης ἐπὶ πᾶσιν ἐκομίζετο φοράδην, ἐν ναῷ χρυσοῦ πεποιημένῳ· καὶ τῶν ἱερέων οἱ σεμνότατοι καὶ τελεώτατοι φορεῖς ἦσαν.

**Φερεκάκους:** Καρτερικούς.

> [r]Συναγαγὼν ἱππεῖς, ὄντας φερεκάκους διαφερόντως, παρεκάλεσε.

**Φερεκράτης,** Ἀθηναῖος, κωμικός· [s]ὃς Ἀλεξάνδρῳ συνεστράτευσεν. [t]Ἐδίδαξε δράματα [u]ιζ'.

[[x]Φερεκράτης Πετάλῃ γράφει.]

**Φέρεκλος:** Ὄνομα κύριον.

**Φερεκύδης,** [y]Βάβυος, Σύριος. Ἔστι δὲ νῆσος μία τῶν Κυκλάδων [z]ἡ Σύρα, πλησίον Δήλου. Γέγονε δὲ κατὰ τὸν [a]Λυδῶν βασιλέα Ἀλυάττην· ὡς συγχρο-
C νεῖν τοῖς ζ' σοφοῖς, καὶ [b]τετέχθαι περὶ τὴν με' Ὀλυμπιάδα. Διδαχθῆναι [c]δὲ ὑπ' αὐτοῦ Πυθαγόραν λόγος· αὐτὸν δὲ οὐκ ἐσχηκέναι καθηγητὴν, ἀλλ' ἑαυτὸν ἀσκῆσαι, κτησάμενον τὰ Φοινίκων ἀπόκρυφα βιβλία. [d]Πρῶτον δὲ συγγραφὴν ἐξενεγκεῖν πεζῷ λόγῳ τινὲς ἱστοροῦσιν, ἑτέρων τοῦτο εἰς Κάδμον τὸν Μιλήσιον φερόντων, καὶ πρῶτον τὸν περὶ τῆς μετεμψυχώ-
D σεως λόγον [e]εἰσηγήσασθαι. Ἐζηλοτύπει δὲ τὴν Θάλητος δόξαν. Καὶ [f]τελευτᾷ ὑπὸ πλήθους φθειρῶν. Ἔστι δὲ ἅπαντα, ἃ συνέγραψε, ταῦτα· [g]Ἑπτάμυχος, [h]ἤτοι Θεοκρασία, ἢ Θεογονία. Ἔστι δὲ Θεο-

ΦΕΝΕΟΣ] Φρενεὸς V. ἐν ᾧ ἦν—φησιν om. A.B.

[f] Ἡρόδοτός φησιν] Atqui aliud tradit Herodotus, quippe qui Nonacrin urbem, non petram fuisse dicit, lib. VI. c. 74. Ait enim: Καὶ δὴ καὶ εἰς Νώνακριν πόλιν πρόθυμος ἦν
E τῶν Ἀρκάδων τοὺς προεστῶτας ἀγινέων. ἐν δὲ ταύτῃ τῇ πόλι λέγεται εἶναι ὑπ' Ἀρκάδων τὸ Στυγὸς ὕδωρ. Et mox: Ἡ δὲ Νώνακρις, ἐν τῇ ἡ πηγὴ αὕτη τυγχάνει ἐοῦσα, πόλις ἐστὶ τῆς Ἀρκαδίης πρὸς Φενεῷ. Hinc ἀβλεψία Suidæ patescit. KUST.

ΦΕΝΝΙΣ: Παιδιὰ διὰ σφ.] Hæc totidem verbis legas etiam apud Eustath. ad Odyss. ζ'. p. 1554. qui ea procul dubio ex Suida deprompsit. KUST. Deest gl. A.E.

[g] ὁπηνίκα—τὴν σφαῖραν] ὅτ' ἂν ἑτέρῳ ἀφίωσι τὴν σφ. Photius.

[h] ἄνω] Eustathius loco laudato, ἄλλῳ. KUST.

ΦΕΝΟΛΗΣ] Vide supra v. Φαινόλης. KUST.

[i] Τὸ φονεύω] τὸ om. A.

ΦΕΡΡΑΙ] Φερὰς A.V. Pertinet gl. ad Demosth. Olynth. I. p. 12 extr.

[k] Πικρὴν ἀλλ.] Anthol. Pal. VII. 152. Πικροῖς A.

[l] ἔφερον] In Anthologia Epigrammatum recte legitur, ἔπορον. KUST.

[m] Βόσκει, τρέφει] τρέφει, βόσκει A. Statim delevi Ὅθεν
G ΣΥΦΟΡΒΟΣ, καὶ ἹΠΠΟΦΟΡΒΟΣ, cum A.B.V.

[n] Ἀριστοφάνης] Equit. 145. Conf. Schol. ad Nub. 219.

[o] Ἡρόδοτος] Lib. V. 30.

ΦΕΡΕΓΓΥΟΣ: Ὁ ἐκδ.] Ex Schol. Sophocl. Electr. 942. KUST.

[p] καὶ βεβαιωτὴς non exstant apud Schol. Soph. sed apud Gl. Herod. V. 30.

[q] δείκελα] δείκηλα A.B.V.E. Vid. p. 899 D.

H [r] Συναγαγὼν ἱππεῖς, ὄντας φερ.] Fragmentum hoc legitur apud Polybium lib. III. c. 71. KUST.

[s] ὃς Ἀλεξάνδρῳ] Vid. Meineke Quæst. Sc. Sp. 2. p. 31.

[t] Ἐδίδαξε δράματα ιζ'] Fabulas Pherecratis diligenter recenset Meursius in Biblioth. Attica, post quem actum non agemus. Illud tantum hic monemus, omissam esse ab eo fabulam, Ἀγγεῖον, vel Ἀγγεῖα inscriptam, cujus mentionem facit vetus interpres Comici ad Vespas, v. 1500. Δῆλον δὲ ἐκ τῶν Φερεκράτους Ἀγγείων. KUST. Leg.
E Ἀγρίων. TOUP. HEMST. Ego Suidam de non controversis loqui dico, quæ sunt 16. quatuor enim Πέρσαι, Χείρων, Μεταλλεῖς, et Ἀγαθοὶ aliis præter Pherecratem tribuuntur. Sunt autem omnino 20, additis novendecim a Meursio nominatis Μενδήροις, quam Athen. VI. p. 402. nominat, nisi ibi leg. Λήροις, quæ similiter Pherecratis est cum aliis 18. Fabula Ἄγριοι citatur a Suid. in Ἄπια: Ἰπνος in Ἀπέδραν: Πετάλη in Αἴρειν. REINES.

[u] ιζ] κ V. ζ M.

[x] Φερεκράτης Πετάλῃ γρ.] Hæc nihil ad rem faciunt.
F Fabula autem Pherecratis, *Petale* inscripta, a pluribus scriptoribus laudatur. Vide Meursium loco laudato. KUST. Hæc om. A.

[y] Βάβιος] Strabo eum filium Βάβυος vocat: at Laërtius, Βάδυος. KUST. Hinc corrigendus Eustath. in Od. ο'. v. 402. ubi Φερεκύδης ὁ Βαβυλώνιος, leg. Φερεκρ. ὁ Βάβυος ὤν. Βάδυος habet cod. Xylandri Strabonis Latinus, Græcus vero βάβιος. cf. Voss. de Hist. Gr. p. 358. sq. REINES. Βάβυος B.V.E. v. Sturz. Fr. Pherec. p. 3.

[z] ἡ Σύρα] Imo potius, ἡ Σύρος. Vide Geographos.
G KUST. Laërtius, ὃν τίκτει Σύρος. REINES.

[a] τῶν Λυδῶν] τῶν om. A.V.

[b] τετέχθαι] τετάχθαι E.

[c] δὲ ὑπ' αὐτοῦ] δὲ om. A. qui mox αὐτὸς δὲ οὐκ.

[d] Πρῶτον δὲ συγγραφὴν ἐξεν.] Vide Salmasium in Exercitat. Plin. p. 591. ed. Ultraj. et Nos supra ad v. Ἱστορῆσαι. KUST. Laërt. in Anaxagora. TOUP.

[e] εἰσηγήσασθαι] εἰσηγήσατο E.

[f] τελευτᾷ ὑπὸ πλ.] Vide Helladium apud Photium, p.
H 1588. KUST. Aristot. Hist. Anim. p. 151. TOUP. Qu. Serenus Sammonicus c. de phthiriasi vocat eum Tragœdum. Max. Tyrius Diss. XIII. (p. 238. ed. Reisk.) ὡς Φερεκύδης ὑπερεφρόνει (νόσου καὶ κακοῦ) ἐν τῇ Σύρῳ κείμενος, τῶν μὲν σαρκῶν αὐτῷ φθειρομένων. REINES.

[g] Ἑπτάμυχος] Ἑπτάμυγχος V.

[h] ἤτοι Θεοκρασία. ἢ Θεογονία. ἔστι δ.] Locus hic turba-

λογία ἐν βιβλίοις δέκα, ἔχουσα Θεῶν γένεσιν, καὶ A [i]διαδόχους.

Φερεκύδης Ἀθηναῖος, [k]πρεσβύτερος τοῦ Συρίου, ὃν λόγος τὰ Ὀρφέως συναγαγεῖν. Ἔγραψεν Αὐτόχθονας· ἔστι δὲ [l]περὶ τῆς Ἀττικῆς ἀρχαιολογίας ἐν βιβλίοις δέκα· Παραινέσεις δι' ἐπῶν. Πορφύριος δὲ τοῦ προτέρου οὐδένα δέχεται πρεσβύτερον, [m]ἀλλ' ἐκεῖνον μόνον ἡγεῖται ἀρχηγὸν συγγραφῆς.

Φερεκύδης Λέριος, ἱστορικὸς, γεγονὼς πρὸ ὀλίγου B τῆς οε' Ὀλυμπιάδος. [n]Περὶ Λέρου, Περὶ Ἰφιγενείας, Περὶ τῶν Διονύσου ἑορτῶν· καὶ ἄλλα.

Φέρε νῦν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν: Τὸ πτερὸν ζητεῖ, ἵνα ἐξεμέσῃ. Εἰώθασι γὰρ οἱ δυσεμοῦντες πτερῷ χρῆσθαι πρὸς τὸ εὐχερῶς ἐμέσαι.

Φερεσβίους: Ζωοποιούς.

Φερετίμα: Ὄνομα κύριον.

[o]Ἡ δὲ Φερετίμα τὸν ὄροφον ὑποσπάσασα τοῦ βόθρου, ὡς ἂν C ἐμπεδορκοίη, ἤλαυνεν εἰς τὴν πόλιν.

Φερέοικος: Ὁ κοχλίας. Ἔνιοι ζῶον λευκὸν ὅμοιον γαλῇ, ὑπὸ δρυσὶ καὶ ἐλαίαις γινόμενον· οἱ δὲ, ζῶον σφηκὸς εὐμεγέθους μέγιστον.

Φέρειν: [[p]Ὑπομένειν, βαστάζειν,] λαμβάνειν. [q]Ἀριστοφάνης Ἀχαρνεῦσιν·

> [r]Ἐπέμψαθ' ἡμᾶς ὡς βασιλέα τὸν μέγαν,
> μισθὸν φέροντας [s]δύο δραχμὰς τῆς ἡμέρας. D

Μένανδρος Ὀλυνθίᾳ·

> Μετ' Ἀριστοτέλους γὰρ τέτταρας [t]τῆς ἡμέρας
> ὀβολοὺς φέρων.

Καὶ ὁ μισθοφόρος ἀπὸ τούτου. Καὶ φέρον, οὐδετέρως.

> [u]Τὸ φέρον ἐκ θεοῦ καλῶς
> φέρειν χρή.

Τουτέστι, τὸ ἐκ θεοῦ πεμφθὲν γενναίως φέρειν χρή. Καὶ αὖθις·

> [x]Ἔφερον [y]ἀλλήλους οὐχ ἧττον.

B Ἀντὶ τοῦ, λίαν ἐλῄστευον, ἔβλαπτον.

Φέριστον: Κράτιστον, ἐξοχώτατον, ἢ ἀγαθόν.

Φερνή: [z]Προίξ.

Φέρνη: Ἀμοιβή.

Φερομένου: Λαμβάνοντος.

Τὴν αἰτίαν [a]πᾶσαν τοῦ πολέμου τούτου τοῦ ἀνδρὸς φερομένου.

Καὶ φέρονται, ἀντὶ τοῦ νικῶσι.

Καὶ φέρονται οἱ πλούσιοι τὸ πλέον· συλλαβόντες δὲ τῶν δημο- C τῶν εἰς ψ' δήσαντες ἄγουσι.

Καὶ φερόμενος:

Ἀνὴρ γένος μὲν φερόμενος [b]Θρᾴκιον, ᾧ ὄνομα Διογένης ἦν· τὰ δὲ πολέμια παρ' ὀντινοῦν κράτιστος, [c]τέλους ἱππικοῦ προτεταγμένος.

Φερωνία: Ὄνομα κύριον.

Φερώνυμος: Ἀληθὲς ἔχων τὸ ὄνομα.

Φερώρας: Ὄνομα κύριον.

Φερσεφόνη: Ὄνομα θεᾶς [d]καταχθονίου. D

Φέρτερον: Κρεῖττον, ἢ ταχύτερον.

Φέρτρῳ: [e]Τῇ τῶν [f]νεκρῶν κλίνῃ.

Φέρτρον: Τὸ φορεῖον. [g]Πολύβιος·

tus mihi videtur, et corruptus, qui sic fortasse scribendus est: Ἤτοι Θεοκρατία, ἢ Θεολογία. ἔτι δὲ Θεογονία ἐν βιβλίοις δέκα, &c. Non videtur enim unum idemque opus fuisse, Θεογονία, et Θεολογία; ut censet etiam Salmasius E ad Solinum, p. 591. ed. Ultraj. qui eo amplius existimat, Θεογονίαν Pherecydis junioris, sive Atheniensis opus fuisse. Hoc tamen non tam clare probat, ut omnem dubitandi ansam præcidat. KUST. Conf. Max. Tyr. Diss. X. [p. 174.] et Laërt. Philo Bybl. de rebus Phœnic. e Sanchun. ap. Euseb. Præp. Ev. I. sub fin. Παρὰ Φοινίκων δὲ καὶ Φερεκύδης λαβὼν τὰς ἀφορμὰς ἐθεολόγει περὶ τοῦ παρ' αὐτῶν λεγομένου Ὀφιονέως θεοῦ καὶ τῶν Ὀφιωνιδῶν. Strab. XIV. p. 643. Pherecydem allegat de Calchantis et Mopsi vatum concertatione, illiusque præ mœrore F obitu. Conf. Antonin. Liberal. Metamorph. c. 33. REINES. Vid. Sturzii Fragm. Pherecyd. p. 27. 67.

[i] διαδόχους] Statim delevi ΦΕΡΕΚΥΔΗΣ, ὁ σοφός. ζήτει ἐν τῷ ΧΡΟΙ ΔΗΛΑ, cum A.V.

ΦΕΡΕΚΥΔΗΣ Ἀθηναῖος] De eo vide omnino Vossium in egregio opere de Hist. Gr. Salmasium ad Solinum, p. 591. et Meursium in notis ad Hellad. Besant. itemque in Bibliotheca Attica. KUST. Vid. Sturzius p. 55. et seqq.

[k] πρεσβύτερος] πρεσβύτης V. Mox συναγεῖν V. G

[l] περὶ] ἢ περὶ A.V.

[m] ἀλλ' ἐκεῖνον] Vid. Συγγράφω. TOUP.

ΦΕΡΕΚΥΔΗΣ, Λερ.] Hunc Pherecydem Vossius eundem cum Pherecyde Atheniensi fuisse contendit. Argumenta, quibus opinionem istam doctis persuadere conatur, apud ipsum legenda sunt. KUST. Adde Clinton. Fast. Hell. T. II. p. 372. et ad an. 480.

[n] Ἔγραψε περὶ] ἔγραψε om. A.V. Mox A.V.E. Διονυσίου.

ΦΕΡΕ ΝΥΝ ἈΠΟ Τ.] Aristoph. Acharn. 584. Post h. H art. delevi ΦΕΡΕΝΤΙΝΟΣ: Πόλις Σαυνιτῶν ἐν Ἰταλίᾳ. τὸ ἐθνικὸν, Φερεντινεὺς, καὶ Φερέντιος, cum A.B.V.E.

ΦΕΡΕΣΒΙΟΥΣ] For. melius Φερέσβιος, ζωοποιός. Athenæus p. 396. ἦν φερέσβιος Μήτηρ β. Ita leg. Et sic quoque Hesychius in v. Theodoret. Græc. Affect. p. 40. φερέσβιος—μήτηρ. TOUP.

[o] Ἡ δὲ Φερετίμα τ.] Historia, ad quam fragmentum hoc referendum est, exstat apud Herodotum lib. IV. circa finem, p. 181. Vide etiam supra v. Ἐμπεδορκεῖν, ubi E idem locus occurrit. KUST. Aliter rem narrat Herodotus IV. fin. Suspicor hæc esse Æliani. Quid si et Æliani sint quæ alibi enotavi ut Theopompea ex Epit. Herodoti? VALCK. Deest exemplum A.

ΦΕΡΕΟΙΚΟΣ: Ὁ κοχλίας] Athen. lib. II. c. 22. p. 63. Ἡσίοδος τὸν κοχλίαν φερέοικον καλεῖ. Apud Ciceronem lib. de Divinat. *domiporta* appellatur. KUST. Hesiod. Opp. 569. Mox λευκὸν om. M.

[p] Ὑπομένειν, βαστάζειν om. B.V. Photius.

[q] Ἀριστοφάνης Ἀχαρν.] Ver. 65. KUST.

[r] ἐπέμψαθ'] ἐπέμψεθ' A.V.E. Photii ms. F

[s] δύο] οὐ B.V.E.M. Photii ms.

[t] ὀβόλους τῆς ἡμέρας] τῆς ἡμέρας ὀβόλους A. Photius.

[u] Τὸ φέρον] Soph. Œd. Col. 1694. τουτέστι—χρὴ addunt A.V.

[x] Ἔφερον ἀλλήλους οὐχ ἧττ.] Thucydides lib. I. c. 7. Ἔφερον γὰρ ἀλλήλους τε καὶ τῶν ἄλλων ὅσοι ὄντες οὐ θαλάσσιοι κάτω ᾤκουν. Scholiastes ad eum locum: Ἔφερον: ἔβλαπτον, ἐλῄστευον. ὡς καὶ Ἡρόδοτος. Hinc Suidas sua deprompsit. KUST.

G [y] ἀλλήλους] ἀλλήλοις B.

[z] Προὶξ] ἡ προὶξ V. In gl. seq. post ἀμοιβὴ delevi Παρά τισι δὲ, καὶ ΦΕΡΝΗ, ἡ προὶξ, cum A.V.

[a] πᾶσαν om. V.

[b] Θρᾴκιος] φερόμενος Θρᾴκιον A.B.V.E.

[c] τέλους] τέλος A. Mox προτεταγμένου V.

ΦΕΡΩΡΑΣ] Josephus B. J. I. 8, 9. et al.

[d] καταχθονίου] Statim delevi ἥτις καὶ Περσεφόνη καὶ Περσέφασσα λέγεται, cum A.B.V.

H [e] Τῇ τῶν νεκροφόρων κλ.] Potius, τῇ νεκροφόρῳ κλίνῃ. Vel, τῇ τῶν νεκρῶν κλίνῃ. KUST.

[f] νεκροφορῶν] νεκρῶν B.V.

[g] Πολύβιος] Lib. VIII. c. 24. (31.) ex quo pro πεφιλημένον ἔχοντα τὸν υἱὸν, scribendum est, Φιλήμενον ἔχοντα τὸν ὖν: quam lectionem in versione expressi. Deinde, pro φέρτρῳ apud Polybium legitur φερέτρῳ. KUST.

Τότε καὶ τὸν [b] Φιλήμενον ἥκειν ἔχοντα τὸν [i] ὗν ἐν φέρτρῳ, καὶ Λίβυας ὡσεὶ χιλίους. Ὡς δὲ ἤγγισε τῷ τείχει, ἔλεγεν ἀνοίγειν ταχέως, ὅτι βαρύνονται, φέρουσι γὰρ [k] ὗν ἄγριον. [l] Ὁ δὲ φύλαξ ἀνοίγει, θαυμάσας τὴν εὐαγρίαν.

Οἱ δὲ [m] φέρετρον λέγεσθαι φασί.

**Φεσκάσιον**: [n] Μάγγανον πλοϊκόν.

**Φεῦ**: Σχετλιαστικὸν ἐπίρρημα. Ἢ, ὀδυνηρὸν οἰμώγημα. Ἔστι δὲ καὶ θαυμαστικὸν τὸ φεῦ. [o] Σοφοκλῆς·

> Φεῦ, φεῦ. Φρονεῖν ὡς δεινὸν ἔνθα μὴ [p] τέλη
> λύει φρονοῦντι· ταῦτα γὰρ καλῶς ἐγὼ
> εἰδὼς, διώλεσ'· οὐ γὰρ ἂν δεῦρ' ἱκόμην.

Ὡς δεινὸν, φησὶ, τὸ φρονεῖν, ὅταν τὸ φρονούμενον τῷ φρονοῦντι μὴ συντελῇ.

> [q] Φεῦ, ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ.

Ἅμα διὰ τὸ λεγόμενον, ὅτι τοῖς νεκροῖς ἐπὶ τοῦ στόματος [r] βάλλουσι δύο ὀβολούς· καὶ ὅτι τὸ δικαστικὸν μισθάριον δύο ὀβολοὶ ἦσαν. Ἦν δὲ καὶ τριώβολον, [s] βλακείας χάριν τοῦτο τῶν στρατηγῶν προστιθέντων. Καὶ περὶ τοῦ ναύλου εἰπόντος,

> Πῶς [t] περαιωθήσομαι;

λέγει·

> [u] Ἐν πλοιαρίῳ τυννουτωὶ σ' ἀνὴρ γέρων
> [x] ναύτης διάξει, δύ' ὀβολὼ μισθὸν λαβών.

**Φεύγοντας**: Τοὺς εἰς δίκην ἀγομένους.

> [y] Τοὺς φεύγοντας
> ἐλεεῖν μᾶλλον τῶν γραψαμένων,
> κἀπιδακρύειν ἀντιβολούντων.

[z] Καὶ φεύγω, αἰτιατικῇ.

**Φεύγοιεν**: Κατηγοροῖντο. Καὶ φεύγων, κατηγορούμενος. Ἀριστοφάνης [a] Νεφέλαις·

> Ἢ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην.

**Φευκτέον**: Ἐπίρρημα θετικόν.



A Πλάτων φησί· [b] Φευκτέον ἐνθένδε. Τίς οὖν ἡ φυγή; Θεῷ ὁμοίωσις. Τοῦτο δὲ, [c] εἰ δίκαιοι καὶ ὅσιοι μετὰ φρονήσεως γενοίμεθα· καὶ ὅλως ἐν ἀρετῇ, οὐ κατὰ τὰς πολιτικὰς ἀρετὰς, ἀλλὰ κατὰ τὰς μείζους, [d] τῶν αὐτῶν ὀνομάτων χρωμένας.

**Φέψαλος καὶ φεψάλυξ**: Σπινθὴρ, ὁ ἀναφερόμενος ἐκ τῶν καιομένων ξύλων. [e] Ἀριστοφάνης·

> Ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.

Οἷον, [f] ζωπύρημα, σπινθήρ. Διαβάλλονται δὲ ὡς μοι-
B χοὶ οἱ Μιλήσιοι.

**Φεψάλῳ**: [g] Καπηλείῳ. Φέψαλοι γὰρ, οἱ σπινθῆρες. [h] Ἀριστοφάνης·

> [i] Ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται.

Διὰ τὸ εἰρήνην εἶναι. Λέγεται δὲ καὶ φεψάλυξ παρὰ Ἀρχιλόχῳ. Καὶ [k] παρὰ Ἀριστοφάνει·

> Ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.

Καὶ αὖθις·

C [l] Ἀλλ' ἀποσκοτουμένους [m] ὑπὸ τῆς εἰς αὐτοὺς φερομένης λιγνύος, καὶ τῶν φεψαλύγων, ἔτι δὲ τῆς τοῦ καπνοῦ [n] πολυπληθίας, οὐκ ὀλίγους ἀπόλλυσθαι.

**Φειά**: [o] Πόλις τῆς Ἠλείας.

**Φείδαλος**:

**Φειδαλφίτως**: Ἐκ τοῦ [p] ἄλφιτον. Ὅ ἐστι, πεφεισμένως τῶν ἀλφίτων.

**Φειδᾶς**: Ὄνομα κύριον.

D **Φειδήσεται**: Φείσεται.

**Φειδίας**, ἀγαλματοποιός· ὃς ἐλεφαντίνης Ἀθηνᾶς εἰκόνα ἐποίησε. [q] Περικλῆς δὲ ἐπὶ τοῖς ἀναλώμασι ταχθεὶς, ἐνοσφίσατο πεντήκοντα τάλαντα, καὶ ἵνα μὴ δῷ τὰς εὐθύνας, πόλεμον ἐκίνησε. [r] Καὶ παροιμία· Φειδίας [s] προσήκοι εἰρήνῃ, καθὸ τεχνίτης. Εὔμορφος δὲ ἐκείνη [t] εἰσάγεται. [u] Πολύβιος·

E Λεύκιος [x] Αἰμίλιος παρῆν εἰς τὸ τέμενος τὸ ἐν Ὀλυμπίᾳ, καὶ τὸ ἄγαλμα θεασάμενος, ἐξεπλάγη, καὶ τοιοῦτον εἶπεν, ὅτι μόνος αὐτῷ

---

[b] πεφιλημένον] φιλημένον A.B.V.E.
[i] υἱὸν] νῦν B.E. ὗν Polyb. M.
[k] ὗν] ὗα E. qui mox om. θαυμάσας.
[l] Ὁ δὲ φύλαξ ἀνοίγ.] Aliter hic Polybius: apud quem sic legitur, Ἀσμένως ἀκούσας ὁ φύλαξ, ἀνέῳξε μετὰ σπουδῆς, ἐλπίζων καὶ πρὸς αὐτόν τι διατείνειν τὴν εὐαγρίαν τῶν περὶ τὸν Φιλήμενον. Hinc apparet, Suidam minus fideliter mentem Polybii hic expressisse. KUST.
[m] ΦΕΡΕΤΡΟΝ] φέρεθρον B.V.E. Tum φέρεσθαι A. pro λέγεσθαι.
ΦΕΣΚΑΣΙΟΝ] Meurs. in Gl. p. 400. ad Μάγγανον, πολεμικὸν legit pro πλοϊκὸν, et exponit de machina bellica. Id probat Voss. de Vit. Serm. III. 23. REINES.
[n] Μάγγανον] μάγκανον E.M. μαγγάνιον Photius.
[o] Σοφοκλῆς] Œdip. Tyr. 316.
[p] τέλη λύει] λύῃ A.V.
[q] Φεῦ, ὡς μέγα δύν.] Aristoph. Ran. 141. Vide etiam supra v. Ὀβολοῦ. KUST.
[r] βάλλουσι om. V.
[s] βλακείας χάριν] Scribe κολακείας χάριν: ut habet Scholiastes Aristophanis. KUST.
[t] περαιωθήσομαι] παραμυθήσομαι B.E.
[u] Ἐν πλοιαρίῳ τυννουτ.] Aristoph. Ran. 138. Vide etiam supra v. Τυννουτονί. KUST.
[x] ναύτης om. A.E.
[y] Τοὺς φεύγοντας] Aristoph. Vesp. 875.
[z] Καὶ ΦΕΥΓΩ, αἰτ. om. A.V.
[a] Νεφέλαις] Ver. 167.
[b] Φευκτέον ἐνθ.] Ex Plotino. KUST. P. 12. Vid. Wyttenbach. ad Plutarch. II. p. 159 C.
[c] εἰ] οἱ V.
[d] τῶν αὐτῶν ὀνομάτων χρωμ.] Scribendum est, τοῖς αὐτοῖς ὀνόμασι χρωμένας. KUST. Ita Portus.
[e] Ἀριστοφάνης] Lysistr. 107.
[f] ζωπύρημα] ζωπύρωμα V. Mox δὲ post διαβάλλονται A.V.
[g] Καπηλείῳ] Est interpretatio suspecta. KUST. Καπ-
F νείῳ Pierson. ad Mœrin p. 292.
[h] Ἀριστοφάνης accessit ex V.
[i] Ἡ δ' ἀσπὶς ἐν τῷ φεψ.] Aristoph. Acharn. 278. ἀψὶς A. ἁψὶς V.
[k] παρὰ Ἀριστοφάνει] Lysistr. 107. Deest vs. A.
[l] Ἀλλ' ἀποσκοτ.] Hæc sunt verba Polybii lib. I. c. 48. KUST.
[m] ὑπὸ] ἀπὸ A.
[n] πολυπληθείας] πολυπληθίας B.V.
[o] Ὄνομα πόλεως] πόλις A. Mox τῆς Ἠλείας om. B.E.
G [p] ἄλφιτον. Ὅ ἐστι πεφ. τ. ἀ.] ἀλφιτόν ἐστι A. Phrynichus Bekkeri p. 69. Φειδαλφιτεῖν: τὸ φείδεσθαι τῶν ἀλφίτων, οἷον τροφῆς καὶ σιτίων.
ΦΕΙΔΗΣΕΤΑΙ] Φιδήσεται V.
[q] Περικλῆς δὲ ἐπὶ τ.] Confer interpretem Aristoph. Pac. 604. KUST. Supra omnes ἐλεφαντίνης ubi malis ἐλεφαντίνην.
[r] Καὶ παροιμία· ΦΕΙΔΙΑΣ ΠΡ.] Ex hoc loco Aristophanis Suidas, eumque secutus Junius, proverbium exsculpse-
H runt: sed male, ut cuilibet facile patebit, qui ipsum Comicum in Pac. 615. inspicere voluerit. KUST.
[s] ΠΡΟΣΗΚΕΙ] προσήκοι A.B. Mox τέχνης E. Tum εὐμόρφιος V.
[t] εἰσάγεται] προσάγεται V.
[u] Πολύβιος] XXX. 14, 3.
[x] Αἰμύλιος] Lege Αἰμίλιος. KUST. Sic A.V.

δοκεῖ Φειδίας τὸν παρ' Ὁμήρῳ Δία ʸμεμιμῆσθαι· διότι μεγάλην ἔχων προσδοκίαν τῆς Ὀλυμπίας, μείζω τῆς προσδοκίας εὑρηκὼς εἴη τὴν ἀλήθειαν. A

Καὶ αὖθις·

ᶻΚαθάπερ, οἶμαι, Μυρμηκίδην ᵃἀντιταττόμενον τῇ Φειδίου τέχνῃ.

**Φειδιππος:**

**Φείδομαι:** Γενικῇ.

**Φειδώ:** ᵇΠρόνοια, φεισμονή, εὐσπλαγχνία. B

**Φειδωλός:** Φειδόμενος, σκνιπός. ᶜΦειδωλός τις ὤν, ὁ φεύγων τὸ ᵈδοῦναι, ὁ ᵉπερίψηφος. Παρὰ τὸ φείδομαι, καὶ τὸ δοῦναι, ᶠφειδωδός τις ὤν, ᵍτροπῇ τοῦ δ' εἰς λ'.

**Φείδων, Φείδωνος.** Ὄνομα κύριον.

**Φεισόμεσθα:**

ʰΦεισόμεσθα γάρ τι τῶνδε μᾶλλον ἡμεῖς, ἢ λύκων;
ἢ τίνας ⁱτισαίμεθ' ἄλλους τῶνδ' ἂν ἐχθίους ἔτι; C

ᵏΤουτέστι, μᾶλλον λύκων φεισόμεθα, ἤπερ τούτων. Μήποτε δὲ καὶ παροιμιῶδες ἐγένετο· ἐπεὶ τοπαλαιὸν τοὺς λύκους ˡἀπέκτεινον ἐν τῇ Ἀττικῇ. Καὶ νόμος ἦν λυκοκτονεῖν. Διὸ ὁ μὲν φονεύων τέκνον λύκου, τάλαντον ἐλάμβανεν· ὁ δὲ τέλειον, δύο.

**Φεισών:** Ποταμός.

**Φῆ:** ᵐΟὐδέποτε Ὅμηρος τὸ φῆ ἀντὶ τοῦ ὡς ⁿτέταχεν.

ᵒὉ δὲ φῆ κώδειαν [ᵖἀνασχών.]
Ἴν' ἢ ὡς κώδειαν.

**Φηγαιεῦσι:** Δῆμος τῆς Αἰαντίδος.

**Φηγεύς:**

**Φήγινος:** Δρύϊνος. ᵠἘν Ἐπιγράμμασι·

Φηγίνεον κρατῆρα.

**Φήγοντος:**

**Φηγός:** ʳΔρῦς· ἢ πεύκη.

Ἦν δὲ δένδρα ὑπερμεγέθη, φηγὸς, καὶ ἐλάτη, δρύες τε, καὶ φίλυρα.

**Φηγοῦς:** Δῆμος τῆς Ἐρεχθηΐδος.

**Φηγούσιον:** Λυσίας ἐν τῷ ˢπερὶ Βατράχων φόνου.

**Φήληκες:** Τὰ ἄγρια σῦκα, τὰ τῇ ᵗδείξει πέπειρα.

**Φήληξ:** Ὁ ἀπατεὼν, καὶ ἡ ὠμὴ συκῆ.

**Φῆλος:** Ὁ ἀπατηλός. C

**Φηλοῦν:** Ἀπατᾶν. Μένανδρος ᵘἉλιεῖ·

Δύ' οἰκίας
ˣφηλῶν γερόντων, ὡς λέγεις, ἀβελτέρων.

Καὶ ʸφηλωθεῖσα, ἀντὶ τοῦ ἐξαπατηθεῖσα. ᶻἘν Μύθοις·

Κέρδεσι φηλωθεῖσα θοὴ κεμάς.

D Ἔνθεν καὶ ᵃφήληκες τὰ ἄγρια σῦκα, τὰ τῇ δείξει πέπειρα.

ʸ μεμιμῆσθαι] μεμιμεῖσθαι A.

ᶻ Καθάπερ, οἶμαι, Μυρμ.] Hæc Fulv. Ursinus et Casaubonus Polybio tribuunt. Sed sunt verba Juliani, Orat. III. p. 208. ut recte monuit Henr. Valesius in Præfat. ad Collectanea Constant. Imp. de Virt. et Vit. Vide etiam supra v. Γελοῖος, ubi idem fragmentum occurrit. KUST.

E ᵃ ἀντιταττόμενον] Apud Julianum melius, ἀντιπραττόμενον. Et sic apud ipsum Suidam supra, v. Γελοῖος. KUST.

ΦΕΙΔΟΜΑΙ om. A.V.

ᵇ Πρόνοια] Addit A. Φεισμονή: εὐσπλαγχνία cum Photio. Φειδώ: φεισμονὴ Lex. Seg.

ᶜ Φειδωλὸς] Scribe φειδωδός. Et sic paulo post. KUST. φειδωλός—φείδομαι om. E.

ᵈ δοῦναι—φείδομαι] φείδομαι—δοῦναι A.B. Schol. Arist. ἢ παρὰ A.

F ᵉ περίψηφος] *In calculis sollicite ponendis occupatus* Hemsterhus. ad Schol. Aristoph. Plut. 237.

ᶠ φειδωλὸς] φειδωδὸς A.B.E. Schol.

ᵍ τροπῇ τοῦ] τρέπεται δὲ τὸ E. Post gl. seq. delevi ΦΕΙΣΜΟΝΗ: Φειδὼ εὐσπλαγχνία, cum A.V.

ΦΕΙΔΩΝ] Pindar. Schol. p. 112. Strabo p. 549. TOUP. Atheniensis, a XXX tyrannis necatus: ejus filiæ pudicitiam morte redemerunt. Hieronym. c. Jovin. I. Vincent. Beluac. Spec. Hist. III. 63. Φείδων τῶν Ἀργείων τύραννος, vid. Salmas. de Usuris c. 15. p. 420. et c. 11. p. 311. Strabo VIII. p. 358. vid. Leo Allat. in Hexaëm. Eustath. p. 213. Φειδώνιον μέτρον nominat Theophr. Char. XV. ubi cf. interpp. et Polluc. IX. c. 6. 83. REINES.

G ΦΕΙΣΟΜΕΣΘΑ caput gl. om. A.E. Mox ἡμεῖς om. B. E.

ʰ Φεισόμεσθα γάρ τι τ.] Aristoph. Av. 368.

ⁱ τισαίμεσθ'] στησαίμεθ' A.V. τισαίμεθ' E.

H ᵏ Τουτέστι, μᾶλλον λύκων φεισ.] Hæc, et quæ sequuntur usque ad finem articuli, totidem verbis leguntur apud Scholiastam ad modo indicatum locum Aristophanis. KUST.

ˡ ἀπέκτεινον] ἀπέκτεινεν A.B.E.

ΦΕΙΣΣΩΝ] Ejus fluvii mentio fit Genes. c. 11. KUST. Φείσων A. qui πoτ pro ὄνομα ποταμοῦ.

ᵐ Οὐδετέρως Ὅμηρος τὸ φῆ ἀντὶ τοῦ ὡς τετ.] Locus est corruptus, qui sic scribendus est, οὐδέποτε Ὅμηρος τὸ φῆ ἀντὶ τοῦ ὡς τέθεικε. Vide Eustathium ad Il. ζ'. p. 999, 25. KUST. Et sic fere Portus. Dedi οὐδέποτε. Schol. Ven. ὁ ποιητὴς οὐδέποτε οἶδε τὸ φῆ ἀντὶ τοῦ ὡς.

ⁿ τέτευχε] τέταχε A.B.V.E.

ᵒ Ὁ δὲ φῆ κώδ.] Hæc sunt verba Homeri Il. ζ'. 499. KUST.

ᵖ ἀνασχὼν] ἀνασχὼν om. A.B.E. ἢ addunt A.B.E. post ἴν'.

ΦΗΓΙΝΟΣ] Il. ε'. 838.

ᵠ Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 33.

ʳ Δρῦς. ἢ πεύκη] Male hæc interpretationis loco voci φηγὸς subjunguntur. Constat enim, *quercum* et *piceam* diversa esse a *fago* arborum genera. KUST.

ΦΗΓΟΥΣ: Δῆμος τῆς Ἐρ.] Ex Harpocratione. KUST.

ˢ περὶ τοῦ Βατράχων φ.] Scribe περὶ τοῦ Βατράχου φόνου. Batrachus enim hic est nomen proprium viri, cujus meminit Lysias in oratione adversus Eratosthenem, p. 124. Καὶ Βάτραχος, καὶ Αἰσχυλίδης εὖ τἀληθῆ μηνύσειν, ἀλλὰ τἀληθῆ ὑπὸ τῶν Τριάκοντα πλασθέντα εἰσαγγέλλουσι. Portus ridicule, *In oratione de ranarum cæde.* KUST.

ib. τοῦ om. A.V.E. Photii ms. περὶ τοῦ Βατράχου Photii ed. cum Harpocrat. Statim delevi Τὸ ἐκ Φηγοῦντος δήμου, cum A.B.V.E.

ΦΗΛΗΚΕΣΤΑ: Ἄγρια σ.] Legendum est, φήληκες. τὰ ἄγρια σ. ut Portus etiam monuit. KUST.

ᵗ δείξει] Sic recte mss. Paris. At priores editt. [et B. E.] male, δήξει. KUST.

ΦΗΛΗΞ] Schol. Aristoph. Pac. 1165.

ᵘ Ἁλιεῖ] Et hanc lectionem ex mss. revocavi. Priores enim editt. minus recte habent, ἁλιεῖς. Ceterum fabula Menandri Ἁλιεὺς laudatur etiam ab Athenæo, Scholiasta Aristophanis, Stobæo, et ipso Suida supra v. Ἀντάλλαγον. KUST.

ˣ φηλοῦν] φηλῶν V. Photius. Schol. Aristoph. Pac. 1165. Vid. Hemsterhus. ad Polluc. IX. 135.

ʸ ΦΗΛΩΘΕΙΣΑ] φηλῶσα A.V.

ᶻ Ἐν μύθοις] Pertinet ad fabulam de Leone ægroto. Vid. vv. Ἄδεν, Ἠπεδανός, Πολλόν.

ᵃ ΦΗΛΗΚΕΣΤΑ] Et hic scribendum est, φήληκες, τά. Male enim articulus τὰ cum voce φήληκες coaluit. KUST.

Φηλώματα: Ἐξαπάτας. Οὕτως Ἀντιφῶν.

Φηλώσεις: Ἀπατήσεις.

Φήμη:

[b]Τέκνον ἐλπίδος ἄμβροτε φήμη.

Παρ' ὅσον ἐν ἐλπίδι τινὲς [c]γενόμενοι χρησμοὺς αἰτοῦσιν ἀπὸ τοῦ θεοῦ. Καὶ αὖθις·

[d]Φήμη τὸν ἐσθλὸν κἂν μυχοῖς δείκνυσι γῆς.

Εὐριπίδης φησί.

προαίρεσιν μεταβαλόντα, τυραννικὸν γενέσθαι. Ὅθεν A ἡ παροιμία. Οἱ δὲ τὸ χαλεπὰ ἀντὶ τοῦ ἀδύνατα τιθέασιν· ὡς [d]μηδὲ ἐκείνου δυνηθέντος τηρῆσαι τὴν ἑαυτοῦ γνώμην.

Χαλεπαίνει: [e]Δοτικῇ. Ἀγανακτεῖ, ὀργίζεται.

Ἔπεσον πλείονες τῶν Ῥωμαίων, καὶ Τραϊανὸς ἐχαλέπαινε τοῖς πεποιημένοις.

Καὶ αὖθις·

[f]Διὰ τὸ πολλάκις ἰδεῖν πρότερον, οὐ χαλεπῶς γνωρίσας τὸν ἄνθρωπον. B

Ἀντὶ τοῦ εὐχερῶς. Καὶ αὖθις·

Ἐπὶ τοσόνδε χαλεπήναντος τοῖς φύλαξιν, ὥστε καὶ τὰς κεφαλὰς αὐτῶν ἀποτεμεῖν.

Καὶ αὖθις·

Ὡς δὲ ἐπεφοίτα ἡ τοῦ ὀνείρου ὄψις ἐς πάντας, χαλεπαίνουσιν ὁ δῆμος.

Οἱ Τύριοι. C

Χαλεπὸν [g]χορίου κύνα γεύειν: Τὸ ἔλυτρον τοῦ ἐμβρύου χόριον καλεῖται. Οἱ δὲ κύνες γευσάμενοι [h]τούτου, καὶ τοῖς ἐμβρύοις ἐπιβουλεύουσι, διὰ τὸ λίχνον.

Χαλεπώτατον: Φησὶν Ἀριστοτέλης ἐν [i]β΄ Τοπικῶν·

Χαλεπώτατον τὸ ἀντιστρέφειν τὴν ἀπὸ τοῦ συμβεβηκότος οἰκείαν ὀνομασίαν. D

Χαλεπώτατον λέγοι ἄν, ὅτι μὴ ἁπλοῦν, μηδὲ πρόχειρον, ὡς ἐπὶ τῶν ἄλλων.

Χαλεπωτάτους λόγους: [j]Κλέψαι [k]δυναμένους.

A [l]Κάνδιδος ἐκλεξάμενος τοὺς χαλεπωτέρους, καὶ σφίσι τὰ δημόσια νείμας, ἔπεισεν ἐξ ἐκείνου καὶ τοῖς τῶν ἐπαρχιῶν ἄρχουσιν [m]ὑπείκειν.

Χαλίκρητος [n]ποτός: Ὁ χαλῶν τὰς φρένας. Ἢ κατὰ στέρησιν τοῦ χ΄ ἵν᾽ ᾖ, ἅλις ἄκρατον ἔχων τουτέστιν, οἶνον. Καὶ Χαλικρήτῳ: Μὴ κεκραμένῳ. Ἐν Ἐπιγράμμασι·

[o]Κεῖτο χαλικρήτῳ νάματι βριθομένη.

B Χαλίμα: Ἡ πόρνη. Ἀπὸ τοῦ χαλᾶσθαι τὸ σῶμα ἀπὸ μέθης, ἢ μανίας.

Χαλινός: Τὸ ἡνίον.

Χαλινῷ: Αἰτιατικῇ.

Χάλιξ: Μικρὸν λιθίδιον.

Χάλις: [p]Εἶδος οἴνου. Καὶ ἡ δοτική, τῷ χάλει.

Χαλίσια:

Χαλίφρονος: Τοῦ [q]ἀνοήτου.

C Χάλκεος: Ἰσχυρὸς, στερεός. Καὶ, [r]Χαλκέῳ κεράμῳ: Ὅμηρος·

[s]Χαλκέῳ δ᾽ ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας.

Ἤγουν, δεσμῷ ἰσχυρῷ καὶ δυσλύτῳ. Ἡ πόλις καλεῖται [t]Χαλκοῦς κέραμος.

Χαλκέντερος: Ὅτι [u]Δίδυμος ὁ γραμματικὸς Χαλκέντερος ἐκλήθη, διὰ τὴν περὶ τὰ βιβλία ἐπιμονήν. Φασὶ γὰρ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ [v]τρισχίλια πεντακόσια βιβλία. D

Χαλκεῶνα: Τὸ χαλκεῖον.

Χαλκεῦ: Αἰτιατικῇ.

Χαλκεύς: Πᾶς ὁ χαλκεύων τι, καὶ ὁ χρυσοχόος.

[d] μὴ] μηδὲ A.C. Mox τηρεῖν C.

[e] Δοτικῇ om. A. qui om. καὶ αὖθις—οἱ Τύριοι.

[f] Διὰ τὸ πολλάκις ἰδεῖν] Hæc sunt verba Polybii. Sed locus non succurrit. Ceterum hoc fragmentum locum tenet non suum: pertinet enim ad Χαλεπῶς, non Χαλεπαίνει. Restituendus autem, dum hæc agimus, Pausanias in Eliacis Poster. c. 24. Καὶ εἰσὶν ἐν τῷ ὑπαίθρῳ τῆς ἀγορᾶς βωμοὶ πλῆθος οὐ πολλοί. Καταλύονται γὰρ οὐχ ἁπλῶς, ἅτε αὐτοσχεδίως οἰκοδομούμενοι. Scribendum sine dubio: Καταλύονται γὰρ οὐ ΧΑΛΕΠΩΣ. *Facile enim dissolvuntur.* TOUP.

ΧΑΛΕΠΟΝ ΧΟΡΙΩΝ ΚΥΝΑ ΓΕΥΕΙΝ] Est hemistichium Theocriteum, quod exstat Idyll. X. 11. ut Portus etiam monuit. KUST.

[g] ΧΟΡΙΩΝ] χορίου A. χορίον C. χωρίον B.E. χόριον M.

[h] τούτου] τούτοις E.M.

ΧΑΛΕΠΩΤΑΤΟΝ] Χαλεπὸν A. Mox τῶν ante Τοπικῶν om. A.

[i] β΄. Τοπικῶν] C. 1. p. 291, 3. Χαλεπώτατον—ἄλλων sunt verba Alexandri Aphrodis. p. 70.

[j] Κλέψαι] Lego βλάψαι. KUST. Sed hoc hariolari est scilicet. Rescribendum omnino, ΧΑΛΕΨΑΙ δυναμένους. Respexit autem Suidas ad Aristoph. Av. 539. Πολὺ δὴ, πολὺ δὴ χαλεπωτάτους λόγους Ἤνεγκας. Ubi Schol. Λυπηροὺς, ΧΑΛΕΨΑΙ δυναμένους. TOUP.

[k] δυναμένους] κινδυνεύειν E.

[l] Κανδάδης] Κάνδιδος A. καν^δδ E. Locus, ni fallor, Dionis est, et subjungi fortasse debet iis quæ præbent Excerpt. Vales. p. 733. Βεσπρώνιος Κάνδιδος—ἐκινδύνευσεν ἀποθανεῖν ὑπὸ τῶν στρατιωτῶν.

[m] ὑπείκειν] ὑπήκειν A.

[n] ΤΟΠΟΣ] Portus recte legit, πότος: quod hic dictum fuerit pro ποτὸν i. e. *potus*. Πότος enim communiter significat *potationem*, vel *compotationem*. KUST. ποτὸς A. C. Conf. Gataker. A.M. P. c. 5. p. 454.

[o] Κεῖτο] Anthol. Pal. V. 294.

ΧΑΛΙΜΑ] Χαλιμὰς Toupius. Philemon §. 276. τὰς Βάκχας χαλιμάδας ἔλεγον, τὰς χαλωμένας πρὸς συνουσίαν. E Hemsterhusius item Χαλιμὰς, Hesychium citans v. Χαλιμάδες. Adde Nækium de Chœrilo p. 217. Statim delevi ΧΑΛΙΜΑΖΕΙΝ: Τὸ περὶ τὰς συνουσίας ὁρμᾶν. ἀπὸ τοῦ χαλᾶν τὰς φρένας πρὸς τὸ πάθος, cum A.B.C.E. Quæ leguntur apud Zonaram.

ΧΑΛΙΞ] Alii χάληξ: per η in syllaba ultima. KUST.

[p] Εἶδος ὄνου] Portus, *Genus asini.* Ridicule. Scribendum enim est, εἶδος οἴνου, i. e. *species vini.* Χάλις enim, vel χάλιξ, dicebatur vinum merum, nec aqua temperatum. Scholiastes Apoll. Rhod. ad lib. I. 473. Ἀθηναῖοι δὲ τὸν ἄκρατον χάλιν λέγουσιν. Etymologus: Χαλίφρων: κυρίως ὁ ἐν μέθῃ ἀφραίνων. Χάλις γὰρ, ὁ ἄκρατος οἶνος. F Hesychius: Χάλις, ὁ ἄκρατος οἶνος. Idem v. Ἀκροχάλιξ: Χάλιξ, ὁ ἀκρότατος (lege ἄκρατος) οἶνος. Χαλᾷ γὰρ τὰς φρένας. Vide etiam Eustathium. KUST. Recte Kusterus οἴνου. Schol. Homer. Od. τ΄. 530. χάλις γὰρ ὁ οἶνος, ὁ ἀναχαλῶν τὰς φρένας. Nicand. p. 66. χαλικραίῃ δεδαμασμένος οἴνῃ. Philemon in nota ad Apollon. p. 848. TOUP. εἶδος ὀρνέου C. οἴνου etiam Cuperus Obs. I. 11. p. 78. Gataker. A.M.P. G p. 454.

[q] ἀνοήτου] Statim delevi ΧΑΛΚΑΝΘΟΣ: Ὕδωρ ἐστὶ πηγνύμενον ἐν τοῖς κατὰ Κύπρον μετάλλοις, ἰσχυροτάτην ἔχον στύψιν, μετὰ θερμότητος οὐκ ἀγεννοῦς, ἁπάντων μᾶλλον τὰς ὑγρὰς σάρκας ταριχεῦσαί τε καὶ ξηρᾶναι δυνάμενον, A.B.C.E. Quæ verba sunt Pauli Æginetæ VII. 3. p. 256. Conf. Salmas. ad Solin. p. 816.

[r] ΧΑΛΚΕΩΙ ΚΕΡΑΜΩΙ: Ὅμηρος ex A.B.C.E.M.

[s] Χαλκέῳ δ᾽ ἐν κερ.] Homerus Il. ε΄. 387. KUST.

[t] ΧΑΛΚΟΥΣ] Χαλκὸς A.B.E.

H [u] Δίδυμος ὁ γραμμ.] Hæc leguntur etiam supra v. Δίδυμος. KUST. Posui h. l. cum A. Vulgo post Χαλίφρονος legitur hic articulus.

[v] τρισχίλια] πεντακόσια addit A.

ΧΑΛΚΕΥΣ] Clemens Alex. Pæd. II. 189, 29. μακέλλην δ᾽ οὐκ ἄν τις ἀργυρᾶν, οὐδὲ ἀμὴν χρυσῆν χαλκεύοι. HEMST. Vid. Wesseling. ad Herodot. I. 68.

Χαλκεττής:

[w]Πιερικὰν σάλπιγγα, τὸν εὐαγέων [x]βαρὺν ὕμνων
χαλκευτὰν κατέχει Πίνδαρον ἅδε κόνις.

Χαλκεῖα: Ἑορτὴ Ἀθήνησιν, ἃ τινες Ἀθήναια καλοῦσιν· οἱ δὲ, Πάνδημον· διὰ τὸ ἀπὸ πάντων ἄγεσθαι.

Χαλκεῖα: Ἑορτὴ [y]ἀρχαία καὶ δημώδης [z]πάλαι, ὕστερον δὲ ὑπὸ μόνων ἤγετο τῶν τεχνιτῶν, [a]ὅτι ὁ Ἥφαιστος ἐν τῇ Ἀττικῇ χαλκὸν εἰργάσατο. Ἔστι δὲ ἔνη καὶ νέα τοῦ Πυανεψιῶνος· ἐν ᾗ καὶ ἱέρειαι μετὰ τῶν ἀρρηφόρων τὸν πέπλον διάζονται.

Χαλκεῖα: Ἑορτὴ παρ' Ἀθηναίοις, ἀγομένη Πυανεψιῶνος ἔνῃ καὶ νέᾳ, χειρώναξι κοινὴ, μάλιστα [b]δὲ χαλκεῦσιν, ὥς φησιν [c]Ἀπολλώνιος. Φανόδημος δέ φησιν, οὐκ Ἀθηνᾷ ἄγεσθαι τὴν ἑορτὴν, ἀλλ' Ἡφαίστῳ.

Χαλκεῖον: Ἐν ᾧ χαλκεύουσι. Χαλκεῖον δὲ Δωδωναῖον, διφορεῖται.

Χαλκηδόνιοι: Ἀπὸ Χαλκηδόνος πόλεως.

Χαλκήβατος:

Χαλκήρεα:

Χαλκίς: [Ὄνομα πόλεως Εὐβοίας. Καὶ] εἶδος ὀρνέου.

Χαλκιδεῖς: Οἱ ἀπὸ τῆς Χαλκίδος. Ἡ εὐθεῖα, ὁ Χαλκιδεύς.

Χαλκιδίζειν καὶ Χαλκιδέτεσθαι: Ἐπὶ τῶν γλισχρευομένων. Καὶ Φικιδίζειν, ἐπὶ τοῦ παιδεραστεῖν· ἐπεὶ [d]παρ' αὐτοῖς οἱ ἀρρένων ἔρωτες ἤσκηντο. Ἄλλοι δὲ ἐπὶ τῷ ῥωτακίζειν· ἐπεὶ αὐτοί τε καὶ [e]Ἐρετριεῖς δοκοῦσι τῷ ρ' [f]κατακορεστέρως χρῆσθαι, καὶ ἀντὶ τοῦ σ' τιθέντες.

Χαλκιδικὸν δίωγμα: Τοῖς Θεσμοφόροις Ἀθήνησί τι νόμιμον, ἐν πολέμῳ γυναικῶν εὐξαμένων διωχθῆναι τοὺς πολεμίους, καὶ συνέβη φυγεῖν εἰς Χαλκίδα· ὡς καὶ Σημός.

Χαλκιδῖτις: Παρὰ Ἰωσήπῳ, ἡ πόρνη. Ἀπὸ τῆς εὐτελείας τοῦ διδομένου νομίσματος.

Χαλκίς: Εἶδος ὀρνέου· [g]ἡ γλαῦξ.

Χαλκίοικος: Ἡ Ἀθηνᾶ ἐν Σπάρτῃ. Ἢ ὅτι [h]χαλκοῦν εἶχεν οἶκον· ἢ διὰ τὸ στερεὸν εἶναι· ἢ διὰ τὸ τοὺς Χαλκιδεῖς τοὺς ἐξ Εὐβοίας φυγάδας αὐτὸν κτίσαι.

Χαλκίοισι τοῖς πονηροῖς χρώμεθα, χθές τε καὶ πρώην κοπεῖσι τῷ [k]κακίστῳ κόμματι: Χαλκία ὡς χρυσία ἔλεγον τῷ σχήματι, [l]χαλκοσκευῆ. Λέγεται [m]δὲ οὕτω καὶ τὸ κακὸν νόμισμα, τὸ χρυσοῦν. [n]Λέγεται δὲ καὶ τὸ χαλκοῦν· ἐπὶ γὰρ Καλλίου νόμισμα χαλκοῦν ἐκόπη. [o]Λέγει δὲ, ὅτι τὸ αὐτὸ πέπονθεν ἡ πόλις εἰς τοὺς χρηστοὺς τῶν ἀνθρώπων, καὶ εἰς τὸ ἀρχαῖον νόμισμα. Ὥσπερ γὰρ τῷ παλαιῷ νομίσματι οὐ χρώμεθα, καλῷ ὄντι, ἀλλὰ τῷ καινῷ, κακῷ ὄντι· οὕτω καὶ τοῖς ἀρχαίοις ἀνθρώποις οὐ χρώμεθα, καλοῖς οὖσι· τοῖς δὲ νῦν στρατιώταις κακοῖς οὖσι [p]συγχρώμεθα.

Χαλκοβάρεια: [q]Τῷ χαλκῷ βαρουμένη. Ἀντὶ τοῦ στερεά.

Χαλκοβατές: Στερεόν.

Χαλκοκορυστής: Χαλκῷ καθωπλισμένος.

Χαλκοκρότων: Χαλκοπόδων. Τουτέστι, τὰς ὁπλὰς ἰσχυρὰς ἐχόντων. Συμβαίνει γὰρ ἠχεῖν τὴν γῆν καὶ κτυπεῖν, ἐπικρουομένην τοῖς ποσὶ τῶν ἵππων.

[Χαλκολίβανον: Εἶδος ἠλέκτρου, τιμιώτερον χρυσοῦ. [r]Ἔστι δὲ τὸ ἤλεκτρον ἀλλότυπον χρυσίον, μεμιγμένον ὕελῳ καὶ λιθείᾳ· ὁποίας ἐστὶ συνθέσεως καὶ ἡ ἁγία τράπεζα τῆς μεγάλης ἐκκλησίας.]

Χαλκόπους Ἐριννύς: [s]Ἡ στερεὰ καὶ ἀκοπίατος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων.

[w] Πιερικὰν σάλπ.] Anthol. Pal. VII. 34.

[x] βαρυύμνων] βαρὺν ὕμνων C. Ver. seq. ἧδε A.C.

ΧΑΛΚΕΙΑ] Vide Meurs. in Græc. Fer. v. Χαλκεῖα. KUST.

[y] Ἀθήνησι δημώδης καὶ ἀρχαία] ἀρχαία καὶ δημώδης A.B. C.E. quibuscum statim delevi ἃ τινες Ἀθήναια καλοῦσιν. οἱ δὲ πάνδημον· διὰ τὸ ὑπὸ πάντων ἄγεσθαι, quæ in superiore articulo leguntur.

[z] πάλαι] Malim πάνυ. KUST.

[a] ἐπεὶ] ὅτι A.C.

ΧΑΛΚΕΙΑ: Ἑορτὴ παρ' Ἀθην.] Ex Harpocratione. KUST.

[b] δὲ] δὲ καὶ C.

[c] Ἀπολλώνιος] ὥς φησιν Ἀπολλ. A.B.C.E. Errore typothetæ ante v. Χάλκις ponuntur ὥς φησιν in M. Ald.

ΧΑΛΚΙΣ] Hunc et seq. art. om. A. ὄνομα—καὶ om. B. Habent A.B.C. (Χαλκηδεὺς A.) Χαλκιδεύς: ὄνομα κύριον.

ΧΑΛΚΙΔΙΖΕΙΝ] Eustath. Il. β'. p. 279, 8. HEMST. Vid. notata ad Hesych.

[d] παρ' αὐτοῖς οἱ ἀρρ.] A Cleomacho Pharsalio institutum hoc sumserunt. Vid. Plutarch. in Amatoriis p. 761 A. REINES.

[e] Ἐρετριεῖς δοκοῦσι τῷ ρ καταк.] Vide Diogenianum Centur. IV. Adag. 57. et Hesych. v. Ἐρετριέων. KUST.

[f] κατακόρως] κατακορεστέρως A.C.

ΧΑΛΚΙΔΙΚΟΝ ΔΙΩΓΜΑ] Vide Hesych. v. Δίωγμα, et Meurs. in Græc. Fer. p. 163. KUST.

ΧΑΛΚΙΔΙΤΙΣ] Eadem habet Eustathius ad Il. ψ'. p. 1329. qui ea ex Suida, quamvis nomen ejus taceat, hausit. KUST.

ib. Χαλκῖτις Hemsterhusius.

[g] ἣ] ἡ A.

ΧΑΛΚΙΟΙΚΟΣ: Ἡ Ἀθηνᾶ ἐν Σπ.] Ex Scholiasta Thucydidis ad lib. I. c. 128. ut Pearsonius etiam observaverat. KUST. Vid. Plutarch. de fluviis sub Eurota p. 1160 C. ἐν ναῷ τῆς χαλκιοίκου Ἀθηνᾶς, et Scalig. ad Euseb. p. 186. REINES.

[h] χαλκοῦν οἶκον εἶχεν] χαλκὸν εἶχεν οἶκον A.C. ἢ διὰ—εἶναι addunt A.B.C.E.

ΧΑΛΚΙΟΙΣΙ ΤΟΙΣ ΠΟΝ.] Aristoph. Ran. 737. sed ubi legitur, κακίστῳ κόμματι: uti etiam hic metri gratia scribendum est. KUST. Delevi Χαλκίων, quod pro capite gl. exhibent edd., cum A.B.C.E.

[k] ΚΑΚΩΙ] κακίστῳ A.

[l] χαλκοσκευῆ] Scribe χαλκᾶ σκεύη, ut habet Scholiastes ad modo indicatum locum Aristophanis. KUST.

[m] δὲ οὕτω] δὲ om. C.

[n] Λέγεται om. A. Mox Καλλίνου A.B.C.E.

[o] Λέγει] λέγεται C.E.M.

[p] χρώμεθα] συγχρώμεθα A.C. Schol.

ΧΑΛΚΟΒΑΡΕΙΑ] Est epithetum galeæ apud Homerum Il. λ'. 96. KUST.

[q] Τῷ χαλκῷ etc. om. A.

ΧΑΛΚΟΒΑΤΕΣ] Homerus I. α'. 426. KUST.

ΧΑΛΚΟΚΟΡΥΣΤΗΣ] Est itidem vox Homerica, Il. ξ'. 699. et alibi. KUST.

ΧΑΛΚΟΚΡΟΤΩΝ] Aristoph. Equit. 549. Χαλκοκρότων ἵππων κτύπος. Vide ibi Scholiastam, qui eadem habet, quæ hoc loco Suidas. KUST.

ΧΑΛΚΟΛΙΒΑΝΟΝ] Deest hic articulus A.C. Vid. Salmas. ad Solin. p. 810.

[r] Ἔστι δὲ τὸ ἤλεκτρον ἀλλ.] Eadem leguntur supra v. Ἤλεκτρον: ubi Nos vide. KUST.

ΧΑΛΚΟΠΟΥΣ ἘΡΙΝΝ.] Ex Schol. Sophocl. Electr.

A Χαλκοτύπους: Τὰς ἐκ σιδήρου πληγὰς γινομένας.

Χαλκοτυπίαις ἁδραῖς σου τὸ σῶμα.

Χαλκῷ: Σιδήρῳ.

[Χαλκῆ: Αὐτὴ ἡ ὕλη. Χαλκοῦς δὲ ἀνδριὰς, τὸ μετουσιαστικόν· ὡς χρυσοῦς. Καὶ τὸ θηλυκὸν, ἡ χαλκῆ.]

Χαλκώδων:

B Χαλμήδη:

Χάλος: Ποταμὸς, [t]οὗ τὸ εὖρος πλέθρου, πλήρης ἰχθύων μεγάλων καὶ πραέων.

Χάλυβες: Ἔθνος Σκυθίας, ἔνθεν ὁ σίδηρος τίκτεται. Καὶ [u]Λυκόφρων·

Χαλυβικῷ κνώδοντι συντεθραυσμένῳ.

Καὶ χάλυψ, ὁ σίδηρος. Ἐν Ἐπιγράμμασι·

[y]Καὶ χάλυβα σκληρὸν καλαμηφάγον.

C Χαλυβώνιος οἶνος:

Χὰμ σκηνώματα: Ἡ Αἴγυπτος. Ἐπειδὴ τοῦ Χὰμ ὁ Μεσρέμ· Μεσρὲμ δὲ, ἡ Αἴγυπτος· [ἥπερ λέγεται σήμερον Μέσερ.]

Χαμάδις: Χαμαὶ, εἰς [z]γῆν. Καὶ χαμᾶζε, χαμαί.

Χαμαί: Ἐπὶ τῆς γῆς. Καὶ παροιμία· Χαμαὶ D ἀνταεῖν: Ἐν ἴσῳ τῷ, οὐδὲν ἐργάζεσθαι. Οἷον καὶ τὸ πλίνθον πλύνειν ἐπὶ τῶν ἀνηνύτων λέγεται.

Χαμαιευνάδες: Χαμαὶ κοιμώμεναι. Καὶ χαμαιεύνης, ὁμοίως.

Χαμαιεύρετος:

Χαμαιευρετόν [a]με εὗρε καὶ ἀνεθρέψατο.

Χαμαίζηλοι: Ταπεινοί· ἢ [b]δίφροι [c]κοιλώδεις.

Τροχῶν αὐτοῖς κάτωθεν ὑποστρεφομένων [d]χαμαιζήλων.

Χαμαιζυμήτης ἄρτος:

Χαμαιλέων: Ζῶον, εἰς πάντα τὴν χροιὰν [e]μετατρέπον, [f]πλὴν λευκοῦ.

Χαμαίλεον: Εἶδος βοτάνης. Καὶ χαμαίμηλον, εἶδος βοτάνης.

Χαμαιπέτεια: Καὶ χαμαιπετὴς, ὁ [g]χαμαὶ ἐρριμμένος.

Χαμαιρεπές: Χαμαὶ ῥέπον.

Χαμαιτυπεῖον: Πορνεῖον. Καὶ [h]χαμαιτύπη, ἡ πόρνη. Ἀπὸ τοῦ χαμαὶ [i]κειμένη ὀχεύεσθαι.

Χαμεταιρίς:

Χαμεύνης: Ὁ χαμαὶ εὐναζόμενος. Καὶ [k]θηλυκῶς, χαμεύνη, ταπεινὴ κλίνη. [l]Ἀριστοφάνης·

Οὐδ' ἂν [m]χαμεύνῃ πάνυ γε κειρίαν γ' ἔχων.

Χαμῖτις: Ὄνομα ἀμπέλου.

Χαμόθεν: Ἀπὸ τῆς γῆς.

Χαμώς: Θεὸς ἦν Τυρίων [n]καὶ Ἀμανιτῶν, ὥσπερ [o]ἡ Ἀστάρτη θεὸς Σιδωνίων, οἷς ἐλάτρευσε Σολομῶν.

Χαναάν: Ὄνομα κύριον. [p]Καὶ ἐξ αὐτοῦ Χαναναῖοι.

Ὅτι Μωϋσῆς τεσσαράκοντα ἔτη συμφιλοσοφήσας τῷ λαῷ τελευτᾷ, διάδοχον καταλιπὼν Ἰησοῦν τὸν τοῦ Ναυῆ· ὅστις κατῴκισε τὸν Ἰσραὴλ ἐν [q]τῇ γῇ, ἣ ἐπηγγείλατο Κύριος τῷ Ἀβραάμ· (ἔστι δὲ ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου [r]κυκλουμένη διὰ θαλάσσης, καὶ ξηρᾶς·) ἐκβαλὼν πάντας τοὺς βασιλεῖς καὶ δυνάστας τῶν ἐθνῶν· οἵτινες ὑπ' αὐτοῦ διωκόμενοι, διὰ τῆς παραλίου Αἰγύπτου τε καὶ Λιβύης κατέφυγον εἰς τὴν τῶν Ἄφρων χώραν, τῶν Αἰγυπτίων μὴ προσδεξαμένων αὐτοὺς, διὰ τὴν [s]μνήμην τὴν προτέραν, ἣν ἔπαθον δι' αὐτοὺς ἐν τῇ Ἐρυθρᾷ καταποντισθέντες θαλάσσῃ· καὶ

E

491. ubi pro ἀκοπίατος rectius legitur ἀκοπίαστος: ut Portus etiam monuit. KUST.

[s] Ἤγουν] ἡ A.C. Schol. Mox τῶν om. C.

ΧΑΛΚΟΤΥΠΟΥΣ] Homerus Il. τ'. 25. ὠτειλὰς, i. e. *vulnera*, χαλκοτύπους vocat: ad quem locum Suidas respexit. KUST. Mox delevi ΧΑΛΚΟΥΣ: Λεπτῶν ζ'. καὶ ζήτει ἐν τῷ ΤΑΛΑΝΤΟΝ, cum A.C.

ΧΑΛΚΗ] Scribendum est, χαλκός. KUST. Sic E. pr. Deest gl. A.C.

F ΧΑΛΟΣ: Ποτ.] Vide supra v. Φάρος: ubi eadem leguntur. KUST.

[t] οὗ τὸ] οὗτος A. Mox πλέθρον E.

ΧΑΛΥΒΕΣ] Χαλύβοις A. Lex. Seg.

[u] Λυκόφρων] In Alexandra, 1109. ubi legitur, Χαλυβδικῷ κνώδοντι συντεθραυσμένη. Sic etiam apud Suidam scribendum est. KUST. χαλυδικῷ B. et συντεθρασμένῳ C.

[y] Καὶ χάλυβα] Anthol. Pal. VI. 65.

ΧΑΛΥΔΩΝΙΟΣ ΟΙΝΟΣ] Potius χαλυβώνιος οἶνος: ut habet Hesychius. Vide Athen. lib. I. c. 22. p. 28. KUST. G Strabo p. 1068. TOUP. Eundem Strabonis locum citat Hemsterhusius, monens insuper, ibi Scherpezelium mendosam Suidæ lectionem non præteriisse. Adde Wyttenbach. ad Plutarch. p. 342 A. Bergler. Alciphron. I. 20. p. 108. Χαλυβώνιος diserte A.

ΧΑΜ ΣΚΗΝΩΜΑΤΑ] Ex Theodoret. ad Ps. LXXVII. 51. ἥπερ—Μέσερ om. A.C. neque agnoscit Theodoretus.

[z] τὴν γῆν] τὴν om. A.C. Lex. Seg. Seq. gl. om. A.

ΧΑΜΑΙΕΥΝΑΔΕΣ] Χαμευνάδες A. Vid. Od. κ'. 243. H ξ'. 15. Χαμαιεύνης Il. π'. 235.

[a] με εὗρε] μ' ἐφεῦρε Toupius.

[b] δίφροι] δίφριοι A.C. Lex. Seg. ms. Etymol. ms. Dorvill.

[c] κοιλώδεις] F. ὀκλάδιαι. Hesychio δίφρος ταπεινός. TOUP.

[d] Χαμαίζηλοι] Timæus: Χαμαίζηλος: διφρίον μικρὸν, ἢ ταπεινὸν σκιμπόδιον, ubi vid. Ruhnkenius.

[e] μετατρέπον] μετατρέπων A.E.

[f] πλὴν λευκοῦ] Plutarch. Alcib. p. 203 C. Phalaris p. 64. TOUP.

ΧΑΜΕΛΑΙΟΝ] Series literarum suadet scribendum esse χαμαίλεον. KUST. Χαμαίλεω A.

[g] χαμαὶ] ὁ χαμαὶ A.

ΧΑΜΑΙΡΕΠΕΣ] Χαμερπὲς Euagrius p. 333. Sed leg. χαμαιρεπές. TOUP. Χαμαιρρεπὲς A.

[h] ΧΑΜΑΙΤΥΠΗ] Exempla quædam dedit Wyttenbach. ad Plutarch. II. p. 5 B.

[i] κειμένη] ἀπὸ τοῦ χαμαὶ κειμένην ὀχεύεσθαι, χαμεταιρίς. Pierson. Mœr. p. 416.

ΧΑΜΑΙΤΗΡΙΣ] Etymologus et Hesychius recte, χαμεταιρίς. KUST. χαμεταιρὶς A. χαμαιτερὶς C.

[k] θηλυκῶς] θηλυκὸν A.

[l] Ἀριστοφάνης] Av. 817. Sed de hoc loco Comici vide Nos supra ad v. Κειρία. KUST.

[m] χαμεύνην] χαμεύνη A.C.E.M.

ΧΑΜΑΙΤΙΣ] Χαμίτις A.C. Eustathius p. 1163. citante H. Stephano Ἄμπελος χαμῖτις ἐλέγετο ἡ χαμαὶ κειμένη. Mox ἀμπελῶνος C.

[n] καὶ] ἢ B. Tum Ἀμμανιτῶν A. Χαμὼς—Ἀμανιτῶν om. C. qui post Σολομῶν addit Χαμὼς θ. ἦν T.

[o] ἡ Ἀστάρτη Σιδωνίων] ὁ ἀστάρτης Σιδωνίων A. Tum οἷς ἐλατρ. A.B.C. pro ᾗ ἐλ. De Solomone Theodoretus in 3 Regg. c. 11. Ὠκοδόμησε γὰρ ὑψηλὸν τῷ Χαμὼς εἰδώλῳ Μωὰβ, καὶ τῷ Μελχὼλ εἰδώλῳ υἱῶν Ἀμμὼν, καὶ τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων. Vid. supra p. 617 B.

[p] Οἱ τῶν ἐξ αὐτοῦ] Lege καὶ οἱ ἐξ αὐτοῦ. KUST. καὶ A. C.E. pro οἱ τῶν.

[q] τῇ γῇ] τῇ om. A.C.E.

[r] κυκλουμένη] καλουμένη E.

[s] μνήμην] μῆνιν (an μῆνιν?) omissis ἣν ἔπαθον—θαλάσσῃ C.

προσφυγόντες τοῖς Ἄφροις, τὴν ἔρημον αὐτῶν ᾤκησαν A χώραν, ἀναδεξάμενοι τὸ σχῆμα, καὶ τὰ [t]ἤθη, καὶ ἐν πλαξὶ λιθίναις ἀναγραψάμενοι τὴν αἰτίαν, δι' ἣν ἀπὸ τῆς Χαναναίων γῆς [u]ᾤκησαν τὴν Ἀφρικήν. [x]Καὶ εἰσὶ [y]μέχρι νῦν αἱ τοιαῦται πλάκες ἐν τῇ Νουμιδίᾳ, [z]περιέχουσαι οὕτως· "Ἡμεῖς ἐσμὲν Χαναναῖοι, οὓς ἐδίωξεν Ἰησοῦς ὁ λῃστής." Καὶ θηλυκὸν, [a]ἡ Χαναναία. Καὶ Χαναnῖτις γῆ.

Χανδόν: Ἀθρόως, [b]ἀπίστως, ἀπλήστως, χωρητικῶς. B

Πίνειν χανδόν.

[c]Ὁ δὲ Εὐτρόπιος καιροῦ [d]καὶ τύχης ἀμέτρως τε καὶ χανδὸν ἀρυόμενος, καὶ κατεμφορούμενος, καὶ πολυπραγμονῶν, ὥστε οὐκ ἔλαθε πατὴρ παῖδα μισῶν, ἢ ἀνὴρ γυναῖκα, ἢ μήτηρ τέκνον· ἀλλ' ἐξηκοντίζετο ἅπαντας πρὸς τὴν ἐκείνου γνώμην.

Χάνοι: Διασταίη.

Χάονες: Ἔθνος Ἠπειρωτικόν. [e]Ἀριστοφάνης·

Ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χάοσιν.

Ἐπειδὴ καὶ εἰς μαλακίαν διεβάλλετο [f]ὁ Γέρης. [g]Καὶ αὖθις Ἀριστοφάνης·

[h]Τὸν Παφλαγόνα λαθεῖν οὐχ οἷόν τε.
Ἐφορᾷ γὰρ αὐτὸς [i]πάντ'· ἔχει γὰρ τὸ σκέλος
τὸ μὲν ἐν Πύλῳ, τὸ δ' ἕτερον ἐν τῇ ἐκκλησίᾳ.

Ἐν Χάοσι δὲ, παρὰ τὸ κεχηνέναι. [k]Θρᾴκης δὲ ἔθνος οἱ Χάονες.

Χάος: Καὶ ὁ ἀὴρ, [l]παρ' Ἀριστοφάνει ἐν Ὄρνισι·

Διὰ τῆς πόλεως τῆς ἀλλοτρίας, καὶ τοῦ χάους,
τῶν μηρίων τὴν κνῖσσαν οὐ διαφρήσετε.

Καὶ, Χάους ἀρχαιότερος καὶ Κρονίων: Ἐπὶ τῶν πάνυ παλαιῶν. Καὶ Ἴβυκος·

[m]Ποτᾶται δ' ἐν ἀλλοτρίῳ χάει.

Καὶ αὖθις·

Ὁ δὲ φλυαρεῖ, καὶ μάτην ἡμῶν λῆρον καταχεῖ, τοῦ χάους ἀρχαιότερον, καὶ Κρονίων ἀπόζοντα.

Χάος: [n]Ἀριστοφάνης·

A Χάος ἦν, καὶ Νὺξ, Ἔρεβός τε [o]μέλαν πρῶτον, καὶ Τάρταρος εὐρύς·
γῆ δ', οὐδ' ἀὴρ, οὐδ' οὐρανὸς ἦν· Ἐρέβους δ' ἐν [p]ἀπείροσι κόλποις
τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ᾠόν·
ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινὸς,
στίλβων νῶτον [q]πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις.
Οὗτος δὲ Χάει πτερόεντι [r]μιγεὶς νυχίῳ κατὰ Τάρταρον εὐρὺν,
ἐνεόττευσεν γένος ἡμέτερον, καὶ [s]πρῶτον ἀνήγαγεν εἰς φῶς.
πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως συνέμιξεν ἅπαντα·
ξυμμιγνυμένων [t]δ' ἑτέρων ἑτέροις, γένετ' Οὐρανὸς, Ὠκεανός τε,
καὶ Γῆ, πάντων τε θεῶν μακάρων γένος ἄφθιτον.

B

Χαρά: Ἡδονὴ, εὐφροσύνη, τέρψις. Τινές φασι [u]κατὰ τὸ ὑποκείμενον ταυτὸν σημαινόμενον εἶναι. Πρόδικος δὲ ἐπειρᾶτο ἑκάστῳ τῶν ὀνομάτων τούτων ἴδιόν τι σημαινόμενον ὑποτάσσειν, ὥσπερ καὶ οἱ ἀπὸ τῆς Στοᾶς, χαρὰν μὲν λέγοντες, εὔλογον ἔπαρσιν, ἡδονὴν δὲ, ἔπαρσιν ἄλογον, τέρψιν δὲ, [x]τὴν διὰ θεωρίας ἡδονὴν, εὐφροσύνην δὲ, τὴν διὰ λόγων ἡδονήν. Νομο-
C θετούντων δέ ἐστι τοῦτο. Τὸ μὲν γὰρ εἰπεῖν ἡδονὴν χαρὰν, οὐχ ἁμάρτημα· ὥσπερ οὐδὲ τὸ τὴν μονάδα ἀδιαίρετον. Οὐδὲ γὰρ τὸ τὴν χαρὰν χαρὰν εἰπεῖν, ἢ τὴν [y]μονάδα μονάδα· τὸ δὲ συμβεβηκέναι θάτερον θατέρῳ λέγειν, ἄτοπόν τε καὶ ψεῦδος.

Χαράδρα: Διῶρυξ πηλοῦ μεστὴ, [z]ὄλεθρον, οὐχ ὕδωρ ἔχουσα. [a]Ἀριστοφάνης·

Φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας.

D Ἐν Ἐπιγράμμασι·

[b]Ὁππότε μιν κνημούς τε κατὰ λασίους τε χαράδρας
ἐξ ὀρέων ποταμοῦ φράσσατ' ἐπ' ἠϊόνων.

Χαράδραι: Αἱ διαιρέσεις, καὶ τὰ σχίσματα, καὶ [c]χείμαρροι γῆς.

Χαραδραῖος λέων: Ὁ παρὰ ταῖς χαράδραις. Εἰ μὴ τὸν Θεσπιακὸν [d]λέγει, ὃν πρῶτον ἀνεῖλεν Ἡρα-
E κλῆς ἐν Θεσπιαῖς. Χαράδρα δὲ καλεῖται ὁ τόπος ἐκεῖνος.

Χαραδρεῶνος:

[t] ἔθη] ἤθη A.B.E.C.M.

[u] ᾤκισαν] ᾤκησαν A.C.E.

[x] Καὶ εἰσὶ μέχρι νῦν αἱ τ.] Idem refert Procopius Vandalic. lib. II. c. 10. qui cum hoc loco Suidæ conferendus est. Vide etiam Sam. Bochartum lib. I. de Coloniis Phœn. c. 24. KUST. F

[y] μέχρι νῦν] μέχρι τοῦ νῦν C. Mox Νουμηδίᾳ C.E.

[z] περιέχουσαι] περιέχεται E.

[a] ἡ ΧΑΝΑΝΑΙΑ] ἡ om. A.C.

[b] ἀπίστως] Est vox corrupta: cujus emendatio est sequens ἀπλήστως. KUST. Leg. ἀπαύστως vel ἀμυστί. TOUP. ἀπίστως tenet Lex. Seg.

[c] Ὁ δὲ Εὐτρόπιος] Eunapii. HEMST. Vid. Boissonad. ad eum scriptorem p. 293.

[d] καὶ τύχης] καὶ om. A.E.

ΧΑΝΟΙ] Il. γ'. 182.

[e] Ἀριστοφάνης] Equit. 78. sed ubi legitur, ἐν χαόσι, cum accentu in penultima. KUST.

[f] ὁ γέρης] Imo ὁ Κλέων. De eo enim apud Aristophanem loco citato verba fiunt. KUST. ὁ γένης A. vid. p. 812 C.

[g] Καὶ αὖθις Ἀριστοφάνης] Male. Est enim idem locus. KUST.

[h] Τὸν Παφλαγόνα λαθ.] Apud Aristophanem recte sic legitur: Ἀλλ' οὐχ οἷόν τε τὸν Παφλαγόν' οὐδὲν λαθεῖν. KUST. H

[i] πάντ'] πάντας A.

[k] Θρᾳκικὸν] Θρᾴκης A.C.

[l] παρ' Ἀριστοφάνει ἐν Ὄρνισι] Ver. 192.

[m] Ποτᾶται δ'] πωτᾶται A. Seq. exempl. spectat Aristoph. Nub. 397.

[n] Ἀριστοφάνης] Av. 694.

[o] μέλαν] μέλαινα C. Mox ὁ αὐτὸς A. pro οὐρανός. Deinde ἐρέβου C.

[p] ἀπείροισι] Metri gratia scribendum est, ἀπείροσι: ut legitur apud Aristophanem. KUST. ἀπείρησι A.

[q] πτερύγοιν] πτερύγαιν A.B.C.E.M.

[r] μιγεὶς] μιχθεὶς A.B.C.E.M. Tum μυχίῳ C.

[s] πρῶτον] πρῶτος C.

[t] δ' ἑτέρων] δ' om. A.C.E.M. iidem mox ἐγένετ'. Ver. seq. τε et θεῶν om. C. Statim delevi ΧΑΟΝ: Τὸ εὐγενὲς, ἢ τὸ ἀρχαῖον, cum A.B.C.E.

ΧΑΡΑ: Ἡδονή. εὐφρ.] Totum hunc articulum Suidas sumpsit ex Alexandro Aphrodis. in lib. II. Topic. p. 96. KUST.

[u] κατὰ τὸ ὑποκείμενον ταυτ.] Ex Alexandro Aphrodi-
G siensi rescribendum est, κατὰ τὸ ὑποκείμενον ταῦτα εἶναι, καὶ τὸ σημαινόμενον. KUST.

[x] τὴν διὰ θεωρίας ἡδονὴν] Alex. Aphrodis. τὴν δι' ὤτων ἡδονήν. KUST. Mox λόγου C.

[y] μονάδα semel C.E.

[z] ὄλεθρον, οὐχ ὕδωρ ἔχουσα] Hæc grammaticus noster addidit, non respiciens ad absolutam significationem vocis χαράδρα, sed ad subjunctum locum Aristophanis. KUST. ὄλεδρον B.E.

[a] Ἀριστοφάνης] In Vesp. 1029.

[b] Ὁππότε μιν κν.] Anthol. Pal. VI. 255.

[c] χείμαρροι γῆς] χείμαρος γῆς Lex. Seg. γῆς post σχίσματα ponit Boissonad. ad Herodian. p. 20. Vulg. habet Etymol. M. p. 806, 48. χείμαροι γῆς M.

ΧΑΡΑΔΡΑΙΟΣ ΛΕΩΝ: Ὁ π.] Ex Zenobio. KUST.

[d] λέγει] λέγοι A.B.

A **Χαραδριός**: Ὄρνεον, εἰς ὃν ἀποβλέψαντες, [e]ὡς λόγος, οἱ ἰκτεριῶντες ῥᾷον ἀπαλλάττονται. Ὅθεν καὶ κρύπτουσιν αὐτοὺς οἱ πιπράσκοντες, ἵνα μὴ προῖκα ὠφελῶνται οἱ κάμνοντες.

> [f]Καὶ μὴν καλύπτει· μῶν χαραδριὸν περνᾷς;

Οὕτως Ἱππῶναξ. Καὶ παροιμία ἐντεῦθεν·

> [g]Χαραδριὸν μιμούμενος.

Ἐπὶ τῶν ἀποκρυπτομένων. Οὕτως Εὐφρόνιος. Ἐπεὶ B γὰρ τοὺς ἰκτεριῶντας ὠφελεῖ ὁ χαραδριὸς ὀφθεὶς, καὶ τοῦτον οἱ περνῶντες κρύπτουσιν, ἵνα μὴ πρὸ τοῦ ὠνήσασθαί τις ἰαθῇ [h]περιέργως. Ἔστι δὲ εἶδος ὀρνέου, [i]μεταβαλλόμενον εἰς τὰ προκείμενα. Καὶ ἐπὶ μὲν τοῦ ὀρνέου ὀξύνεται· ἐπὶ δὲ τῆς χαράδρας, βαρύνεται. Ἐπεὶ καὶ αἱ χαράδραι τρόπον τινὰ διὰ τῶν ῥευμάτων μελῳδίαν ποιοῦσι. Χαραδριὸν οὖν [k]μιμούμενος, ἀντὶ τοῦ, ἀποκρυπτόμενος. Οἱ δὲ φασὶν, οὐ τοὺς ἰδόντας C τὸν χαραδριὸν, ἀλλὰ τοὺς φαγόντας, ἀπαλλάσσεσθαι τῆς νόσου.

**Χαραδριοῦται**: Ὀρύσσεται, κοιλαίνεται.

**Χάρακα**: Χαράκωμα, περίφραγμα, [l]χαράκωμα, ὃ περιεβάλλοντό τινες ἐν στρατοπέδῳ ἐπὶ σωτηρίᾳ. Ὡς Δημοσθένης. Καὶ [m]Μένανδρος·

> Πολλοὶ γὰρ ἐκλελοιπότες
> τὸν χάρακα, τὰς κώμας ἐπόρθουν.

D **Χαρακτῆρες** λόγων φραστικῶν, ὑψηλὸς, ἰσχνὸς, μέσος. Ὁ δὲ Θουκυδίδης τὸν ὑψηλὸν ἐζήλωσεν, ὡς πρόσφορον τῇ οἰκείᾳ φύσει.

**Χάραξ**, Περγαμηνὸς, ἱερεὺς, καὶ φιλόσοφος· ὡς εὗρον ἐν ἀρχαίῳ βιβλίῳ ἐπίγραμμα οὕτως ἔχον·

> Εἰμὶ Χάραξ ἱερεὺς γεραρῆς ἀπὸ Περγάμου ἄκρης,
> ἔνθα ποτὲ [n]πτολέμιξεν Ἀχιλλῆϊ πτολιπόρθῳ
> Τήλεφος, [o]Ἡρακλῆος ἀμύμονος υἱὸς ἀμύμων.

Ἔστι δὲ τῶν [p]μετὰ Αὔγουστον πολλῷ νεώτερος. Μέμνηται [q]γοῦν ἐν τῷ [r]β΄ τῶν βιβλίων Αὐγούστου, ὡς πάλαι γενομένου Καίσαρος, καὶ ἐν τῷ ζ΄ Νέρωνος, καὶ τῶν μετ' αὐτὸν βασιλευσάντων. Ἔγραψεν [s]Ἑλληνικῶν ἱστοριῶν βιβλία μ΄.

**Χάραξ**: Ἀρσενικῶς, τὸ στρατόπεδον.

Ὅτι [t]οἱ Ἕλληνες τοῦτον ἡγοῦνται χάρακα ἄριστον, ὃς ἂν [u]ἔχῃ πλείστας ἐκφύσεις καὶ μεγάλας πέριξ τοῦ πρέμνου. Παρὰ δὲ Ῥωμαίοις δύο κεραίας ἢ τρεῖς ἔχουσιν οἱ χάρακες.

Δημόστρατος [x]Δημοποίητα·

> Οἱ μὲν προσέφερον τὸν χάρακα πρὸς τὴν ἄκραν.

Θηλυκῶς δὲ, ὁ τῆς ἀμπέλου.

> [y]Ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.

**Χάραξ τὴν ἄμπελον**: Ὅταν ὑπὸ τοῦ σώζοντος τὸ σωζόμενον [z]πάθῃ.

**Χάραξιν**: Ὀξέσι ξύλοις, ἢ καλάμοις, ἢ ἀκανθώδεσι φυτοῖς.

**Χάραξος**: Ὁ Σαπφοῦς ἀδελφός.

**Χάρεια**:

**Χάρητος ὑποσχέσεις**: [a]Χάρης στρατηγὸς Ἀθηναίων εὐχερής τε καὶ ἑτοιμότατος πρὸς τὰς ὑποσχέσεις λέγεται γεγονέναι. Ὅθεν ἡ παροιμία τάττεται ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων.

**Χαρίδημος**: Ὄνομα κύριον.

**Χάριεν**: Οἱ Ἀττικοὶ προ δύο ἀναπέμπουσι· τὸ δὲ πρὸ μιᾶς, κοινόν. Ἀριστοφάνης [b]Πλούτῳ·

---

E ΧΑΡΑΔΡΙΟΣ: Ὄρνεον, εἰς ὃν ἀποβλ.] Ex Schol. Aristoph. Av. 267. KUST. Usque ad Ἱππῶναξ sunt ex Schol. Platon. p. 121. Vid. Timæus et Ruhnken. p. 373.

e ὡς λόγος addit A.

f Καὶ μὴν καλύπτει] καί μιν καλύπτεις Ruhnkenius. καλύπτη A.

g Χαραδριὸν μιμούμενος] Aristophanes loco laudato: Ἔπῦζε, χαραδριὸν μιμούμενος. KUST.

h περιέργως] Scholiastes Aristophanis rectius, παρέργως. KUST.

i μεταβαλλόμενον] μεταβαλλομένου E.

k μιμούμενος] μιμούμενοι et mox ἀποκρυπτόμενοι A.

ΧΑΡΑΔΡΙΟΥΤΑΙ] Χαραδροῦται A.

l χαράκωμα, ὃ περιεβ.] Ex Harpocratione. KUST.

m Μένανδρος] Vid. Meinek. Fr. p. 29.

ΧΑΡΑΚΤΗΡΕΣ] Ex Marcellin. vit. Thucydid. p. 6. notante Dukero. TOUP.

ΧΑΡΑΞ Περγ.] De eo vide Vossium in opere de Hist. Gr. KUST. Citatur ab Etymologo in Εἶπον et Κολώνεια: a Steph. Byz. in Ἀθῆναι, de Athenis a Theseo e G XI. civitatibus conditis, et in Σάλυες. Ἔθνος δυτικὸν, πολεμῆσαν Ῥωμαίοις, ὡς Χάραξ ἐν δεκάτῳ Χρονικῶν. Salmas. leg. λιγυστικὸν pro δυτικόν. Charac. l. 3. rerum Græcarum citat Constantinus Imp. de Administ. imperii c. 24. ap. Voss. notis in Scylacem p. 2. Eustath. in Dionys. ubi agit de Heniochis, e Charace memorat, vellus aureum fabulis decantatum fuisse librum in pellibus scriptum. Tzetz. ad Lycophr. 111. citat Characem de eo quod Minerva apud Ægyptios dicatur Σαΐς. Laudatur Charax quoque a Steph. Byz. in Ἀλλόβρογες, sed dubitari H potest, utrum Stephanus designet historicum an grammaticum, ut in εἶπον, ubi dic. γραμματικός. REINES.

n πτολέμιζεν] πτολέμιξεν A.C.

o Ἡρακλῆος] Ἡρακλῆς B. Ἡρακλῆς υἱὸς E. sed υἱὸς postea erasum.

p κατ' Αὔγουστον] μετὰ Αὔγουστον A.B.E. edd. ante Kuster. τὸν μετ' Αὔγ. C.

q γοῦν] οὖν A.

r β΄ τῶν βιβλίων] δευτέρῳ βιβλίῳ C.

s Ἑλληνικῶν] Ἑλληνικῶν τε καὶ A.B.C.

t οἱ Ἕλληνες τοῦτον ἡγοῦνται χάρ.] Hæc sunt verba Polybii lib. XVII. c. 14. [XVIII. 1.] eademque leguntur supra v. Πρέμνον. KUST.

u ἔχοι] ἔχῃ A. ἔχει C.

x Δημοποίητα] Scribendum puto, Δημοποιήτῳ: ut sit nomen fabulæ. Demostrati autem hujus vix alibi men- F tionem factam reperias. KUST. Νικόστρατος Δημοποιήτῳ Toupius. Δημοστρα^τ δημοποιητὰ A.

y Ἐξηπάτησεν ἡ χ.] Aristoph. Vesp. 1282. Εἶτα νῦν ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον. KUST.

z πάθῃ] Lege ἀπατηθῇ; ut apud Scholiastam ad modo indicatum locum Aristophanis, itemque Eustathium ad Il. σ΄. p. 1163, 32. KUST.

ΧΑΡΑΞΟΣ] Vide supra v. Αἴσωπος, et v. Ἰάδμων, KUST.

ΧΑΡΗΤΟΣ] Vid. Valckenær. Orat. de Phil. Maced. p. 279 n.

a Χάρης δὲ ἦν] δὲ ἦν om. A.C. qui mox λέγεται γεγονέναι pro γενόμενος.

ΧΑΡΙΔΗΜΟΣ] Ἐὰν πρόσχῃ τῷ Χαριδήμῳ, στρατηγὸν αὐτὸν ποιήσει Clem. Alex. Strom. VII. Charidemus Orita Eubœensis Trojam tertium cepit, Plut. in Sertor. c. 1. Charidemus ab Athen. civitate donatus sub Philipp. et Alex. vid. Aristot. 1. Œcon. Plut. in Phocion. c. 16. et 17. Demosth. Or. περὶ στεφ. Charidemus in bello sociali, quod Athenienses contra Chios, Rhodios et Byzantios, subditos antea suos, gerebant, eorum dux fuit. Liban. in vit. Demosth. REINES. De Charidemo Orita Prolusionem Academicam edidit Rumpf. Giessæ 1816. MULLER.

b Πλούτῳ] Ver. 145.

[[c]Καὶ, νὴ Δί',] εἴ τί γ' ἔνεστι λαμπρὸν καὶ καλὸν,
ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίνεται.

Χάριεν: Προπαροξυτόνως, ἀντὶ τοῦ χαριέντως. Χαρίεν δὲ, παροξυτόνως, ἐπὶ τοῦ ἐπιχαροῦς. [[d]Καὶ Χαριέντως.]

Χαριεντίζεις, καὶ καταπαίζεις ἡμῶν, καὶ βωμολοχεύῃ: [e]Δαμάσκιος·

Κινδυνεύομεν εἰς αὐτὰ ἐμπεπτωκέναι τὰ τῶν χαριέντων σκώμματα.

Χαριεντιζόμενοι: Εὐτραπελευόμενοι, σκώπτοντες. Ὡς Ἀριστοφάνης.

Χαριεργός: [f]Ἡ κεχαριτωμένα ἐργαζομένη.

[g]Ἃ δὴ [h]χαριεργῷ Ἀθάνᾳ
.... ἐκ τέχνας θήκατο παυόμενος.

Χαριεστέρους: Ἐνδοξοτέρους, [hh]εὐπρεπεστέρους. [i]Εὐνάπιος·

Ὁ δὲ Προκόπιος τοὺς χαριεστέρους ἀναλαβὼν, ἐπὶ τὸν βασιλέα Οὐάλεντα διὰ Φρυγίας συνήπτετο.

Χαριέττων: Ὄνομα κύριον.

Χαρίζεσθαι: Κοινῶς μὲν, ὡς οἱ πολλοί· [j]ἰδίως δὲ, [k]ἐπὶ ἀφροδισίων· ἢ [l]ἐπὶ τοῦ ἐν λόγῳ ὑποκατακλίνεσθαι.

Εἴτε σοι δεῖ χαρίζεσθαι.

Καὶ πάλιν·

Ἵνα σοι χαρίσωμαι.

Καὶ χαριζόμενοι, χάριν τιθέμενοι.

[n]Οἱ δὲ τὴν κεφαλὴν αὐτοῦ ἀπέτεμον, ἀχαρίστῳ νοσήματι τῷ θυμῷ χαριζόμενοι.

A Χαρίκλεια: Ὄνομα κύριον. Καὶ Χαρικλῆς, εἷς τῶν λ'.

Χάριν: Τέρψιν· [[o]καὶ ἀντὶ τοῦ ἕνεκεν.]

Χαρινάδης: Ὄνομα κύριον. Οὗτος νωθὴς ἦν. Καὶ παροιμία·

[p]Κρείττων ἐστί σου Χαρινάδης βαδίζειν.

Ἐπὶ τῶν βραδυνόντων ἐν τῇ πορείᾳ.

Χαριξένη: Εὐήθης καὶ μωρὰ ἡ Χαριξένη, ἑταίρα.

B [q]Ἀριστοφάνης·

Οὐ γὰρ τἀπὶ Χαριξένης τάδε γ' ἐστί.

Χαρίωνος: Ὄνομα κύριον.

Χάρις:

[r]Χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί.

Τουτέστιν, ἡ φύουσα τὴν χάριν χάρις ἐστὶ προϋπάρξασα.

Χαρίσασθαι: Ἀντὶ τοῦ κατορθῶσαι.

C Ὀλίγοις χαρίσασθαι.

Παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσι.

Χάρισι καὶ Ἀφροδίτῃ ξύντροφος ἡ Διαλλαγή: Τουτέστιν, ἡ εἰρήνη. Διότι οἱ γάμοι καὶ αἱ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται.

Χαρίσιον: Χαριστήριον.

[s]Ταῦτα ἀναγεγράφθω μοι, χαρίσια ὀλίγα ἀντὶ πολλῶν [t]ἀποδιδόντι.

D Καὶ χαρίσιοι, πλακοῦντος εἶδος. Ἀριστοφάνης Δαιταλεῦσι·

[u]Πέμψω παλλακαῖς [x]ἑσπέρας χαρισίους.

Χαριστίωνος: Ὄνομα κύριον.

---

[c] Καὶ νὴ Δί' om. A.B.C. Tum ἔνεστι A.B. pro ἐστι. Deinde καλὸν καὶ λαμπρὸν A.E.

[d] Καὶ ΧΑΡΙΕΝΤΩΣ om. A.C. Schol. Platon. p. 159. Χαριέντως: εὐτραπελῶς, σκωπτικῶς.

ΧΑΡΙΕΝΤΙΖΕΙΣ, ΚΑΙ ΚΑΤΑΠ.] Est fragmentum Aristophanis, ex fabula ejus Gerytade sumptum, ut discimus ex Harpocratione v. Βωμολοχεύεσθαι. KUST. Vid. Schol. Platon. p. 160.

[e] Δαμάσκιος—σκώμματα] Hæc pertinent ad τὸ χάριεν: vel legendum, τῶν χαριεντιζομένων. REINES. Δαμασκηνὸς C.

ΧΑΡΙΕΝΤΙΖΟΜΕΝΟΙ] Dion. Hal. in Lysia: οἱ χαριεντιζόμενοι ἐν μὴ χαριέντι καιρῷ. REINES. Sicut Reinesius putat verba Δαμάσκιος—σκώμματα referenda esse ad χάριεν, ita glossa χαριεντίζεις referenda est ad χαριεντιζόμενος. Vid. Lex. Zonaræ. MULLER. Schol. Platon. p. 5. Χαριεντίζεται: εὐτραπελεύεται, σκώπτει.

[f] Ἡ—ἐργαζόμενος] ἡ—ἐργαζομένη A.B.C.E.

[g] Ἃ δὴ χαριεργὰ Παλλ.] Anthol. Pal. VI. 205.

[h] χαριεργὰ Παλλάδι] χαρειεργᾷ (vel χαριεργᾷ) Ἀθάνᾳ A. B.C.E. χαριέργῳ Ἀθάνᾳ Ὠνὴρ ἐκ τέχνας Anthol.

[hh] εὐπρεπέστερους addunt A.B.C.E. Vid. Wesseling. ad Diodor. Sic. XI. 86. Herald. Anim. in Salmas. p. 387.

[i] Εὐνάπιος] Fr. 14.

ΧΑΡΙΕΤΤΩΝ] De eo Zosimus III. 7. e Saliis, Germanorum gente, fuisse dicit. Ammian. Marcell. XVII. 10. ibi Vales. et XXVII. 1. Vid. supr. Ἀνεῖχε. REINES. Deest art. A. Χαριέντων B.E.

ΧΑΡΙΖΕΣΘΑΙ—χαρίσωμαι] Ex Timæo p. 274.

[j] ἰδίως δὲ, ἐπὶ ἀφροδισίων] Vide Harpocrationem v. Ἀναίνεσθαι, et ibi Maussacum: itemque Gatakerum in Dissertat. de Stilo Nov. Test. c. 11. KUST.

[k] ἐπὶ—ἐπὶ] Etymol. ὑπὸ male; qui et sic corrigendus: ἰδίως δὲ καὶ ὡς ὑπὸ Ἀττικῶν ἐπὶ ἀφροδισίων ἢ ἐπὶ τοῦ ἐν λόγῳ ὑποκ. Vid. Pierson. in præf. ad Mœrin p. 27. Bibl. Coislin. p. 481. Fragmentum auctius legitur supra v. Ἄχαρι. TOUP.

[l] ἐπὶ τοῦ ὑποκατακλίνεσθαι ἐν λόγῳ] ὑπὸ τοῦ ἐν λόγῳ ὑποκατακλίνεσθαι A.C.E.

[n] Οἱ δὲ τὴν] Æliano tribuit Valckenærius.

[o] καὶ ἀντὶ τοῦ ἕνεκεν om. A.B.C.

E [p] Κρείττων ἐστί σου Χαρ.] Aristoph. Vesp. 232. Νυνὶ δὲ κρείττων ἐστί σου Χαρινάδης βαδίζειν. Huc Suidas respexit. KUST. κρεῖττον B.

[q] Ἀριστοφάνης] Ecclesiaz. 938. Confer Hesych. v. Ἐπὶ Χαριξένης. KUST. Mox οὐδὲ C.

[r] Χάρις χάρ.] Sophocl. Aj. 522.

ΧΑΡΙΣΑΣΘΑΙ: Ἀντὶ τοῦ κατορθῶσαι] Ineptissime. Quis enim sibi persuadeat, τὸ χαρίσασθαι unquam poni pro κατορθῶσαι? Quare, ut oscitantia compilatoris patescat, et simul locus hic recte intelligatur, consulendus est

F Schol. Aristoph. Equit. 514. unde hæc sumpta sunt. KUST.

ΧΑΡΙΣΙ ΚΑΙ ἈΦΡΟΔΙΤΗΙ ΞΥΝΤΡ.] Hæc sunt verba Aristophanis in Pace. Confer Nostrum supra v. Διαλλαγή. KUST. Acharn. 987.

ΧΑΡΙΣΙΟΝ] βοτάνη, quam mulieres ineunte vere collo appendunt, et vehementius ita a viris amantur, ut testatur Cleanthes in l. de Montibus, Plutarch. De fluviis p. 58. REINES.

G [s] Ταῦτα ἀναγεγρ.] Confer Nostrum supra v. Ἀσκληπιόδοτος; ubi locum integrum habes. KUST.

[t] ἀποδιδόντι] ἀποδιδόντι B.E.

[u] Πέμψω παλλακαῖς ἑσπ.] Ut metro consulatur, scribendum est, Πέμψω πλακοῦντας ἑσπέρας χαρισίους [vid. supra p. 319 A.]: ut recte monuit Bentleius ad Fragm. Callim. 193. Ceterum fragmentum hoc Aristophanis exstat etiam apud Athenæum lib. XIV. p. 646. ubi sic legitur: Ἐγὼ δὲ νῦν Πέμψω πλακοῦνθ' ἑσπέραν χαρίσιον. Metrum et illic claudicat, quod modo laudatus vir mihi

H amicissimus sic restituit: Πέμψω πλακοῦντ' ἐς ἑσπέραν χαρίσιον. KUST. Locus Aristophanis, vel auctoritate Athenæi, ita proculdubio constituendus est: Πέμψω πλακοῦντ' ΈΣ ἑσπέραν χαρίσιον. Alter versiculus est non nisi alterius corruptio. Hesychius: Χαρίσιον, εἶδος πλακοῦντος· οἱ δὲ ἄρτον ἀπὸ τῶν λημμάτων. Quæ aperte mendosa sunt. Corrigit Bentleius, ἀπὸ τῶν πεμμάτων. Quod

Χάριτας: Τιμὰς, εὐεργεσίας. A

Ὁ δὲ στέλλει Θεόδωρον, ὁμολογήσοντα χάριτας, ἀνθ' ὧν τὸν μέγιστον Ῥωμαίων πρεσβευτὴν ἐτίμησεν ἐς τὰ μάλιστα.

Καὶ παροιμία·

Αἱ Χάριτες γυμναί.

[y]Ἤτοι ὅτι δεῖ ἀφελῶς καὶ ἀφανέρως χαρίζεσθαι· ἢ, ὅτι αἱ Χάριτες τὸν ἑαυτῶν κόσμον ἀφῄρηνται.

Τρεῖς δὲ αἱ Χάριτες, Πειθὼ, Ἀγλαΐα, καὶ Εὐφρο- B σύνη.

Τὰς Χάριτας [a]γυμνὰς ἱστοροῦσι, διότι δωρεὰν δεῖ χάριτας τίθεσθαι.

Χαριταίνης: Ὄνομα κύριον.

Χαριτία: Ἡ χαρμονή.

Χαρίτων θρύμμα: Καλλώπισμα.

[Χαρίτων καὶ Μελάνιππος: Ἐν τῷ Ἀντέ- ρως.] C

Χαρίτων, Χαρίτωνος. Ὄνομα κύριον.

Χάρμα: [b]Χαρὰ, ἡδονή. Πολύβιος.

[c]Τὸν δὲ ἅμα χάρμα καὶ ἄλγος ἔλαβε φρένας.

Χάρμη: Μάχη.

Χάρμος: Ὅτι Χάρμος ὁ [d]Συρακούσιος εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων στιχίδια καὶ παροιμίας ἔλεγε. [e]Κλέαρχος δὲ ὁ Σολεὺς Δειπνολο- D γίαν καλεῖ τὸ [f]ποίημα· ἄλλοι, Ὀψολογίαν· Χρύσιππος, Γαστρονομίαν· ἄλλοι, Ἡδυπάθειαν.

Χαροπός: [g]Περιχαρὴς, εὐόφθαλμος.

Χάροψ: Καὶ Χάροπος κλίνεται.

Χάρων: Ὁ θάνατος. [h]Καὶ πορθμευτικαὶ παρὰ [i]Χάρωνος πεύσεις καὶ κηρύγματα·

A [k]Τίς εἰς ἀναπαύλας ἐκ [l]κακῶν καὶ πραγμάτων;
τίς εἰς τὸ Λήθης πεδίον;

Χωρίον διατετύπωκεν ἐν ᾅδου οὕτω λεγόμενον· ὡς καὶ τὸν Αὐαίνου λίθον.

Τίς εἰς ὄνου [m]πόκας;

Οὕτω λέγουσι τὸ ἄχρηστον· οὐδὲ γὰρ [n]αἱ τοῦ ὄνου πόκαι χρησιμεύουσι. Λέγεται δὲ καὶ ἐπὶ τῶν ἀνηνύτων ἡ παροιμία· ἐν ᾧ τρόπῳ [o]φαμὲν, χύτραν ποι- B κίλλεις. Ἀνήνυτα δὲ καὶ τὰ ἐν ᾅδου. Διὰ τοῦτο οὖν [p]ὄνου πόκας ἀνεπλάσατο ποιητικῶς.

Χάρων Λαμψακηνὸς, υἱὸς Πυθοκλέους, γενόμενος κατὰ τὸν πρῶτον Δαρεῖον, [q]οθ' Ὀλυμπιάδι· μᾶλλον δὲ ἦν ἐπὶ τῶν Περσικῶν, κατὰ τὴν οε' Ὀλυμπιάδα· ἱστορικός. Ἔγραψεν Αἰθιοπικὰ, Περσικὰ ἐν βιβλίοις β', [r]Ἑλληνικὰ ἐν βιβλίοις δ', Περὶ Λαμψάκου β', Λιβυκὰ, Ὅρους Λαμψακηνῶν ἐν βιβλίοις δ', Πρυτά- C νεις ἢ Ἄρχοντας [s]τοὺς τῶν Λακεδαιμονίων· ἔστι δὲ χρονικά· [t]Κτίσεις πόλεων ἐν βιβλίοις β', Κρητικὰ ἐν βιβλίοις γ'· [u]λέγει δὲ καὶ τοὺς ὑπὸ Μίνωος τεθέντας νόμους· Περίπλουν τὸν ἐκτὸς τῶν Ἡρακλείων στηλῶν.

Χάρων Καρχηδόνιος, ἱστορικός. Ἔγραψε Τυράννους, ὅσοι ἐν τῇ Εὐρώπῃ καὶ Ἀσίᾳ γεγόνασι, Βίους ἐνδόξων ἀνδρῶν ἐν βιβλίοις δ', Βίους ὁμοίως γυναικῶν D ἐν δ'.

Χάρων Ναυκρατίτης, ἱστορικός. Ἱερεῖς τοὺς ἐν Ἀλεξανδρείᾳ, [x]καὶ τοὺς ἐν Αἰγύπτῳ, καὶ τὰ ἐπὶ ἑκάστου πραχθέντα, Βασιλεῖς τοὺς ἐκ παλαιοῦ γεγονότας ἐν [y]ἑκάστῳ ἔθνει, καὶ περὶ Ναυκράτεως, καὶ ἄλλα τινὰ περὶ Αἰγύπτου.

Χαρώνδας: Ὄνομα κύριον.

nihili est. Rescribendum omnino: ἀπὸ τῶν ΛΕΙΜΜΑΤΩΝ. E *A panum reliquiis, e quibus constabant charisiæ.* Suidas supra: Ἀνάστατοι: Πλακούντων εἶδος. Ἐλέγοντο δέ τινες πλακοῦντες καὶ χαρίσιοι. Οὗτοι δὲ ΑΠΟ ΤΩΝ ΚΑΤΑΛΕΙΠΟΜΕΝΩΝ συμμιγνύμενοι ἐγίνοντο. TOUP.

x ἑσπέρας] ταῖς ἑσπερίους C.

y Ἤτοι—ἀφῄρηνται] Ex Zenobio I. 36. Supra ὁμολογήσαντα M.

z Εὐφροσύνη] Εὐφρόνη A.B.E. Tum τὰς om. A.C.

a γυμνὰς ἱστοροῦσι] Hoc recentiorum figmentum esse, antiquitus enim vestitas depingi Gratias, auctor est F Pausanias IX. 35.

ΧΑΡΙΤΑΙΝΗΣ] Χαριτένης A.B.C. Χαριτίνης E.

ΧΑΡΙΤΙΑ: Ἡ χαρμονὴ] Χαριτεία: ἡ χαρμοσύνη C.

ΧΑΡΙΤΩΝ ΘΡΥΜΜΑ] Respexit Suidas ad Aristoph. Eccles. 966. ubi hodie legitur, Χαρίτων θρέμμα. Sed θρύμμα agnoscit etiam Suidas supra v. Θρύψις. Utraque lectio satis commoda est. Nam θρέμμα est *alumna:* at θρύμμα *deliciæ:* a θρύπτομαι, *delicias facio.* KUST.

ΧΑΡΙΤΩΝ] Deest A. G

b Χαρὰ om. A.

c Τὸν δὲ ἅμα χ.] Merito Casaubonus dubitat an hæc ex Polybio sumpta sint. Sunt enim ποιητικώτερα. KUST. Diu est quod emendaveram: Τὸν δ' ἅμα χάρμα καὶ ἄλγος ΕΛΕ φρένας. Et non male id quidem. Schol. ad Pindar. Nem. I. 85. p. 339. Ὅμηρος· Δακρυόεν γελάσασα. Καὶ ἐν ἄλλοις· Τῇ δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα. Uterque respexit ad Homer. Odyss. τ'. 471. Τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ΕΛΕ φρένα. TOUP.

ΧΑΡΜΟΣ, Συρακούσιος, εἰς ἕκαστον τ.] Hæc sumpta sunt H ex Athenæi Dipnosoph. lib. I. p. 4. KUST.

d Συρακούσιος] Ὅτι Χάρμος ὁ Συρρακ. A. Mox στοιχίδια M.

e Κλέαρχος δὲ ὁ Σολεὺς Δειπνολ.] Hæc male superioribus attexuit compilator. Pertinent enim ad Archestratum, non vero ad Charmum: ut ex loco laudato Athenæi patet. KUST.

f ποιήμα] πόνημα E.M.

g Περιφερὴς] Optimus ms. A. recte περιχαρής. Et sic Hesychius. KUST. περιχαρὴς C. περιχαρὴς Lex. Seg.

ΧΑΡΩΨ—χάρωπος] Χάροψ—χάροπος A.B.C.E.

ΧΑΡΩΝ] Hunc et tres seqq. art. om. A.

h Καὶ πορθμευτικαὶ παρὰ Χ.] Confer Nostrum supra, v. Ἀνάπαυλαν, et v. Τίς εἰς ἀνάπαυλαν. KUST.

i Χάρωνος] Χάροντος C.

k Τίς εἰς ἀναπ.] Aristoph. Ran. 187. Vide ibi Scholiastam, qui eadem habet, quæ hic Suidas. KUST.

l κακῶν] κακῶν πόνων C.

m πόκας] πόδας B. πόδας E. et sic infra.

n αἱ—χρησιμεύουσι] χρησιμεύουσαι C.

o φασὶ] φαμὲν E.C.

p ὄνου] ὄνομα C.

ΧΑΡΩΝ ΛΑΜΨ.] De eo vide Vossium in opere de Hist. Gr. KUST. Adde Creuzer. Hist. Gr. Fragm. p. 87. seqq. Museum Critic. Cantab. T. I. p. 221. Clinton. Fast. Hellen. Append. XXI.

q οθ'] ξθ'. Creuzer. Clinton. Fast. Hellen. ad an. 504. conf. ad an. 464.

r Ἑλληνικὰ ἐν βιβ. δ'. om. C.

s τοὺς τῶν om. C.

t κτίσεις πολέων] κτήσεις πόλεις C.

u Λέγει δὲ καὶ τοὺς—νόμους idem est cum Cretensibus, sicut seq. περίπλουν—στηλῶν cum Libycis. REINES.

x καὶ ἐν] καὶ τοὺς ἐν C.

y ἑκάστῳ ἔθνει] Ægypti nimirum. HEMST.

ΧΑΡΩΝΔΑΣ] Χαρώνδας ὁ Καταναῖος, εἷς εἶναι δοκῶν τῶν ἀρίστων νομοθετῶν, Πυθαγόρειος ἦν. Jamblich. de Pythag. Vit. c. 27. Νομοθέται ἐγένοντο Ζάλευκος—καὶ Χαρώνδας ὁ Καταναῖος τοῖς αὐτοῦ πολίταις καὶ ταῖς ἄλλαις ταῖς Χαλκιδικαῖς πόλεσι ταῖς περὶ Ἰταλίαν καὶ Σικελίαν. Aristot. Polit. II. 9. Val. Max. VI. 5. vocat eum Thurium. cf. Ælian. V. H. III. 17.

Χαρώνειος θύρα: Μία τοῦ νομοφυλακίου θύρα, δι' ἧς οἱ καταδίκοι τὴν ἐπὶ θάνατον ἐξάγονται. Καὶ Ἀριστοφάνης ἐν [z]Πλούτῳ·

Ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν.

Ἀντὶ τοῦ, μέλλεις ἀποθανεῖν.

Χαρτά: Χαρᾶς ἄξια.

Σύμβολον φρονήσεως, τὸ διακριτικὸν τῶν χαρτῶν καὶ λυπηρῶν.

Χαρτόν: [a]Σοφοκλῆς·

Χαίρειν δὲ τὸν κήρυκα προὐννέπω, χρόνῳ
πολλῷ φανέντα, χαρτὸν εἴ τι καὶ φέρει.

[[b]Ὁ αὐτός·

Χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνοι τάδε.]

Χαρτοφυλάκιον: [c]Τὰ παρὰ τὸ φυλάσσω ἅπαντα διὰ τοῦ ι γράφεται, καὶ προπαροξύνεται· οἷον χαρτοφυλάκιον, θησαυροφυλάκιον, σκευοφυλάκιον, καὶ τὰ τούτοις ὅμοια· πλὴν τοῦ σιτοφυλακείου.

Χάρυβδις: Ἡ ἀναπινομένη θάλασσα [d]περὶ τὰ Γάδειρα, καὶ πάλιν [e]ῥαγδαίως ἐπαναστρέφουσα. Εἴρηται δὲ [f]παρὰ τὸ εἰς χάος καὶ ὄλεθρον κατάγον. Πρίσκος δὲ λέγει περὶ Χαρύβδεως·

Παραπλέουσι δὲ τὴν Σικελίαν πρὸς τῇ Μεσσήνῃ κατὰ τὸν πορθμὸν τῆς [g]Ἰταλίας, ἐν ᾧπερ ἡ Χάρυβδις, πνευμάτων ἐπιλαβόντων δυσαῶν, αὐτοῖς ἀνδράσι κατέδυσαν.

[h]Ὅτι Χάρυβδις [i]καὶ Σκύλλα, ἐν στενῷ τόπῳ κειμένη, ὑποδέχεται τὰ τοῦ ὠκεανοῦ ῥεύματα, καὶ τοὺς παραπλέοντας βυθίζει. [k]Ἐκεῖσε Ὀδυσσεὺς πάντας τοὺς ἑταίρους μετὰ τῶν πλοίων ἀποβαλὼν, αὐτὸς μόνος [l]περικαθίσας σανίδι ἐν τοῖς ῥεύμασι τῆς θαλάσσης ἐφέρετο. [m]Τοῦτον ἑωρακότες [n]Φοίνικές τινες ἐν τοῖς ὕδασι πλέοντα, ἀναλαβόντες ἤγαγον ἐν Κρήτῃ πρὸς Ἰδομένεα γυμνόν. Τοῦτον ἐξενοδόχησε τῇ ὥρᾳ τοῦ χειμῶνος, καὶ ἀπέπεμψεν εἰς Φαιακίαν, τὴν νῦν λεγομένην Κέρκυραν· οἱ δὲ πέμπουσιν αὐτὸν σὺν δυσὶ ναυσὶ καὶ ἑταίροις.

Χασάμενος: Ἀναχωρήσας. [o]Ὅμηρος·

Ὁ δὲ χασσάμενος πελεμίχθη.

Τὰ ἐμπησσόμενα τῇ ἀσπίδι δόρατα ἀναχωροῦντες διετίνασσον, ἵνα [p]σκεδασθῇ.

Χασμᾶι: Μετεωροφρονεῖς, περὶ ἄλλα τὴν διάνοιαν ἔχεις. Καὶ, Χασκάζεις: [q]Ἀριστοφάνης·

Σὺ δὲ χασκάζεις τὸν κωλακρέτην.

Καὶ,

χασμήσῃ σύ.

Χάσμασιν:

[r]Οἱ δὲ Πάρθοι τὰς κεφαλὰς τῶν θηρίων ἁρμόσαντες τοῖς κράνεσιν, ἐχρῶντο τοῖς τῶν θηρίων χάσμασι.

Χαυλιόδων: [s]Κεχαλασμένους ἔχων τοὺς ὀδόντας καὶ ἐξέχοντας. Καὶ [t]ζῶα χαυλιόδοντα, τὰ φαίνοντα ἔξω τοὺς ὀδόντας· οἷον ἀσπάλαξ, ἐλέφας, σῦς, καὶ εἴ τι ἄλλο.

Χαῦνον: Ὑψηλόν· ἢ πλατὺ, καὶ μέγα. Τὰ γὰρ χαῦνα εἰς πλάτος ἁπλοῦται. [u]Ἀριστοφάνης Ὄρνισιν·

Ἐκ τῶν μετεώρων χωρίων χαῦνόν τι πάνυ.

[[x]Λέγεται δὲ καὶ τὸ ἀσθενές.]

Χαυνοπολίτας: Κεχαυνωμένους περὶ τὴν πολιτείαν, ἢ τὴν πόλιν.

Χαύνωσιν: Τουτέστι, λύσιν τῶν δικῶν.

[y]Πῶς ἂν μάθοι ποθ' οὗτος ἀπόφευξιν δίκης,
[z]ἢ κλῆσιν ἢ χαύνωσιν ἀναπειστηρίαν;

Κλῆσιν, τουτέστιν μαρτυρίαν. Χαύνωσιν λύσιν τῶν δικῶν. Ἀναπειστηρίαν οἷον ἀπάτην, καὶ διακένῳ ῥή-



Theodor. Θεραπ. Ἑλλ. παθ. Serm. IX. de LL. τὸν Χαρώνδαν πρῶτον Ἰταλίας καὶ Σικελίας νομοθέτην γενέσθαι φασίν. REINES. Χαρόνδας A. Vid. Schol. Platon. p. 193.

ΧΑΡΩΝΕΙΟΣ ΘΥΡΑ: Μία τ.] Eadem legas apud Zenobium, Pollucem, et Hesychium. KUST. Deest gl. A.

[z] Πλούτῳ] Ver. 278. Mox ὁ Χάρων σοι C. σοι item B.

ΧΑΡΤΟΝ] Hinc usque ad Χαιρήμων om. A.

[a] Σοφοκλῆς] Trachin. 227. Mox φέρεις M.

[b] Ὁ αὐτὸς] Electr. 1457. Deest hic locus B.C.

[c] Τὰ παρὰ] τὰ om. C. qui mox τὸ χαρτοφυλάκιον omisso θησαυροφυλάκιον. Deinde τούτοις om. E. infra σιτοφυλακεῖον E. τοῦ σιτοφυλακείου καὶ νομοφυλακείου C.

ΧΑΡΥΒΔΙΣ] Incolis hodie dic. *Rema* i. e. ῥεῦμα h. e. fluxus et refluxus maris. REINES.

[d] Περὶ τὰ Γάδειρα] Explicat erroris originem Cluver. I. p. 67. REINES.

[e] ῥαγδαίως] ῥαγδαιοτέρως B.C. Lex. Seg. Sed vulg. habet Schol. Platon. p. 247.

[f] παρὰ] πᾶν B.C. Lex. Seg. Mox κατάγειν E. καταγόμενον Lex. Seg.

[g] Ἰταλίας] ιταλίας (σικε) E.

[h] ὍΤΙ Χάρυβδις] Eadem fere habet Cedrenus p. 132 seq. ed. Paris.

[i] καὶ Σκύλλα] Hoc glossema esse dicit Cluver. I. 1. p. 73. REINES.

[k] Ἐκεῖσε Ὀδυσσεὺς] Ad Phæaciam nudum a Calypsus insula ejectum fuisse Ulyssem dicit Homerus. Cf. Dict. Cretens. VI. et Bochart. Geog. Sacr. P. 2. L. I. c. 33. p. 649. REINES.

[l] περικαθίσας] παρακαθίσας C.

[m] Τοῦτον] τοῦτον γὰρ C. Mox τινες φοίνικες C.E.

[n] Φοίνικες] Sc. Melitæ incolæ. REINES.

[o] Ὅμηρος] Il. γ'. 535. KUST.

[p] σκεδασθῇ] ἐκπέσῃ Schol. Ven.

ΧΑΣΜΑΙ: Μετεωροφρονεῖς] Hæc sunt verba Scholiastæ ad Aristoph. Equit. 821. TOUP.

[q] Ἀριστοφάνης] In Vesp. 693.

[r] Οἱ δὲ Πάρθοι] Hic locus luxatus esse videtur, quem ita rescripserim: Οἱ δὲ Πάρθοι ἐχρῶντο τοῖς τῶν θηρίων χάσμασι, τὰς κεφαλὰς ἁρμόσαντες τοῖς κράνεσι. *Parthi vero ferarum rictibus utebantur, capita earum galeis adaptantes.* Euripides in Rheso 209. Καὶ ΧΑΣΜΑ ΘΗΡΟΣ ἀμφ' ἐμῷ θήσω κάρᾳ. *Et faciem feræ meo capiti adponam.* Ita scribendus iste locus. Vulgo legitur, σχῆμα θηρός. Sed nostra lectio verissima est. Eurip. Herc. Fur. 363. Δεινῷ ΧΑΣΜΑΤΙ ΘΗΡΟΣ. Hesych. Χάσμα θηρὸς, ὄψις θηρός. Huc facit Longus Pastor. lib. I. p. 19. Καὶ τοῦ στόματος ΤΟ ΧΑΣΜΑ σκέπειν ΤΗΝ ΚΕΦΑΛΗΝ, ὥσπερ ἀνδρὸς ὁπλίτου ΚΡΑΝΟΣ. Egregie, ut solet, Virgilius Æn. XI. 680. *Caput ingens* ORIS HIATUS *Et malæ texere lupi cum dentibus albis.* TOUP.

[s] Κεκλασμένους] Scribendum est κεχαλασμένους, ut et Portus monuit. Confer Hesychium, et Eustathium ad Homerum. KUST. κεχαλασμένους C.

[t] ΖΩΑ ΧΑΥΛΙΟΔΟΝΤΑ] Vid. Ælian. Nat. Anim. XI. 37.

[u] Ἀριστοφάνης Ὄρνισι] Ver. 820. Ἐκ τῶν νεφελῶν καὶ τῶν μετεώρων χωρίων Χαῦνόν τι πάνυ βούλει. Νεφελοκοκκυγίαν. KUST.

[x] Λέγεται—ἀσθενὲς om. B.C.

ΧΑΥΝΟΠΟΛΙΤΑΣ: Κεχαυν.] Ex Schol. Aristoph. Acharn. 635. KUST.

[y] Πῶς ἂν μάθοι ποθ' οὔτ.] Aristoph. Nub. 872. Confer Nostrum supra v. Ἀναπειστηρίαν, ubi eadem leguntur. KUST.

[z] ἢ κλῆσιν addit C. et mox κλῆσιν—ἀναπειστηρίαν.

ματι ἀναπείθουσαν τοὺς ἀκούοντας, παρὰ τὸ πείθειν τὴν δίκην.

Χατῶναϲ: Ἄρτους ἐλαίῳ ἀναφυραθέντας κριθίνους· ἢ λάχανα ὀπτά.

Χαιόϲ: Ἡ ῥάβδος.

Χαιρέαϲ: Ὄνομα κύριον.

Χαιρέκακοϲ: [a] Ὁ χαίρων τοῖς κακοῖς.

Χαιρέτω ληρῶν: Ἐρυθριάτω φλυαρῶν. Καὶ χαίρειν, οἰμώζειν, [b] στενάζειν.

Χαῖρε φίλον φῶϲ: Γυναῖκα βουλομένην ἀκολασταίνειν, σβέσασαν [c] τὸν λύχνον, φασὶ τοῦτο εἰπεῖν. Οἱ δὲ, αἰσχράν· ἄλλοι, [d] γραῦν.

Χαιρεφῶν: Ἀθηναῖος, [e] τῶν δήμων Σφήττιος, φιλόσοφος, Σωκράτους ἀκουστής.

Χαιρεφῶν: Τῶν ἄγαν γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν. [f] Οὐδὲν δὲ αὐτοῦ δοκεῖ σώζεσθαι τῶν συγγραμμάτων. Δοκεῖ γὰρ γενέσθαι πάνυ θερμὸς, καὶ σφόδρα [g] ἐχθρεῦσαι τἀδελφῷ. Καὶ φησὶ [h] Ξενοφῶν, Σωκράτην συνάγοντα αὐτοὺς λέγειν, ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν, οὐδὲ χειρῶν, οὐδὲ ποδῶν. [i] Δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος.

Χαιρεφῶν: Ἐπὶ τῶν ὠχρῶν καὶ ἰσχνῶν. Καὶ παροιμία·

> [k] Οὐδὲν διοίσεις Χαιρεφῶντος [l] τὴν φύσιν.

Ἦν γὰρ ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν, ἅτε σοφίᾳ συντετηκώς. Ὅθεν καὶ Νυκτερὶς ἐκαλεῖτο.

Χαίρειν: [m] Οἰμώζειν, στενάζειν.

Χαίρειν: Τοῦτό ἐστι προσαγόρευσις ἀπαλλασσομένων, [n] ἢ προσερχομένων· ἐτίθετο δὲ κατ' ἀρχὰς [o] τῶν ἐπιστολῶν.

Χαίρειν: Πρόσρημα. Ὀψὲ ταῖς ἐπιστολαῖς [p] τοῦτο προστεθῆναι τινὲς νομίζουσιν· ἁπλῶς δ' οὕτως ἀλλήλοις [q] πρότερον ἐπιστέλλειν, οἷον, [r] Ἄμασιϲ Πολυκράτει τάδε λέγει. [s] Πρῶτον δὲ Κλέωνα φησὶν Εὔβουλος ὁ κωμικὸς [t] οὕτως ἐπιστεῖλαι τοῖς Ἀθηναίοις ἀπὸ Σφακτηρίας, ἐφ' ᾧ καὶ ὑπερησθῆναι· ἀγνοῶν, ὅτι καὶ οἱ παλαιοὶ ἐχρῶντο, καὶ προσηγόρευον οὕτως [u] ἀλλήλους, οὐ μόνον τὸ πρῶτον ἐντυγχάνοντες, ὡς ἡμεῖς, ἀλλὰ καὶ διαλυόμενοι ἀπ' ἀλλήλων, ἀντὶ τοῦ ὑγιαίνειν, καὶ ἐρρῶσθαι, χαίρειν διεκελεύοντο ἀλλήλοις.

> [x] Ὥσπερ οἱ ὄρνιθες, ἃ μανθάνουσιν παρὰ τῶν ἀνθρώπων. Τὸ γὰρ χαῖρε, καὶ τὸ εὖ πράττειν, καὶ τὸ, Ζεὺς ἵλεως, καὶ τὰ τοιαῦτα οἱ ὄρνιθες εὔχονται, οὔτε εἰδότες ὅ τι λέγουσιν, οὔτε διακείμενοι πρὸς τοὺς ἀνθρώπους, ἀλλὰ ἐρρυθμισμένοι τὴν γλῶσσαν.

Χαίρειν: [y] Ἀρχαῖον ἔθος τὸ ἐπιστολαῖς προστιθέναι τὸ χαίρειν. Οἱ δὲ λέγοντες πρῶτον Κλέωνα χρήσασθαι τούτῳ, ψεύδονται.

Χαίρειν, εὖ πράττειν, πολλὰ φρονεῖν: Προσρήματα. [z] Οἱ δὲ, χαίρειν, οἰμώζειν, στενάζειν.

Χαίρειν: Οὕτως [a] ἐπέγραφε Κλέων· ὁ δὲ Πλάτων, Εὖ πράττειν· ὁ δὲ Ἐπίκουρος, Εὖ διάγειν.

Χαίρειν εἰπών: Ἀντὶ τοῦ καταλιπών.

> Ὁ δὲ δι' ἄλλης ὁδοῦ παρεγένετο, τῇ Μισσιανῇ χαίρειν εἰπών.

Χαίρειν, ἤν τε βούλησθ', ἤν τε μή: Ἀντὶ τοῦ, παντὶ τρόπῳ. Ἀριστοφάνης [b] Πλούτῳ·

> Πάρεστι χαίρειν, ἤν τε βούλησθ', ἤν τε μή.

Καὶ ἔτι ὁ αὐτός·

> [c] Χαίρειν μὲν ὑμᾶς ἐστὶν, ὦ ἄνδρες δημόται,
> ἀρχαῖον ἤδη προσαγορεύειν, καὶ σαπρόν.

Χαίρειν φράσαντεϲ: Ἀποταξάμενοι, καταγνόντες.

---

ΧΑΤΩΝΑΣ] Videtur grammaticus respexisse ad Jerem. XLIV. 19. Ἐποιήσαμεν αὐτῇ χαυῶνας, καὶ ἐσπείσαμεν αὐτῇ σπονδάς. Etymologus habet χάνωνας: at Hesychius, χαυνῶνες; quæ vera lectio videtur. KUST. Vid. Schleusner. Lex. V. T. Mox λάγανα Lex. Cyrill. in nota ad Hesych.

ΧΑΙΟΣ] Sic B.C.E. Vulgo ΧΑΙΟΝ: Χαῖον ἐστὶν ἡ καμπύλη βακτηρία, ᾗ ποιμένες χρῶνται.

ΧΑΙΡΕΑΣ] De Chærea quodam Alexandrino, viro erudito, Philo libr. Quod omnis probus liber, qui Ptolemæo irato et minitante dixerit, Αἰγυπτίοισιν ἄνασσε· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω. Scriptor vanus, Athen. I. 32. et III. 20. REINES. Caligula occiditur a Chærea, Sueton. c. 58. Dio 59, 29. MULLER.

[a] Ὁ χαίρων τ. κ. om. C. cf. Jungerm. ad Poll. V. 128.

[b] στενάζειν add. B.C.E.

ΧΑΙΡΕ] Post Χερνίβος in A.

[c] τὸν λύχνον] τὴν λ. C.

[d] γραῦν] Zenob. VI. 42.

[e] τῶν δήμων] Vulgo τὸν δῆμον.

ΧΑΙΡΕΦΩΝ: Τῶν ἄγαν γνωρίμων Σωκρ.] Ex Schol. Aristoph. Nub. 144. KUST.

[f] Οὐδὲν δὲ αὐτοῦ] οὐ σὲ δὲ C. qui mox σώζεσθαι αὐτοῦ.

[g] ἐχθρεῦσαι] ἐνχωρεῦσαι C.

[h] Ξενοφῶν] Lib. II. Ἀπομνημονευμάτων. KUST. c. 3, 18. 19.

[i] Δήμου—Σφήττιος ex C. cum Schol. Aristoph.

ΧΑΙΡΕΦΩΝ: Ἐπὶ τῶν ὠχρῶν] Schol. Aristoph. Vesp. Χαιρεφῶντα δὲ τὸν πύξινον, τὸν Σωκράτους ἑταῖρον. Ibid. αὐτὸν διὰ ὠχρότητα διαβάλλων. Philostr. de Vit. Soph. lib. I. procem. Ἦν τις Χαιρεφῶν Ἀθήνῃσιν, οὐχ ὃν ἡ κωμῳδία πύξινον ἐκάλει, ἐκεῖνος μὲν γὰρ ὑπὸ φροντισμάτων ἐνόσει τὸ αἷμα. Eustath. Il. ψ'. 282. ὡς δέ τις τῶν παλαιῶν ὠχρὸς τὴν ὄψιν πύξινος ἐσκώπτετο διὰ τὸ τῆς χρόας ὁμοειδές. REINES.

[k] Οὐδὲν διοίσεις Χαιρεφῶντ.] Aristoph. Nub. 503. Vide etiam supra v. Διοίσειν, ubi eadem leguntur. KUST.

[l] τὴν φύσιν—ἰδέαν om. B.C. τὴν φύσιν om. E.M. qui et om. ἰσχνὸς καὶ et τὴν ἰδέαν.

[m] Οἰμώζειν] Scil. κατ' εὐφημισμόν. Vid. notata ad Thomam Mag. p. 908.

[n] ἢ προσερχ.] ἢ καὶ προσερχ. C.

[o] τῶν ἐπιστολῶν] Vid. notata ad Thomam Mag. p. 908.

[p] τοῦτο om. C.E.M.

[q] πρότερον om. B.C.

[r] ἌΜΑΣΙΣ] Herodot. III. 40. HEMST.

[s] Πρῶτον δὲ Κλέωνα φησὶν Εὔβ.] Confer Schol. Aristoph. Plut. 322. KUST. Vide Pierson. ad Mœrin p. 418. Arist. Nub. 609. TOUP.

[t] οὕτως] οὗτος C.

[u] ἀλλήλους] ἄλλους C. qui infra om. διεκελεύοντο ἀλλήλους.

[x] Ὥσπερ οἱ ὄρνιθες, ἃ μανθ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Philostrati lib. I. de Vit. Apoll. c. XV. p. 8. ut Pearsonius observaverat. KUST.

[y] Ἀρχαῖον ἔθος τὸ ἐπιστολ.] Schol. Aristoph. Nub. 609. Ἀρχαῖον ἦν ἔθος προτάσσειν ἐν ταῖς ἐπιστολαῖς χαίρειν. οὐ γὰρ, ὥς τινες, Κλέων οὕτω πρῶτος ἐπέστειλεν Ἀθηναίοις ἐκ Σφακτηρίας. KUST.

[z] Οἱ δὲ, ΧΑΙΡΕΙΝ, οἰμώζειν] Nimis præcise hæc grammaticus. Sensus autem est, μακρὰν χαίρειν φράσαι, i. e. *aliquem longum valere jubere*, idem esse ac οἰμώζειν τινὶ λέγειν, *aliquem plorare jubere*. KUST.

ΧΑΙΡΕΙΝ: Οὕτως ἐπέγραφε Κλ.] Eadem leguntur apud Laërtium in Platone, num. 61. unde ea Suidas mutuatus est. Vide etiam supra v. Εὖ διάγειν. KUST.

[a] ἐπέγραφε] ἐπέγραψε C.

ΧΑΙΡΕΙΝ ΕΙΠΩΝ] Vid. Μισσιανή. HEMST.

[b] Πλούτῳ] Ver. 638. Πάρεστι—σαπρὸν post gl. seq. in C.

[c] Χαίρειν μὲν ὑμ.] Aristoph. Plut. 322.

A Χαιρηδόνος: Χαρᾶς. Τῷ τόνῳ δὲ, ὡς ἀλγηδόνος. Ὡς γὰρ ἀπὸ τοῦ [ἀλγῶ,] ἀλγήσω μέλλοντος, ἀλγηδὼν, ἀλγηδόνος· οὕτω καὶ ἀπὸ τοῦ [d]χαίρω χαιρήσω, χαιρηδὼν, χαιρηδόνος.

Χαιρήμων, [e]κωμικός. Τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· [f]Τραυματίας, ὡς Ἀθήναιός φησιν, καὶ [g]Οἰνεὺς, καὶ Ἀλφεσίβοια, καὶ [h]Κένταυρος, καὶ Διόνυσος, καὶ Ὀδυσσεὺς, καὶ Θυέστης, καὶ Μινύαι. Καὶ [i]ἕτερος Χαιρήμων, γράψας Ἱερογλυφικά.

Χαιριδεῖς: [k]Ὑπὸ τοῦ Χαίριδος πεπαιδευμένοι. Ἢ μελετῶντες. Χαῖρις δὲ, αὐλητὴς [l]Θηβαῖος ἄμουσος. Οὕτω δὲ λέγουσιν Ἀττικοὶ ἀπὸ τοῦ [m]Χαίριδος, Χαιριδεῖς, καὶ ἀπὸ τῆς περιστερᾶς, περιστεριδεῖς. Οὗτος δὲ ηὔλει ἐν ταῖς θυσίαις. [n]Ἦν δὲ κιθαρῳδός. [o]Ἀριστοφάνης·

> Ὡς, ἢν Χαῖρις ὑμᾶς ἴδῃ,
> πρόσεισιν, αὐλήσων ἄκλη-
> τος.

Καὶ παροιμία· [p]Χαῖρις ᾄδων ὄρθιον. Ὄρθιος δὲ, αὐλητικὸς νόμος, οὕτω καλούμενος, οἷον εὔτονος, καὶ ἀνάτασιν ἔχων. Καὶ [q]Ὅμηρος·

Χιτών: Ἱμάτιον ἀνδρικόν. Καὶ, [s]χιτωνίσκος A χειριδωτὸς, οἷος πρέπει δούλῳ παιδί. Χιτὼν οὖν ἐστι, [t]λεπτὸν ἱμάτιον, ὑποκάμισον· παρὰ τὸ ἐγχεῖσθαι τοῖς μέλεσι.

> [u]Χιτῶνά γ' ἔχων οὔλων ἐρίων ὑπένερθε,
> κἂν ταῦτα λέγων ἐξαπατήσῃ [x]παρὰ τοὺς ἰχθύας ἀνέκυψε.

Τουτέστιν, ἀναφαίνεται περὶ τὰ ἰχθυοπώλια. [y]Τουτέστι, γλύφων εὑρίσκεται.

[Χιτὼν [+]ῥαγεὶς, ἔρρηξε φροντίδων βάρος:] B

Χιτωνίσκους: [z]Ξενοφῶν·

> Χιτωνίσκους δὲ ἐνεδεδύκεσαν ὑπὲρ γονάτων, πάχος ὡς [a]λινοῦ στρωματοδέσμου.

Χθαμαλά: Ταπεινὰ, ὁμαλὰ, ἶσα.

> Δοκιμάζων, ᾗ ἅμα μὲν [b]στερεὸν, ἅμα δὲ χθαμαλὸν ἦν τοῦ ποταμοῦ.

Καὶ χθαμαλώτατον, ταπεινότατον.

Χθές: Τὸ κατ' ἀρχὴν ε' ἀφελὼν λέγει ὁ [c]Πλάτων. C Τὸ δὲ χθὲς παρὰ τὸ ἐκθεῖν, ὅ ἐστι παρελθεῖν. Ἱστέον δὲ, ὅτι ὁ μὲν Πλάτων προὔργου εἶχε τὸ κατέβην· τὸ δὲ χθὲς, πάρεργον. [d]Οἷον,

> Κατέβην χθὲς εἰς Πειραιᾶ.

[e]Ὁ δὲ Θεολόγος τὸ χθὲς εἶχε σκοπόν· τὸ δὲ, Τῇ λαμπρᾷ τῶν φώτων ἡμέρᾳ, παρέλκον. Ὃ οὖν ἕκαστος εἶχε προηγούμενον, ἐκεῖνο προὔτρεψε.

Χθεσιφωνῶν: Κακολογῶν.

Χθιζοί: Χθεσινοὶ, ἀργοὶ, ἄχρηστοι. Καὶ, [f]χθιζινὸς, ὁ χθεσινός.

Χθονία: Ἀντὶ τοῦ σκοτεινή. Πολιτείας [g]δεκάτῳ·

> Μὴ [h]χθονίαν καὶ τραχεῖαν πορεύεσθαι, ἀλλὰ λείαν καὶ οὐρανίαν.

Ἀνθυποφέρει γὰρ τῇ μὲν τραχείᾳ, λείαν· τῇ δὲ χθονίᾳ, τὴν οὐρανίαν. Ἀντὶ τοῦ λαμπράν. Καὶ παρ' Ἀλκμᾶνι δὲ, ὅτε φησὶ χθόνιον τέρας ἐπὶ τῆς ἔριδος, τινὲς ἀντὶ τοῦ στυγνὸν ἐδέξαντο, ἔνιοι δὲ, ἀντὶ τοῦ μέγα· ἐπεὶ πρὸς αὐτὴν λέγει.

Χθόνια λουτρά: Τὰ τοῖς νεκροῖς ἐπιφερόμενα. Ἐκόμιζον γὰρ εἰς τοὺς τάφους λουτρά.

Χθονίας βροντάς:

> [i]Κλῄσατε χθονίας βροντάς.

Ἀντὶ τοῦ ὑμνήσατε. Χθονίας δὲ, φοβεράς. Πάντα γὰρ τὰ δεινὰ γῆς γενεαλογοῦσιν. Οἱ δὲ, τὰς μέγαν B ἦχον ἀποτελούσας· ἢ τὰς [k]ἀπὸ τῆς γῆς γινομένας· ὅτε γὰρ ἠχεῖ ἡ γῆ, ἀναπέμπει τὸν ἦχον εἰς τὸν οὐρανὸν, καὶ δοκοῦσιν οἱ ἄνθρωποι ἐξ οὐρανοῦ γίνεσθαι τὰς τοιαύτας βροντάς· ἢ τὰς μέχρι τῆς γῆς ἀκουομένας, ἢ τὰς τὴν γῆν κινούσας. [l]Καὶ χθόνιος βροντή. Καὶ χθόνιος Ζεὺς, ὁ καταχθόνιος.

Χθονίων: Ἐπιγείων.

Χθονοπλάστου: Ἀπὸ γῆς πλασθέντος.

C Χθονοστιβῆ: Τὰ ἐν τῇ γῇ, τὰ ἐπίγεια.

> [m]Ἄρρητά [n]τ' οὐράνιά τε καὶ χθονοστιβῆ.

Χθών: Γῆ.

Χλαμύς: [o]Νουμᾶς [p]ὁ πρῶτος Ῥωμαίων βασιλεὺς πρεσβείαν Ἰσαύρων δεξάμενος, καὶ τὸ σχῆμα τῆς φορεσίας αὐτῶν καταμαθὼν, ἐξ αὐτῶν λαβὼν ἐφεῦρε [q]τῆς χλαμύδος στολὴν, ἑνώσας τὴν βασίλειον D τῇ συγκλήτῳ, οὐκ ἔξωθεν ἐπιθεὶς, ἀλλ' ἔσωθεν ἐμβαλὼν τὴν τῆς πορφύρας βαφήν· ὥστε ἐξ ἑκατέρου τούτων ἓν ἀποτελεσθῆναι σῶμα, καὶ ἐν τοῖς τῶν βουλευτῶν ὑποδήμασιν ἀποσημαίνεσθαι τὸ Ῥωμαϊκὸν [r]κάππα.

Καὶ παροιμία· Ἡ Συλοσῶντος χλαμύς. Ἐπὶ τῶν ἀλαζονευομένων ἐπ' ἐσθῆτι. [s]Οὗτος γὰρ εἶχε πολυτελῆ ἐσθῆτα, ἣν ἐδωρήσατο Δαρείῳ [t]ἰδιωτεύοντι ἔτι· καὶ ἔτυχε μετὰ ταῦτα καθόδου, βασιλεύσαντος Δα- E ρείου.

Χλανίς: Ἱμάτιον στρατιωτικόν.

Χλαῖνα: Τὸ παχὺ καὶ χειμερινὸν ἱμάτιον. Παρὰ

---

ΧΙΤΩΝΙΣΚΟΣ ΧΕΙΡΙΔ.] Procopius Hist. Arc. c. 9. Θεοδώρα δὲ, ἡ μετ' ἐκείνην χιτωνίσκον χειριδωτὸν ἀμπεχομένη, δούλῳ παιδὶ πρέποντα, &c. KUST. Huc Suidas respexit. KUST.

[t] λεπτὸν] λευκὸν C. qui mox ὑποκάμυσον.

[u] Χιτῶνά γ' ἔχ.] Fragmentum hoc valde lacerum est, sensusque ejus obscurus; cui absque ope meliorum co- F dicum lucem afferre non possumus. KUST. Sumptus locus ex Aristoph. Ran. 1099. docente Piersono ad Mœrin p. 416.

[x] παρὰ] περὶ A.B.C.E.

[y] Τουτέστι om. B.E.M. cum lacuna. Pro γλύφων redde τρυφῶν e Schol. Aristoph.

ΧΙΤΩΝ 'ΡΑΓ.] Est versus oneirocriticus, qui legitur etiam apud Astrampsychum. KUST. A. in marg. G

[z] Ξενοφῶν] Lib. V. de Exp. Cyr. p. 352. KUST. V. 4, 13.

[a] λινοῦ] λῖνον A.B.C. λίνου M.

[b] στερεὰ] στερεὸν A.C. et sic supra p. 1631 A.

ΧΘΕΣ] ἐχθὲς A. Mox ἐκεῖθεν C. pro ἐκθεῖν.

[c] Πλάτων] Rep. I. init.

[d] Οἷον—Πειραιᾶ om. A.B.C.

[e] Ὁ δὲ Θεολόγος τὸ χθὲς εἶχε σκ.] Hæc sumpta sunt ex Scholio aliquo ad locum illum Gregorii Nazianz. initio orationis XL. Χθὲς τῇ λαμπρᾷ τῶν φώτων ἡμέρᾳ, &c. ut H Pearsonius recte observaverat. KUST.

ΧΘΙΖΟΙ] Caput gl. restitui cum A.B.C.E. Lex. Seg.

[f] ΧΘΙΖΟΣ] Χθιζινὸς A.B.C. Phrynichus Bekkeri p. 73, 4. Χθιζινὸν καὶ χθεσινόν· τὸ δὲ χθιζὸν Ὅμηρος.

[g] δεκάτῳ] δεκάτῃ A. δεκαι E. Scil. Platon. Rep. p. 619. Tum Μὴ om. A.

[h] χθονίαν] ψεχθονίαν C.

ΧΘΟΝΙΑ ΛΟΥΤΡΑ] Ex Zenobio VI. 45. ubi ἐκομίζετο ἐπὶ τοὺς τ. Addidi τοὺς cum A.B.C.E.

[i] Κλῄσατε χθονίας βροντὰς] Aristoph. Av. 1743. Καὶ τὰς χθονίας κλῄσατε βροντάς. Vide ibi Scholiastam, qui eadem habet, quæ hoc loco Suidas. KUST.

[k] ὑπὸ τῆς] ἀπὸ A. ἀπὸ τῆς B.C.E.

[l] Καὶ ΧΘΟΝΙΟΣ ΒΡΟΝΤΗ ex A.C.E. Χθόνιος Ζεὺς Soph. Œd. Col. 1606.

[m] Ἄρρητά τε καὶ χθ.] Sophocl. Œdip. Tyran. 301.

[n] τ' οὐράνια addidi cum A.B.C.E.M.

[o] Νουμᾶς ὁ πρ.] Nugæ meræ sunt, quæ Suidas hic de Numa refert. Quibus gemina sunt, quæ de eadem re tradit Joannes Malelas in Chronographia, p. 38. qui cum hoc loco conferendus est. KUST.

[p] ὁ πρῶτος] Imo ὁ δεύτερος: ut historiæ Romanæ scriptores docent. KUST.

[q] τὴν χλαμύδος] τῆς χλαμύδος A.C.

[r] κάππα] Immo C. i. e. lunula, quod significabat initio Centum fuisse senatores. Vid. Voss. de Arte Gramm. c. 17. REINES. Vid. Scaliger ad Euseb. p. 114.

[s] Οὗτος γὰρ εἶχε] Valer. Max. V. 2. frater Polycratis. REINES.

[t] ἰδιωτεύοντι] Et in Ægypto in exercitu Cambysæ militante, vid. Herodot. III. 139. 140. Strab. XIV. p. 439. REINES.

ΧΛΑΝΙΣ] Sic etiam Lex. Seg. Attamen interpretationi melius conveniret Χλαμύς. Vid. Hemsterhus. ad Luciani Timon. c. 38.

τὸ χλιαίνω. Χιτὼν [u]δὲ, τὸ λεπτὸν ἱμάτιον, τὸ ὑποκάμισον· παρὰ τὸ ἐγχεῖσθαι τοῖς μέλεσι.

Χλαῖναι: Περιβολαί. [x]Διαστέλλει [y]Ὅμηρος τὸν πέπλον ἀπὸ τῶν χλαινῶν· ὅς ἐστι γυναικεῖον ἔνδυμα, ἐμπερόνημα. Τὸ δὲ αὐτὸ καλεῖ καὶ ἑανόν.

Χλευάζω: Αἰτιατικῇ.

Χλευασία: Ὕβρις τις, εἶδος οὖσα τῆς ὕβρεως. Καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται αὐτῆς. Τῆς γὰρ ὕβρεως ἡ διὰ [z]καταγέλωτος γινομένη, χλευασία καλεῖται· ἡ δὲ διὰ πληγῶν, ὕβρις ὁμωνύμως. [a]Καὶ αὖθις Αἰλιανός·

[b]Περιϊὼν δὲ ἐς τὸν νεὼν, χλευάζων γε μὴν τοὺς [c]τοῦ θεοῦ θεραπευτῆρας, καὶ ἐπετώθαζε.

Χλιδανόν: Τρυφερόν.

Χλιδή: Τρυφὴ, ἔκλυσις, καὶ μαλακία. Εἴρηται δὲ ἀπὸ τοῦ ἐχλιάνθαι. [cc]Ξενοφῶν·

Οὐκ ἐν χλιδῇ τεθράμμεθα, ἀλλὰ [d]χωριτικῶς.

Καὶ αὖθις·

Συγχωρούντων [e]ἐπαύρασθαι τῆς χλιδῆς.

Καὶ αὖθις·

Οὕτω μὲν οὖν ἐν τῷ [f]Τούρκων ἡγεμόνι ἔνεστι χλιδῆς.

Καὶ, [g]Χλιδαῖς καρατόμοις: Τοῖς ἀπὸ τοῦ κρατὸς τετμημένοις βοστρύχοις. Λέγοι δ' ἂν χλιδὰς, ἤτοι καθόλου τοὺς πλοκάμους, οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς· ἢ παρόσον τρυφὴ καὶ κόσμος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ. [h]Σοφοκλῆς·

Ἡμεῖς δὲ [i]πατρὸς τύμβον, ὡς ἐφίετο,
[k]λοιβαῖς τε πρῶτον, καὶ καρατόμοις χλιδαῖς
στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν.

Χλιδόνας: Κόσμους περὶ τοὺς βραχίονας. Καλοῦνται δὲ, βραχιόλια.



Χλίδος: [l]Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα, περὶ χωρίου βλάβης·

Ἔπειτα δὲ τὸ χλίδος ἐκβαλὼν εἰς τὴν ὁδὸν, ἐξ ὧν ὑψηλοτέραν καὶ [m]στενοτέραν τὴν αὐτὴν [n]ὁδὸν πεποιῆσθαι συμβέβηκε.

Πᾶν πλῆθος χλίδος λέγεται. Καὶ [o]ἔστιν οἷον σωρός τις, μάλιστα δὲ τὸ τῶν ἀποκαθαρμάτων τε καὶ ἀποψημάτων. Καὶ ἡ τῶν ποταμῶν [p]πρόσχωσις, καὶ πολὺ μᾶλλον τῶν χειμάρρων, ὃ καὶ χέραδος καλεῖται. Νῦν δ' ἔοικεν ὁ ῥήτωρ λέγειν, ὅτι χοῦν καὶ φρυγανώδη τινὰ ἐκ τοῦ χωρίου σωρὸν ὁ Καλλικλῆς εἰς τὴν ὁδὸν ἐμβέβληκεν· ὡς καὶ αὐτὸς ἐν τοῖς ἑξῆς [q]ὑποσημαίνει.

Χλίδωνος:

Χλιδῶσαι: Τρυφῶσαι.

Χλοάω, χλοῶ.

Χλοερός: Ὁ χλωρός.

Χλόη: [r]Βοτάνη.

Χλομάρων:

[s]Ἀλλ' ὅτε Ῥωμαῖοι ἀπεστένουν, ἐρεβοδιφοῦντες τὰ ὑποχθόνια, στρατοπεδεύουσιν ἀμφὶ τὸ φρούριον τὸ Χλομάρων.

Χλοῦναι: Λωποδύται, οἱ ἐν τῇ χλόῃ εὐναζόμενοι. Καὶ χλούνης, μονιὸς, πλήκτης, κακοῦργος, χαλεπός· καὶ ὁ ἀπόκοπος.

[t]Χλούνης [u]τε καὶ γύνανδρος ἀνὴρ, (εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι,) διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθεὶς, καὶ θῆλυς γενόμενος.

[x]Ὁ πρὸς Στρατοκλέα Ἀθήνησι δᾳδουχήσας, ὁ χλούνης τε καὶ γύννις, καταγοητευθεὶς, καὶ οἷον ἐν δεσμῷ τινι ἀφύκτῳ πεδηθείς.

Χλούνειον: Ὄνομα τόπου.

Χλωθάριος: Ὄνομα κύριον.

[u] δὲ] γὰρ C.

[x] Διαστέλλει] Schol. Il. έ. 734. TOUP.

[y] ὁ Ὅμηρος τοὺς πέπλους] Ὅμηρος τὸν πέπλον A.C. et E. suprasc. τῶν πέπλων B. Tum ὃς A.E. pro ὁ.

ΧΛΕΥΑΣΙΑ καὶ ΧΛΕΥΗ] καὶ χλεύη om. A.B.C.

ib. ΧΛΕΥΑΣΙΑ: Ὕβρις τις] Aristoph. Topic. VI. 3. p. 372, 26.

[z] γέλωτος] καταγέλωτος A.C.

[a] Καὶ αὖθις ex A.C.E.

[b] Περιϊών] Lego παριών. KUST.

[c] τοῦ θεοῦ] τοῦ om. A.C.

ΧΛΙΔΗ—ἐχλιάνθαι] Eadem Lex. Seg. qui addit ἐκλελύσθαι. Timæus om. τρυφὴ, additque καὶ ἐκλελύσθαι ἀσθενείᾳ τοῦ θερμοῦ.

[cc] Ξενοφῶν] De Instit. Cyri, lib. IV. p. 110. KUST. IV. 5, 54.

[d] χωριτικῶς] χωρητικῶς C.E.

[e] ἐπαύρασθαι] ἐπαύρεσθαι A.

[f] Τούρκων] Τούρκῳ B. τῶν Τούρκων C. Mox χλιδαῖς C.

[g] ΧΛΙΔΑΙΣ ΚΑΡΑΤΟΜ.——ἐν τῷ τάφῳ] Ex Schol. Sophocl. Electr.

[h] Σοφοκλῆς] Electr. 52.

[i] πατρὸς] τὸν πατρὸς A.B.C.E. τάφον C.E. pro τύμβον. Tum ὡς ἐφίετο om. A.B.C.E.

[k] λοιβαῖς τε πρ.] λοιβαῖς τὸ πρ. A.B.C. λοιβαῖσι πρ. E.

ΧΛΙΔΟΝΑΙ: Κόσμοι] Alias, χλιδῶνες. Vide Hesych. et alios grammaticos. KUST. Esaias III. 19. χλιδῶνας. TOUP. Vid. Βραχιόλια. HEMST. Alias καρπία, calpea, galbea, ἐγκάρπιοι ὄφεις ap. Philostrat. in Ep. ad uxorem. REINES. Vid. Wesseling. ad Diod. Sic. XVIII. 27. Χλιδόνας: κόσμους A.C. Lex. Seg.

ΧΛΙΔΟΣ: Δημοσθένης ἐν τῷ πρ.] Ex Harpocratione. KUST. Lex. Seg. Bachmanni p. 419. Χληδός: ὁ σωρὸς τῶν ἀποκαθαρμάτων, ὁ ἔχων ἰλύν τινα καὶ ἄσιν βοτανώδη καὶ φρυγανώδη.—Χληδός: ὃν οἱ πολλοὶ χλὰς λέγουσιν. καὶ παρὰ Δημοσθένει ἐν τῷ πρὸς Καλλικλέα. Κρήτης ταμίας ἥξει δὲ ταχέως ἀργυρίου χληδῶν λαβών. Οἷον πλῆθος καὶ σωρόν. Ubi ἥξει δὲ—λαβὼν versus veteris alicujus est comici. Κρήτης ταμίας in præsenti non extrico.

ib. ΧΛΙΔΟΣ] Etymol. Κλῆδος. TOUP. Χλῆδος Harpocr. ms. Pal. et τὸ χλῆδος in exempl.

[l] Δημοσθένης] P. 1278, 4. ubi τὸν χλῆδον. Harpocrat. τὸν χλίδον.

[m] στενοτέραν] στενωτέραν Harpocr. ed.

[n] ὁδὸν πεποιῆσθαι] πεποιῆσθαι ὁδὸν A.

[o] ἔστι σωρὸς] ἔστιν οἷον σορὸς A. οἷον habent B.E. Harpocr. οἷος C.

[p] πρόσχωσις] πρόχωσις B.C.E.M.

[q] ὑπεσημείωσε] ὑποσημαίνει A.C. Harpocr. ὑπεσημὴ E.

[r] Βοτάνη] Statim delevi Παρὰ τὸ φλέω, τὸ ἀναπέμπω, φλόη, καὶ χλόη. ἡ ἐκ τῆς γῆς ἀναπεμπομένη, καὶ αὐξάνουσα cum A.B.E. Totum art. om. C.

[s] Ἀλλ' ὅτε Ῥωμ.] Hæc sunt verba Theophyl. Simoc. lib. II. c. 7. sed ubi pro ἀπεστένουν, quod corruptum est, legitur ἀπεπόνουν; uti etiam apud ipsum Suidam supra v. Ἀπεπόνουν, et v. Ἐρεβοδιφῶντες, ubi idem fragmentum habes. Deinde, pro ἐρεβοδιφοῦντες, Theophylactus habet ἐρεβοδιφῶντες: uti etiam ipse Suidas supra, v. Ἀπεπόνουν, et v. Ἐρεβοδιφῶντες. KUST.

[t] Χλούνης τε καὶ γ.] Hæc ex libro Æliani de Providentia sumpta esse, discimus ex Eustathio ad Il. ί. p. 772. ubi inter alia ait: Ἀλλὰ καὶ Αἰλιανὸς μάλιστα ἐν τοῖς περὶ Προνοίας, χλούνην λέγων τὸν ἀπόκοπον. Respexit enim ad ipsum illum locum Æliani, quem Suidas hic adducit. Confer etiam Nostrum supra v. Εὐνοῦχος. KUST. ὁ χλούνης τε καὶ γύννις supra in Γύννις, quæ sine dubio ab eodem Æliano sumta. HEMST.

[u] τε καὶ] τε om. C.E.

[x] Ὁ πρὸς Στρατοκλέα] Supra v. Δᾳδουχεῖ, legitur, ὁ πρὸ Στρατοκλέους. KUST.

ΧΛΟΥΝΙΟΝ] Χλούνειον A.B.C. Delevi cum omnibus mss. ΧΛΟΥΝΕΙΟΝ δὲ, τὸ χοίρειον, δίφθογγον.

Χλωθαῖος: Ὄνομα κύριον.

Χλωθόμτρος: Ὄνομα κύριον.

Χλωρανθείς: Ἀντὶ τοῦ χλωρὸς [y]γεννηθείς. Οὕτω Σοφοκλῆς.

Χλωρεῖον: Εἶδος ζώου.

Χλωρίς: Ὄνομα κύριον.

Χλωρόν: Τὸ ἀκμάζον. Μένανδρος.

Χλωρός: Ἀπὸ τοῦ χλόη, χλοερὸς, καὶ χλωρός· ἀπὸ [z]δὲ τούτου ὠχρός. Καὶ χλωρότης.

Χνόας: Τὰς σύριγγας τοῦ ἄξονος. [a]Στύριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος· καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτω καλεῖται. Εἴρηται δὲ βαρέως. Τὰ γὰρ εἰς η καθαρὸν δισύλλαβα, τῷ ο [b]παραληγόμενα, ([c]ἀπὸ δύο συμφώνων ἀρχόμενα,) ὧν προηγεῖται δασὺ, [d]βαρύνεται· χνόη, φθόη, χλόη. Τὸ δὲ πνοὴ οὐκ ἔχει δασύ.

Χνοωδεστέρα: Λεπτοτέρα.

[e]Ἥ τε ὑποκειμένη γῆ ψάμμου πάσης χνοωδεστέρα διὰ λεπτότητα.

Χνοῦς:

Χοᾶ: Χοῦς, μέτρον Ἀττικὸν, χωροῦν κοτύλας ὀκτώ. [f]Ἀριστοφάνης·

> Ἐπὶ δεῖπνον ταχὺ
> βάδιζε, τὴν κίστιν λαβὼν, [g]καὶ τὸν χοᾶ.

D Οἱ γὰρ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τινὰ τοιαῦτα παρετίθεσαν, οἱ δὲ καλούμενοι ἔφερον ἑψήματα, καὶ κίστιν, καὶ [h]χοᾶ. [i]Ὅμηρος περὶ τῆς κίστεώς φησι·

> Μήτηρ δ' ἐν κίστει ἐτίθει μενοεικέα δαῖτα,
> ὄψα τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες.

A [k]Χοᾶ δὲ ἐπεφέροντο οἱ καλούμενοι, ἵνα μὴ κοινωνήσωσιν ἄλλου ποτηρίου, διὰ τὴν ἐπὶ [l]τῷ Ὀρέστῃ γενομένην αἰτίαν.

[m]Καὶ παροιμία·

> Ἐξ [n]χοᾶς χωρήσεται.

Ἐπὶ τῶν [o]παραληρούντων. Τουτέστιν, ὁ ἐγκέφαλος αὐτοῦ. Ἅμα δὲ ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ ἔμεινε μεταφορᾶς· ὃς ἐὰν [p]σμηχθῇ, πλέον χωρεῖ τῶν [q]ἐμπεB φρακότων ἀποβεβλημένων. Καὶ αὖθις·

> [r]Τὴν ὑστάτην ἤκουσαν οἴνου τρεῖς [s]χοᾶς
> [t]ἡμῶν ἀποτίσειν, κἀρεβίνθων χοίνικα.

Ὑποπίνοντες ἔκαπτον φρυκτοὺς ἐρεβίνθους.

Χοάνης: [u]Χωνεῖον. Καὶ χόανα, τὰ μέταλλα.

Χοάς: Ἐκχύσεις, ἐναγίσματα ἐπὶ νεκροῖς, ἢ σπονδάς.

[x]Ἐκπίπτει χρησμὸς, δεῖν [y]χοὰς τοῖς τεθνεῶσι τῶν Αἰτωλῶν C ἐπάγειν ἀνὰ πᾶν ἔτος, καὶ ἑορτὴν [z]Χοὰς ἄγειν.

Λέγονται καὶ θυσίαι νεκρῶν. [a]Σοφοκλῆς·

> Πρῶτον μὲν ἱερὰς ἐξ [b]ἀειρρύτου χοὰς
> κρήνης [c]ἐνέγκου, δι' ὁσίων χειρῶν θίγων.
> Ὅταν δὲ [d]χεῦμα τοῦτ' ἀκήρατον λάβω;
> Κρατῆρες εἰσὶν, ἀνδρὸς εὔχειρος τέχνη,
> [e]ὧν κρᾶτ' ἔρεψον, καὶ λαβὰς ἀμφιστόμους.

Χοᾶς: Ὅτε ἐπὶ μέτρου τίθεται, περισπᾶται.

Χοάσπειον ὕδωρ, καὶ Χοάσπης: Ποταμός. Καὶ κύριον ὄνομα.

Χοβάρ: Ὄνομα ποταμοῦ.

Χόες: Ἔστιν ἑορτὴ Ἀθήνησιν ἀγομένη μηνὶ Ἀνθεστηριῶνι. Τὴν δὲ ἑορτὴν φασὶν οὕτως γεγονέναι, ὅτε Ὀρέστης ἀνελὼν τὴν μητέρα ἦλθεν εἰς Ἀθήνας,

E

ΧΛΩΘΑΙΟΣ] Χλωθοαῖος A.C.

[y] γενηθεὶς] γεννηθεὶς C.M.

[z] τούτου δὲ] δὲ τούτου A. Tum τὸ ὠχρὸς A.C. pro καὶ ὠ. Minimum inter χλωρὸς et ὠχρὸς intercedere docet Hemsterhus. ad Luciani Contempl. c. 11.

ΧΝΟΑΣ: Τὰς σύριγγας τ.] Ex Schol. Sophocl. Electr. 717.

[a] ΣΤΥΡΙΓΞ—ἄξονος om. A.

[b] παραληγόμενα, ὧν πρ.] Locum hunc mutilum ex Scholiasta Sophoclis sic supplebis, παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα, ὧν προηγεῖται, &c. KUST.

[c] (ἀπὸ—ἀρχόμενα) Addidi ex Schol. postulante sensu.

[d] βαρύνεται] βαρύνονται A.

[e] Ἥ τε ὑποκειμένη] Æliano tribuit Valckenærius. Mox Χλοωδεστέρα διαλεπτοτάτη C.

[f] Ἀριστοφάνης] Acharn. 1085. Suidas descripsit Schol. ad eum locum. cf. ad v. 960.

[g] καὶ τὸν χοᾶ om. A.C.M.

[h] χοᾶν] Scribe χοᾶ: a recto, χοεύς. KUST. Χοᾶ A.B. G C.

[i] Ὅμηρος] Odyss. ζ'. 76, 77. sed ubi hodie sic legitur: Μήτηρ δ' ἐν κίστῃ ἐτίθει μενοεικέ' ἐδωδὴν Παντοίην, ἐν δ' ὄψα τίθει, ἐν δ' οἶνον ἔχευεν Ἀσκῷ ἐν αἰγείῳ. KUST. Duos locos confudit Suidas, vel potius Scholiastes Aristophanis, Od. γ'. 480. scil. ubi ὄψά τε οἷα ἔδουσι διοτ. βασ. et ζ'. 76. ubi μήτηρ—ἐδωδήν.

[k] Χοᾶν] Et hic scribendum est χοᾶ. KUST. Sic A. B.C.E.

H [l] τῷ] ἐπὶ τῷ A.B.C.E. τοῦ Ὀρέστου C. Tum γινομένην B.E.

[m] Καὶ παροιμία] Solet Suidas multa loca Aristophanis inter proverbia passim referre, quæ revera talia non sunt; veluti hic locus, qui nihil nisi jocum comicum continet, ut lectori patebit qui ipsum Aristoph. Nub. 1240. inspicere voluerit. KUST.

[n] χοὰς] Scribendum est χοᾶς, cum circumflexo in ultima. KUST. Sic B.C.

[o] παραληρούντων] παραπληρούντων C.

[p] σμηχθῇ] σμιχῇ C.

[q] ἐμπεφράκτων ἀποβεβλημένων] Apud Scholiastam Aristophanis legitur, ἐμπεφρακότων, ἀποβεβυσμένων. Sed scribendum est, ἐμφράκτων, ἤγουν ἀποβεβυσμένων. KUST. ἐμF πεφρακότων A.C.

[r] Τὴν ὑστάτην ἤκ.] Aristoph. Eccles. 44.

[s] χοὰς] Et hic scribendum est χοᾶς, cum circumflexo in ultima. KUST.

[t] ἡμῶν] Apud Aristophanem recte, ἡμῖν. KUST.

[u] ΧΟΝΕΙΟΝ] Scribe χωνεῖον, per ω in syllaba prima. Vide Lexica. KUST.

ib. χοάνου. ΧΟΝΕΙΟΝ] χωνίον A. χωνίου B. χωνίας C. Deest v. E.

ΧΟΑΣ] Schol. Aristoph. Ach. 960. HEMST.

G [x] Ἐκπίπτει χρ.] Fragmentum hoc occurrit etiam supra v. Ἄκος, et v. Ἐκδίκως, et infra v. Χρησμὸς, ubi pro ἄγρας rectius legitur χοάς. KUST.

[y] ἄγρας] χοὰς A.C.

[z] Χοὰς] Scribe Χόας, cum accentu in penultima: a recto plurali Χόες. KUST.

[a] Σοφοκλῆς] Œdip. Colon. 469.

[b] ἀειρρύτου] ἀειρύτου C.

[c] ἐνέγκου] ἐνέγκοι A. Mox θίγων om. M.

H [d] τοῦτο χεῦμ'] χεῦμα τοῦτ' A.C.E.M. Mox λάβῃς A.

[e] ὧν κρᾶτ' ἔρ.] Sic locum hunc ex Sophocle emendavimus. Antea enim mendose legebatur, Ὧν κατέρεψον, καὶ λαβὲ ἀμφὶ στόμα. KUST. κατέρεψον A.B.C.E.

ΧΟΑΣ] Χοᾶς B.

ΧΟΑΣΠΕΙΟΝ] Ita A.C. Vulgo Χοάσπης ποταμός. καὶ Χοάσπειον ὕδωρ, τὸ ἐκ τούτου. καὶ κύριον ὄνομα ὁ Χοάσπης.

καὶ ἐδέξαντο αὐτὸν [f]Ἀθηναῖοι, καὶ [g]εἰστίασαν· οὐ μὴν A ἐκοινώνησαν αὐτῷ τοῦ [h]οἴνου· ἀλλὰ χωρὶς [i]χοᾶ παραθεὶς αὐτῷ ὁ δῆμος, οὕτως εἱστιᾶτο, ἀπονείμας ὀλίγον τι [k]χώρας τῷ Ὀρέστῃ.

Καὶ ἄλλως. [l]Ἑορτὴ Ἀθήνησι, Χόες· ἀπὸ τοιαύτης αἰτίας. Ὀρέστης μετὰ τὴν τῆς μητρὸς ἀναίρεσιν ἦλθεν εἰς Ἀθήνας [m]παρὰ Πανδίονα, συγγενῆ καθεστηκότα, ὃς ἔτυχε [n]βασιλεύων τῶν Ἀθηναίων. Κατέλαβε δὲ αὐτὸν εὐωχίαν τινὰ δημοτελῆ ποιοῦντα. B Ὁ τοίνυν Πανδίων παραπέμψασθαι μὲν τὸν Ὀρέστην αἰδούμενος, κοινωνῆσαι δὲ ποτοῦ καὶ τραπέζης ἀσεβὲς ἡγούμενος, μὴ καθαρθέντος [o]αὐτοῦ τὸν φόνον, ὡς ἂν μὴ ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίνοι, [p]ἕνα ἑκάστῳ τῶν κεκλημένων παρέθηκε [q]χοᾶ.

Χόες: Ἑορτή τις ἦν παρ' Ἀθηναίοις, ἀγομένη Ἀνθεστηριῶνος δωδεκάτῃ. Φησὶ δὲ Ἀπολλόδωρος, C Ἀνθεστήρια καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν, [r]Διονύσῳ ἀγομένην, κατὰ μέρος δὲ, [s]Πιθοιγίαν, [t]Χόας, Χύτρους.

Καὶ αὖθις. Ὅτι Ὀρέστης μετὰ τὸν φόνον εἰς Ἀθήνας ἀφικόμενος, (ἦν δὲ ἑορτὴ Διονύσου Ληναίου,) ὡς μὴ γένοιτο σφίσιν ὁμόσπονδος, ἀπεκτονὼς τὴν μητέρα, ἐμηχανήσατο τοιόνδε τι. [u]Χοᾶ οἴνου τῶν δαιτυμόνων ἑκάστῳ παραστήσας, ἐξ αὐτοῦ πίνειν [x]ἐκέ- D λευσεν [[y]ὁ Πανδίων,] μηδὲν ὑπομιγνύντας ἀλλήλοις, ὡς μήτε ἀπὸ τοῦ αὐτοῦ κρατῆρος [z]πίοι Ὀρέστης, μήτε ἐκεῖνος ἄχθοιτο καθ' αὐτὸν πίνων μόνος. Καὶ ἀπ' ἐκείνου Ἀθηναίοις ἑορτὴ [a]ἐνομίσθη οἱ Χόες.

Χοζίας: Ὄνομα κύριον.



Χοεῖον: Παχὺ ἔντερον.

Χοὴ καὶ χοαί: Ἡ [b]ἐπιχεομένη τοῖς νεκροῖς γῆ.

Χόης: Ποταμός.

Χοΐδια:

Σταμνία κατεσκεύασαν χοΐδια τὸ μέγεθος, λεπτὰ ταῖς κατασκευαῖς διαφερόντως.

Χοϊκός: Ὁ [c]πήλινος.

Χολάδες: Τὰ ἔντερα. [d]Ἐν Ἐπιγράμμασι·

Ἀντιβίων τε
πολλάκις ἐγχείην γευσαμένην χολάδων.

Χολαργέων: [e]Χολαργεῖς, δῆμος τῆς Ἀττικῆς. Ἡ εὐθεῖα, [f]Χολαργεύς.

Χολαῖον: Ἧπαρ.

Χολέρα: Καὶ Χολεριῶ, [g]ῥῆμα.

Χολλεῖδαι: Δῆμος τῆς Λεοντίδος.

Χοληδόχον ἀγγεῖον:

C Χόλικες: Τὰ παχέα ἔντερα τῶν βοῶν. Ταῦτα δὲ οὐχ ἱεροῦντο, ὡς τὸ ἄλλο σῶμα. [h]Τινὲς δὲ χόλικα φασὶν εἶδος ἰχθύος. Θηλυκῶς δὲ, ἡ [i]Χόλιξ.

Χολοδογαμόρ: Ἐθνικόν.

Χόλον: Ὀργήν· ἀλλὰ πρόσκαιρον. Παρὰ τὸ χεῖσθαι.

Χολῷ: Δοτικῇ.

D Χολωσέμεν: Εἰς ὀργὴν ἐμβαλεῖν.

Χολῶσι:

[k]Σὺ δ' εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας,
ὥστ' ἀνδράσι πείθῃ χολῶσι.

Χόνας: Ὄνομα ἔθνους.

Χονδρῖτις: Σεμίδαλις.

---

f οἱ Ἀθηναῖοι] αὐτὸν οἱ Ἀθ. E. αὐτὸν Ἀθ. A.B.

g εἰστίασαν] ἑστίασαν A. εἰστιάσαντο C.

h οἴνου] τοῦ οἴνου A.B.C.E.

i χοᾶ] χοᾶς B.E.

k χώρας] χωρὶς A.C.

l Ἑορτὴ Ἀθήνησι Χόες, ἀπὸ τ.] Ex Schol. Aristoph. Equit. 95.

m παρὰ Πανδίονα] Atqui Pandion Oreste antiquior. Quare alii pro Πανδίονα rectius substituunt Δημοφῶντα, qui erat Pandionis pronepos. Vide Meurs. de Regn. Athen. lib. III. c. 8. KUST.

ib. παρὰ] περὶ B.E.

n βασιλεύων] τῶν Ἀθηναίων add. A.C.E. et sine τῶν B.

o αὐτοῦ τοῦ φόνου] τὸν φόνον αὐτοῦ A. αὐτοῦ τὸν φόνον B.C. αὐτοῦ τῶν φόνων Schol. Mox αὐτοῦ ante κρατῆρος A.B.C.E. Schol.

p ἕνα] ἕνι E.

q χοᾶν] Scribe χοᾶ: a recto χοεύς. Vel, ut enarrator comici habet, χοῦν: a recto, χοῦς. KUST. χοᾶ A.B.C.

ΧΟΕΣ: Ἑορτή τις παρ' Ἀθ.——Χύτρους] Ex Harpocratione. KUST.

r τὴν Διονύσῳ] τὴν om. A.C.

s Πιθοιγίαν] Πιθοιγία C.

t Χοᾶς] Harpocratio recte, Χόας: a recto plurali Χόες, quod est nomen festi. At χοᾶς est a recto χοεὺς, i. e. *congius*. KUST. χοὰς A.

u Χοὰν] Scribe χοᾶ. KUST. Sic A.E. pr.

x ἐκέλευσεν] ἐκέλευε C.

y ὁ Πανδίων] Alii hoc rectius ad Demophontem, Pandionis pronepotem referunt, ut et paulo ante diximus. KUST. ὁ Πανδίων om. A.B.C. Mox ὡς μήποτε M.

z πίῃ] πίοι A. Tum ὁ om. A.C. ante Ὀρέστης.

a ἐνομίσθη] ὠνομάσθη E.

b ἐπιχεομένη] ἐπιλεγομένη C.

ΧΟΙΔΙΑ: Σταμνία, κατεσκεύασαν] Hic locus male interpunctus est: quod miror non animadvertisse interpretes. Scribendum omnino: Χοΐδια. Σταμνία κατεσκεύασαν χοΐδια τὸ μέγεθος. *Amphoras confecerunt congiales,* E *arte admodum subtili fabricatas.* Σταμνία χοΐδια sunt *amphoræ,* sive *vasa vinaria,* quæ χοᾶ sive *cotylas octo* continerent. Hinc σταμνία *Thasia Chia,* et *Mendæa.* Photius in Lexico inedito: Σταμνία, τὰ Θάσια κεράμια. Οἱ δὲ τὰ Χῖα, καὶ τὰ Μενδαῖα. de quibus viri docti ad Mœridem et Pollucem. TOUP. Recte interpungit A.

c γήϊνος] πήλινος A.B.C. Utrumque jungit Hesychius. Pertinet gl. ad 1 Cor. XV. 48.

d Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 81. Post χολάδων delevi Παρὰ τὴν χύσιν. ἢ διὰ τὸ κατὰ φύσιν δέχεσθαι τὸ χολῶ- F δες τοῦ ἥπατος· ἐπειδὴ εἰς αὐτὰ συρρεῖ ἡ ξανθὴ χολὴ, τοῦτο μηχανωμένης τῆς φύσεως πρὸς τὸ διαθερμαίνεσθαι καὶ ἐρεθίζεσθαι αὐτὰ πρὸς τὴν ἀπόκρισιν τῶν περιττῶν, cum A.B.V.E. sumpta ex Zonara.

e Χολαργεῖς. δῆμος τῆς Ἀττ.] Vide Harpocrationem. KUST.

f ὁ Χολαργεὺς] ὁ om. A.C. Pertinet gl. ad Aristoph. Ach. 855.

ΧΟΛΕΡΑ] Χολέτρα C. et mox χολερῶ.

G g ῥῆμα] Statim delevi Ἔστι δὲ πάθος, ἢ εἶδος νόσου, οὕτω παρ' ἰατροῖς καλούμενον, cum A.B.C.

ΧΟΛΛΕΙΔΑΙ] Ex Harpocratione. Mox omnes mss. om. ΧΟΛΕΡΑ: Νόσος. διὰ χολῆς πάθος.

ΧΟΛΙΚΕΣ] Schol. Aristoph. Pac. 716. HEMST.

h Τινὲς] τινὲς δὲ A.

i ΧΟΛΙΞ ἔθνικον] Vid. Schol. Hom. Il. δ'. sub finem. REINES. ἔθνικον delevi cum A.B.C.E. Ἀττικὸν rescribit Pierson. Mœr. p. 405.

ΧΟΛΟΔΟΓΑΜΟΡ] Χολοδαγομὸρ A. Χολῖδαμογὸρ C.

H ΧΟΛΩΣΕΜΕΝ: Εἰς ὀργ.] Ex Scholiasta Homeri ad Il. α'. 78. KUST. Χολωσέμεναι C. Χολοσέμεναι A.B.

k Σὺ δ' εἰς τοσοῦτον τῶν μαν.] Aristoph. Nub. 830. σὺ δ' et τῶν om. A.C.

ΧΟΝΑΣ] An potius χῶνας, per ω in syllaba prima. Vide Stephanum Byzantium v. Χώνη. KUST.

ΧΟΝΔΡΙΤΙΣ] Χονδρίτης C.E. Lex. Seg. Vid. Hesych.

Χόνδρος: Τοῦ στομάχου τὸ ἔντερον. Καὶ [l]χόνδροι ἁλῶν· θρόμβοι, παχὺς ἅλς.

Χονσά: Παρὰ Βουλγάροις οἱ κλέπται.

Χοός:

> Ἀνατετραμμένου χοός.

[m]Ἀριστοφάνης· ἀντὶ τοῦ [n]ἀνακαλυφθέντος, ἢ κενωθέντος εἰς γῆν, ὥσπερ οἱ ἐν τοῖς πότοις σφαλλόμενοι ὑπὸ [o]μέθης ἐν τῷ ὑπηρετεῖν. [p]Καὶ παίζοντες τὰ τοιαῦτά φασι.

Χοός: Διξέστου. Χοῦς γὰρ δύο ξέσται, Χοεὺς δὲ, ἕξ. [q]Ἀριστοφάνης·

> Εἴ τις κάπηλος, ἢ καπηλὶς τοῦ χοὸς
> ἢ τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται.

Χόρδευε: [r]Τέμνε, τουτέστι, σύμπλεκε ἀλλήλοις, καὶ συγκύκα· τὰ γὰρ ἔντερα τῶν τετραπόδων χορδὰς καλοῦσιν. Ἀπὸ τῆς τέχνης οὖν τοῦ ἀλλαντοπώλου τὸ ὄνομα εἴρηται. Ὥσπερ γὰρ, [s]φησὶ, γεμίζεις καὶ πληροῖς τὰ ἔντερα παντὸς τοῦ φυράματος, οὕτω χόρδευε καὶ τάραττε καὶ τὰ πολιτικὰ, καὶ συντάραττε καὶ [t]συμφύρα τὰ πράγματα,

> ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς,

[u]ἡδύσμασι χρώμενος, καὶ ἀρτύων [x]κακίαις.

Χορδή: Νευρά· καὶ [y]τὸ παχὺ ἔντερον τοῦ προβάτου.

Χορευτής: [z]Ἐπιστήμων.

Χορείαν: Οἱ παλαιοὶ τὴν μετὰ ᾠδῆς ὄρχησιν. [a]Δύο δὲ ὀρχήσεις οἶδεν Ὅμηρος· τὴν τῶν [b]κυβιστήρων, καὶ τὴν διὰ τῆς σφαίρας. [c]Τὴν δὲ σφαιριστικὴν ἔπαιζεν Ἀριστόνικος ὁ Καρύστιος, ὁ [d]Ἀλεξάνδρου τοῦ βασιλέως συσφαιριστής. Καὶ χορεῖον, ἡ χόρευσις.

Χορηγία: Δόσις. [e]Καὶ Πολύβιος·

> Μὴ οἷον κατὰ θάλατταν τὰς παρασκευὰς καὶ τὰ χορήγια παρακομίζειν τοῖς στρατοπέδοις, μηδὲ ἐπὶ ὑποζυγίων, ἀλλ' ἐν ταῖς [f]πήραις δέχ' ἡμερῶν ἔχοντας ἐφόδια.

Καὶ αὖθις Πολύβιος·

> [g]Καί τις ἦν περὶ τοὺς πλείστους καλλωπισμὸς, [h]ὑπερέχων τὴν ἐκ τοῦ βίου χορηγίαν.

Τουτέστι, παροχήν.

Χορηγός: Ὁ τοῦ χοροῦ ἡγούμενος, καὶ δοτήρ.

Χορηγῷ: Δοτικῇ.

Χορίαμβος: [i]Μέτρον στίχων. Βαβρίας, ἢ Βάβριος, μύθους, ἤτοι μυθικά. Εἰσὶ γὰρ [k]διὰ χοριάμβων, ἐν βιβλίοις δέκα. Οὗτος ἐκ τῶν Αἰσωπείων μύθων μετέβαλεν ἀπὸ τῆς αὐτῶν λογοποιΐας εἰς ἔμμετρα. Ἤγουν, τοὺς [l]χοριάμβους.

Χορικός: Ὁ τοῦ χοροῦ ἐξάρχων. [m]Τοιοῦτος ἦν Ἀγάθων, ὃς ὑποκριτικὰ μέλη ἐποίει, καὶ αὐτὸς ὑπεκρίνετο· διὸ καὶ χορικὰ [n]λέγεται.

Χορίλη: Ἡ Ἑκάβη.

Χόριον: Τὸ [o]κάλυμμα, τὸ [p]συγγεννώμενον ἐκ τῆς κοιλίας τοῖς βρέφεσι.

Χοροβατῶ: Τὸ εἰς χορὸν βαίνω.

Χοροδέκτης: Ὁ τοῦ χοροῦ προεξάρχων.

> [q]Ὥσπερ οὖν παρά τινος χοροδέκτου λαβεῖν τὴν στάσιν.

---

[l] ΧΟΝΔΡΟΙ] Χόνδριον C. Vid. Elmsleius ad Aristoph. Ach. 520. (495). Post h. gl. delevi ΧΟΝΔΡΟΣ: Πυρῷ παραπλήσιος· γλίσχρος δὲ πλέον ἐκείνου, cum A.B.C.

ΧΟΝΣΑ] Ex A.B.C.E. nisi quod Βουλγάρων C.

[m] Ἀριστοφάνης] Pac. 536. sed ubi legitur χοῶς, a recto χοεύς. KUST.

[n] ἀνακαλυφθέντος] ἀνακαμφθέντος Schol. ed. Bekker.

[o] τῆς μέθης] τῆς om. A.C.

[p] Καὶ παίζοντες] καὶ om. A. καὶ παίζοντα C. ἢ παίζειν εἰώθασι ποιεῖν Schol. ed. Bekker.

ΧΟΟΣ] A recto χοῦς; quod idem significat ac χοεύς. Quare ἀνεμιαῖον puto, et falsum, quod Suidas hic ait, χοῦς esse mensuram duorum sextariorum, χοεὺς autem sex sextariorum. Non enim duo ista vocabula sensu discrepant, sed, ut diximus, idem prorsus significant. Est autem χοῦς, sive χοεὺς, mensura sex sextariorum, ut alii auctores docent. KUST.

[q] Ἀριστοφάνης] Thesm. 354. Suidas exscripsit Scholiasten in eum locum. Χορδεύων: τέμνων Gl. Herodot. VI. 75.

ΧΟΡΔΕΥΕ: Τουτέστι, τ.] Aristoph. Equit. 214. Τάραττε, καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα. Vide ibi veterem interpretem, qui eadem pene habet, quæ hoc loco Suidas. KUST.

[r] τουτέστι τέμνε] τέμνε τουτέστι A.B.C.

[s] φησὶ om. A.C.E.M. Mox φύροις C. pro πληροῖς, et πάντα pro παντός.

[t] συμφύρα] συμφύρει C.

[u] ἡδύσματι] ἡδύσμασι A.B.C.E.

[x] κακίαις] H. l. addunt A.B.E.M. locum Polybii, infra legendum v. Χορηγία.

[y] τὸ παχὺ] Schol. Aristoph. Ach. 1118.

[z] Ἐπιστήμων om. E.

[a] Δύο δὲ ὀρχήσεις οἶδεν Ὅμ.——διὰ τῆς σφαίρας] Hæc sumpta sunt ex Athenæi Dipnos. lib. I. c. 11. p. 14. eademque leguntur supra v. Ὄρχησις. KUST.

[b] κυβιστήρων] Sic etiam hodie exhibent codices Athenæi. At scribendum potius est κυβιστητήρων, ut habet Suidas supra v. Ὄρχησις. KUST. κυβιστητήρων B.

[c] Τὴν δὲ σφαιριστικὴν ἔπ.] Athen. lib. I. c. 15. p. 19. Ὅτι Ἀριστόνικον τὸν Καρύστιον, τὸν Ἀλεξάνδρου σφαιριστὴν, Ἀθηναῖοι πολίτην ἐποίησαν διὰ τὴν τέχνην. Hinc Suidas sua sumpsit. Vide etiam supra v. Σφαῖρα. KUST.

[d] Ἀλεξάνδρου] Ἀλεξανδρεὺς B.E.

ΧΟΡΗΓΙΑ] Vid. Κατεξανιστάμενος. HEMST.

[e] Καὶ Πολύβιος] καὶ Χορήγιον Πολύβιος Schweighæuser. ad Fr. gr. 138.

[f] πήραις] ταῖς πήραις A.B.C.E.

[g] Καί τις ἦν περὶ τοὺς πλ.] Exemplum hoc antea male sub voce Χόρδευε collocatum erat, quod nunc loco suo restituimus. KUST.

[h] ὑπέχων] Lege ὑπερέχων, ut in v. Ἐσπούδαζον, et v. Ὑπερέχων, ubi idem fragmentum occurrit. KUST. ὑπερέχων A.B.E.

[i] Μέτρον στίχων] μετρῶν στιχῶν E. Seqq. om. C. Eadem leguntur supra paullo emendatius p. 699 C.

[k] διὰ χοριάμβων] Imo χωλιάμβων. Babrius enim fabulas Æsopi in versus choliambicos, non choriambicos, redegerat: ut patet ex fragmentis quæ Suidas passim ex scriptore illo adducit. Vide Nos etiam supra ad v. Βαβρίας. KUST.

[l] χοριάμβους] Et hic scribendum est χωλιάμβους. KUST.

ΧΟΡΙΚΟΣ] Χορηγός E.

[m] Τοιοῦτος ἦν Ἀγάθων, ὃς ὑποκρ.] Hæc leguntur etiam supra v. Μύρμηξ. KUST. Sumpta ex Schol. Aristoph. Thesm. 101. ed. Bekker.

[n] λέγεται] λέγονται A.

ΧΟΡΙΛΗ] Eadem infra v. Χοιρίλη. Herodianus Epimerism. p. 153. ed. Boissonad. Χοιρύλλη, ἡ Ἑκάβη.

ΧΟΡΙΟΝ] Vid. Schol. Theocriti IX. 19. Reiff. ad Artemidor. V. 12.

[o] κάλυμμα] κατακάλυμμα E.

[p] συγγεννώμενον] συγγενόμενον C. Lex. Seg.

ΧΟΡΟΔΕΚΤΗΣ] Χορολέκτης Ælianus N. A. XI. 1. XV. 5.

[q] Ὥσπερ οὖν] Integrum locum vide supra p. 611 C.

Χορὸν δίδωμι: [t]Ἐν ἴσῳ τῷ εὐδοκιμεῖν καὶ νικᾶν. A [r]Παρὰ γὰρ τοῖς Ἀθηναίοις χοροῦ ἐτύγχανον κωμῳδίας καὶ τραγῳδίας ποιηταί, οὐ πάντες, ἀλλὰ οἱ εὐδοκιμοῦντες, καὶ δοκιμασθέντες ἄξιοι.

Χορός: Τὸ σύστημα τῶν ἐν ταῖς ἐκκλησίαις ᾀδόντων. Διῃρέθησαν δὲ οἱ χοροὶ τῶν ἐκκλησιῶν εἰς δύο μέρη ἐπὶ Κωνσταντίου τοῦ υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου, καὶ Φλαβιανοῦ, ἐπισκόπου Ἀντιοχείας, διχῇ τοὺς ψαλμοὺς τοὺς [s]Δαβιδικοὺς ᾄδοντες. Ὅπερ ἐν B Ἀντιοχείᾳ πρῶτον ἀρξάμενον, εἰς πάντα περιῆλθε τῆς οἰκουμένης τὰ πέρατα.

Χορός: Καὶ οἱ χορευταί, καὶ ὁ τόπος. Ὅμηρος·

Ἐν δὲ χορὸν ποίκιλλεν.

[t]Ἐν ᾧ τὸ σύστημα τῶν χορευτῶν.

[u]Χορὸς τραγικὸς ἐξ ιε΄ προσώπων· Χορὸς κωμικὸς ἐξ κδ΄.

Χοροστατῶν: Χοροῦ κατάρχων.

C Χορτάζω: Γενικῇ.

Χορταῖος: Ὁ δασὺς καὶ μαλλωτὸς χιτών.

Χοροῖσι τῶν τραγῳδιῶν ἄχθεται: Ἐπὶ τῶν πεινώντων· ὡς μακρῶν ὄντων τούτων. Ἀριστοφάνης·

Εἶτα πεινῶν τοῖς [v]χοροῖσι τῶν [x]τραγῳδιῶν [y]ἤχθετο, ἐκπετόμενος ἂν οὗτος [z]ἠρίστησεν ἐλθὼν οἴκαδε.

Χοροίτυπος: Ἐν τῷ χορῷ τύπτων.

D Χορμαῖοι: Ἔθνος.

Χοσβίας: Ὄνομα κύριον. Ὁ ὑπὸ τοῦ ἀρχιερέως Φινεὲς συνδιαφθαρεὶς τῷ Ζαμβρῇ.

Χοσρόης: Ὁ [a]τῶν Περσῶν βασιλεύς. Ὑμνοῦσιν αὐτὸν καὶ ἄγανται [b]πέρα τῆς ἀξίας μὴ [c]ὅτι οἱ Πέρσαι, ἀλλὰ καὶ ἔνιοι τῶν Ῥωμαίων, ὡς λόγων ἐραστὴν, καὶ φιλοσοφίας τῆς παρ' ἡμῖν ἐς ἄκρον ἐλθόντα, μεταβεβλημένων αὐτῷ ὑπό του ἐς τὴν Περσίδα φωνὴν τῶν E Ἑλληνικῶν συγγραμμάτων. Καὶ τοίνυν φασὶν, ὅτι δὴ [d]ὅλον τὸν Σταγειρίτην καταπιὼν εἴη μᾶλλον ἢ ὁ ῥήτωρ ὁ Παιανιεὺς τὸν Ὀλόρου, τῶν τε Πλάτωνος τοῦ Ἀρίστωνος ἀναπέπλησται δογμάτων, καὶ οὔτε ὁ Τίμαιος αὐτὸν ἀποδράσειεν ἂν, εἰ καὶ σφόδρα γραμμικῇ θεωρίᾳ πεποίκιλται, καὶ τὰς τῆς φύσεως ἀνιχνεύει κινήσεις, οὔτε ὁ Φαίδων, οὔτε ὁ Γοργίας, οὐμενουν οὐδὲ ἄλλος τις τῶν γλαφυρῶν καὶ [e]ἀγκυλωτέρων διαλόγων, ὁποῖος ὁ Παρμενίδης. Ἐγὼ δὲ, φησὶν Ἀγαθίας, οὕτως αὐτὸν ἄριστα ἔχειν παιδείας, καὶ ταῦτα τῆς [f]ἀκροτάτης, οὐκ ἄν ποτε οἰηθείην. [g]Πῶς μὲν γὰρ οἷόν τε ἦν, τὸ [h]ἀκραιφνὲς ἐκεῖνο τῶν παλαιῶν ὀνομάτων, [i]καὶ ἐλευθέριον, καὶ πρός γε τῇ τῶν πραγμάτων φύσει πρόσφορόν τε καὶ ἐπικαιρότατον, ἀγρίᾳ τινι γλώττῃ καὶ [k]ἀμουσοτάτῃ ἀποσωθῆναι; πῶς [l]δὲ ἀνὴρ βασιλείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ [m]πολλῇ [n]γεγαννυμένος, δίαιτάν τε λαχὼν ἐς ὅτι [o]βαρυτάτην, καὶ πρὸς πολέμους ἀεὶ καὶ παρατάξεις ὁρῶσαν, πῶς δὴ οὖν ὧδε [p]βιοὺς ἔμελλε μέγα τι καὶ λόγου ἄξιον ἐν τοῖσδε [q]ἀπόνασθαι τοῖς διδάγμασι, καὶ ἐνασκηθῆναι; εἰ μὲν οὖν ἐπαινοίη τις αὐτὸν, ὅτι δὴ βασιλεύς γε ὢν, καὶ Πέρσης, [r]ἐθνῶν τε τοσούτων καὶ πράξεων μέλον αὐτῷ· ὁ δὲ ἐφίετο γοῦν ὅμως ἀμηγέπη ἀπογεύεσθαι [s]λόγων, καὶ τῇ περὶ ταῦτα γάννυσθαι δόξῃ· ξυνεπαινέσαιμι [t]ἂν καὶ ἔγωγε τὸν ἄνδρα, καὶ μείζονα θείην τῶν ἄλλων βαρβάρων. Ὅσοι δὲ λίαν αὐτὸν [u]σοφὸν ἀποκαλοῦσι, καὶ μονονουχὶ τοὺς ὅποι ποτὲ πεφιλοσοφηκότας [x]ὑπερβαλλόμενον, ὡς καὶ ἁπάσης τέχνης τε καὶ ἐπιστήμης τὰς [y]ἀρχὰς καὶ αἰτίας διαγινώσκειν, [z]ἐκεῖνοι ἂν μάλιστα φωραθεῖεν οὐ τῶν ἀληθῶν ἐστοχασμένοι, μόνῃ δὲ τῇ τῶν πολλῶν ἑπόμενοι φήμῃ.

ΧΟΡΟΝ ΔΙΔΩΜΙ] Similia Schol. Platon. p. 152. conf. notata ad Hesych. τὸ εὐδοκιμεῖν M.

[r] Ἐπὶ γὰρ τοῖς Ἀθηναίων χοροῖς ἐτύγχ.] Nullum hinc sensum elicias. Quare scribendum est, παρὰ γὰρ τοῖς Ἀθηναίοις χορῶν ἐτύγχανον, &c. KUST. παρὰ γ. τ. Ἀθηναίοις χοροῦ A.C. et fere B.E. παρὰ γ. τοῖς Ἀθηναίων χοροῖς M.

F ΧΟΡΟΣ] Vide Suicerum Thesaur. Eccl. vv. Ἀντίφωνον. Χορός. Rittershusium Sacr. Lect. III. 21. citat Alberti.

[s] Δαβιδικοὺς ψαλμοὺς] ψαλμοὺς τοὺς δαυιτικοὺς A.

[t] ἐν ᾧ τὸ συστ.] Hic posui cum A.C.E.M. Vulgo post τόπος. Schol. Ven. ad Il. σ΄. 590. τὸν τόπον χορὸν εἴρηκεν, οὐ τὸ σύστημα τῶν χορευόντων. Addunt A.C. καὶ παροιμία.

[u] Χορὸς τραγικὸς ἐξ ιε΄. πρ.] Vide omnino Schol. Aristoph. Equit. 586. KUST.

G ΧΟΡΤΑΙΟΣ: Ὁ δασὺς καὶ μαλλ.] Dionys. Halicarnass. lib. VII. p. 477. Σκευαὶ δὲ αὐτοῖς ἦσαν, τοῖς μὲν εἰς Σιληνοὺς εἰκασθεῖσι, μαλλωτοὶ χιτῶνες, οὓς ἔνιοι χορταίους καλοῦσι. Huc Suidas respexit. Confer etiam Pollucem et Hesychium. KUST.

ΧΟΡΟΙΣΙ ΤΩΝ ΤΡΑΓΩΙΔΙΩΝ ἌΧΘ.] Male Suidas, eumque secuti Erasmus et Schottus, locum hunc Comici inter proverbia retulerunt. Non enim proverbiis eum accenseri posse lector facile videbit, qui ipsum Aristophanem inspicere voluerit. Exstat autem locus Av. 788. KUST.

H [v] χοροῖσιν—ἄχθοιτο] χοροῖς—ἤχθετο C. χοροῖς—ἄχθητο E. ἤχθετο B. χοροῖς τῆς τραγῳδίας ἤχθετο A.

[x] τραγῳδιῶν] τραγικῶν C.

[y] ἄχθοιτο] Aristophanes, ἤχθετο. Et sic metri gratia hic scribendum est. KUST.

[z] ἠρίστησεν] ἠρέστησεν B.E. ἠρίστευσεν A.

ΧΟΡΟΙΤΥΠΟΣ] Eustath. Il. ψ΄. p. 1328,=1452, 50. Χοροίτυπος, ὁ ἐν τῷ χορεύειν τύπτων τὴν γῆν.

ΧΟΣΒΙΑΣ] Ex A.B.E.M. Vide Numer. XXV. 14.

ΧΟΣΡΟΗΣ: Ὁ τῶν Περσῶν βασιλ.] Totum hunc articulum Suidas excerpsit ex Agath. lib. II. [p. 66.] ut Pearsonius etiam observaverat. KUST.

[a] τῶν Περσῶν] τῶν om. A.C. Mox ὕμνουσι δ' C.

αρα ἢν αν

[b] πέρα τῆς ἀξίας] περὶ τῆς ἀξίας E. πέραν C.

[c] ὅτι] ὅτι γε C. qui om. ὡς ante λόγων.

[d] ὅλον] ὅτι ὅλον C. omisso mox εἴη. Tum ὁ Παιανιεὺς B. et Ὀλώρου A.C.

[e] ἀγκυλοτέρων] ἀγκυλωτέρων A.E. Agath.

[f] ἀκροτάτης] ἀκοῆς C.

[g] Πῶς γὰρ] πῶς μὲν γὰρ A.B.C.

[h] ἀκραιφνὲς] ἀκοῦσαι φησιν C.

[i] καὶ ἐλευθ.] καὶ om. A.B.C.E.

[k] ἀμουσότητι] ἀμουσοτάτῃ A.C.

[l] δὲ ἀνὴρ] ὁ ἀνὴρ C. qui om. ἐκ παίδων.

[m] πολλῇ] τινι B.E. κολακίᾳ γαννύμενος C.

[n] γεγαννυμένος] Agathias, γεγανωμένος. Vide etiam supra v. Γεγαννυμένος, ubi hic ipse locus legitur. KUST.

[o] βαρυτάτην] Agathias rectius, βαρβαρικωτάτην. KUST.

[p] βιοὺς] βαρὺς C.

[q] ἀπόνασθαι τοῖς διδάγμασι] ἀπώνασθαι τι δόγμασι C. qui mox om. οὖν.

[r] καὶ ἐθνῶν] ἐθνῶν τε A.C.E.

[s] λόγων] λόγου C.

[t] ἂν καὶ] ἂν om. C. qui mox μείονα.

[u] σοφὸν om. E. qui mox ὅπη. ὅπη item M.

[x] ὑπερβαλλόμενον] ὑπερβαλλόμενος C.

[y] ἀρχὰς καὶ αἰτίας] ἀρχαίας καὶ αὐτὰς C.

[z] ἐκεῖνοι] ἐκεῖνος C.

Χοῦς θανάτου: Ὁ τάφος, ἅτε δὴ χωννυμένων τῶν θαπτομένων. Δαβίδ·

Καὶ εἰς χοῦν θανάτου κατήγαγές με.

Χουσί: Ὄνομα κύριον.

Χωβάλ: Πόλις.

Χώβαρος: Ὄνομα κύριον.

Χωλή: Ἀντὶ τοῦ ἀτελής. Περὶ ψυχῆς [a]Πλάτων·

Ἀλλ' εἰ ταύτῃ ἔσται χωλὴ ἡ φύσις.

Χωλίαμβος: Εἶδος στίχου.

Χωλός: Καὶ ἐπὶ ποδὸς, καὶ ἐπὶ χειρός. Εὔπολις·

[b]Ὅτι χωλὸς τὴν χεῖρα σὺ σφόδρα.

Καὶ [c]κυλλοὺς οἱ Ἀττικοὶ [d]ἐπὶ ποδῶν καὶ χειρῶν ὁμοίως. Καὶ χωλοποιός. [e]Ἀριστοφάνης·

Οὐ δῆτα, πρίν γ' ἂν τοῦτον ἀποφήνω σαφῶς
τὸν χωλοποιὸν, οἷος ὢν θρασύνεται.

Χῶλος: Ὄνομα κύριον.

Χῶμα: Ὕψωμα γῆς, [f]ὥπερ οἱ πολέμιοι ἐν ταῖς πολιορκίαις εἰώθασι [g]προσχοῦν τὰ τείχη.

Τραϊανὸς δὲ εἰς Βαβυλῶνα ἀφικόμενος, ἐντυγχάνει χώματι μεγίστῳ, ὅπερ χῶσαι ἐλέγετο Σεμίραμις. Ἦν δὲ αὐτοῦ τὸ μὲν ὕψος ποδῶν ε' καὶ κ', τὸ δὲ [h]εὖρος ἐς ν', κατὰ μῆκος ἐπεῖχε σταδίους σ', κατηγορεῖ δὲ τὴν δύναμιν τῆς πόλεως.

Χώματα χοῦν: Ἡρόδοτος [i]ἱστοριῶν β', ἀντὶ τοῦ γῆν ὑψοῦν.

Χωμισδαΐτης: Ὁ Ἡρακλῆς.

Χῶναι: Ὄνομα [k]τόπου.

Χωνεύω: Τὸ εἰς [l]χῶνον ἐμβάλλω. Καὶ χωνεία, ἐκ τοῦ χωνεύω. Καὶ [m]χωννύω, ὁμοίως.

Χωνεῖον: Τὸ χωνευτήριον· Χωνίον δὲ, τὸ ἐργαλεῖον, ι.

Χῶνος: Τὸ [n]χωνεῖον. Καὶ χῶνες, οἱ χωνευταί.

Χωξύγγιος:

Χῷιξυμπότης:

Χωόμενος: Ὀργιζόμενος.

Χώρα: Ὁ τόπος. Παρὰ δὲ [o]Θουκυδίδῃ, χώρα, ἡ [p]τάξις.

Χωραζίν: Ὄνομα τόπου. [q]Καὶ ὁ προφήτης·

Οὐαί σοι Χωραζίν.

Χωράσμιος: Ὄνομα κύριον.

Χώραυλος: Ὁ ἐπὶ [r]χώρας διατρίβων.

Χωρεῖν: Πορεύεσθαι, ὁρμᾶν.

[s]Ἀλλὰ χωρεῖν καὶ συναποθνήσκειν ταῖς ἐπιβολαῖς τῶν πραγμάτων.

Οὐ [t]χωρούντων αὐτῷ τῶν ἐν Σικελίᾳ πραγμάτων κατὰ νοῦν, (ἀντὶ τοῦ γινομένων,) διὰ τὸ μὴ βασιλικὴν φανῆναι τὴν ἡγεμονίαν, ἀλλὰ δεσποτικὴν ταῖς πόλεσι.

Καὶ χωρῶ, αἰτιατικῇ.

Χωρήβ: Ὄνομα ὄρους.

Χωρήσατε: Προσδέξασθε.

Χωρίζω: Τὸ διαχωρίζω. Καὶ χωρίζομαι, γενικῇ.

Χωρισμός: Ἡ διάστασις.

Χωρὶς ἱππεῖς: Δάτιδος [u]ἐμβαλόντος εἰς τὴν Ἀττικὴν, τοὺς Ἴωνας φασὶν, ἀναχωρήσαντος αὐτοῦ, ἀνελθόντας ἐπὶ τὰ δένδρα σημαίνειν τοῖς Ἀθηναίοις, ὡς εἶεν χωρὶς οἱ ἱππεῖς· καὶ Μιλτιάδην συνιέντα τὴν ἀποχώρησιν αὐτῶν, συμβαλεῖν οὕτως, καὶ νικῆσαι. Ὅθεν καὶ τὴν παροιμίαν λεχθῆναι ἐπὶ τῶν [x]τὴν τάξιν διαλυόντων.

Χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα:

[y]Φιλοσοφοῦντος οὐκ ἔστι μαντικὴν ἐπαγγέλλεσθαι καὶ προφέρειν, οὐδὲ τὴν ἄλλην ἱερατικὴν ἐπιστήμην. Χωρὶς γὰρ [z]τὰ τῶν φιλοσόφων καὶ τῶν ἱερέων ὁρίσματα οὐδὲν ἧττον ἢ τὰ λεγόμενα Μυσῶν καὶ Φρυγῶν.

Χωρὶς τό τ' εἰπεῖν πολλὰ, καὶ τὸ καίρια. Ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῷ λέγεις: Τουτέστιν, ἄλλο ἐστὶ τὸ φλυαρεῖν, καὶ ἄλλο τὸ ἀναγκαῖα λέγειν.

[a]Οὐ δῆθ', ὅτῳ γε νοῦς ἴσως καὶ σοὶ πάρα.

---

ΧΟΥΣ ΘΑΝΑΤΟΥ] Ex Theodoreto ad Ps. XXI. 16. conf. Hesych. gl. sacr. χοῦς. ERNEST.

ΧΩΛΟΣ] Χωλὴ A.B.C.E.

[a] Πλάτων] Phædon. p. 71 E. ubi ἀλλὰ non ἀλλ' εἰ.

ΧΩΛΟΣ: Καὶ ἐπὶ π.] Vide supra v. Κυλλὸς, ubi eadem leguntur. KUST.

[b] Ὅτι χωλὸς τὴν χ.] Pollux lib. IV. c. 25. fragmentum hoc Eupolidis auctius sic citat: Ὅτι χωλός ἐστι τὴν ἑτέραν χεῖρ' εὖ σφόδρα. KUST. Vide Jungermann. ad Polluc. IV. 188. Schol. Aristoph. Av. 1379. χεῖρα σὺ λέγεις. Quare leg. χεῖρ' εὖ λέγεις. TOUP.

[c] ΚΥΛΛΟΣ] κυλλοὺς A.C. κυλλὸς E.

[d] ἐπὶ] καὶ ἐπὶ A.

[e] Ἀριστοφάνης] Ran. 869.

ΧΩΛΟΣ] Χῶλος δὲ A.C.E.

[f] ὅπερ] Constructionis ratio requirit ut scribatur ᾧπερ. KUST. Sic A.

[g] προχοῦν] προσχοῦν A.B.C.E. Addidi δὲ post Τραιανὸς cum A.

[h] εὖρος ἐς ν'] εὖρος ὀκτὼ C. Mox κατὰ ante μῆκος om. E.M.

[i] ἱστορεῖ] ἱστορεῖ β'. C. ἱστοριῶν β' Lex. Seg. Vid. Herodot. II. 137.

[k] τόπου] E. addit in marg. manu rec. Ὕστερον Κολοσσαί. ὅθεν Κολοσσαεῖς πρὸς οὓς γράφει Παῦλος ὁ ἀπόστολος.

[l] χῶνον] χώνην C.

[m] ΧΩΝΕΥΩ] Χωννύω A.B.

ΧΩΝΕΙΟΝ] Deest gl. B.C.E.

[n] χωνεῖον] χώνιον A.

ΧΩΙ ΞΥΜΠΟΤΗΣ] Vid. Etymol. M. p. 816, 33.

ΧΩΟΜΕΝΟΣ] Il. α'. 244. et al. Post h. v. lacuna in C. usque ad Οἷος ἦν Ἀμοῦς in v. Χοίνικες.

[o] Θουκυδίδῃ] Lib. IV. 76. μενεῖν κατὰ χώραν τὰ πράγματα, ubi Schol. κατὰ τὴν οἰκείαν τάξιν. Hunc locum a Suida respici putat Dukerus.

[p] τάξις] Vid. Hesych. v. Ἄχωρος. TOUP.

[q] Καὶ προφήτου] Lege καὶ προφήτης. KUST. καὶ ὁ προφήτης A.B. Desunt hæc verba E. Spectant vel Matth. XI. 21. vel Luc. X. 13.

[r] χώρας] χώραν E.M.

[s] Ἄλλα] Nescio quis malit Ἅμα.

[t] χωρούντων—κατὰ νοῦν] Vid. Wesseling. ad Diodor. Sic. T. I. p. 132. (II. 18.) TOUP.

ΧΩΡΗΒ] An pro καὶ Ὡρὴβ, i. e. *Et Horeb?* Sic cum Porto putamus. KUST.

ΧΩΡΗΣΑΤΕ] Ex 2 Cor. VII. 2. χωρήσατε ἡμᾶς. Theophylactus explicat, δέξασθε ἡμᾶς. ERNEST.

[u] ἐμβαλόντος] ἐκβαλόντος A.B.

[x] τὴν τάξιν] τὴν om. A.B.E. Tum τάξει B.

[y] Φιλοσοφοῦντος οὐκ ἔστι μαντ.] Locum hunc ex Damascio excerpsit Suidas, ut patet ex Photio, apud quem in Excerptis ex illo scriptore, p. 1053. præter alia et hæc leguntur: Χωρὶς τὰ φιλοσόφων καὶ τὰ τῶν ἱερέων ὁρίσματα, οὐδὲν ἧττον ἢ τὰ λεγόμενα Μυσῶν καὶ Φρυγῶν. Vide etiam supra v. Οὐδὲν ἧττον, ubi idem fragmentum legitur. KUST. Hæc post artic. seq. ponunt A.B.E.

[z] τὰ τῶν] τὰ om. E. τῶν om. A.

ΧΩΡΙΣ ΤΟ Τ' ΕΙΠ.] Sophocl. Œdip. Colon. 808.

[a] Οὐ δῆθ'—ἀντὶ τοῦ delevit Kusterus.

Ἀντὶ τοῦ τοῖς κατὰ σὲ οὐ δοκῶ καίρια λέγειν.

Χωρίτης: Ἀπὸ τῆς χώρας.

Χωριτικός: Ὁ χωρίτης, ὁ ἰδιώτης.

Χῶρος: [b] Ὁ τόπος.

Χωρῶ, χωρήσω. Αἰτιατικῇ. Χωρίζω δὲ, τὸ διαχωρίζω.

Χώσασθαι: Λυπηθῆναι.

Χωστρίς:

Χραίνειν: Αἰτιατικῇ. Μιαίνειν, μολύνειν, ῥυποῦν.

Χραίσμωσιν: [c] Ὠφελήσωσι, [βοηθήσωσι.]

Χρεμέτης: Ὄνομα ποταμοῦ.

Χρεμετίζει: Ἦχον τῷ στόματι ἀποτελεῖ.

[d] Πτάρνυται καὶ χρέμπτεται, ὁμοίως.

[e] Τὴν ἀρχὴν, ὁπόθεν εὑρέθη ὁ μῦθος, καὶ ὅστις πρῶτος ἐφεῦρεν, οὐ μᾶλλον εὕροι τις ἂν, ἢ εἴ τις ἐπιχειρήσειε τὸν πρῶτον πταρέντα ἢ χρεμψάμενον ἀναζητεῖν.

C

Χρεμψιθέατρον: Ἢ ὅτι εἰσιόντες εἰς τὸ θέατρον χρέμπτονται, ἢ ὅτι χρεμπτόμενοι ἐκβάλλονται.

Χρεωκοπεῖται: [f] Ὑπὸ χρεῶν ἐνοχλεῖται.

[g] Τῆς παρὰ τοῖς Αἰτωλοῖς [h] χρεοκοπίας κατὰ τὴν Θεσσαλίαν ζηλωθείσης, καὶ πάσης πόλεως εἰς στάσεις καὶ ταραχὰς ἐμπιπτούσης.

Χρέος: Παρὰ τὸ χρειῶδες λέγεται. Χρέος καὶ

A ἡ χρειὼ [i] παρὰ Ἀριστοφάνει·

Τί δ', ὦ τάλας, τοὖδ' [k] ἔχει τοῦ πλέκους χρέος;

Λέγει δὲ, σπυρίδος.

Χρέος: Τὸ δάνειον. Καὶ χρεῖος.

Χρεολυτῶ:

Χρεών: Εἱμαρμένον, τέλος ζωῆς. Αἰλιανός·

Ἐπεὶ δὲ ἐς γῆρας ἀφίκετο, τὸ κοινὸν τῇ πεπρωμένῃ χρεὼν ἐξέτισε, καὶ τῆς προσηκούσης κηδεύσεως ἔτυχε.

B Τὸ δὲ χρεὼν μετοχή ἐστιν, ἀπὸ τοῦ χρῶ, χρέω, γινόμενον· οὐδέτερον, χρέον. Παρατροπὴ δὲ παρηκολούθησε τοῦ τόνου, καὶ κατὰ Ἀττικὴν ἔκτασιν ἐτράπη τὸ ο' εἰς ω', καὶ ἔστιν [l] ἄκλιτον. Τὰ δὲ εἰς ων ἐπιρρήματα διὰ τοῦ ο' μικροῦ [m] γράφεται· πλὴν τοῦ χρεὼν, καὶ ἐμποδών.

Χρεῶν ἀποκοπαί: Ὅταν τὰ ὑπὸ τῶν πενήτων [n] ἀφαιρεθέντα ἄφεσιν λάβωσι.

Χρεώστης: Ὁ δανειστής.

Χρεωφειλέτης: Ὁ χρεωστῶν.

Χρεία: Ὑπόθεσις, [o] πρόνοια.

[p] Ὁ δὲ ὑπελάμβανεν ὑγιασθεὶς ἐκ τοῦ τραύματος ἀληθινὴν παρέχεσθαι χρείαν τοῖς κοινοῖς πράγμασι.

Καὶ παροιμία·

[q] Χρεία διδάσκει, κἂν ἄμουσος ᾖ, σοφὸν
[r] Καρχηδόνιον.

D

ΧΩΡΙΤΗΣ] Plutarch. Sylla p. 456. τοὺς δὲ χωρίτας ἀγοραίους. Damasc. apud Phot. p. 1054. ἐγὼ χωριτίς εἰμι καὶ ἄγροικος. TOUP.

b Ὁ τόπος] ὁ om. A.

ΧΩΣΤΡΙΣ] Vide supra v. Χελώνη. KUST.

ΧΡΑΙΣΜΩΣΙΝ] Homer. Il. α'. 566. KUST.

c Ὠφελήσωσι] ὠφελήσουσι A. Mox βοηθήσωσι om. A.B.E.

E ΧΡΕΜΕΤΙΖΕΙΝ—ἀποτελεῖν] Χρεμετίζει—ἀποτελεῖ A. Mox πτάρνυσθαι—χρέμπεσθαι E.

d ΠΤΑΡΝΥΤΑΙ, καὶ χρ.] Hæc male subjiciuntur voci Χρεμετίζειν. Pertinent enim ad v. Χρέμπτεσθαι, vel χρέμψασθαι. KUST.

e Τὴν ἀρχὴν ὁπόθεν] Hæc sunt verba Juliani Orat. VII. p. 205. ubi male legitur, σπαρέντα ἢ χρεμψάμενον. Sed veram lectionem conservavit Suidas: quod et recte observavit Wyttenbachius. [Ep. Crit. p. 17.] Quin et vicissim Suidas ex Juliano corrigendus est: τὸν ΠΡΩΤΟΝ πτάραντα ἢ χρεμψάμενον. *Qui primus sternutarit aut screarit.* Quod et sensus loci requirit. TOUP. Addidi πρῶτον cum A.B.E. Tum πταρέντα A. Statim delevi ΧΡΕΜΗΣ, χρέμητος. εἶδος ἰχθύος, cum A.B.E. Vid. Hesych. in Χρέμυς.

F

f Ὑπὸ χρεῶν ἐνοχλεῖται] Alias vocis χρεωκοπεῖται significationes vide in Lexicis vulgatis. KUST. Ordo literarum poscit Χρεοκοπεῖται.

g τῆς παρὰ] Ex Diodor. Exc. Legat. T. II. p. 623. ubi legitur χρεωκοπίας. Sextus Emp. p. 357. Phalaris p. 65. TOUP.

G

h χρεωκοπίαις] χρεοκοπίας A.

ΧΡΕΟΣ—λέγεται habet Lex. Seg. Non mutarim cum Nækio Chœril. p. 217.

i παρὰ Ἀριστοφάνει] Acharn. 453. Τί δ', ὦ τάλας γε, τοὖδ' ἔχει πλέκους χρέος. KUST.

k ἔχει] ἔχῃ A. ἔχω B.

ΧΡΕΟΛΥΤΩ] Χρεωλυτεῖν Plutarch. Alcib. p. 194. TOUP. Χρεωλυτῶ B.

H

ΧΡΕΩΝ] Eustath. Il. α'. p. 166=125, 41. Σημείωσαι δὲ ὅτι καθ' Ἡρόδοτον καὶ τὸν Ξέρξην ὄνειρον ἔπεισε στρατεύσασθαι, ἵνα τὸ χρεών φησι γένηται. ἔνθα καὶ ὅρα τὸ ὄνειρον οὐδετέρως λεχθὲν, καὶ τὸ χρεὼν ἤτοι πεπρωμένον, ὅπερ τὸν παρ' Ὁμήρῳ Δία ἀλληγορεῖ, τὸν εἰς εἱμαρμένην λαμβανόμενον. Ἄλλος δὲ ῥήτωρ εἰπὼν ὡς ἀπῆλθεν ὁ δεῖνα εἰς τὸ χρεὼν, τὸν φυσικὸν οὕτω θάνατον ἔφρασεν. Nescio an rhetor iste sit Æschines Socr. qui in Axiocho c. 3. εἰς τὸ χρεὼν ἀπιέναι. Hunc Suidæ articulum copiose illustrat Leopardus Em. VI. 10. Adde Wyttenbach. Plutarch. II. p. 103 B. 113 C.

l ἄκλιτον] Eurip. Herc. Fur. 21. TOUP. Hippol. 1256.

m γράφεται] γράφονται A.

ΧΡΕΩΝ 'ΑΠΟΚΟΠΑΙ] Vid. Astium ad Platon. Legg. III. 6. p. 160. Alia exempla dabit Wyttenbachii index ad Plutarchum v. Ἀποκοπή.

n ἀφαιρεθέντα] Corrupte pro ὀφληθέντα. KUST. ὀφειλόμενα Hesych.

o πρόνοια] Scribe, meo periculo, πενία, i. e. *paupertas*, vel *egestas*. Hesychius: Χρείην, τὴν ἔνδειαν. Et, Χρεῖαι, ἔνδειαι. Atqui, ἔνδεια et πενία idem significant. Pauper enim omnibus rebus indiget. KUST. Legebam aliquando χρεία, 'ΑΠΟΡΙΑ. Sed Kusterus, ΠΕΝΙΑ. Quod verum videtur. Euripides in Elect. 375. Ἀλλ' ἔχει νόσον ΠΕΝΙΑ· διδάσκει δ' ἄνδρα χ' ἡ ΧΡΕΙΑ κακόν. *Vitiosa est paupertas, et necessitas virum improbum facit.* Ita scribendus et vertendus iste locus, quem non intellexit Barnesius. Græci μουσικὸν, σοφὸν, κακὸν διδάσκειν, de quo Bentleius in Epistola ad Millium [p. 21.] Atque ad hunc Euripidis locum respexit, ut solet, Menander. Deinde lego, ΠΟΙΗΣΑΜΕΝΟΝ ΤΗΝ 'ΕΠΙΝΟΙΑΝ. *Dicitur hoc proverbium de Carthaginiensi, quem usus et necessitas scilicet ingeniosum fecerat.* Hæc est mens Suidæ. Ita locutus est Polybius lib. I. p. 28. Οὐδ' 'ΕΠΙΝΟΙΑΝ οὐδέποτε ΠΟΙΗΣΑΜΕΝΟΙ τῆς θαλάσσης. Eleganter Heliodorus Æthiop. lib. VII. p. 352. Ἀλλὰ τὶ δραστήριον 'ΕΠΙΝΕΝΟΗΚΕΝΑΙ μοι δοκῶ. Εὕρεσις ἄρα ἐστὶ λογισμῶν ἡ ἀνάγκη. Est autem deprompta, ut videtur, ista παροιμία ex Menandri Καρχηδονίῳ. Ceterum παροιμία ista Menandri, quam laudat Suidas, est elegantissima parodia versiculi Euripidis in Telepho, cujus meminit Stobæus Florileg. p. 131. edit. Grot. Οὐ γάρ τ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος. ΧΡΕΙΑ ΔΙΔΑΣΚΕΙ, κἂν βραδύς τις ᾖ, ΣΟΦΟΝ. TOUP. Vid. Meinekii fr. Menand. p. 93.

p Ὁ δὲ ὑπελάμβ.] Sunt verba Polybii lib. III. c. 70. KUST.

q Χρεία διδάσκ.] Vide Gatakerum in Miscell. Posthum. c. 10. p. 528. KUST. Arsen. in Apophth. sub Archyta, Χρειὼ πάντ' ἐδίδαξε. Euripid. in Fr. Sthenob. VIII.

Τουτέστιν, ἐνδεχομένην ἐκ τοῦ καιροῦ ποιησάμενοι τὴν ἐπίνοιαν.

Χρείειν: Τύπτειν.

Χρείηι: Δέοι.

Χρείω: Ἡ χρεία.

Χρείω: Τὸ χρησμοδοτῶ. Ἐπὶ ἐνεστῶτος [s]μόνου καὶ παρατατικοῦ· ἐπὶ δὲ τῶν λοιπῶν, διὰ τοῦ η'.

Χρείω: Τὸ μαντεύομαι, διὰ διφθόγγου· ὁ δὲ μέλλων, διὰ τοῦ η', χρήσω. Χρίω δὲ, τὸ ἀλείφω, διὰ τοῦ ι'.

Χρή: Ὀξυτόνως. [t]Ἤγουν δεῖ. Χρῆι δὲ, περισπωμένως, τὸ ὑποτακτικόν. Σημαίνει δὲ, τὸ δέῃ. Εὔπολις Αἰξίν·

Ἐγὼ τελῶ τὸν μισθὸν, ὅν τιν' ἂν [u]χρῇ.

[[x]Καὶ χρῆι, ἐπὶ β' προσώπου τοῦ παθητικοῦ ἐνεστῶτος τοῦ χρῶμαι. Ὅπερ γίνεται ἀπὸ τοῦ χράῃ, χρᾷ, καὶ τροπῇ τοῦ α' εἰς η', χρῇ.] Χρῆν δὲ [y]σὺν τῷ ν', καὶ περισπωμένως, τὸ παρεληλυθὸς, τὸ ἔδει. Λέγουσι δέ ποτε καὶ [z]χρῆσθαι, ἀντὶ τοῦ δεῖ. Φερεκράτης Λήροις·

Τὸ δ' ὄνομά μοι κάτειπε, τί σε χρῆσθαι καλεῖν.

Ἀριστοφάνης Λημνίαις·

[a]Ἡ καρδία τε τίς; ἀλλὰ πῶς χρῆσθαι ποιεῖν;

Χρῇς δὲ, τὸ χρῄζεις, καὶ δέῃ. Κρατῖνος Νόμοις·

[b]Νῦν γὰρ δή σοι πάρα μὲν θεσμοὶ
τῶν ἡμετέρων, πάρα δ' [c]ἄλλ' ὅ τι χρῇς.

A Χρείη δὲ, τὸ [d]δέοι. Πλάτων [e]Εὐθύφρονι·

[f]Πευσόμενοί τοῦ ἐξηγητοῦ [g]τί χρείη ποιεῖν.

Χρῄζω: Γενικῇ. [h]Θέλω.

Χρῆμα: Πρᾶγμα, ἢ κτῆμα, πλοῦτος, οὐσία, λῆμμα.

[i]Τὸ δὲ δωμάτιον ζοφῶδες ἦν, καὶ ἀδιατύπωτον, καὶ ὥρᾳ θέρους ἐς τὰ μάλιστα [k]ἀνάρμοστον, ὡς δοκεῖν εἶναι τὸ χρῆμα εἱρκτήν.

Καὶ αὖθις·

B [l]Ὁ δὲ κατέσεισεν ἅπαντα, καὶ κατεβρόντησεν ἐς τοσοῦτον, ὥστε ὁ τοῦ μύθου Σαλμωνεὺς μικρόν τι χρῆμα πρὸς αὐτὸν ἦν.

[m]Ἰουλιανός·

Πρὸς τὴν Ἑρκυνίαν ὕλην ἐθεώμεν, καὶ εἶδον ἐγὼ χρῆμα ἐξαίσιον. Ἰδοὺ γοῦν σοι θαρρῶν ἐγὼ ἐγγυῶμαι, [n]μή ποτε ὦφθαι τοιοῦτον, μηδὲ ὅσα γε ἡμεῖς ἴσμεν ἐν τῇ Ῥωμαίων. Ἀλλ' εἴτε τὰ Θετταλικὰ Τέμπη δύσβατα νομίζει τις, εἴτε τὰ ἐν Θερμοπύλαις, εἴ τε τὸν μέγαν καὶ διωλύγιον Ταῦρον, ἐλάχιστον ἔστω χαλεπότητος ἕνεκα πρὸς [o]τὸ Ἑρκύνιον τοὔνομα.

C Καὶ [p]Εὐνάπιός φησιν·

Ὁ δὲ τὰς δυνάμεις ἤθροισε, [q]τὸ χρῆμα τῆς διαβάσεως ἐπισπέρχων ἤδη, καὶ συμβιαζόμενος, καὶ πλὴν ἀγαθῆς ψυχῆς σῶμα οὐκ ἔχων.

Χρῶμα: Πρᾶγμα.

Μέγα [r]τὸ χρῆμα καὶ θαυμάσιον, ἀνὴρ καὶ ψυχὴ δεόντως ἁρμοσθεῖσα κατὰ τὴν ἐξ ἀρχῆς σύστασιν, πρὸς ὅ τι ἂν ὁρμήσῃ τῶν ἐξ ἀρχῆς ἔργων.

D Καὶ αὖθις·

Εἰκάζειν ἂν βοῶν ἀγέλῃ μεγίστῃ τὸ χρῆμα.

Μουσικὴν ἔρως διδάσκει, κἂν τις ἄμουσος ᾖ τὸ πρίν. Et in fr. Teleph. XIX. χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν. Aristoph. Vesp. ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τὸ πρίν. REINES.

[r] Καρχηδόνιον] Leg. Καρχηδόνιοι, et junge cum sqq. τουτέστιν etc. Exciderunt hic quædam, quæ essent de Carthaginiensibus. Sic H. Steph. præf. lib. de Parodiis. REINES.

ΧΡΕΙΕΙΝ] Leg. Χρίειν. VALCK. Similiter Ruhnkenius ad Timæum p. 104.

ΧΡΕΙΗΙ: Δέῃ] Χρείῃ: δέοι A. cum Schol. Platon. p. 223. Vide Dawes. Misc. Crit. p. 332.

[s] μόνου] καὶ μόνου A.

[t] Ἤγουν om. A. qui δὲ om. post σημαίνει.

[u] χρῇ] Metri gratia scribendum est χρέῃ. KUST. με χρῇ Valckenær.

[x] Καὶ ΧΡΗΙ—χρῇ om. A.B.

[y] μετὰ τοῦ] σὺν τῷ A.

[z] ΧΡΗΣΘΑΙ] Hermannus ad Soph. Œd. Col. p. 113. hic et in exemplis reponit χρῆσται.

[a] Ἡ καρδία τε τίς;] Desunt hæc verba A. cum lacuna tamen.

[b] Νῦν γὰρ δή σ.] Lego et distinguo, Νῦν γὰρ δή σοι πάρα μὲν θεσμοὶ τῶν ἡμετέρων, πάρα δ' ἄλλων, Ὧν χρῇς. KUST.

[c] ἄλλ' ὅ τι χρῇς] ἄλλοτε χρῇς E. ἄλλό τι χρῆσθαι A.B.

[d] δέοι] δέει A.

[e] Εὐθύφρονι] P. 4.

[f] Πευσόμενοι τοῦ ἐξηγ.] Apud ipsum Platonem in Euthyphrone sic legitur, Πευσόμενον τοῦ ἐξηγητοῦ, ὅ τι χρὴ ποιεῖν. KUST.

[g] τί χρείη] L. ὅ τι χ. Vid. de χρείη, vel potius χρεῖ' ᾖ ad Hesych. et Dawes. (p. 332.) notata. VALCK.

[h] Θέλω addunt A.B.

[i] Τὸ δὲ δωμάτιον] Hæc sunt verba Menandri in Excerptis Hœschelii p. 145. [170 Par.] ubi legitur: τό τε δωμάτιον αὐτὸ ζοφῶδές τε ἦν καὶ διάπνευτον. Vox postrema corrupta est. Sed conjecturis nihil opus. Nam Menander proculdubio ex Suida corrigendus est. Δωμάτιον ζοφῶδες καὶ ΑΔΙΑΤΥΠΩΤΟΝ. *Domus tenebricosa et incommoda. A dark dismal hole.* Quod unice et elegantissime dictum. Vox occurrit apud Ocell. Lucan. de Univers. c. 2. Καὶ ὁ ἀὴρ ΑΔΙΑΤΥΠΩΤΟΣ πρὸς ψόφον καὶ πρὸς λέξιν καὶ μέλος. Theophyl. Simocatta in Hist. lib. VI. 1. p. 144. Ἀλλότριόν τε καὶ ΑΔΙΑΤΥΠΩΤΟΝ. Hesych. Ἀμόρφωτον ΑΔΙΑΤΥΠΩ-
E TON. Occurrit etiam eadem vox apud Philonem vol. II. p. 269. edit. Mangey. Atque hæc scripseram. Sed cum noster Suidas, ut est homo suavissimus et fidei parum Græcæ, nos non raro ludificetur, vide an Menander Menandro leviori manu restitui possit. Itaque lego, Τό τε δωμάτιον αὐτὸ ζοφῶδές τε ἦν καὶ ΑΔΙΑΠΝΕΥΣΤΟΝ. Nimirum quicquid tectorum amplum et εὐρύχωρον est, Græcis διαπνεῖσθαι dicitur. Jamblichus de Vita Pythagoræ cap. 16. p. 56. edit. Kuster. Κατέδειξεν τοῖς ἑταίροις ἐχεμυθίαν τε καὶ παντελῆ σιωπὴν πρὸς τὸ γλώσσης κρατεῖν
F συνασκοῦσαν ἐπὶ ἔτη πολλὰ, σύντονόν τε καὶ ΑΔΙΑΠΝΕΥΣΤΟΝ περὶ τὰ δυσληπτότατα τῶν θεωρημάτων ἐξέτασίν τε καὶ ἀνάληψιν. Hesychius; Ῥιπιστὰ, ΔΙΑΠΝΕΟΜΕΝΑ. Quod respexit ad Jerem. XXII. 14. Ὠικοδόμησας σεαυτῷ οἶκον σύμμετρον, ὑπερῷα ῬΙΠΙΣΤΑ. Theophylact. Epist. p. 69. Καὶ τὰ ἐν Σούσοις καὶ Ἐκβατάνοις βασίλεια καλύβας ἀτεχνῶς πρὸς τὰ ἐμὰ πολυόροφα καὶ ΤΟΥΣ ῬΙΠΙΣΤΟΥΣ ΟΙΚΟΥΣ, οἷς ἐνθερίζων ἀναψύχω τὴν τῶν ἐπιφαινομένων μοι σαρκῶν κάμινον. *Domum perflatilem* vocat Apuleius. Hinc recte Menander. Δωμάτιον ζοφῶδες καὶ ΑΔΙΑΠΝΕΥΣΤΟΝ. *Domus tene-*
G *bricosa et imperflatilis.* Quod æstate præsertim perquam incommodum. Et hoc verum. TOUP.

[k] ἀνάρμοστον] ἀναρμόδιον B.

[l] Ὁ δὲ κατέσεισεν ἅπ.] Hæc sunt verba scriptoris incerti de Eutropio eunucho, ut patet ex ipso Suida supra v. Εὐτρόπιος. KUST. Eunapii Fr. 32.

[m] Ἰουλιανὸς] Non in iis, quæ hodie exstant operibus. KUST.

[n] μή σε] μή ποτε A.B. μήτε E. Post ὅσα omnes om.
H ποτέ.

[o] τὸν Ἑρκύνιον] τὸ Ἑρκύνιον A.B.E.

[p] Εὐνάπιος] Fr. 67.

[q] καὶ τὸ] καὶ om. A.B. Mox βιαζόμενος B.E. qui infra om. ψυχῆς cum M.

[r] τι χρῆμα] τὸ χρῆμα A. Mox δὲ οὕτως E. pro δεόντως.

Περὶ βαρβαρικῆς παρατάξεως ὁ λόγος. [s]Ἡρόδοτος·

Ἦν τε τοῦ χειμῶνος χρῆμα ἀφόρητον.

Καὶ [t]Ἀριστοφάνης·

> Τὸ χρῆμα τῶν νυκτῶν, ὅσον
> [u]ἀπέρατον.

Δηλαδὴ, τὸ ἔκταμα, τὸ μέγεθος. Ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι· οἷον, ἵππος, σπάνιόν τι [x]χρῆμα· γυνὴ, [y]κακόν τι χρῆμα. Καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ὧν ἂν ἐξαίρειν βούλωνται.

Ὁ δὲ χρημάτων οὐκ ἦν εὔπορος, οὐδὲ ὅσα ἂν ἐξήρκεσεν [z]ἑτέρῳ πρὸς τὴν τοῦ ἀναγκαίου βίου διαγωγὴν, οὐδὲ τοσαῦτα κεκτημένος.

Χρῆμα: [a]Χρῆσις. [b]Ἰώσηπος·

[c]Ἦν δὲ σάββατον [d]ἀργία παντὸς χρήματος ἡμέρα τοῖς Ἰουδαίοις τιμιωτάτη.

Καὶ αὖθις·

Κινδυνεύει [e]ἀποσβῆναι τῆς ἀληθείας τὸ χρῆμα.

Καὶ χρήματα, παρὰ [f]Ἡροδότῳ, ἀντὶ τοῦ πράγματα.

Χρήμασιν ἐδωρήσατο.

Χρήματα [ff]χρήματ' ἀνὴρ, πενιχρὸς δ' οὐδέποτ' ἐσθλός: Ἐπὶ τῶν διὰ πλοῦτον εὐημερούντων. Ἀριστόδημός φησι. Μέμνηται τοῦ Ἀριστοδήμου καὶ Ἀλκαῖος.

> Ὡς γὰρ δή ποτε φασὶν [g]Ἀριστόδημον
> ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπεῖν,
> Χρήματα·

Καὶ τὰ ἑξῆς. Καὶ αὖθις, [h]Ἀριστοφάνης·

> Οὐκ οἶδ', ὅ τι χρῆμά με ποιεῖς.
> Σκέψαι [i]τοίνυν, ὡς ἐξόν σοι πλουτεῖν, καὶ τοῖσιν ἅπασιν,
> ὑπὸ τῶν ἀεὶ [k]δημιζόντων.

Καὶ [l]Σοφοκλῆς·

> Τί χρῆμα δρᾷς,
> [m]Αἶαν; τί τήνδ' ἄκλητος, οὔθ' ὑπ' ἀγγέλων
> κληθεὶς, ἀφορμᾷς πεῖραν, οὔτε του κλύων
> σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
> Ὁ δ' εἶπε πρός με [n]βαί', ἀεὶ δ' ὑμνούμενα,



A
> Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
> Κἀγὼ μαθοῦσ' ἔληξ'· ὁ δ' ἐσσύθη μόνος.

Χρήματα, χρήματ' ἀνήρ: Αὕτη ἀποφθεγματική ἐστιν, ὡς τὰ παραγγέλματα τῶν ζ' σοφῶν. Μέμνηται αὐτῆς Πίνδαρος, καὶ Ἀλκαῖος. Ὁμοία τῇ, ὡς καὶ Ἀρχὴ ἄνδρα δείκνυσι. Καὶ τῇ, Τὴν κατὰ σαυτὸν ἕλα. [o]Καὶ τῇ, Γνῶθι σαυτόν. Λεχθῆναι δὲ αὐτὴν Ἀλκαῖος μὲν ὑπὸ Ἀριστοδήμου τοῦ Σπαρ-
B τιάτου φησὶ, Πίνδαρος δὲ ὑπό τινος Ἀργείου τὸ ὄνομα, [p]οὕτω λέγων. Ὁ δ' Ἀριστόδημος ἐγκαταριθμεῖται τοῖς ζ' σοφοῖς ὑπό τινων.

Χρηματίζεσθαι: Χρήματα πράττεσθαι. Ἐὰν δέ τις εἴπῃ τὴν λέξιν ἐνεργητικῶς χρηματίζει, οὐκέτι τὸ αὐτὸ δηλοῖ, ἀλλὰ τὸ πράγμασι χρῆσθαι· οἷον φαμὲν, "χρηματίζει ἡ βουλὴ, καὶ ὁ δῆμος·" οἷον, πράγμασι σχολάζει. Ἀφ' οὗ χρήματα, τὰ πράγ-
C ματα.

Χρηματίζεσθαι: Πλουτεῖν.

[q]Οὐδὲ χρηματίζομαι· πάλαι γάρ μοι ταῦτα ἐδόκει καὶ ἐκ μειρακίων λῆρος καὶ φλήναφος.

Χρηματίζει: Δοτικῇ. Ἀποκρίνεται, πρᾶγμα διοικεῖ. Οὕτως [r]Ἀππιανὸς ὁ ἱστορικός·

Τοῖς πρέσβεσιν [s]ἐχρημάτισε.

D Χρηματίζειν ἐστὶ, [t]τὸ λόγους διδόναι ἀλλήλοις. [Τινὲς δὲ καὶ ἀντὶ τοῦ ὑπάρχειν ἐξέλαβον.] [u]Ἀριστοφάνης δέ·

> Καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου,
> ὅ τι χρὴ παθεῖν.

Χρηματισαμένων: Χρήματα λαβόντων. Ἀρριανός·

Χρηματισαμένων δὲ καὶ αὐτῶν, τρίτη παρεγένετο πρεσβεία.

E Χρηματισάμενοι: Πραγματευσάμενοι. Καὶ χρηματίσαι μέν ἐστι τὸ πρᾶξαι, Χρηματίσασθαι δὲ, [x]κερδᾶναι, παρὰ Θουκυδίδῃ.

[s] Ἡρόδοτος] Lib. VII. 188.
[t] Ἀριστοφάνης] Initio Nubium. KUST.
[u] ἀπέρατον om. E. ἀπέρατον—μέγεθος om. A.
[x] χρῆμα om. A.
[y] κακὸν] σπάνιον Schol.
[z] ἕτερα] ἑτέρῳ A.
[a] Χρῆσις] Θουκυδίδης addunt A.E.
[b] Ἰώσηπος] Ant. Jud. XVIII. 9, 2.
[c] Ἦν δὲ σάββατον ἁγία παντὸς χρ.] Constructio turbata videtur. Scribendum enim potius est, ἦν δὲ σάββατον ἁγία ἡμέρα, παντὸς χρήματος τοῖς Ἰουδαίοις τιμιωτάτη. KUST.
[d] ἁγία] ἀργία B.E. ἀργίας Joseph. τιμιωτάτη om. Joseph.
[e] ἀποβῆναι] ἀποσβῆναι A.B.M.
[f] Ἡροδότῳ] Vid. Gl. ad I. 33.
ΧΡΗΜΑΤ' ἈΝΗΡ, ΠΕΝΙΧΡ.] Pindarus Isthm. II. 17. Χρήματα, χρήματ' ἀνήρ. Scholiastes ad illum locum: Τοῦτο ἀναγράφεται καὶ εἰς τὰς παροιμίας ὑπ' ἐνίων. ἀπόφθεγμα δέ ἐστιν Ἀριστοδήμου, καθάπερ φησὶ Χρύσιππος ἐν τῷ περὶ παροιμιῶν. τοῦτον δὲ τὸν Ἀριστόδημον Πίνδαρος μὲν οὐ τίθησιν ἐξ ὀνόματος, ὡς δήλου ὄντος, ὅς ἐστιν ὁ τοῦτο εἰπών· μόνον δὲ ἐσημειώσατο τὴν πατρίδα, ὅτι Ἀργεῖος. Ἀλκαῖος δὲ καὶ τὸ ὄνομα καὶ τὴν πατρίδα τίθησιν, οὐκ Ἄργος, ἀλλὰ Σπάρτην. Ὡς γὰρ δήποτε φασὶν Ἀριστόδημον ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπεῖν, Χρήματ' ἀνήρ· πενιχρὸς δὲ οὐδεὶς πέλετ' ἐσθλὸς, οὐδὲ τίμιος. Hæc Suidam egregie illustrant. KUST. Χρήματα bis A. Vid. Menag. ad Diog. Laërt. I. 31.
[g] Ἀριστόδημον φασιν] Verborum ordinem leviter mutavi, et sic in v. seq. ut metrum servarem. Vulgo ibi οὐκ ἀπάλαμνον λόγον.
[h] Ἀριστοφάνης] Vesp. 695.
[i] τοίνυν γ'] γ' om. A.
[k] μηδιζόντων] Apud Aristophanem rectius legitur, δημιζόντων. Est autem δημίζειν, *auram popularem captare*, vel *populo studere*: eaque vox comica licentia conficta est, et eodem modo formata quo Μηδίζειν, Φιλιππίζειν, et
F similia. KUST. δημιζόντων A.
[l] Σοφοκλῆς] Aj. 288.
[m] Αἴαν] Αἴας E. Tum τί τῷ δ' A.
[n] βαιά] βαιὰ μὲν A.
ΧΡΗΜΑΤΑ, ΧΡ.] Vide articulum præcedentem, et quæ ibi notavimus. KUST.
[o] καὶ τῇ] καὶ τὸ A.E.
[p] οὕτω] αὐτοῦ οὕτως E.
ΧΡΗΜΑΤΙΖΕΣΘΑΙ] Schol. Platon. p. 244. Χρηματίζηται: τοῦτο μὲν τὸ παθητικὸν, τὸ χρήματα πράττεσθαι· τὸ δὲ
G χρηματίζειν τὸ ἐνεργητικὸν, τὸ πράγμασι χρῆσθαι, οἷον χρηματίζει ἡ βουλή· ἀφ' οὗ καὶ χρήματα τὰ πράγματα.
[q] Οὐδὲ χρηματίζομαι. πάλ.] Ex Marco Antonino, ut puto. KUST.
ΧΡΗΜΑΤΙΖΕΙ] Vid. Σαραπίων. TOUP.
[r] Ἀππιανὸς] Lexicon περὶ Συντάξεως Anecdot. Bekkeri p. 179, 21. Χρηματίζων: ὁ αὐτὸς (Appianus sc.) δευτέρῳ Αἰγυπτιακῶν· Πρεσβείαις ὁ Καῖσαρ ἐχρημάτισεν.
[s] ἐχρημάτιζε] ἐχρημάτισε A.
H [t] καὶ τὸ] καὶ om. A.B. Mox τινὲς—ἐξέλαβον om. A. Et forte delenda sunt, non enim exstant in Schol. Aristoph. Thesm. 377. ed. Bekker. ubi cetera reperiuntur.
[u] Ἀριστοφάνης] Thesmoph. 384.
[x] κερδᾶναι] τὸ κερδᾶναι E. Lex. Seg. Tum παρὰ Θουκυδίδῃ om. Lex. Seg. Sumpta hæc sunt ex Schol. Thucyd. I. 87. Conf. Duker. ad V. 61. VI. 62.

[o]Οἱ δὲ οὕτω διεφθάρησαν, ὡς [p]μηδὲ τῶν ναυαγίων μηδὲν γίνεσθαι χρήσιμον, ἀλλ' ἀχρειωθῆναι αὐτούς.

Χρήσιμον πρᾶγμα: Ὅ τι χρείαν ὠφελείας παρέχεται· Εὔχρηστον δὲ, ὅ τι χρείαν ἐπαινετὴν ἀπεργάζεται.

Χρῆσις: Χρῆσις λέγεται τῶν χρησίμων τινὸς χρεία. Χρήσιμα δὲ [q]λέγεται τῶν ἀγαθῶν ἰδίως τὰ ὀργανικά.

B [r]Ὧν οὖν αἱ χρήσεις αἱρετώτεραι, καὶ αὐτὰ αἱρετώτερα. Εἰ γὰρ ἡ χρῆσις τοῦ πλούτου τῆς χρήσεως [s]τῆς ἰσχύος αἱρετωτέρα, καὶ ὁ πλοῦτος τῆς ἰσχύος αἱρετώτερος.

Χρῆσθαι: Διοικεῖσθαι, δαπανᾶν, καταναλίσκειν.

Τά τε ἐπιτήδεια παρεσκευακέναι ἄφθονα, καὶ ταῦτα προῖκα παρέξειν τῇ στρατιᾷ χρῆσθαι.

C Χρήσθων: Ἀντὶ τοῦ χρήσθωσαν. Καὶ ζήτει ἐν τῷ Δρώντων.

Χρησμοδοτῶ καὶ χρησμοδότημα· Χρησμῳδῶ δέ.

Χρησμός: Προφητεία.

[t]Ὁ δὲ Σκηπίων, ὁ στρατηγὸς τῶν Ῥωμαίων, κατὰ τὴν τῆς Καρχηδόνος καθαίρεσιν θαρσούντων Ῥωμαίων ὡς [u]ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ τὸ λοιπὸν διάξουσι τοῦ χρόνου, παρελθὼν εἰς μέσους ἔφη· Νῦν μέντοι πολέμων ἀρχαὶ τὰ παρόντα· καὶ ἦν χρησμὸς, [x]οὐ λόγος· κινδυνεύσομεν γὰρ μὴ ἔχοντες μήτε οὓς φοβήσομεν, μήτε οὓς φοβηθῶμεν.

D Καὶ αὖθις·

[y]Τοῖς Ἀθηναίοις ἐκπίπτει χρησμὸς, λέγων, δεῖν χοὰς τοῖς [z]ἐκδίκως τῶν Αἰτωλῶν τεθνεῶσιν ἐπάγειν ἀνὰ πᾶν ἔτος, καὶ ἑορτὴν [a]Χοὰς ἄγειν· καὶ ἐκ τούτου [b]εὐθηνεῖτο τὰ τῆς Ἀττικῆς.

[c]Ζήτει χρησμὸν ἐν τῷ Δόρυ κηρύκειον.

E Χρησμός: Ζήτει ἐν τῷ Τυρταῖος, καὶ ἐν τῷ Ἀνεῖλε, καὶ ἐν τῷ Θουλις, καὶ ἐν τῷ Αὔγουστος Καῖσαρ. Καὶ τὸ τέλος τοῦ τοιούτου χρησμοῦ ἐν τῷ

A Σκηπίων. Ζήτει χρησμὸν θαυμάσιον ἐν τῷ Δαφίδας. Χρησμὸν περὶ ἔρωτος, ἐν τῷ Διογένης. Ζήτει χρησμὸν περὶ Αἰγιέων, ἐν τῷ Αἰγιεῖς. Ζήτει χρησμὸν καὶ ἐν τῷ Οἰδίπους.

Χρησμῳδεῖν: Θεολογεῖν.

Χρησμῴδημα: Μάντευμα.

Χρηστά: Χρήσιμα, καλά.

Χρῆσται: Δανεισταί.

B Χρήστης, καὶ ὁ δανείζων, καὶ ὁ δανειζόμενος. [d]Ὁ δὲ Ἀριστοφάνης χρήστας τοὺς δανειστὰς λέγει. Ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας χρήστας καλεῖ. [e]Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσιν, τοὺς δὲ ὀφειλέτας, χρεωφειλέτας. Φωκυλίδης δὲ κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων·

[f]Χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς φεύγειν
C [g]Μή σ' ἀνιήσειε διδοὺς, παρὰ καιρὸν ἀπαιτέων.

Χρῆσται: Δύο σημαίνει τοὔνομα τἀναντία· καὶ γὰρ τοὺς δανειστὰς, ὡς παρ' Ἰσαίῳ. [h]Ἀριστοφάνης·

Ὑπὸ γὰρ τόκων χρήστων τε δυσκολωτάτων
ἄγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι.

Ἐπὶ δὲ τοῦ δανειζομένου [i]Δημοσθένης φησί·

Οἱ δὲ δανεισταὶ τὸ ἐξ ἀρχῆς ἠπατημένοι, ὁρῶντες [k]ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἄλλο δὲ οὐδέν.

D Χρήστην: Καὶ τὸν δανείσαντα, καὶ τὸν δανεισάμενον.

Χρηστήρια: Τολμήματα, πράξεις. [l]Σοφοκλῆς·

Κείνου χρηστήρια τἀνδρός.

Ἢ τὰ διεφθαρμένα [m]ποίμνια· παρὰ τὸ διαχρήσασθαι αὐτά. Χριστήρια δὲ, τὰ μετ' ἐλαίου κεχρισμένα· [n]μεθ' οὗ ἐχρίοντο οἱ ἱερεῖς. Διὰ τοῦ ι.

E Χρηστήριον: Τὸ μάντευμα, ἤτοι [o]τὸν χρησμὸν, τὸ χωρίον, [p]τὸ ἱερεῖον. Τὸ [q]μαντεῖον δὲ διχῶς.

[o] Οἱ δὲ οὕτω διεφθ.] Ex Polybii lib. I. c. 54. sed ubi sic legitur: Οἱ δὲ τῶν Ῥωμαίων στόλοι οὕτω διεφθάρησαν, ὥστε μηδὲ τῶν ναυαγίων μηδὲν γενέσθαι χρήσιμον, ἀλλ' ἀμφοτέρους αὐτοὺς ἄρδην καὶ παραλόγως ἀχρειωθῆναι. Hinc Suidas supplendus est. KUST.

[p] μήτε] μὴ δὲ A.B.

[q] λέγεται] λέγονται A.

[r] Ὧν αἱ χρήσεις αἱρετ.] Ex Alexandro Aphrodis. in lib. III. Topic. Aristot. KUST. ὧν οὖν A.B.E. Alex. p. 137.

[s] τῆς ἰσχύος] τῆς om. A.

ΧΡΗΣΘΩΝ] Aristoph. Nub. 438.

[t] Ὁ δὲ Σκιπίων, ὁ στρατ.] Hæc leguntur etiam supra v. Σκιπίων. KUST.

[u] ἐν εἰρήνῃ] τῇ εἰρήνῃ A.B.E.M.

[x] ὁ λόγος] οὐ λόγος A.E.

[y] Τοῖς Ἀθην.] Fragmentum hoc legitur etiam supra v. Ἐκδίκως, et v. Χοάς. KUST.

[z] ἐκδίκως] ἀδίκως A.

[a] Χοὰς] Scribendum est Χόας: a recto Χόες, quod est nomen festi. KUST.

[b] εὐθηνεῖτο] εὐθυνοῖτο ἂν E.M.

[c] Ζήτει addidi ex A. Mox καὶ τὸ—Σκηπίων ex A.B.E.

ΧΡΗΣΤΗΣ] Vid. v. Συμβαλόντα. TOUP.

[d] Ὁ δὲ Ἀριστοφ. χρήστας τοὺς δαν. λ.] Schol. Aristoph. Nub. 239.

[e] Ἀθηναῖοι δὲ—καλεῖ om. B.E.

[f] Χρήστης κακοῦ ἐμμ.] Metrum turbatum est, quod sic in ordinem redigi potest: Χρήστης φεύγειν κακοῦ ἔμμεναι ἀνδρὸς, Μή σε γ' ἀνιήσειε διδοὺς, παρὰ καιρὸν ἀπαιτῶν. KUST. Vid. supra p. 435 C. κακοὺς A.

[g] μή σ'] μή γε A.

[h] Ἀριστοφάνης] Nub. 239. Aristophanis locum hic inserui cum A.E. et Harpocrat. Post ἀπαιτέων tacite posuit Kusterus.

ΧΡΗΣΤΑΙ: Δύο σημ.] Ex Harpocratione. KUST.

[i] Δημοσθένης] In orat. adversus Zenothem. p. 576. ubi sic legitur: Οἱ δὲ δανεισταὶ ἐξ ἀρχῆς ἐξηπατημένοι, ὁρῶντες F ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἀλλ' οὐκ ἐλπίδ' ἔχοντες, &c. KUST. p. 885, 20.

[k] αὐτοὺς] ἑαυτοὺς A.B. ἑαυτῶν E. ἑαυτοῖς Harpocr. ms. Pal.

[l] Σοφοκλῆς] In Aj. 220.

[m] ποίμνια λέγει] λέγει om. A.B.

[n] μεθ' οὗ] δι' οὗ E.

[o] ὁ χρησμὸς] τὸν χρησμὸν A.

[p] τὸ ἱερεῖον] An potius τὸ ἱερόν? Sic putamus. KUST. Ego vero retinere maluerim τὸ ἱερεῖον, quia sic Sophoclis G Schol. ad Aj. 220. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ μαντεῖον καὶ τὸν χρησμὸν καὶ τὸ ἱερεῖον. Ammonius de Diff. Ἱερεῖον καὶ χρηστήριον διαφέρει· ἱερεῖον μὲν γάρ ἐστι κοινῶς τὸ σφαζόμενον πρὸς θυσίαν ἅπασαν· χρηστήριον δὲ τὸ ἱερὸν ᾧ χρῶνται χρηστηριαζόμενοι. Ἡρόδοτος· καθάπερ ἔτι καὶ νῦν, ὅταν χρηστήρια θύωσιν ἐν τῷ ἱερῷ. BOS. Quid impulerit Kusterum ut corrigeret ἱερὸν, nescio. Triplicem docet Suidas verbi usum, quod aperte ostendunt illa, τὸ μαντεῖον δὲ διχῶς. Hoc vult lexicographus, duplici tantum sensu usurpari μαντεῖον, pro H *oraculo* puta, et *loco ubi editur oraculum*, non item ut illud pro *victima*. ABRESCH. ad Æschyl. II. 17. p. 358.

ib. Nic. Damasc. a Valesio edit. p. 510. τὰ δὲ κεράμια τῶν χ. ubi χ. sunt ea, *quæ ad sacros usus pertinent*. TOUP. τὸ ἱερεῖον om. B.E.

[q] μαντεῖον δὲ] μάντιον δὲ A.

Χρηστόν: Χρήσιμον.

[r] Ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.

Χρηστός: Ὁ ἀγαθός.

Καὶ χρηστὸς ἐξ ἀγάπης, ἀλλ' οὐκ ἐξ ἀνάγκης.

Χριστὸς δὲ, ὁ ἐν ἐλαίῳ κεχρισμένος. Καὶ Χριστὸς, ὁ Κύριος καὶ Θεὸς ἡμῶν.

Χρηστουργία: Ἀγαθοεργία.

[s] Ἡ δὲ φεύγει, ἐπιθυμοῦσα ἀμείψασθαί ποτε ἐπὶ χρηστουργίᾳ τὸν ἄνθρωπον.

Χρηστῶς: Ἀντὶ τοῦ φυλακτικῶς. [t] Ἀριστοφάνης·

Ἡ δ' Ἀθηναίων πόλις,
εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσώζετο,
εἰ μή τι καινὸν ἄλλο περιειργάζετο.

Ἀντὶ τοῦ, [u] ἐφυλάττετο τὸν ἀρχαῖον νόμον, καὶ μὴ ἐπολυπραγμόνει, καὶ τὰς καινὰς [x] ἔφερε πολιτείας.

Χρίμπτεται: Προσκνᾶται, πελάζει, ἐγγίζει.

[y] Εἰ δή τις [z] φθιμένοις χρίμπτεται εὐφροσύνα.

Χρίομαι: Αἰτιατικῇ. Ἀλείφομαι. Χρείω δὲ, τὸ μαντεύομαι, διὰ διφθόγγου, ἐπὶ ἐνεστῶτος μόνον· ἐπὶ δὲ μέλλοντος, διὰ τοῦ ή.

Χρίσασθαι: Ἀλείψασθαι.

Καὶ [a] ἀποδυσάμενον χρίσασθαι κελεύει ἐλαίῳ.

Χρίσις: Τὸ χρίσμα τοῦ τῆς βασιλείας ἐλαίου, ὅπερ οἱ προφῆται διὰ κέρατος ἐπιφερόμενοι, ἔχριον τοῖς βασιλεῦσι. [b] Καὶ ὁ Δαβὶδ τῆς μὲν χρίσεως ἠξιώθη διὰ Σαμουήλ· τὰς δὲ τοῦ λαοῦ ἀναγορεύσεις ἡ ἱστορία χρίσεις ἀδιαφόρως ὠνόμασεν. Καὶ αὖθις·

[c] Νέκταρι δ' εἰνάλιαι Νηρηΐδες ἐχρίσαντο,
καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι.

Ἀντὶ τοῦ, ἔχρισαν.

Χρίσμα: Τὸ τῆς βασιλείας.

Ὅτι ὁ Δαβὶδ [d] εἰς βασιλείαν τρίτον ἐχρίσθη.

Καὶ σημαίνει καὶ [e] τὸν ἐν ἐλαίῳ κεχρισμένον, καὶ τὸν προφήτην. Χριστήρια δὲ, μεθ' ὧν οἱ ἱερεῖς ἐχρίοντο τοπαλαιόν.



A Χριστιανοί: [f] Ἐπὶ Κλαυδίου βασιλέως Ῥωμαίων, Πέτρου τοῦ ἀποστόλου χειροτονήσαντος Εὐόδιον ἐν Ἀντιοχείᾳ, μετωνομάσθησαν οἱ πάλαι λεγόμενοι Ναζαραῖοι καὶ Γαλιλαῖοι, Χριστιανοί.

Χριστίνα: Ὄνομα κύριον. Καὶ Χριστίων, Χριστίωνος.

Χριστόδωρος, Πανίσκου, ἀπὸ [g] Κοπτοῦ πόλεως τῆς Αἰγύπτου, ἐποποιός. Ἤκμαζεν ἐπὶ τῶν Ἀνα-
B στασίου τοῦ βασιλέως χρόνων. Ἔγραψεν Ἰσαυρικὰ, ἐν βιβλίοις ϛ'· ἔχει δὲ τὴν Ἰσαυρίας ἅλωσιν, τὴν ὑπὸ Ἀναστασίου τοῦ βασιλέως γενομένην· Πάτρια Κωνσταντινουπόλεως, ἐπικῶς, βιβλία ιβ', Πάτρια Θεσσαλονίκης [h] ἐπικῶς, βιβλία κε', Πάτρια Νάκλης· ἔστι δὲ πόλις περὶ Ἡλιούπολιν, ἐν ᾗ τὰ καλούμενα [i] Ἄφακα· Πάτρια Μιλήτου, τῆς Ἰωνίας, Πάτρια Τράλλεων, Πάτρια Ἀφροδισιάδος, [k] Ἔκφρασιν τῶν
C [l] ἐν τῷ Ζευξίππῳ ἀγαλμάτων· καὶ ἄλλα πολλά.

Χριστόδωρος, Θηβαῖος, Ἰλλούστριος. Ἔγραψεν Ἰξευτικὰ, δι' ἐπῶν· καὶ θαύματα τῶν ἁγίων [m] Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ.

Χριστός: Ὁ Κύριος [n] ἡμῶν καὶ Θεός.

Χρόα: Ἡ χροιά. Βαρυτόνως, ὡς ψόα.

Χροῒ δῆλα: Ὅτι [o] Φερεκύδην τὸν σοφὸν φασὶ
D φθειριάσαντα τελευτῆσαι· ὅτε καὶ Πυθαγόρου παραγενομένου, καὶ πυνθανομένου, πῶς διακέοιτο, διαβαλόντα [p] τῆς θύρας τὸν δάκτυλον, εἰπεῖν· Χροῒ δῆλα. Καὶ τοὐντεῦθεν παρὰ τοῖς [q] φιλολόγοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται. Οἱ δὲ ἐπὶ τῶν βελτίστων χρώμενοι, διαμαρτάνουσι.

Χρόμαδος: [[r] Ὅμηρος·

Δεινὸς δὲ χρόμαδος.

E Τὸν ἐν ταῖς γένυσι ὑπὸ τῶν πληγέντων γενόμενον ψόφον, χρόμαδον ὠνόμασεν.]

Χρόμιος: Ὄνομα κύριον.

Χρόμωνος:

r Ἐμπολήσαντές τι] Aristoph. Pac. 562. TOUP.

s Ἡ δὲ φεύγει] Æliano tribuit Valckenærius.

t Ἀριστοφάνης] Eccl. 218.

u ἐφυλάττετο] εἰ ἐφ. B. ἐφύλαττε A.

x ἔφερε] Lego ἐφεῦρε. KUST. εἰσέφερε Brunck.

y Εἰ δή τις φθιμ.] Anthol. Pal. VII. 23.

z φθιμένοις—εὐφροσύνα] φθιμένας—εὐφροσύνας B.E. posterius M.

a ἀποδυσάμενον] ἀποδυσάμενοι E.

b Καὶ ὁ Δαβὶδ] Theodoret. Quæst. in 2 Regg. Ἐρωτ. 15. Τῆς μὲν βασιλικῆς χρίσεως διὰ τοῦ Σαμουὴλ ἠξιώθη· τὰς δὲ τοῦ λαοῦ χειροτονίας χρίσεις ἡ ἱστορία καλεῖ.

c Νέκταρι δ'] Anthol. Pal. VII. 1.

d τὸ τρίτον εἰς βασίλειαν] εἰς βασίλειαν τρίτον A.B. ὁ δᾶδ εἰς βασίλειαν τούτου ἐχρ. E. Lemma Theodoreti Quæst. 15. in 2 Regg. Τίνος χάριν ὁ Δαβὶδ τρίτον ἐχρίσθη?

e τὸν ἐλαίῳ κεχρισμένον] Quod dicit Suidas voce significari etiam τὸν κεχρισμένον, id sine dubio pertinet ad illa loca ubi משיח *unctus* vertitur τὸ χρίσμα, ut Dan. IX. 26. Amos IV. 13. ubi alii χριστός. ERNEST. καὶ τὸν ἐν ἐλαίῳ A.

f Ἐπὶ Κλαυδίου βασιλέως Ῥωμ.] Hæc leguntur etiam supra v. Γαλιλαῖοι, et v. Ναζηραῖος. KUST. Vid. Euseb. Chron. n. MMLIX. Mox Ναζιραῖοι A. Ναζωραῖοι M.

ΧΡΙΣΤΟΔΩΡΟΣ] Vide Jacobsii Catalogum Poetarum Epigrammat. Animadv. Anthol. Vet. III. par. 3. (T. XIII.) p. 871.

g Κοπτοῦ] Coptites, Leo Allat. de Homeri patria p. 75. REINES.

h ἐπικῶς addidi cum A.B.E.

i Ἄφακα] Sic recte ms. A. [et E.] At priores editt.
F male, Ἄλφακα. De Aphacis autem vide quæ notavit Bochartus lib. II. de Colon. Phœnic. c. 14. KUST. Adde Vales. ad Euseb. de Vit. Constant. III. 55.

k Ἔκφρασιν τῶν ἐν τ.] Hæc Ecphrasis hodie adhuc exstat, et librum quintum Anthologiæ Epigrammatum constituit. Confer Nos supra ad v. Ζεύξιππος. KUST.

l ἐν τῷ Ζευξίππῳ] Potius, ἐν τῷ Γυμνασίῳ τοῦ Ζευξίππου. KUST. Statuas et imagines Zeuxippi (balnearum Constantinop. de quibus vid. Panciroll. Not. imp. Or. p. 259.) carmine celebravit. REINES.

G m Ἀναργύρων] Portus vertit, *Anargyrorum*. Sed mendum in hac voce latens non animadvertit. Scribendum enim est, Μαρτύρων. KUST. Rectissime vulgo Ἀναργύρων. Vid. Fabric. Bibl. Gr. V. 32. T. IX. p. 68.

n καὶ θεὸς ἡμῶν] ἡμῶν καὶ θεὸς A. Delevi statim ΧΡΙΣΤΟΣ, καὶ ὁ κεχρισμένος ἐν ἐλαίῳ. ΧΡΗΣΤΟΣ δὲ, ὁ ἀγαθὸς, διὰ τοῦ η. ζήτει ὀπίσω ΧΡΗΣΤΟΣ, cum A.E.

ΧΡΟΑ] Vid. infra v. Χροιά.

o Φερεκύδην τὸν σοφὸν φασὶ φθειρ.] Hæc sunt verba Laër-
H tii in Pherecyde: [I. 118.] sed apud quem pro χροῒ legitur χρωτί. Confer etiam Nostrum supra v. Ἐκπηλυγάζονται. KUST. χροῒ Laërtii ms.

p τὸν δάκτυλον διὰ τῆς θύρας] τῆς θύρας τὸν δάκτυλον A.B.

q φιλοσόφοις] φιλολόγοις A. et sic ms. Laërtii.

r Ὅμηρος] Il. ψ'. 688. KUST. Seqq. om. A.B.E.

Χρόνος: Οἱ φιλόσοφοι [s]αὐτὸν ἀσώματον εἶναί A φασι, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως. Τούτου δὲ τὸν μὲν παρῳχηκότα, καὶ τὸν μέλλοντα, ἀπείρους· τὸν δὲ ἐνεστῶτα, πεπερασμένον. Ἀρέσκει δ' αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον. Οὗ γὰρ τὰ μέρη φθαρτά ἐστι, καὶ τὸ ὅλον. Τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά· εἰς ἄλληλα γὰρ μεταβάλλει· φθαρτὸς ἄρα καὶ ὁ κόσμος. Καὶ εἴ τι ἐπιδεκτικόν ἐστι τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι· καὶ ὁ B κόσμος· ἐξαυχμοῦται γοῦν, καὶ ἐξυδατοῦται.

Χρόνος γὰρ εὐμαρὴς θεός: Τουτέστιν, ὁ χρόνος εὐμαρῶς παρέρχεται. Ἢ οὕτως· Εὐχερής ἐστιν ὁ χρόνος, ὥστε μετελθεῖν τοὺς ἀδίκους.

Χρόνου πόδα: Ἀπὸ [t]Εὐριπίδου. [u]Ἀριστοφάνης·

Αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα.

C Ἀντὶ Εὐριπίδου, τοῦ ταῦτα λέγοντος. Καὶ αὖθις·

[x]Χρόνου γὰρ ἄν σοι καιρὸν [y]ἐξείργοι λόγος.

Σοφοκλῆς. Ἀφαιρεῖται γὰρ τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι ἡ τῶν [z]λόγων ἀδολεσχία.

Χροός: Σώματος. Καὶ [a]Ὅμηρος·

Ἀλλ' οὔπη χροὸς εἴσατο.

[[b]Ἀντὶ τοῦ, σώματος.] Διῄρηται ὁ [c]χρόος, ἀντὶ τοῦ ὁ [d]χρώς. Διὸ καὶ βαρύνεται. Τὸ δὲ εἴσατο, D [ἤγουν] ἐφάνη.

[e]Λοῦσαι δ' [f]Ἰνωπῷ καθαρὸν χρόα, βᾶθι δ' ἐς οἴκους.

Χρώζω καὶ καταχρώζω:

Τὸ καλὸν τοῦ πράγματος κατέχρωζε.

Χρῶμα: [g]Τοῦτο σημαίνει τὸ ἐν τοῖς σώμασιν, ὡς τὸ [h]λευκὸν, καὶ τὸ μέλαν, καὶ τὰ τούτων μεταξύ· σημαίνει καὶ τὸ ἐν τοῖς μέλεσι· λέγεται γάρ τι [i]καὶ κατὰ μουσικὴν χρῶμα. [k]Τρία γὰρ [l]μέρη τῆς [m]με- E λῳδίας οἱ ἁρμονικοὶ εἶναί [n]φασιν, ἃς ἰδίως χρόας καλοῦσι, τήν τε τοῦ μαλακοῦ χρώματος, καὶ τὴν [o]διατονικοῦ χρώματος. Καὶ εἰσὶ διαφοραὶ, ἄλλαι μὲν τοῦ ἐν τοῖς σώμασι χρώματος· ὡς τὸ συγκριτικὸν καὶ διακριτικὸν ὄψεως· ἄλλαι δὲ τοῦ ἐν τοῖς μέλεσι· τὸ γὰρ ἡμιτονιαῖον, καὶ διεσιαῖον, καὶ τὸ μαλακὸν, [p]ὁμώνυμα.

[q]Διόδωρος·

Ὁ δὲ βάρβαρος μαστιζόμενος, ὄμμα ἔχων ἄτρεπτον καὶ χρῶμα, καθάπερ θηρίον ἐκαρτέρει.

B Χρῶμα: Ὅτι ὁπηνίκα τὸ [r]κρυσταλλοειδὲς τοῦ ὀφθαλμοῦ ἀπό τινος πάθους χρωματισθῇ, δοκοῦμεν τῷ αὐτῷ χρώματι καὶ τὸν ἀέρα καὶ τἄλλα ὁρατὰ κεχρῶσθαι.

Χρῶμα δὲ φησὶν ὁρατὸν, τὸ ἐπὶ τοῦ καθ' αὑτὸ [s]ὑπάρχον ὁρατοῦ. [t]Καθ' αὑτὸ δὲ ὁρατὸν φησὶ, τὴν ἐπιφάνειαν. Καθ' αὑτὸ δὲ ὁρατὸν ἡ ἐπιφάνεια, οὐχ οὕτως, ὡς τῷ ὁρισμῷ καθ' αὑτό. Διττὸν γὰρ τὸ καθ' C αὑτό. Ἢ ὅπερ ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου παραλαμβάνεται· ὡς τὸ ζῶον, καὶ τὸ λογικὸν, ἐν τῷ [u]τοῦ ἀνθρώπου ὁρισμῷ· (ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ·) ἢ οὗ ἐν τῷ [x]ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνεται· [y]ὡς ἐν τῷ ὁρισμῷ [z]τοῦ ἀρτίου ἢ τοῦ περιττοῦ, ὁ ἀριθμός· καὶ ἐν τῷ [a]ὁρισμῷ τῆς σιμότητος, ἡ ῥίς. Ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχουσι τῷ D ὁρισμῷ. Οὐχ οὕτως οὖν φησὶ καθ' αὑτὸ ὁρατὸν τὴν ἐπιφάνειαν, ἀλλ' ὡς ἔχουσαν ἐν ἑαυτῇ τὸ αἴτιον τοῦ [b]ὁρατὴν εἶναι. Τοῦτο δέ ἐστι τὸ χρῶμα. Τὸ γὰρ ἐν τῇ ἐπιφανείᾳ χρῶμα, τοῦτό ἐστι τὸ ὁρατὸν, καὶ τούτου αἱ ὄψεις ἀντιλαμβάνονται, [c]οὐ τοῦ ἐν βάθει χρώματος. Τοὺς γὰρ διαφανεῖς τῶν λίθων [d]εἰ καὶ δοκοῦμεν ὁρᾶν δι' ὅλου τοῦ βάθους κεχρωσμένους, τὰς ὄψεις ἀπατώμεθα. Τῷ μὲν γὰρ διαφανεῖς εἶναι τοὺς E λίθους, διαβαίνουσι διὰ τοῦ βάθους αἱ ὄψεις, ἢ τῶν χρωμάτων αἱ ἐνέργειαι. Διὰ τοῦ χρώματος [e]δὲ τοῦ ἐν τῇ ἐπιφανείᾳ τῶν λίθων ἀντιλαμβανόμεθα· καὶ διὰ

ΧΡΟΝΟΣ: Οἱ φιλόσοφοι αὐτὸν ἀσώμ.] Totum hunc articulum descripsit Suidas ex Laërtio in Zen. Citt. num. 141. ut Pearsonius etiam observaverat. KUST.

[s] αὐτὸν ἀσώματον] ἀσώματον αὐτὸν A.

ΧΡΟΝΟΣ ΓΑΡ ΕΥΜΑΡ.] Ex Schol. Sophocl. Electr. 179.

[t] Εὐριπίδου] τοῦ Εὐριπίδου A.

[u] Ἀριστοφάνης] Ran. 100.

[x] Χρόνου γὰρ ἄν σοι κ.] Est versus Sophoclis in Electr. 1292. ut Portus monuit. Ibi autem pro ἐξαίροι legitur ἐξείργοι. Sed Suidæ lectio magis placet; dummodo mutato accentu scribas ἐξαιροῖ, ab ἐξαιρέω. Sic Latini dicunt, *tempus alicui eximere.* KUST.

[y] ἐξαίροι] ἐξείργει A. ἐξαίρῃ B.

[z] λόγων] ἀλόγων B.E.

[a] Ὅμηρος] Il. ψ. 191. KUST. Verba sunt Schol. Ven. in eum locum.

[b] Ἀντὶ τοῦ σώματος om. A. εἴσατο—σώματος om. E.

[c] ΧΡΟΟΣ] ὁ χρόος A.E.

[d] χροῦς] χρὼς A.B.E. Mox ἤγουν om. A.

[e] Λοῦσαι δ' Ἰνωπ.] Anthol. Pal. VI. 273.

[f] Ἰνωπῷ] Οἰνωπῷ A.

[g] Τοῦτο σημαίνει] Sumptus locus ex Alexand. Aphrod. in Topic. p. 60.

[h] λευκὸν χρῶμα] χρῶμα om. A.

[i] καὶ κατὰ] καὶ om. A.

[k] Τρία γὰρ μέλη τῆς μελῳδίας· ἁρμονικὸν εἶναι φ.] Locus hic salebrosus est, et procul dubio corruptus, in quo vertendo non tam verba, quam sensum secuti sumus. KUST. Vide nos supra ad v. Χιάζων, ubi hunc locum restituimus. TOUP.

[l] μέλη] Dedi μέρη ex Alexand.

[m] μελῳδιάς· ἁρμονικὸν] μελῳδίας (οἱ E.) ἁρμονικοὶ A.B.E. οἱ ἁρμονικοὶ Alex.

[n] φασὶν] Addit Alexand. ἁρμονίαν, χρῶμα, διάτονον· ὧν τοῦ χρώματος διαφορὰς φασιν, ἃς ἰδίως etc. Redde Suidæ F quæ ad sensum necessaria sunt.

[o] διατονικοῦ] διὰ τοῦ τονικοῦ B.E. καὶ τὴν τοῦ ἡμιολίου, καὶ τὴν τοῦ τονιαίου χρώματος. ἐπεὶ οὖν εἰσιν ἄλλαι μὲν διαφοραὶ Alex. καὶ διεσιαῖον om. M.

[p] ὁμώνυμα] ὁμώνυμον τὸ λευκὸν Alex.

[q] Διόδωρος] Fr. 38.

ΧΡΩΜΑ] Totus hic locus sumptus est ex Joanne Philop. in lib. II. Aristot. de Anima, K. 2. b. KUST.

[r] κρυσταλλοειδὲς τοῦ] κρυσταλοειδὲς τὸ A.

[s] ὑπάρχοντος] ὑπαρχ῾ A. ὑπάρχον Philop.

G [t] Καθ' αὑτὸ δὲ] Πῶς δὲ καθ' αὑτὸ ὁρατὸν ἡ ἐπιφάνεια αὐτὸς ἐξηγήσατο. οὐ γὰρ οὕτω φησὶ καθ' αὑτὸ εἴρηται, ὡς τῷ λόγῳ καθ' αὑτὸ, τοῦτό ἐστι τῷ ὁρισμῷ. ἐν γὰρ τῇ ἀποδεικτικῇ φησὶ καθ' αὑτὸ εἶναι ἢ ὅπερ Philoponus.

[u] τοῦ ἀνθρώπου ὁρισμῷ] τῷ ὅρῳ τοῦ ἀνθρώπου Philop.

[x] ὁρισμῷ] ὅρῳ Philop. qui mox καὶ τοῦ.

[y] ὡς ἐν] ὡς ὁ ἐν E. qui om. ὁ ante ἀριθμός.

[z] τοῦ ἀρτίου] τῆς σιμότητος ἡ ῥίς· καὶ ἐν τῷ ὁρισμῷ τοῦ ἀρτίου καὶ πε. ὁ ἀρ. Philoponus.

H [a] ὁρισμῷ] ἀριθμῷ Philop. qui plura.

[b] ὁρατὴν] ὁρατὸν A.B.E.

[c] οὐ τοῦ] οὐ om. A.B.E.M. οὐ γὰρ ἀντιλαμβάνονται τοῦ τε ἐν τῷ βάθει χρώματι Philop.

[d] εἰ καὶ] οὐ Philop.

[e] δὲ τοῦ] δὲ μόνου τοῦ Philop.

τοῦτο δοκοῦμεν καὶ [f]τὸ ἐν βάθει χρῶμα ἑωρακέναι. A

Καὶ [g]Πισίδης·

Οὐκ ἔστι ταῦτα πρὸς χάριν κεχρωσμένα·
ἁπλοῖ δὲ πάντες τῆς ἀληθείας λόγοι.

Ζήτει περὶ χρώματος ἐν τῷ Φαιόν.

Χρῶμαι: Δοτικῇ.

Χρωμένῳ: [h]Χρησμὸν αἰτοῦντι, χρησμὸν ἐπερωτῶντι, ἢ μαντευομένῳ. B

Χρῶμις: Ὄνομα κύριον.

Χρωννύω:

Χρωννῦσα:

Χρῶνται:

Χρώς: Σῶμα, ἰδέα.

Χρῶσαν: Τὴν χρησμῳδοῦσαν.

Χρῶσαν Λακεδαιμονίοις.

[i]Θουκυδίδης. C

Χρωσθῆναι: [k]Χρωματισθῆναι.

Χρωστήρ: Ὁ χρωματίζων. [l]Ἐν Ἐπιγράμμασι·

Καὶ μολίβῳ χρωστῆρι κανὼν τύπον ὀρθὸν ὀπάζων.

Χρωτί: Σώματι.

Χρωτίζεται: Πλησιάζει. [m]Ἀριστοφάνης Νεφέλαις·

Τῆς ἀνδρείας
ἕνεκα ταύτης.
Εὐτυχία γένοιτ' ἀν-
θρώπῳ ὅτι προήκων D
εἰς βαθὺ τῆς ἡλικίας,
νεωτέροις τὴν φύσιν αὐτοῦ
πράγμασι χρωτίζεται,

(Ἤγουν, πλησιάζει,)

καὶ σοφίαν ἐπασκεῖ.

[n]Λέγεται δὲ ἐπὶ τῶν μουσικῶν [o]Χρωματικόν, καὶ διατονικόν, μουσικῆς εἴδη. E

Χροιά: Χροία δὲ, παροξυτόνως οἱ Ἀττικοί.

[p]Ὡς ἥδομαι πρῶτά σου τὴν χροίαν ἰδών.

[q]Ἡ δὲ κοινή, ὀξυτόνως. Χρόα δὲ, βαρυτόνως, ὡς ψόα.

Χρυσᾶ: [r]Τὸ ἁπλᾶ, καὶ διπλᾶ, καὶ πολλαπλᾶ, [s]καὶ πάντα τὰ τοιαῦτα, περισπῶσιν οἱ Ἀττικοί, ἀργυρᾶ, χρυσᾶ, καὶ [t]κεραμεᾶ ἀπὸ τοῦ κεραμεοῦν, καὶ φοινικᾶ ἀπὸ τοῦ φοινικοῦν.

Χρυσάμπυκας: Χρυσοχαλίνους.

Χρυσάνθιος: Οὗτος ἐκ Σάρδεων ἦν, φιλόσοφος· ὃν διὰ γραμμάτων μεταπέμπεται Ἰουλιανός. Ὁ δὲ κατὰ χώραν ἔμενε, τοῦτο ἐπελθὸν αὐτῷ πράττειν ἐκ τοῦ θείου. Ὅς γε οὐ [u]πρὸς τὴν περιτρέχουσαν καὶ καινὴν δόξαν ἀνέφερε τὸν ἑαυτοῦ βίον, ἀλλὰ πάντα εἰς τὸ θεῖον ὑπερτιθεὶς, ἐκεῖθεν ἅπαντα ἔπραττε.

Χρυσαόριος: Ὄνομα κύριον.

Χρυσάορον: Χρυσοφάσγανον, ἢ χρυσοκίθαρον.

Χρυσαυγοῦντα: Ἀστράπτοντα, στίλβοντα.

Χρύσεος: Ὁ χρυσοῦς.

Χρύσειος χείρ: Καὶ χρύσειον ἔργον.

Χρυσῆ εἰκών: Ὤμνυον οἱ Ἀθήνησιν ἄρχοντες, [x]ἂν μὴ παρέλθωσιν ἐφ' οἷς [y]ἄρχουσιν, χρυσῆν εἰκόνα αὐτῶν ἀναθήσειν ἐν ἄστει, ἐν Πυθοῖ, ἐν Ὀλυμπίᾳ.

Χρυσηΐς: Ὄνομα κύριον.

Χρυσηλάκατος: Ἡ καλλίτοξος, ἡ χρυσότοξος.

Χρυσήνιος: Κυρίως. [z]Ἡ ἀπὸ μέρους, καλή. Δίφρος εὐάρμοστος.

Χρυσῆν σειρήν: Οὕτως ὑπὸ Ὁμήρου τὸν ἥλιον λεγόμενον ἐν Θεαιτήτῳ [a]Πλάτων φησί.

Χρυσίδιον: Τὸ μικρὸν χρυσίον, ὑποκοριστικῶς.

Χρυσίζω: Τὸ χρυσὸν λαμβάνω.

Χρυσίππειοι μαθηταί: Οἱ τοῦ Χρυσίππου.

Χρύσιππος, Ἀπολλωνίδου, [b]Σολεὺς, ἢ Ταρσεὺς,

---

[f] τὸ ἐν] ἐν τῷ Philop.

[g] Πισίδης] Heracl. Exped. Acr. III. 37.

[h] Χρησμὸν αἰτοῦντι addunt A.B.E.

[i] Θουκυδίδης] Vid. Duker. ad V. 16.

[k] Χρωματισθῆναι] Phot. p. 704. TOUP. Χρωσθῆναι caput gl. addidi ex A.B.E. F

[l] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 68.

[m] Ἀριστοφάνης Νεφ.] Ver. 516. τῆς ἀνδρείας—ἡλικίας addunt A.B.

[n] Λέγεται δὲ ἐπὶ τῶν μουσικῶν] Confundit hic grammaticus χρωματίζεται cum χρωτίζεται. Illud enim de musicis dicitur; non vero hoc. KUST.

[o] ΧΡΩΜΑΤΙΚΟΝ] Præcedentibus conjunxi cum A.

[p] Ὡς ἥδομαι πρ.] Aristoph. Nub. 1173. Facile autem quivis videat, metri gratia legendum esse, Ὡς ἥδομαί σου πρῶτα, &c. ut legitur apud ipsum Aristophanem. KUST. G σου om. A.

[q] οἱ—κοινοὶ] ἡ—κοινὴ A.

[r] Τὸ ἁπλᾶ] Leguntur hæc supra p. 466 D.

[s] καὶ ὅσα] πάντα τὰ A.

[t] κεραμεᾶ φοινικᾶ] καὶ κεραμεᾶ A. qui mox inserit φοινικᾶ ἀπὸ τοῦ ante φοινικοῦν.

ΧΡΥΣΑΜΠΥΚΑΣ] Est vox Homerica. KUST.

ΧΡΥΣΑΝΘΙΟΣ] Hujus vitam habes apud Eunapium. KUST. H

[u] πρὸς τὴν περιτρέχουσαν καὶ καινὴν δ.] Lege πρὸς τὴν παρατρέχουσαν καὶ κενὴν δόξαν. KUST. Christianam, ni fallor, religionem intelligit. HEMST. κενὴν A.E.

ΧΡΥΣΑΡΙΟΣ] Χρυσαόριος E.M. Deest gl. A.B.

ΧΡΥΣΑΟΡΟΝ] Il. ό. 256.

[x] ἂν μὴ παρέλθωσιν] Scribendum puto, ἂν μὲν παρέλθωσιν. KUST. Forte, ἂν μὴ ἄρχωσ' ἐφ' οἷς ἂν παρέλθωσιν. HEMST. Hunc locum non intellexit Kusterus. Παρελθεῖν εἰς τὴν ἀρχὴν est *ad magistratum accedere*, sive, *inire magistratum*. Παρελθεῖν ἐφ' οἷς ἂν ἄρχωσι est, *capessere quæ ad officium suum pertinerent, defungi officio suo. To discharge their trust.* Quare locus ita vertendus est: *Archontes Athenis jurabant se*, si officio suo defuissent, *statuam suam auream dedicaturos esse.* Quod usquequaque verum est. Et notanda locutio, quæ elliptica est, et Hellenismi exquisitioris. Ceterum hujus moris meminit Plato in Phædro, et Plutarchus in Solone, ut alios taceam, de quibus consulendus Corsinus Fast. Attic. I. p. 23. TOUP.

[y] ἂν ἄρχωσιν] ἄρχουσιν A.E.

ΧΡΥΣΗΛΑΚΑΤΟΣ] Homerus, Il. ύ. 70. KUST.

ΧΡΗΣΗΝΙΟΣ: Κυρίως] Est locus mutilus, qui facile sic suppleri potest: Χρυσήνιος. κυρίως, ὁ χρυσᾶς ἡνίας ἔχων. ἢ ἀπὸ μέρους, &c. Ceterum voce χρυσήνιος usus est Homerus Il. ζ'. 205. et alibi. KUST. Hinc emend. Theophylact. Ep. p. 105. ed. Meurs. χρυσήλιος leg. χρυσήνιος. Est locus elegantissimus. Pausan. p. 755. Ἀφροδίτα χρυσήνιος Soph. Œd. Col. 693. TOUP.

[z] Ἡ ἀπὸ] ἡ ἀπὸ B.E. ἡ ἀπὸ μέρους καλλίδιφρος, εὐάρμοστος Lex. Seg.

[a] Πλάτων] Theæt. p. 153 C. Conf. Damascius ap. Phot. p. 1057.

ΧΡΥΣΙΠΠΟΣ] De hoc plura Laërtius, qui eum Ἀπολλωνίου filium fuisse dicit. KUST.

[b] Σολεὺς ἢ Ταρσεὺς] Max. Tyr. Serm. XXIX. Κίλιξ. Cic. Orat. I. 12. Solensis Cilix. Ipse Solensis fuit, pater Tarsensis, Strab. XIV. p. 671. REINES.

φιλόσοφος, μαθητὴς Κλεάνθους, καθηγησάμενος [c]τῆς Στωϊκῆς σχολῆς μετὰ Κλεάνθην, καὶ τελευτήσας [d]ό καὶ γ΄ ἐτῶν, ὑπὸ τοῦ πιεῖν ἄκρατον, καὶ ἰλιγγιάσαι· κατὰ δὲ ἄλλους, ὑπὸ γέλωτος ἀπείρου· ἐπὶ ἑκατοστῆς τεσσαρακοστῆς τρίτης Ὀλυμπιάδος. [e]Συντέταχε δὲ βιβλία [f]πλείω ἢ ψ΄ φιλόσοφά τε, καὶ ἱστορικὰ, καὶ γραμματικά.

Ὅτι [g]Χρύσιππος ὁ φιλόσοφος τοιούτους τινὰς ἠρώτα λόγους· Ὁ λέγων τοῖς ἀμυήτοις τὰ μυστήρια, ἀσεβεῖ· [h]ὁ δέ γε ἱεροφάντης τοῖς ἀμυήτοις λέγει· ὁ ἱεροφάντης ἄρα ἀσεβεῖ. [i]Καὶ αὖθις· [k]Ὅ ἐστιν ἐν τῇ πόλει, τοῦτο καὶ ἐν τῇ οἰκίᾳ· οὐκ ἔστι δὲ φρέαρ ἐν τῇ πόλει· οὐδ᾽ ἄρα ἐν τῇ οἰκίᾳ. Ἔστι τις κεφαλή· ἐκείνην δὲ οὐκ ἔχεις· ἔστι δέ γε τις κεφαλὴ, [l]ἣν οὐκ ἔχεις· οὐκ ἄρα ἔχεις κεφαλήν. Εἴ τις ἐστὶν ἐν Μεγάροις, οὐκ ἔστιν ἐν Ἀθήναις· ἄνθρωπος δέ ἐστιν ἐν Μεγάροις· οὐκ ἄρα ἐστὶν ἄνθρωπος ἐν Ἀθήναις. Εἴ τι λαλεῖς, τοῦτό σου διὰ στόματος διέρχεται· ἅμαξαν δὲ λαλεῖς· ἅμαξα ἄρα διὰ στόματός σου διέρχεται. Εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα δὲ οὐκ ἀπέβαλες· κέρατα ἄρα ἔχεις.

Χρυσίς: Ἡ χρυσῆ φιάλη.

[m]Οἴ μ᾽ ὡς ἐλεήμων εἰμ᾽ ἀεὶ τῶν χρυσίδων.

[n]Ἀντὶ τοῦ ἥττων.

Χρυσίτης: Εἶδος λίθου· [o]χρυσῖτις δὲ γῆ. Πλὴν τοῦ ἀετίτης, λυχνίτης, καὶ ἀχάτης, τὰ δὲ λοιπὰ διὰ τοῦ ί.

Χρυσόγεων: Τὸ ἔχον γῆν χρυσῆν. Χρυσόγειον δέ.

Χρυσόγονος: Ὄνομα κύριον.

Ἐπιστολὴ Ἀναστασίας τῆς μάρτυρος πρὸς Χρυσόγονον.

[p]Τῷ ἁγίῳ ὁμολογητῇ Χριστοῦ Χρυσογόνῳ Ἀναστασία χαίρειν. Εἰ καὶ μάλιστα ὁ ἐμὸς πατὴρ τὰ εἴδωλα προσεκύνει, ἀλλ᾽ οὖν ἡ μήτηρ μου [q]Φλαύεια, διὰ παντὸς ἐν Χριστιανοῖς οὖσα, ἐξότου [r]μὲν ἐγέννησε, Χριστιανήν με ἐποίησε. Μετὰ δὲ τὸν θάνατον αὐτῆς ἐζεύχθην ἀνδρὶ μιαρωτάτῳ, οὗ τινος, χάριτι Θεοῦ, τὴν συνάφειαν διέφυγον, δεομένη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ νυκτός τε καὶ ἡμέρας ῥυσθῆναι ἀπὸ τοῦ μιαροῦ [s]εἰδωλολάτρου ἐκείνου, ὅς τις τὴν ἐμὴν περιουσίαν ἑξῆς διαφαίνεται μετὰ μιαρῶν καὶ εἰδωλολατρῶν ἐξαντλήσας, ἐμὲ δὲ, ὡσανεὶ φαρμακὸν καὶ ἱερόσυλον, βαρυτάτῃ [t]φυλακῇ παραδέδωκεν, ὥστε με τὴν πρόσκαιρον ἀπολέσαι ζωήν· καὶ οὐδέν μοι παρὲξ τῆς ψυχῆς περιλέλειπται. Πλὴν εὔχομαι μετὰ τῆς τοῦ Θεοῦ ἐλπίδος ἀποθανεῖν. Ὅμως, εἰ καὶ καυχῶμαι ἐν τῇ ὁμολογίᾳ τοῦ Χριστοῦ μου, πάνυ λυποῦμαι, ὅτι τὴν ἐμὴν περιουσίαν, ἣν ηὐχόμην περὶ τοὺς δούλους τοῦ Θεοῦ δαπανῆσαι, ὁ μιαρὸς ἐκεῖνος ἄνθρωπος δαιμονολάτραις ἐπιχορηγεῖ· καὶ ἅπερ ἐγὼ ἐπιδοῦναι τοῖς τοῦ Θεοῦ δούλοις ηὐχόμην, ταῦτα αἰσχροῖς καὶ ἀνοσίοις ἀνθρώποις ἐπιδίδωσι. Καὶ διὰ τοῦτο παρακαλῶ σε, δοῦλε Χριστοῦ τοῦ Θεοῦ, ἵνα σπουδαίως ὑπὲρ ἐμοῦ τὸν Θεὸν δυσωπήσῃς, ὥστε, εἰ μὲν προγινώσκει ὁ Θεὸς, πιστεῦσαι τὸν ἐμὸν ἄνδρα Πόπλιον εἰς τὸν Χριστόν· εἰ δὲ μή γε, συγχωρῆσαι αὐτὸν [u]οἰκείαις ἐναπολέσθαι ἀπάταις, ἐμὲ δὲ ῥύσασθαι ἀπ᾽ αὐτοῦ. Κάλλιον γάρ μοι τὸ ἀποθανεῖν, ἢ τὸν υἱὸν τοῦ Θεοῦ ἀπαρνήσασθαι, καὶ τοῖς πιστεύουσιν εἰς αὐτὸν ἐμποδίσαι, [x]αὐτὸς ὁ παντοδυνάστης Χριστὸς μαρτυρεῖ. [y]Ὅταν δὲ ἀπαλλαγήσωμαι τῆς πλάνης ταύτης, τοῖς ἁγίοις προσκαρτερήσω, καὶ τὰς ὑπὲρ αὐτῶν φροντίδας, καθάπερ ἠρξάμην, μέχρι παντὸς ἀναδέξομαι. Ἔρρωσο, δοῦλε τοῦ Θεοῦ, καὶ μέμνησό μου.

[z]Ὁ δὲ Χρυσόγονος δεξάμενος, ἔγραψεν οὕτως.

Χρυσόγονος Ἀναστασίᾳ χαίρειν. Χειμαζομένῃ σοι ταῖς θυέλλαις τοῦ βίου ὁ ἐπὶ τῶν κυμάτων βαδίσας Χριστὸς βοηθήσοι, ἵνα τὴν τοῦ Διαβόλου δύναμιν τῷ λόγῳ αὐτοῦ καταργήσῃς. Μεγαλοφρόνως τοίνυν, καὶ ὡσανεὶ ἐν μέσῃ τῇ θαλάσσῃ κειμένη, πίστευσον τῷ Χριστῷ ἐπισκέψασθαί σε· καὶ πρὸς ἑαυτὴν ἐπιστρέψασα, ἀναβόησον μετὰ τοῦ Προφήτου, εἰπόντος· Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ τὰ ἑξῆς. Διπλῆ γὰρ ἡ δύναμις τῆς τοῦ Θεοῦ χάριτος ἀποδείκνυται. Καὶ γὰρ τὰ πρόσκαιρά σοι περιττεύσει, καὶ προστεθήσεταί σοι τὰ ἐπουράνια. Ὁ δὲ Θεὸς τοὺς μὴ παρακαλοῦντας αὐτὸν ὑπὲρ ἀγαθῶν ἀποστρέφεται. Οὐδὲ γάρ ἐστιν εὐτελὲς τὸ χάρισμα αὐτοῦ. Βλέπε, μὴ ταραχθῇς ἐν τούτῳ, ὅτι εὐσεβῶς διαγινομένῃ σοι

[c] τῆς Στωϊκῆς σχολῆς] Cic. Acad. II. 23. *Cum habeam Chrysippum, qui fulcire putatur porticum Stoicorum.* Cf. Lactant. VII. 23. et Origen. c. Cels. IV. p. 196. REINES.

[d] ό καὶ γ΄] 79 Valerio Maximo apud Clinton. Fast. Hell. an. 207. Sed vide Clintonum ad an. 280.

[e] συντέταχε] συντέταχε δὲ A.

[f] πλείω] πλεῖον B.E. πλείων M.

[g] Χρύσιππος ὁ φιλόσοφος τοιούτ. τιν. ἠρ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Laërtii in Chrysippo, num. 186. KUST.

[h] ὁ δέ γε] ἄρα ὁ A.

[i] Καὶ αὖθις om. A. ἄλλο Laërt.

[k] Ὅ ἔστιν] ὃ οὐκ ἔστιν et mox οὐδὲ τοῦτο Laërt.

[l] ἣν οὐκ ἔχεις om. Laërt.

[m] Οἴ μ᾽, ὡς ἐλ.] Est versus Aristoph. Pac. 424. KUST.

[n] Ἀντὶ τοῦ ἥττων] De hoc loco consulendus Scholiastes ad Aristoph. Pac. 424. Notanda autem ἀμφιβολία comici, ἐλεήμων τῶν χρυσίδων. Nam *Chrysis* nomen meretricis. Terentius in Andria: *Dic, sodes, Quis heri Chrysidem habuit?* Est et χρυσὶς *patera,* sive *phiala aurea.* Athenæus lib. XI. p. 502. Ἀθηναῖοι δὲ τὰς μὲν ἀργυρᾶς φιάλας ἀργυρίδας λέγουσι, ΧΡΥΣΙΔΑΣ δὲ τὰς χρυσάς. Hermippus comicus apud Athenæum: Χρυσίδ᾽ οἴνου πανσέληνον ἐκπιὼν ὑφείλετο. Ubi inepte interpres: *Plenilunio vini Chrysidem ebibit, et surripuit.* Χρυσὶς πανσέληνος est *plenum poculum.* Virgil. *Pleno se proluit auro.* TOUP.

ΧΡΥΣΙΤΙΣ] Vid. p. 1565 C.

ΧΡΥΣΟΓΕΩΝ] Χρυσόγαιον E. Χρισόγαιον M.

[p] Τῷ ἁγίῳ ὁμολογητῇ] Niceph. Callistus fin. l. XIV. ista habet. REINES. Nicephoro e Suida addidit interpres Latinus, notante Tillemontio H. E. T. V. p. 717.

[q] Φλαύεια] φάνεια A.

[r] μὲν] με B.E.

[s] εἰδωλολατρῶν] ἀνδρῶν addit A. Mox ἐξήντλησεν A.B.

[t] φυλακῇ] κεφαλῇ B.E.

[u] οἰκείαις] ταῖς οἰκείαις A.

[x] αὐτὸς] αὐτὸς δὲ A.B.E.

[y] Ὅταν δὲ] δὲ om. A.B.E.

[z] Ὁ ΔΕ] τοῦ ἁγίου Χρυσογόνου πρὸς αὐτὴν E.

πρὸς τὸν Χριστὸν συμβαίνει τἀναντία. Οὐδὲ γὰρ ἀπατᾷ σὲ ὁ Χριστὸς, ἀλλὰ δοκιμάζει σέ. Οὔτε ἀσφαλής ἐστιν [a]ἡ παρὰ τῶν ἀνθρώπων βοήθεια, ὡς σὺ νομίζεις, τῆς γραφῆς λεγούσης· Ἐπικατάρατος [b]ὁ ἄνθρωπος, ὁ ἐλπίζων ἐπ' ἄνθρωπον· καὶ εὐλογημένος ἄνθρωπος, ὁ ἐλπίζων ἐπὶ τὸν Θεόν. Βλέπε γενναίως, καὶ ἀγρύπνως καὶ τρανῶς διάφυγε πᾶσαν ἁμαρτίαν. Ταύτην παρὰ τοῦ Θεοῦ ζήτησον παραμυθίαν, οὗ τινος τὰς ἐντολὰς φύλαττε. Ἤδη γὰρ ὁ τῆς σωτηρίας καιρὸς ἐλεύσεται ἐπὶ σέ. Καὶ καθάπερ [c]μετὰ σκοτεινὴν νύκτα τὸ διαυγὲς φῶς τοῦ Θεοῦ ἐπιλάμψει σοὶ, [d]καὶ καθάπερ μετὰ χειμῶνα ἱλαρός σοι καὶ εὔδιος ἐπιγελάσει καιρὸς, καὶ, ὡς πᾶσι τοῖς διὰ τὸν Θεὸν θλιβομένοις, [e]παρασχήσει σοι τὴν πρόσκαιρον ὑπομονὴν, δι' ἣν τὸν αἰώνιον ἀπολήψῃ μισθόν. Ἔρρωσο ἐν Κυρίῳ, καὶ εὔχου ὑπὲρ ἐμοῦ.

[f]Καὶ αὖθις γράφει ἡ αὐτὴ πρὸς τὸν αὐτόν.

Χρυσογόνῳ τῷ ὁμολογητῇ τοῦ Χριστοῦ Ἀναστασία χαίρειν. Ὅτι τὸ τέλος πάρεστι τῷ σώματί μου, εὔχου ὑπὲρ ἐμοῦ, ἵνα ἐκεῖνός μου ἀποδέξηται τὴν ψυχὴν, δι' ὃν ταύτας τὰς θλίψεις ὑπομένω.

[g]Πρὸς ταῦτα Χρυσόγονος ἀντέγραψεν οὕτως.

Τῇ τοῦ Θεοῦ δούλῃ Ἀναστασίᾳ Χρυσόγονος. Δηλόν ἐστιν, ὅτι τὸ φῶς ἀποκρύπτει τὸ σκότος· οὕτω καὶ μετ' ἀσθένειαν ἡ σωτηρία ἐπέρχεται, καὶ ἡ ζωὴ μετὰ θάνατον τοῖς ἀξίοις ἐπιδίδοται. Τὸ [h]αὐτὸ γὰρ ἔχει τέλος [i]ἥ τε εὐτυχία ἥ τε δυστυχία τῶν ἀνθρωπίνων πραγμάτων, ἵνα μηδὲ οἱ ταπεινοὶ στυγνάζωσι, μηδὲ οἱ μεγαλοφρονοῦντες [k]καυχῶνται. Μία γὰρ θάλασσά ἐστιν, ἐν ᾗ τὰ πλοῖα τοῦ ἡμετέρου σώματος [l]διατρέχει, καὶ ὑφ' ἑνὸς κυβερνήτου εὐθύνεται. Ὧν τινων τοίνυν αἱ [m]νῆες ἰσχύονται ταῖς τροπίσιν ὠχυρωμέναι,

A ἀβλαβεῖς τὸ πέλαγος διατρέχουσιν· αἱ δὲ ἀσθενεῖς καὶ δίχα κυμάτων ἐπ' αὐτῆς τῆς γαλήνης κινδυνεύουσιν. Ἐγγὺς γὰρ ἀπωλείας εἰσὶν αἱ μὴ πρὸς τὸν λιμένα τῆς σωτηρίας σπουδάζουσαι ἐλθεῖν. Σὺ δὲ ἀκατάγνωστος τυγχάνουσα τοῦ Χριστοῦ δούλη, τὸν σταυρὸν ἐν πάσῃ σου τῇ ψυχῇ [n]διατήρησον, καὶ σεαυτὴν πρὸς σωτηρίαν παρασκεύασον, ὥστε μετὰ τῶν μαρτύρων τοῦ Χριστοῦ ἀριθμηθῆναί σε. Ἔρρωσο.

B Χρυσοδαίδαλτον: Τίμιον.

Χρυσοεψητεῖον: Ἔνθα χωνεύουσι καὶ ἕψουσι τὸν χρυσόν.

Χρυσομαλλώ: Ὄνομα ὀρχηστρίδος, εἶτα ἑταίρας. Ἤκμαζεν ἐπὶ Ἰουστινιανοῦ καὶ Θεοδώρας.

Χρυσομανῶ: Δοτική.

Χρυσόπολις: Ἐμπόριον τῆς Χαλκηδονίας, ἔνθα
C οἱ Ἕλληνες, οἱ σὺν Κύρῳ μισθοφορήσαντες, ἔμειναν ἡμέρας ζ' λαφυροπωλοῦντες, [o]ὥς φησι Ξενοφῶν.

Χρυσόρραπις: Χρυσῆν ῥάβδον ἔχων.

Χρυσορρόας: Ὄνομα ποταμοῦ.

Χρυσόροφος:

Χρυσὸς [p]Κολοφώνιος: Οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάσαντο· καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν. Καὶ
D τάχα ἴσως οἱ ἐκπεσόντες [q]τῆς οἰκίας Λυδῶν τὰ [r]περὶ Θρᾴκην καὶ Στρυμόνα χρύσεια κατέσχον μέταλλα σύν τισιν Ἰώνων, καὶ ἐσπούδασαν περὶ τὸν χρυσόν.

[Χρυσὸν κρατῶν, ἄπρακτος, ὧν θέλεις, ἔσῃ:]

Χρυσοτόρευτα: Χρυσόγλυφα.

Χρυσοῦν δέρας: Ζήτει ἐν τῷ Δέρας.

Χρυσοχάλινον: Τὸ λαμπρὸν, τὸ τερπνόν.

[s]Οὐκέτι χρυσοχάλινον ὁρᾷ φάος ἠελίοιο.

E Χρυσοχοεῖον: Δείναρχός φησι·

[t]Πάλιν παρ' Αἰσχίνην ἀποφοιτήσας, παρὰ τούτῳ δηλονότι χρυ-

[a] ἡ πάρα] ἡ om. A.

[b] ὁ ἄνθρωπος] ὁ om. A.E. qui addunt ὁ ante ἄνθρωπος paullo infra.

[c] ὑπὸ] μετὰ A.B.

[d] καὶ μετὰ] καὶ καθάπερ μετὰ A.B.E.

[e] παρασχήσει] παράσχῃ A.B. παράσχοι E. παρασχήσει M.

[f] ΚΑΙ ΑΥΘΙΣ] αὖθις τῆς ἁγίας πρὸς αὐτὸν E.

[g] ΠΡΟΣ ΤΑΥΤΑ] Αὖθις τοῦ αὐτοῦ πρὸς τὴν αὐτὴν E.

[h] αὐτὸ γὰρ] γὰρ αὐτὸ A.

[i] ἡ εὐτυχία] ἥ τε εὐτυχία ἥτε δυστυχία A.B.E.

[k] καυχῶνται] καυχήσωνται A.B.

[l] διατρέχει] διατρέχουσι A. qui om. καὶ ὑφ' ἑνὸς—διατρέχουσιν.

[m] νῆες] ναῦς E.M. Tum ἰσχύρωνται B.E. ἰσχύωνται M.

[n] διατήρησον] διακράτησον A. qui in fine om. ἔρρωσο.

ΧΡΥΣΟΔΑΙΔΑΛΟΝ] Χρυσοδαίδαλτον A. Et sic Aristoph. Eccl. 965.

ΧΡΥΣΟΜΑΛΛΩ: Ὄνομα ὀρχ.] Procopius Hist. Arc. c. 17. Χρυσομαλλὼ δὲ αὕτη, πάλαι μὲν ὀρχηστρὶς ἐγεγόνει, καὶ αὖθις ἑταῖρα. Huc Suidas respexit. KUST. Χρυσομαλλὼ A.

ΧΡΥΣΟΠΟΛΙΣ] Vide Socrat. Hist. Eccles. lib. VII. c. 25. KUST.

[o] ὥς φησι Ξενοφῶν] Lib. VI. Ἀναβ. in fine: ubi legitur, τὰ λάφυρα πωλοῦντες. KUST. Ibi mss. λαφυροπωλοῦντες.

ΧΡΥΣΟΡΡΑΠΙΣ] Est vox Homerica Odyss. κ'. 277. et alibi. KUST.

ΧΡΥΣΟΡΡΟΑΣ] Vide Pausan. lib. II. c. 31. KUST. Deest art. A.B.E.

[p] ΚΟΛΟΦΩΝΙΟΣ] ὁ Κολοφώνιος E. cum Zenobio VI. 47.

[q] τῆς οἰκίας] Lego τῆς οἰκείας, subintelligendo γῆς. KUST. οἰκείας A.B. Mox τὰ om. A.

[r] περὶ] παρὰ B.E.

ΧΡΥΣΟΝ ΚΡΑΤ.] Est versus oneirocriticus, qui legitur etiam apud Astrampsychum. Ceterum, Portus pro ἄπρακτος hic legendum censet ἔμπρακτος, i. e. *efficax*, vel *efficiendi facultatem habens*: quod aurum ob excellentiam suam, qua reliqua metalla longe superat, felicem potius quam infelicem rerum successum significare vi-
F deatur. Sed vir bonus judicio suo hic prorsus abutitur. Quis enim nescit oneirocritica omnia esse tantum somnia mera hominum otiosorum, nec ulla certa ratione niti; quæ proinde ad rationis normam exigere velle, quid aliud sit, quam cum ratione insanire? KUST. Deest vs. A.

ΧΡΥΣΟΤΟΡΕΥΤΑ] Pertinere ad Exod. XXV. 18. monent viri docti ad Hesych.

G ΧΡΥΣΟΧΑΛΙΝΟΝ] Herodot. p. 516. Aristoph. Pac. 154. Plutarch. Crass. p. 292. Simocatta p. 145. TOUP.

[s] Οὐκέτι χρυσοχ.] Anthol. Pal. VII. 219. ubi δρόμον pro φάος.

ΧΡΥΣΟΧΟΕΙΟΝ: Δείναρχ.] Ex Harpocratione. KUST.

[t] Πάλιν παρ' Αἰσχίνην ἀποφοιτήσας] De hoc loco non ita pridem Valckenærius ad Mœrin [p. 400.] Sed vis verbi ἀποφοιτᾶν virum doctissimum fefellit. Ἀποφοιτᾶν est *abire, scholam derelinquere.* Eustath. ad Homer. Iliad. σ'. p. 1227. Ἀποφοιτᾶν παρὰ Λυσίαν, τὸ παύσασθαι φοιτῶντα, ὅ
H ἐστι μανθάνοντα. Ita legendum, non Λυσίᾳ. Ἀποφοιτᾶν παρά τινα, est, *alio relicto ad alium transire.* Quod fecit Æschinis discipulus. Sed hæc viris eruditis parum perspecta sunt. Quare recte Dinarchus, Παρ' Αἰσχίνην ἀποφοιτήσας. *Priore magistro derelicto, ad Æschinem se contulit.* Quod omnino verum, et Græcissimum est. Deinde scribe οὐ τὸ προκείμενον ΑΥΤΩΙ. Nimirum ad

σοχοεῖν ἐμάνθανεν, ἀλλ' οὐ τὸ προκείμενον [u]αὐτῷ πράττειν ἢ A πάσχειν.

Κέχρηται δὲ τῇ παροιμίᾳ καὶ [x]Πλάτων·

[y]Τί δαὶ, ἦδ' ὃς ὁ Θρασύμαχος, χρυσοχοεῖ.

Ἄρξασθαι δέ φασι τὴν παροιμίαν ἐντεῦθεν. Ἔπεσέ τις [z]φήμη ποτὲ εἰς τὸ πλῆθος τῶν [a]Ἀθηναίων, ὡς ἐν Ὑμηττῷ ψῆγμα χρυσοῦ πολὺ φανείη, καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. Οἱ δὲ ἀναλαβόντες τὰ [b]ὅπλα, ἐξέθεον ἐπ' αὐτούς· ἄπρακτοι δὲ B ὑποστρέψαντες, καὶ μάτην κεκακοπαθηκότες, ἔσκωπτον ἀλλήλους, λέγοντες,

Σὺ δὲ ᾤου χρυσοχοήσειν.

Ὅπερ δηλοῖ, σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας, καὶ χρυσοχοήσας, πλουτήσειν. Ἐχλευάζοντο δὲ ὑπὸ τῶν κωμικῶν. Εὔβουλος γοῦν φησιν·

Ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν
λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα.

Χρυσοχοεῖον:

Χρυσῷ καταπάττων ἡμᾶς οὐ γινώσκεις: Ἐπὶ τῶν εἰκῇ διαλοιδορουμένων. Ἐπιφέρει γάρ·

Νῦν δὲ κόσμος τοῦτ' ἐστί [c]μοι.

Τουτέστι τὸ τοιαῦτ' ἀκούειν.

Χοινίκαιον: Ὄρος.

Χοίνικες: Οὐ μόνον τὸ μέτρον, ἀλλὰ καὶ τὰς πέδας σημαίνει τὸ ὄνομα. Αἱ χοίνικες, πέδαι τινές εἰσι. Χοῖνιξ δὲ, πᾶν περιφερές. Διὸ καὶ τὸ μέτρον χοῖνιξ καλεῖται. Ἀριστοφάνης Πλούτῳ·

Αἱ κνῆμαι δέ σου βοῶσιν,
ἰοὺ ἰοὺ, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.

Χοίνικες: Οἷς τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι.

Σπανιώτερον δὲ τὸ γένος τῶν [d]θεωρητικωτάτων ψυχῶν, ἢ [e]τὸ τοῦ χοίνικος, ᾧ τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι· [f]οἷος ἦν [g]Ἀμοῦς καὶ Ἀντώνιος.

Χοιράδες: Πέτραι λεῖαι ἐν θαλάσσῃ· ἢ ἐξοχαί· ἢ [h]ὄχθοι πετρῶν.

Χοιρίλη: Ἡ Ἑκάβη.

Χοιρίλος, Ἀθηναῖος, τραγικὸς, ξδ' Ὀλυμπιάδι [i]καθεὶς εἰς ἀγῶνας· καὶ ἐδίδαξε μὲν δράματα [k]πεντήκοντα καὶ ρ', ἐνίκησε δὲ ιγ'. Οὗτος κατά τινας τοῖς προσωπείοις καὶ [l]τῇ σκηνῇ τῶν στολῶν ἐπεχείρησε.

Χοιρίλος, Σάμιος, [m]τινὲς δὲ Ἰασέα, ἄλλοι δὲ [n]Ἁλικαρνασσέα ἱστοροῦσι. Γενέσθαι δὲ κατὰ Πανύασιν τοῖς χρόνοις· [o]ἐπὶ δὲ τῶν Περσικῶν, Ὀλυμ- C πιάδι οε', νεανίσκον [p]ἤδη εἶναι. Δοῦλόν τε Σαμίου τινὸς αὐτὸν γενέσθαι, εὐειδῆ πάνυ τὴν ὥραν· φυγεῖν τε ἐκ Σάμου, καὶ Ἡροδότῳ τῷ ἱστορικῷ [q]παρεδρεύσαντα, λόγων ἐρασθῆναι· οὗ τινος αὐτὸν καὶ παιδικὰ γεγονέναι φασίν. Ἐπιθέσθαι δὲ [r]ποιητικῇ, καὶ τελευτῆσαι ἐν Μακεδονίᾳ παρὰ Ἀρχελάῳ, [s]τῷ τότε αὐτῆς βασιλεῖ. Ἔγραψε δὲ ταῦτα· [t]Τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου· ἐφ' οὗ ποιήματος κατὰ στίχον D στατῆρα [u]χρυσοῦν ἔλαβε, καὶ σὺν τοῖς Ὁμήρου [x]ἀναγινώσκεσθαι ἐψηφίσθη· Λαμιακὰ, καὶ ἄλλα τινὰ ποιήματα αὐτοῦ φέρεται.

Χοιρῖναι: Κόγχαι [y]θαλάσσιοι, αἷς καὶ ἐν τοῖς

Æschinem se contulit ad literas discendas, sed frustra et consilio irrito. Quod non raro evenire solet. TOUP.

[u] αὐτῶν] Harpocratio melius, αὐτό. KUST. αὐτῷ A. E B.E. Harpocr. ms. Pal.

[x] Πλάτων] Lib. V. de Republ. p. 456. [450 B.] ubi sic legitur: Τί δὲ, ἦδ' ὃς ὁ Θρασύμαχος· χρυσοχοήσοντας οἴει τούσδε νῦν ἐνθάδε ἀφῖχθαι, ἀλλ' οὐ λόγων ἀκουσομένους; Hinc Suidas emendandus et supplendus est. KUST. χρυσυχοεῖν—ἀκουσομένους addit Harpocratio.

[y] Τὶ δαὶ] τὶ δὲ Harpocr. ms. Pal.

[z] ποτε φήμη] φήμη ποτε A. Harpocr.

[a] Ἀθηναίων] τῶν Ἀθ. E. Harpocr.

[b] ὅπλα] τὰ ὅπλα A. Harpocr.

ΧΡΥΣΩΙ ΚΑΤΑΠ.] Aristoph. Nub. 909. Χρυσῷ πάττων μ' οὐ γινώσκεις. Οὐ δῆτα πρὸ τοῦ γ', ἀλλὰ μολίβδῳ. Νῦν δέ γε κόσμος τοῦτ' ἐστιν ἐμοί. KUST.

[c] μοι. Τουτέστι addunt A.B.E. (ἐμοὶ E.)

ΧΟΙΝΙΚΑΙΟΝ] An potius Φοινίκαιον. Vide Stephanum Byzant. v. Φοινίκαιον. KUST. probante Albertio in Obs. Misc. IX. p. 155.

ΧΟΙΝΙΚΕΣ: Οὐ μόνον τὸ μ.] Schol. Aristoph. Plut. 275.

ib. ΧΟΙΝΙΚΕΣ] Hesych. Χοίνικες αἱ βαθεῖαι πέδαι. Lege G αἱ παχεῖαι πέδαι. Achill. Tat. p. 319. σχοίνοισι παχείαις δεδεμένη. ubi v. Salmas. TOUP.

[d] θεωρητικωτάτων] τῶν θεωρητικωτάτων A.B.E.

[e] τὸ τοῦ χοίνικος] Ego multum vereor ne scripturæ vitium Suidam deceperit, legendumque sit ἢ τὸ τοῦ φοίνικος nimirum γένος: quo quidem pacto plane loci hujus obscuritatem dispelli fatendum est. Res certa est ex Synesii Dion. p. 49. A. unde hæc verba sunt depromta. HEMST. qui, ni fallor, hunc locum Alber- H tio monstravit. Adde Wesseling. Diss. Herodot. p. 37.

[f] οἷον] οἷος A.B.E.

[g] Ἀμοῦς καὶ Ἀντώνιος] An Ἀμοῦς ὁ Αἰγύπτιος? Ita Synesius in fine p. 48. Sed Amus et Antonius aliunde etiam noti. Vid. Socrat. Hist. Eccl. IV. 23. ALBERT.

ΧΟΙΡΑΔΕΣ—θαλάσσῃ] Gl. Herodot. II. 29.

[h] ὄχθη] ὄχθοι A.B. Zonaras. ὄχθαι Cyrill. in not. ad Hesych. Conf. Blomfield. Gl. Æschyl. Pers. 427.

ΧΟΙΡΙΛΗ] Supra v. Χορίλη.

ΧΟΙΡΙΛΛΟΣ] Alii Χοιρίλος, per unum λ. KUST. Sic A.C. De hoc Chœrilo agit Nækius, libro statim memorando, c. 1.

[i] καθεὶς εἰς ἀγῶνας] Sic locum hunc ex msto A. emendavi. Ante enim male legebatur, καὶ εἰς ἀγῶνας. Significat autem καθεῖναι εἰς ἀγῶνας, in certamen descendere; vel proprie, se demittere in certamen: ut subintelligatur ἑαυτόν. KUST.

[k] πεντήκοντα καὶ ρ'] Omnes mss. ἑξήκοντα καὶ ρ'. Cete- F rum, ex fabulis Chœrili hujus citatur tantum *Alope* a Pausania in Atticis. KUST. πεντήκοντα E. ϛ' B.

[l] τῇ σκηνῇ] Lego τῇ σκευῇ. KUST.

ΧΟΙΡΙΛΟΣ Σάμιος] Chœrili Samii reliquias collegit et docte illustravit Nækius, Lips. 1817. 8o.

[m] Τινὲς δὲ Ἰασέα] Inter hos est Stephanus Byzantius, v. Ἰασσός: quem vide. KUST.

[n] Ἁλικαρνασσέα] Ἁλικαρνασέα E.C.

[o] ἐπὶ δὲ τῶν Περσικῶν] Vid. Clintoni Fast. Hell. ad an. 479.

[p] ἤδη om. C. qui mox om. πάνυ.

[q] παρεδρεύσαντα] παρεδρεύσαντι E.M.

[r] ποιητικῇ] ποιητικὴν C.

[s] τῷ τοτε] τῷ om. E. mox αὐτοῦ C.

[t] Τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξ.] Eadem totidem verbis legas apud Hesychium Milesium. Ex opere autem hoc Chœrili versus aliquot citat Josephus lib. I. contra Appionem: ut monuit etiam Vossius in opere de Hist. Gr. apud quem plura de hoc Chœrilo legere licet. KUST.

[u] χρυσοῦν] χρυσοῦ C.

[x] ἀναγινώσκεσθαι] καταγινώσκεσθαι B. Mox τινα om. C.

ΧΟΙΡΙΝΑΙ: Κόγχαι θαλ.] Aristoph. Vesp. 332. Τὰς χοιρίνας ἀριθμοῦσι. Scholiastes ad eum locum: Χοιρίναις ἐχρῶντο πρὸ τῶν ψήφων οἱ δικασταί. ἦσαν δὲ κόγχαι τινὲς, ὥς φησιν

δικαστηρίοις ἐχρῶντο Ἀθήνησι. Καὶ ἡ θρὶξ τοῦ χοίρου.

[z]Οὕτω κιττῶμαι διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν.

Χοιρίων μυστηρικῶν: Ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος ἐθύετο. Ἀνάκειται γὰρ τὸ ζῶον τῇ θεῷ.

Χοιρογρύλλιος: Ὕστριξ, ἀκανθόχοιρος. Τουτέστιν, ἐχῖνος χερσαῖος.

Χοιρόθλιψ:

[a]Ὦ οὗτος τυφεδανὲ καὶ χοιρόθλιψ.

Χοιροκομεῖον: [b]Πλεκτὸν ἀγγεῖον, ἐν ᾧ τοὺς νέους ἔτρεφον χοίρους περιδήσαντες. Ἢ, [c]ὁ πάτταλος, ἐν ᾧ δεσμεύοντες τοὺς χοίρους ἔτρεφον. [d]Ἀριστοφάνης·

Ἀπὸ τῆς Σπάρτης οἵδε πρέσβεις [e]ἕλκοντες ὑπήνας
χωροῦσιν, ὥσπερ χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντες.

[f]Ἐπεὶ ἦλθον ἐγκεκολπωμένα τὰ ἱμάτια ἔχοντες.

Χοῖρος: Τὸ ζῶον. Παρὰ Κορινθίοις δὲ, [g]τὸ γυναικεῖον αἰδοῖον. Ἔνθεν καὶ παροιμία·

[gg]Ἀκροκορινθία ἔοικας χοιροπωλήσειν.

Ἀντὶ τοῦ, ἔοικας μισθαρνήσειν ἐν Κορίνθῳ. Πολλαὶ γὰρ ἐκεῖ ἑταῖραι.

Χυδαῖος: Εὐτελὴς, παμπληθής.

Χύδην: Κεχυμένως.

Χυλῷ: Τῷ ῥοφήματι. [h]Ἀριστοφάνης·

Μίξον [i]δ' ἡμᾶς φιλίας χυλῷ.

Καὶ χυλὸς [k]πτισάνης, [l]ὁ ἀπὸ τῆς ζείας.

Χῦμα:

Χυμός: Ζήτει ἐν τῷ Ὕδωρ, καὶ ἐν τῷ Φαιόν, καὶ ἐν τῷ Γλῶττα.

Χύτη: Ἡ ἐπιχεομένη τοῖς νεκροῖς γῆ.

Χύτλα: Ὑδρέλαιον. Καὶ [m]χυτλάζειν, τὸ μιγνύναι, καὶ διαχεῖν. Χύτλα [n]δὲ λέγεται κυρίως, τὸ ὑγροῦ ἔτι ἀπὸ ὕδατος ὄντος τοῦ σώματος ἀλείψασθαι.

[o]Φράσον δέ μοι, εἰς ὅ τι τεῦχος
χεύωμαι ποσὶ χύτλα, καὶ [p]ὁππόθεν.

Ὑγρὸν χύτλασον σεαυτὸν ἐν τοῖς στρώμασι
γυμναστικῶς.

Ἀριστοφάνης. Χύτλος γὰρ, τὸ μεθ' ὕδατος ἔλαιον.

Χυτλώσαιντο: Ἀλείψαιντο.

Χυτόν: [q]Χῶμα. Καὶ ὁ ξεστὸς λίθος. [r]Ἡρόδοτος.

Χύτραν ποικίλλειν: Ἐπὶ τῶν ἀδυνάτων [s]καὶ ἀνηνύτων.

Ἐπαφρόδιτος ἐν ταῖς λέξεσιν. Idem in Equit. 1329. Οὐ χοιρινῶν ὄζων. Scholiastes: Ὅτι χοιρίναις ἐχρῶντο πρότερον πρὸ τῶν ψήφων. εἰσὶ δέ τινες κόγχαι θαλάσσιαι. KUST.

y θαλάσσιοι] θαλάσσιαι A.

z Οὕτω κιττ.] Aristoph. Vesp. 348. sed ubi pro κιττῶμαι legitur κιττῶ: uti etiam hic metri gratia scribendum est. KUST.

ΧΟΙΡΙΩΝ ΜΥΣΤΗΡΙΑΚΩΝ] Aristoph. Acharn. 747. Χήσεῖτε φωνὰν χοιρίων μυστηρικῶν. Vide ibi Scholiastam, qui eadem habet, quæ hic Suidas. KUST. χοιρείων A. μυστηρικῶν C.

ΧΟΙΡΟΓΡΥΛΛΙΟΣ] Vid. Schleusner. Lex. V. T. in v.

a Ὦ οὗτος στυφεδ.] Scribendum est τυφεδανὲ, ut legitur apud Aristoph. Vesp. 1355. unde locus hic sumptus est. Confer etiam Nostrum supra v. Στυφεδανὸς, et v. Τυφεδανός: ubi idem locus legitur. KUST. τυφεδανὲ A.

ΧΟΙΡΟΚΟΜΕΙΟΝ: Πλ.] Aristoph. Vesp. 840. Χοιροκομεῖον Ἑστίας. Scholiastes: Χοιροκομεῖον. ἀγγεῖόν τι κανωτὸν, ὅπου οἱ χοῖροι τρέφονται. ἐν τῇ Λυσιστράτῃ δὲ κλοιὸν μᾶλλον, ἢ πάσσαλον ἐμφαίνει, ὡς καὶ τούτου ὁμοίως λεγομένου, ὅπου ὁ χοῖρος δέδεται. Et paulo post: Ἔστι δὲ τὸ καλούμενον ζωγρεῖον κανωτὸν, ὅπου οἱ χοῖροι τρέφονται. KUST.

b Πλεκτὸν—περιδήσαντες Scholiastæ Aristophanis sunt ad Lys. 1058. ex ms. supplendi. Vid. ed. Dindorf. T. XI. p. 513.

c ὁ πάτταλος] Scribendum puto, τάλαρος, i. e. *qualus*. Quomodo enim in paxillo porcellos nutrias? Vel dicendum est, πάτταλος hic accipi pro vase aliquo ex viminibus texto: cujus significationis tamen exemplum requiro. KUST. Quæ ad hunc locum adnotavit vir doctissimus longe ineptissima sunt, et a mente scriptoris alienissima. Ἐν πασσάλῳ δεσμεύεσθαι est *palo alligari*. Προσπατταλεύειν vocant Græci. Quod aut vidit, aut vidisse se putabat, Lambertus Bosius. Schol. ad Aristoph. Ran. 631. Ἐν κλίμακι δήσας: Τὸ ἐν πρὸς τὸ δήσας. ἘΝΔΗΣΑΣ κλίμακι. Ἀντὶ τοῦ, ΕΙΣ ΚΛΙΜΑΚΑ ΔΗΣΑΣ. Quod in primis notandum. Confer etiam Aristoph. Thesmoph. 937. Recte autem Suidas, Χοιροκομεῖον, ὁ πάτταλος. Schol. ad Aristoph. Vesp. 840. Χοιροκομεῖον. Ἐν τῇ Λυσιστράτῃ δὲ κλοιὸν μᾶλλον ἢ ΠΑΣΣΑΛΟΝ ἐμφαίνει. Respexit autem uterque, tum Suidas tum Scholiastes, ad Aristoph. Lysist. 1075. ubi dicit comicus legatos Spartanorum Athenas advenisse, χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντας. Ubi recte Scholiastes: Λέγει ΠΑΤΤΑΛΟΝ, ἐν ᾧ δεσμεύοντες τοὺς χοίρους τρέφουσι. Ἐπεὶ οὖν ἘΝΤΕΤΑΜΕΝΟΙ ἧκον, εἴκασεν αὐτοὺς ΠΑΤΤΑΛΟΙΣ. Ubi signanda vox ἐντεταμένοι. Adde quod χοῖρος et πάτταλος verba prætextata sunt. Hinc joci fundus. TOUP.

d Ἀριστοφάνης] In Lysistr. 1075.

e ἕλκοντες ὑπήνας χωροῦσιν] χωροῦσιν ἕλκοντες ὑπήνας A.C.E.

f Ἐπεὶ ἦλθον—ἑταῖραι] Pro his habet C. Χοιροπωλήσειν: Ἀντὶ τοῦ ἔοικας μισθαρνήσειν ἐν Κορίνθῳ, πολλαὶ γὰρ ἐκεῖ ἑταῖραι. Χοῖρος γὰρ τὸ γυναικεῖον αἰδοῖον. ἔνθα καὶ παροιμία, ἀκροκορινθία ἔοικας χοιροπωλήσειν.

g τὸ γυναικεῖον αἰδοῖον] Aristoph. Acharn. 781. Νῦν γε χοῖρος φαίνεται. Scholiastes: Νῦν σαφῶς σημαίνει, ὅτι χοῖρος τὸ γυναικεῖον αἰδοῖον λέγεται. KUST.

